ΖΩΓΡΑΦΕΙΟΣ ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΚΔΙΔΟΜΕΝΗ
ΤΗΙ ΕΠΙΣΤΑΣΙΑΙ ΤΟΥ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ
**ΕΛΛΗΝΙΚΟΥ ΦΙΛΟΛΟΓΙΚΟΥ ΣΥΛΛΟΓΟΥ**

---

# ΗΣΙΟΔΟΥ

# ΤΑ ΑΠΑΝΤΑ

ΕΞ ΕΡΜΗΝΕΙΑΣ

ΚΑΡΟΛΟΥ ΣΙΤΤΛ



ΑΘΗΝΗΣΙΝ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ
IN COMMISSION BEI CARL BECK IN ATHEN
1889

# ΗΣΙΟΔΟΥ

# ΤΑ ΑΠΑΝΤΑ

ΖΩΓΡΑΦΕΙΟΣ ΕΛΛΗΝΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΕΚΔΙΔΟΜΕΝΗ

ΤΗΙ ΕΠΙΣΤΑΣΙΑΙ ΤΟΥ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

# ΕΛΛΗΝΙΚΟΥ ΦΙΛΟΛΟΓΙΚΟΥ ΣΥΛΛΟΓΟΥ

---

## ΤΟΜΟΣ ΤΡΙΤΟΣ



ΕΔΡΑ
ΤΟΥ ΕΛΛΗΝΙΚΟΥ ΦΙΛΟΛΟΓΙΚΟΥ ΣΥΛΛΟΓΟΥ
ΕΝ ΣΤΑΥΡΟΔΡΟΜΙῼ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
1889

# ΗΣΙΟΔΟΥ

# ΤΑ ΑΠΑΝΤΑ

ΕΞ ΕΡΜΗΝΕΙΑΣ

ΚΑΡΟΛΟΥ ΣΙΤΤΛ



ΑΘΗΝΗΣΙΝ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ

1889

ΑΦΙΕΡΟΥΤΑΙ

ΘΕΜΙΣΤΟΚΛΕΙ ΣΑΛΤΕΛΗΙ

ΚΑΘΗΓΗΤΗΙ ΤΗΣ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ΜΕΓΑΛΗΣ ΤΟΥ ΓΕΝΟΥΣ ΣΧΟΛΗΣ

**ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΕΝΕΚΑ**



Héliog. Dujardin, Paris

Χρηστάκης Β. Ζωγράφος.

ἄαπτοι + ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν + οε
ὅς ῥα τότ' ἡνίοχον προσέφη κρατερὸν Ἰόλαον + ἥρως ὦ Ἰό-
λαε βροτῶν πολὺ φίλτατε πάντων + ἦ τι μέγ' ἀθανά-
τους μάκαρας τοὶ ὄλυμπον ἔχουσιν + ἤλιτεν ἀμφιτρύων
ὅτ' ἐς εὐστέφανον θήβην + ἦλθε λιπὼν τίρυνθον ἐϋκτί-
μενον πτολίεθρον + κτείνας ἠλεκτρύωνα βοῶν ἕνεκ' εὐ-
ρυμετώπων + ἵκετο δ' ἐς κρείοντα καὶ ἡνιόχην τανύπε-
πλον + οἵ ῥά μιν ἠσπάζοντο καὶ ἄρμενα πάντα παρεῖ-
χον + ἣ δίκη ἐσθ' ἱκέτῃσι τίον δ' ἄρα κηρόθι μᾶλλον + ζῶε
δ' ἀγαλλόμενος σὺν ἐϋσφύρῳ ἠλεκτρυώνῃ + ᾗ ἀλόχῳ τάχα
δ' ἄμμες ἐπιπλομένων ἐνιαυτῶν + γεινόμεθ' οὔτε φυὴν
ἐναλίγκιοι οὔτε νόημα + σός τε πατὴρ καὶ ἐγὼ τοῦ μὲν φρέ-
νας ἐξέλετο ζεὺς + ὃς προλιπὼν σφέτερόν τε δόμον σφετέ-
ρους τε τοκῆας + ᾤχετο τιμήσων ἀλιτήμενον εὐρυσθῆα +
σχέτλιος ἦ που πολλὰ μετεστοναχίζετ' ὀπίσσω + ἣν ἄτην
ὀχέων ἡ δ' οὐ παλινάγρετός ἐστιν + αὐτὰρ ἐμοὶ δαίμων χα-
λεποὺς ἐπετέλλετ' ἀέθλους + ὦ φίλος ἀλλὰ σὺ θᾶσσον
ἔχ' ἡνία φοινικόεντα + ἵππων ὠκυπόδων μέγα δὲ
φρεσὶν θάρσος ἀέξων + ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυ-
ποδῶν σθένος ἵππων + μηδὲν ὑποδδείσας κτύ-
πον ἄρεος ἀνδροφόνοιο + ὃς κεκληγὼς περιμαίνε-
ται ἱερὸν ἄλσος + ρ̄ φοίβου ἀπόλλωνος ἑκατη-
βελέταο ἄνακτος + ἦ μὴν καὶ κρατερός περ ἐὼν ἄα-
ται πολέμοιο + τὸν δ' αὖτε προσέειπεν ἀμώμητος
ἰόλαος + ἠθεῖ' ἦ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε +
τιμᾷ σὴν κεφαλὴν καὶ ταύρεος ἐννοσίγαιος + ὃς θήβης
κρήδεμνον ἔχει ῥύεταί τε πόληα + οἷον δὴ καὶ τόνδε βροτὸν
τὸν κρατερόν τε μέγαν τε + σὰς ἐς χεῖρας ἄγουσιν ἵνα
κλέος ἐσθλὸν ἄρηαι + ἀλλ' ἄγε δύσεο τεύχε' ἀρήια ὄ-
φρα τάχιστα + δίφρους ἐμπελάσαντες ἄρηός θ' ἡμέτε-
ρόν τε + μαρνώμεσθ' ἐπεὶ οὔ τοι ἀτάρβητον διὸς υἱὸν +

# ΠΡΟΛΟΓΟΣ

Εἰ καὶ πλείονες ἐν τῇ Ἑλλάδι ἢ ἀλλαχοῦ τῆς γῆς τοῖς πλούτοις χρῶνται πρὸς ὄφελος τῆς ἐκπαιδεύσεως καὶ ἐπιστήμης, πάντας νικᾷ ὁ ἀνήρ, οὗ φερώνυμος ἡ Βιβλιοθήκη, οὐχὶ μόνον εἰς τὸ τῶν δαπανῶν ποσόν, ἀλλὰ καὶ ὅτι αὐτὸς διέγνω τὰς μάλιστα ἐπειγούσας ἀνάγκας τοῦ ἔθνους· ἐξ ὧν ἐστι συλλογὴ ἐκδόσεων Ἑλληνικῶν τῶν ἀρχαίων, ἥτις τὰ μέχρι τοῦ νῦν μεμελετημένα περὶ αὐτῶν μέλλει περιέχειν. Τῷ ἱδρυτῇ αὐτῆς ἀποροῦμεν τί εὐξώμεθα μεῖζον ἢ σύντονον πρόοδον καὶ ὡς ταχίστην τελείωσιν τῆς Βιβλιοθήκης, ὅπως μετ' οὐ πολλοὺς χρόνους ἰδίοις ὀφθαλμοῖς ἴδῃ ἐντελῆ τὴν μεγαλοπρεπῆ σειρὰν τῶν ἐνενήκοντα τόμων.

Ὁ ἐν Κωνσταντινουπόλει Ἑλληνικὸς Φιλολογικὸς Σύλλογος, ᾧπερ δικαίως ἀνέθηκεν ὁ γενναιόδωρος χορηγὸς τὴν τῶν ἐργασιῶν διοίκησιν, ἐξ ἐπιμελείας τῆς καθ' αὑτὴν ἐπιστήμης τοὺς ξένους Ἑλληνιστὰς συγγενεῖς κατὰ πνεῦμα τοῖς Ἕλλησιν ἡγούμενος παρεκελεύσατο καὶ τούτων πρὸς συνεργασίαν. Ὧν πρῶτος καταβαίνω εἰς τὸ στάδιον, ὅπως, περιέργῳ συμπτώσει, αὐτὸς γεννηθεὶς ἐν τῇ χώρᾳ, ἥνπερ δυσμενεῖς ἀποκαλοῦσι τὴν Γερμανικὴν Βοιωτίαν, ἑρμηνεύσω τὸν Βοιώτιον ποιητήν. Ἐκ τοῦ ἀδυνατεῖν ἐργάζεσθαι κατὰ τὸν ἡμῖν πατροπαράδοτόν πως τύπον, ποικίλαι δυσχέρειαι καὶ ἀπορίαι μοι ἐγένοντο. Ἀλλὰ Θεμιστοκλῆς Σαλτέλης, ᾧ ἀξίως ἀφιέρωται τὸ βιβλίον, μετ' ἄκρας προθυμίας καὶ γενναιότητος τὸ γλωσσικὸν ζήτημα ἔλυσεν, ἀναδεξάμενος τὸν πόνον τοῦ διορθῶσαι ὅσα παρὰ τὴν νῦν ὀρθοέπειαν καὶ εὐρυθμίαν ἔγραψα ἢ ὅσα οἱ καθ' ἡμᾶς ἄλλως ἐννοοῦσιν ἢ οἱ Ἀττικοί. Ὅτι τὸ μὲν βιβλίον ἐν Ἀθήναις ἐξετυπώθη, ἐγὼ δὲ πέντε ἡμερῶν ὁδὸν ἀπέχω, Ἰωακεὶμ Βαλαβάνης ὁ ἐξ Ἀραβανίου τοῦ παρὰ

τὰ Τύανα, μέλος γνωστὸν τοῦ «Παρνασσοῦ», διώρθωσε τὰ τυπογραφικὰ δοκίμια μετα μεγίστης ἀκριβείας, ὥστε τὸ βιβλίον διαφέρει τῶν πλείστων ἐν τῇ Ἑλλάδι ἐκτυπωθέντων ὥσπερ εἰς τὸν χάρτην καὶ τὰ στοιχεῖα, οὕτω καὶ εἰς ὀλιγότητα τῶν σφαλμάτων, ἄλλως τε συνεβάλετο εἰς τὴν τῶν σημειώσεων διόρθωσιν· ἀνθ' ὧν καὶ δημοσίως αὐτῷ ἐκφράζω χάριτας.

Ἐπιτελέσας τὰ πρῶτά μου καθήκοντα ταῦτα, περὶ τῆς τοῦ πονήματος διαθέσεώς τινα λέγω. Ὁ Ἡσιόδου λόγος, κατὰ τὸν σκοπόν μου, ἐκδέδοται ὁποῖον αὐτὸν ἀνεγίνωσκον οἱ ἐν Ἀλεξανδρείᾳ γραμματικοί, διωρθωμένος ἐκ τῶν ἀρχαιοτέρων ἐπιγραφῶν καὶ τῆς ἐτυμολογίας. Τὰς μερικὰς ἀνωμαλίας διενοήθην ἐμφῆναι διὰ σημείων, ὥστε τὸ μὲν ὑφὲν σημαίνει συναλοιφήν, τὰ δὲ προκλινῆ ἢ κυρτὰ στοιχεῖα τὸ ὅτι φωνῆεν βραχὺ ἀντὶ μακροῦ ἐν χρήσει ἐστίν. Ἡ διάταξις πρὸ τοῦ 7 φύλλου ἀπετελέσθη καὶ ὕστερον τούτου οὐκ ἄνευ ἐξαιρέσεων ἴσχυσεν (γρ. Θ. 150: **α**ἴσσοντο, 191 κἀ.: **α**θανάτου, 197: **α**νέρες, 202: γ**ε**νομένη, 240: **ε**ρατά, 241: **ε**ὐκόμοιο, 636: σ**υ**νεχέως, Ἔ. 364: **ε**ν οἴκῳ, Ἀσπ. 167: κυάνε**α**). Πρὸς τούτοις θετέον τὸ ὑφὲν Θ. 44: θεῶν, 144: σφέων, 149 καὶ 734: Βριάρεως, 748: ἀστεμφέως, 774: Ἀΐδεω, 803: ἔτεα, 962: χρυσέην, Ἔ. 30: ἀγορέων, 65: χρυσέην, 109: χρύσεον.

Εἰς μὲν τὴν τῆς Θεογονίας ἑρμηνείαν δύναιτ' ἄν τις ἐμπλέξαι ἐγχειρίδιον μυθολογίας, εἰς δὲ τὰ Ἔργα τῆς ἠθικῆς καὶ τῆς γεωπονικῆς δοκίμια. Τοῦ ἐξηγητοῦ ὅμως, οἶμαι, οὐκ ἔστι τὸ ἐπιδεικνύναι τὴν ἑαυτοῦ πολυμάθειαν, ἀλλ' ἀφιλαύτως, ὡς Ἀρίσταρχος εἶπε, «μηδὲν ἔξω τῶν φραζομένων ὑπὸ τοῦ ποιητοῦ περιεργάζεσθαι». Ὁμολογοῦμεν ἐν τούτοις, ὅτι ἐν ταῖς γραμματικαῖς καὶ λεξιλογικαῖς σημειώσεσιν ἧττον ἂν ἀπεφύγομεν τὴν μαρτυριῶν ἐπισπορίαν, εἰ μὴ ἠλπίσαμεν, ὅτι προσθήσομεν ἐν τῷ τέλει λεξικὸν τῶν Ἡσιοδείων γλωσσῶν (1). Ἀλλ' αὕτη ἡ ἐλπὶς ἀπέπτη καθάπερ καὶ

(1) Ὁ ἀστερίσκος δηλοῖ ὅτι πλείονα εὑρήσει τις ἐν τῷ παραρτήματι.

ἐκείνη, ὅτι ἔσται εὐρυχωρία ἕνεκα τοῦ ἑρμηνεύειν τὰ ἀποσπάσματα. Τοὺς τρόπους καὶ τοὺς σκοποὺς τῶν σημειώσεων ὁ ἐπιεικὴς μὲν ἀναγνώστης αὐτὸς γινώσκει καὶ κρίνει, τοὺς δὲ ἄλλους οὐδὲ μακρὰ ἔκθεσις καταπραΰνει. Ὡς πρὸς τὴν λεγομένην «ὑψηλοτέραν κριτικήν», ἐν ἐξηγητικῇ ἐκδόσει οὐ πρόκειται περὶ τοῦ τῶν ποιημάτων ἀκρωτηριασμοῦ, ἀλλὰ περὶ τῆς κατανοήσεως αὐτῶν· τὰ δ' ἄλλα ἐῶμεν. «Ἡμεῖς γὰρ κλέος οἶον ἀκούομεν οὐδέ τι ἴδμεν».

Λεπτομερεστέραν διευκρίνησιν ἀπαιτεῖ τὸ λεκτικὸν τοῦ βιβλίου. Ἐπειδὴ μέχρι τοῦ νῦν οὔτε Ἀκαδήμεια οὔτε δόκιμοι συγγραφεῖς κατέστησαν λεκτικὸν κανόνα, ἡ καθ' ἡμᾶς γραφομένη γλῶσσα ἐν ἀσταθείᾳ καὶ ῥοῇ διατελεῖ. Ὁ μὴ ἐν τῇ Ἑλλάδι ἀνατραφεὶς σαφέστερόν που ἢ τῶν ἐπιχωρίων τις διακρίνει, ὅτι πᾶς τις αὐτογνώμων καὶ ὡς εἰπεῖν αὐτοφυὴς συγγραφεὺς εἰδικήν πως μῖξιν τῆς παλαιᾶς καὶ τῆς ἐν συνηθείᾳ γλώσσης ἀποτελεῖ, ὅπερ βεβαιώσουσι καὶ οἱ ταύτης τῆς Βιβλιοθήκης τόμοι. Σιωπῶμεν περὶ τῶν λογοτριβῶν, αἵτινες ἐντεῦθεν ἐγένοντο μεταξὺ λογίων, καὶ δὴ καὶ μεταξὺ κέντρων τῆς Ἑλληνικῆς παιδείας. Πρέπει ἆρά γε τῷ ξένῳ καταβῆναι εἰς τὸ στάδιον τοῦτο καὶ φατριάσαι, τῶν ἀρίστων τοῦ ἔθνους οὐχὶ κατὰ πάντα ὁμογνωμονούντων; Ἔμοιγε οὐ προσήκει ἐγκαταμιγνύεσθαι τοῖς ἄλλων οἰκιακοῖς πράγμασιν.

Ἀλλ' ὁ ξένος δύναιτ' ἂν ἐπαφεῖναι τὴν εὐθύνην Ἕλληνι, ᾧ τινι ἂν ἐντέλληται ἢ τὴν ἐκ τῆς μητρικῆς γλώσσης εἰς τὴν Ἑλληνικὴν μετάφρασιν ἢ τὴν τῆς ὑφ' ἑαυτοῦ πεπονημένης μεταφράσεως διόρθωσιν; Ὡς μὲν πρὸς ἐκεῖνο, Διογένης ἕτερος, τὸν λύχνον φέρων, εἰς μάτην ἂν ἐζήτει λόγιον, ὅστις τρεῖς ἂν ἔχοι ἀρετάς, δηλαδὴ βαθεῖαν γνῶσιν ἀμφοτέρων τῶν γλωσσῶν καὶ Ἑλληνιστοῦ παιδείαν καὶ τὴν τοῦ ὑπηρετεῖν ἄλλῳ πνευματικῶς προθυμίαν. Οὐχ ἧττον δύσκολος φαίνεται ἡ μεταφράσεως διόρθωσις, καθόσον ἀπαιτεῖ ἀδιάλειπτον ἐπ' ἔτη συνεργασίαν, καὶ ἐν τούτοις οὔτε παρεννοήσεις γένοιντ' ἂν ἀδύνατοι οὔτε ὁ λεκτικὸς

πλοῦτος ἐπαξίως ἐκμεταλλευθείη. Ἐν ἀμφοτέραις δὲ ταῖς περιπτώσεσι, ναὶ μὲν ἄπταιστον κατορθοῦται ὕφος, ἀλλ' ὁ μεταφραστὴς ἢ διορθωτὴς ἀμαυροῖ τὸ κύριον τῆς φράσεως, ἐνῷ ὁ συγγραφεὺς αὐτὸς ἐμόχθησεν ἱκανῶς, ὅπως ὁμοφωνήσωσι πανταχοῦ λέξεις καὶ ἔννοιαι.

Τί συμπεραίνομεν λοιπὸν ἐκ τούτων; Ἵν' ἀποφύγω τὰς παντοίας παραπλανήσεις, εἰς ἃς δύναται ὑποπεσεῖν ὁ μὴ Ἕλλην, ἔλαβον ὑπ' ὄψει τὰ ἑξῆς· (1)

1. Ἐκ πολλῶν ἐτῶν ἡ τῶν φιλολόγων γλῶσσα ὁσημέραι ὁμοιοτέρα γίνεται τῆς ἀρχαίας καί, τῆς παιδείας καὶ τῆς μαθήσεως παρὰ τοῖς Ἕλλησιν ὡσαύτως ἐπὶ μᾶλλον καὶ μᾶλλον ἀναπτυσσομένης, κατὰ ταύτην τὴν ὁδὸν προχωρήσει περαιτέρω.

2. Ἡ τῶν διαλέκτων μελέτη ὁμαλίζει τὴν πρόοδον αὐτήν, π. χ. οὐκ ἔξεστιν ἀπορρίπτειν τὰ ἀπαρέμφατα καὶ τὸ παλαιὸν ἀρνητικὸν οὐ καὶ τὸ ἄρα μόριον ὡς ἐπιτηδευτά, διότι παρὰ τοῖς ἐν Πόντῳ Ἕλλησι, καὶ τίς οἶδεν ὅπου ἀλλαχοῦ, εἰσέτι ἀμαράντως ἀκμάζουσιν.

3. Τὰ Ἡσιόδου ποιήματα οὐκ εἰσὶ κοινὸν τοῦ ἔθνους ἀνάγνωσμα οὐδὲ δίδαγμα ἐν ταῖς σχολαῖς· ὅθεν ὅστις ἂν λάβῃ μετὰ χεῖρας τὸ βιβλίον βεβαίως περὶ τὰ φιλολογικὰ σπουδαιότερον ἀσχολεῖται.

4. Κατὰ τὸν ἐν τῷ προγράμματι ὀρθότατον διορισμόν, ἡ Βιβλιοθήκη ἐκδίδοται οὐ μόνον τῶν Ἑλλήνων ἕνεκα, ἀλλὰ καὶ τῶν ἀναρίθμων Ἑλληνιστῶν χάριν, καὶ τῇ ἀληθείᾳ ἕως τῆς σήμερον τὰ πλείονα ἀντίτυπα τῶν ἤδη ἐκδεδομένων δύο τόμων τῆς Ζωγραφείου Βιβλιοθήκης ἐπωλήθησαν εἰς τὴν Εὐρώπην καὶ Ἀμερικήν.

5. Τοῖς παλαιοῖς ἐξηγηταῖς οἱ τῆς Ἑλλάδος φιλόλογοι νῦν ἔτι συμβουλεύονται ὡς συναδέλφοις, καὶ μάλιστα οἱ διαπυρότατοι ὑπερασπισταὶ τῆς καθωμιλημένης γλώσσης ταῖς ἰδίαις ἑαυτῶν σημειώσεσιν ἐγκατασπείρουσι σχόλια τῶν παλαιῶν ὅλῳ τῷ θυλάκῳ.

6. Λαμπρὰ δὲ παραδείγματα, τέλος πάντων, χρησιμεύουσιν ὁ τοῦ ἀοιδίμου Κοραῆ Ἰσοκράτης καὶ ὁ Βα-

(1) Ὁ περίφημος γραμματικὸς τοῦ Ἀθήνησι Πανεπιστημίου Κ. Σ. Κόντος προθύμως μ' ὡδήγησεν εἰς τοὺς λογισμοὺς τούτους.

σιάδου Δημοσθένης καὶ τὰ Φιλίππου Ἰωάννου Φιλολογικὰ Πάρεργα.

Ἐπὶ τούτων στηριζόμενος, ἐξέλεξα τὸ ὕφος, δι' οὗ τὸ ἔθνος μετὰ τὴν τῆς Κωνσταντινουπόλεως ἅλωσιν μέχρι τοῦ Κοραῆ ἐμυεῖτο τὰ σεμνὰ τῶν γραμμάτων μυστήρια, παλαιὸν δηλαδὴ κατὰ τοὺς τύπους ὕφος, ὅπερ ἕκαστος ἐννοήσει, διότι οὐ μεταχειρίζομαι εἰμὴ τὰς παρ' ἡμῖν συνήθεις λέξεις καὶ παραλαμβάνω τοὺς τῆς συντάξεως νόμους ἀπὸ τῶν μεταγενεστέρων, οἳ ἀπὸ τῶν Ἀττικῶν πρὸς τὴν τῶν νεωτέρων συνήθειαν παρεξέκλιναν· π. χ. τὸ ἡμῖν ἀπαραίτητον μόριον λοιπὸν ηὕρηται ἤδη κατὰ τὸν πρῶτον μ. Χ. αἰῶνα ἐν τῷ Περὶ τοῦ ὕψους ἀνωνύμῳ συγγράμματι (1) καὶ ἐν ἐπιγραφῇ ἐκδοθείσῃ ὑπὸ Κουμανούδη 3507, 5· πρβλ. Kaibel, Epigrammata Græca 588, b. 646, a. 2· ἔτι δὲ πλειστάκις ἐν ταῖς τοῦ ἁγίου Χρυσοστόμου ὁμιλίαις κά. Πρὸς τούτοις ὁ μετὰ τὰ οὐδέτερα πληθυντικὸς τοῦ ῥήματος ἀνέρχεται εἰς παλαιοὺς λίαν χρόνους, καί, ἐπειδὴ ἀποσοβεῖ παρεννοήσεις, ἐπιτηδειότερός ἐστιν ἢ ὁ ἑνικός.

Ὅτι δὲ ἧττον εὔληπτος γίνεται τοῖς Ἕλλησιν ἡ ἔκδοσις διὰ τὸν ἀρχαϊσμόν, τοῦτο ἀναπληρώσειν μέλλομεν, κατὰ τὸ πρόγραμμα ἐμπλέκοντες καὶ δημώδεις λέξεις ἐξηγήσεως χάριν καὶ ἀναπαραβολὰς πρὸς τὰ νεώτερα τῶν ἀρχαίων μύθων, δεισιδαιμονιῶν, ἐθίμων, παροιμιῶν, φράσεων, ὅσας οὐδεμία μέχρι τοῦδε ἁπλῆ ἐξήγησις παρέχει· ὥστε ὁ Ἕλλην ἐν ἑκάστῃ σελίδι πολλῆς ἀπολαύσεται ἡδονῆς αἰσθανόμενος τὸν στενὸν δεσμόν, ὅς συνδέει τὸν παμπάλαιον ποιητὴν μετ' αὐτοῦ.

Ἡσίοδος μάλιστα δῆλα δὴ ἐπιτήδειός ἐστι πρὸς ἀντιπαραβολὴν τῶν νεωτέρων, ἐπειδὴ ἡ ποίησις αὐτοῦ δημώδης τίς ἐστι καὶ τὰ Ἔργα οὐκ ἐννοεῖ ἐντελῶς ὁ μὴ γινώσκων τὴν φύσιν καὶ τὸν βίον τῆς Ἑλλάδος. Διὸ παντὸς κόπου καὶ μόχθου ἀφειδῶν, πρῶτον μὲν ἐμελέτησα τὰ περὶ τῶν ὑπὸ τῶν νεωτέρων σῳζομένων ἀρχαιοτροπιῶν συγγράμματα, τὰ γεωπονικά, ἐν οἷς μάλιστα τὸ πόνημα τοῦ ἰατροῦ Ἰ. Π. Πύρλα («Γεωργικὴ

(1) Ἴδε Wilamowitz ἐν τῷ Ἑρμῇ 10, 336 ὑποσημ.

καὶ οἰκιακὴ οἰκονομία». Ἀθήν. 1885), ὅπερ ἔλαβον παρὰ τοῦ συγγραφέως, πολλὰς περιηγήσεις τῶν Ἑλληνικῶν χωρῶν (1). πολυπληθῆ δημώδη ποιήματα, παραμύθια, γλωσσάρια. Ἔπειτα ἔπλευσα καὶ δεύτερον εἰς τὴν Ἑλλάδα, ὡδοιπόρησα εἰς τὴν τοῦ ποιητοῦ πατρίδα, ηὐμοίρησα τῆς βοηθείας πολλῶν ἀνδρῶν ἐμπείρων. Ἐκ μὲν τῶν ὁμοφύλων μου μετοίκων τῶν Ἀθηνῶν ὁ M. Deffner μετ' ἐξαιρέτου σπουδῆς καὶ εὐνοίας παντοδαπὰς σημειώσεις μοι ἐχορήγησε καὶ ὁ Th. von Heldreich τὰ ἐπιτετμημένα μοι ἐκ τῶν δοκίμων συγγραμμάτων αὐτοῦ ἀπὸ στόματος συνεπλήρωσεν. Οἱ δὲ Ἕλληνες, οἷς χάριτας ὀφείλω, ἐκ διαφορωτάτων τάξεών εἰσιν. Δημήτριος Κεφαλᾶς, πρῴην μὲν ἀγροφύλαξ, νῦν δὲ πρόξενός πως τριῶν χωρίων τῶν πέριξ, συμπίνων τὸ Ἀραβικὸν ποτόν, πρᾴως ὑπέμεινε τὰς ἐρωτήσεις τοῦ περιέργου Γερμανοῦ καὶ πρὸς πολλαῖς περὶ γεωπονικῶν ἀνακοινώσεσί μοι παρέσχε μικρὸν τύπον Ἑλληνικοῦ ἀρότρου. Ἐν δὲ Ἐρημοκάστρῳ Μελέτιος Μελισσάρης, ἔμπιστος φύλαξ τῶν Θεσπιακῶν ἀρχαιοτήτων, συστάσει τοῦ σεβαστοῦ Στ. Ἀ. Κουμανούδη, ὅσπερ καὶ ἄλλως τὴν πρὸς τὸν ἐκδότην εὔνοιαν διεδήλωσεν, ὁμοίως μετὰ συνέσεως τὰ τοπογραφικὰ καὶ φυσικὰ ζητήματα διεσαφήνισεν. Ἐκ τῶν λογίων τὰ μάλιστα Εὐάγγελος Κ. Κοφινιώτης, ὡς καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἰωάννης, πρῴην γυμνασιάρχης ἐν Ναυπλίῳ καὶ νῦν καθηγητὴς ἐν τῷ Ἀθήνησι Πρακτικῷ Λυκείῳ, πάντα κάλων εἵλκυσε καὶ ἑλκύει, ἵνα τῆς Ἑλλάδος καὶ τῶν Ἑλλήνων μνείαν εὐάρεστον ἔχων διατελῶ. Τοιουτοτρόπως κατώρθωσα συλλέξαι δαψιλεστάτην ὕλην, ἥτις ὅμως, ὥσπερ ἐμαυτῷ σύνοιδα, οὔτε ὁλοτελής ἐστιν (2) οὔτε σφαλμάτων ἀπήλλακται. Τοὺς παραλληλισμοὺς τού-

(1) Πρὸ πεντήκοντα γὰρ ἐτῶν λόγιοι πλεῖστα ἐσημειώσαντο ἐξηφανισμένα καθ' ἡμᾶς, μάλιστα δὲ σιδηρόδρομοι καὶ ἀτμόπλοια ἐν τῷ νῦν ἄρχονται ἀναλύοντες τὸ ποιητικὸν καὶ ἁπλοϊκὸν τῶν ἀρχαίων παραδόσεων εἰς καπνόν.

(2) Ὁτιοῦν συμπλήρωμα παρ' οὑτινοσοῦν ὑποδέξομαι εὐχαρίστως. Ἐν παρόδῳ. Οὐδείς μοι ἐπιτιμήσει ὅτι, χάριν βραχυλογίας, ἐπὶ Ἑλληνικῶν ἐνίοτε τῷ πρώτῳ προσώπῳ χρῶμαι.

τους κατ' ἀρχὴν μὲν οἷον ὀφείλων κατὰ τὸ πρόγραμμα τῆς Βιβλιοθήκης συνέλεξα, μετ' ὀλίγον δὲ ἀφηρπάσθην τῇ τοῦ ἔργου περιεργίᾳ, ἀναβλέπων ἀπὸ τῶν βιβλίων πρὸς τὸν βίον, ὅσπερ, ὑπὸ τὸν αὐτὸν φαιδρὸν οὐρανόν, ἀνέκαθεν εἰς πολλὰ ταυτοτρόπως διάγεται. Μεταξὺ τοῦ Ἡσιόδου καὶ τῶν νεωτέρων καθέστηκε διάστημα πολλῶν αἰώνων, ὅθεν ἀναφέρομεν οἷον μεσίτας μεσαιωνικοὺς συγγραφεῖς, ἐπειδὴ οὐ συγκατατιθέμεθα τοῖς ἀψηφοῦσιν ἢ ἀποστυγοῦσιν ἅπαντας τοὺς Βυζαντίνους ἄνευ ἀκροάσεως.

Ἡ εἰκὼν παρίστησι σελίδα τοῦ Παρισίνου κώδικος, οὗ ἐν σ. 387 μνείαν ἐποιησάμεθα. Ἐνταῦθα μέν, στενοχωρούμενοι, λέγομεν περὶ αὐτοῦ τὰ ἀναγκαιότατα, ἄλλοθι δὲ διὰ πλειόνων αὐτὸν περιγράψομεν, ὥσπερ καὶ τὰ ἐκ τοῦ αὐτοῦ (ιβ') αἰῶνος ὑπολείμματα τοῦ ἀρχαιοτάτου χειρογράφου (τῶν σχολίων, Paris. Supplément grec 679, φύλλ. 22. 23). Ἐξ ἐκείνου, ὅς περιέχει Θ. 72-145. 450-504 καὶ Ἀσπ. 75-298, ἀναφέρειν ἀπέρισσον τὰ ἑξῆς· Αἱ εἰκασίαι «Ῥείη δὲ δμηθεῖσα» (Θ. 453) καὶ «ὀχέων» (Ἀσπ. 93) διαβεβαιοῦνται τῷ κώδικι. Ἔτι δὲ σημειωτέον τὰς γραφάς· Θ. 141: τ' λείπει, Ἀσπ. 89: φρένα, 158: κατ' ἀμ(μ)όθεν εἷλκε, 189: οἵ τε, 204: ἀγοραί, 264: καὶ ἐχθρή, 274: ὀρυμαγδὸς ὀρώρει, 297: πολ(λ)ύφρονος. Πρὸς τούτοις, ὁ κῶδιξ περιέχει φύλλον δευτέρου ἐκ τοῦ ιβ' αἰῶνος χειρογράφου, ὅπερ ἐπήγασεν ἐκ τοῦ αὐτοῦ ἀρχετύπου. Τὰ ἀποσπάσματα ταῦτα Μηνᾶς Μινωΐδης ἐκ τῶν τοῦ Ἄθω μονῶν ἐξήγαγε πρὸς τὴν Γαλλίαν. Εὐνοίᾳ τῶν προεστώτων ἀμφότερα τὰ χειρόγραφα κατὰ σχολὴν ἐμελέτησα ἐν τῇ ἐνταῦθα βιβλιοθήκῃ.

Ἐπειδὴ οὐκ εἶδον τὰ τυπογραφικὰ δοκίμια, ἔτι δὲ γράφω ἄλλως ἢ οἱ Ἕλληνες ἐν τοῖς σχολείοις ἀσκοῦνται, γίνεται χρεία διορθώσεων·

Ἐν τῷ *κειμένῳ* γραπτέον *Θεογ.* 8: ποσσί, 26: οἷον, 93: οἷάτε, 199: περικλύστῳ, 280: ἀπεδειροτόμησε, 307: τ' (οὐχὶ τε), 310: φατεῖον, 332: καί, 951: ἶς, 453: Ῥεία, 459: ὥς τις, 617: εἶσχεν (ἴδε τὴν κριτικὴν εἰς Ἔ. 217

σημ.), 632 καὶ 633: οἵ, 661: ἀτενεῖ, 731: πελώρης ἔσχατα, 747: χέρεσσι, 874: θυίουσιν, Ἔργ. 13: ἤ, 14: Ἤ, 36: δίκης, 39: δικάσσαι, 68. 77. 84: Ἀργεϊφόντην, 69: οἵ, 84: κλυτὸν, 150: χάλκεα, 173: τρὶς, 180, οὐχὶ 18, 226: μήτι, 251: θεῶν, 278: ἔστιν (στικτέον ἀντὶ 329 ἐν τῷ τοῦ 328 τέλει), 378: ἐγκαταλείπων 385: αἵ, 394: μετάζε, 510: βήσσης, 587: ἐπεὶ, 620: ἠεροειδέα, 716: κακῶν, 802: ἐπεὶ, Ἀσπ. 143: διὰ, 203: ἰσσώσαντο, 461: διὰ. *Κατὰ τὴν προαίρεσίν μου ἐκτυπωτέον ἦν τὰς κατὰ τμῆσιν προθέσεις χωρὶς τόνου*, ἀλλ᾽ ἐπειδὴ τοῦτο οὐκ ἐγένετο, ὁ κατ᾽ ἀναστροφὴν τόνος, οἷον *πέρι* Θ. 59, δηλούτω τὴν τμῆσιν.

Ἐν ταῖς *εἰσαγωγαῖς* καὶ *σημειώσεσι* διορθωτέον τὰ ἑξῆς· Σ. 3: Κατὰ τὸ παρελθὸν ἔτος ἡ Γαλλικὴ Σχολὴ ἀνέσκαψε μέρος τοῦ ἱεροῦ τῶν Μουσῶν τεμένους, ὅπου καὶ θεμέλια ναοῦ (;) καὶ θέατρον ἀνηῦρεν. 4 ὑποσ. 2: σχέδια] γρ. σχόλια. 18 στ. 2: τί] ὅ,τι. 19 στ. 13: βοωτεῖν, 19: Τρῳάς, 27 στ. 5: αἰνεσάμενον, σ. 29: « Mæonium Ascræumque senem » (Statius, Silvæ 5, 3, 26), 31, 1: μαχαιρίου (32, 1 ἐξάλειψον τὴν σημείωσιν), 33, 1: Μελαμπόδειαν, 2: Χίρωνος, ὑποσ. 3: Ὁμοίως οὐκ ἀμφέβαλλον, 34 τελευτ. στ.: Hesiodus, 36, 7: πέντοζος, 37, 6: ἀβούτης, 38, 15: γεάσχον, 39 ἐπιγρ. στ. 4: ῥήσιες, 40 ὑποσ. 1: Ribbeck, καί, 41 ὑποσ. 4: rarissima, 42 ὑποσ. 4: interpretatur. Lang, 50, 3 (3)· μετὰ τὴν 3 ὑποσημείωσιν θετέον ὑποσ. 3 α) πρὸς τὸν 6 στ. « Παυσαν. 9, 20, 4 »· ὑποσ. 5: εὐτρήρωνα. Σ. 55: Τὸ Πινδαρικὸν χωρίον ἐπιτηδειότερον ἀναφέρεται πρὸς τὸν Πηλέως γάμον.

ΘΕΟΓ. 6: Maschi = Μαδί, 9: Οἱ νεώτεροι πεποίθασιν, ὅτι αἱ στρίγλαι καὶ αἱ ἀρσενικαὶ Λάμιαι ἀποκρύπτονται ἀμαυραῖς νεφέλαις (Hahn, Märchen, ἀρ. 65. 66), 41, στ. 25: αὐτῶν, 50 στ. 8· Ὀβέλισον « Φιλ. Σύλλ. », 57. Ὁ δεύτερος μηνίσκος τιθέσθω ὄπισθεν τοῦ γάμος, 87· Ἀναγνώστης τις τοῦ λεξικοῦ τοῦ Ζωναρᾶ ἐσημείωσεν εἰς τὴν ᾤαν λ. αἶψα « ἢ παρὰ τὸ *ἀψὰ* πλεονασμῷ τοῦ ι ». 91, 14 ζ] j. 95, γρ. τὸ πρῶτον 94: Μουσοτρεφής, κιθαριστῶν. 123: τ. Λ] τ. Α´, 124: Ἐν τῇ πρὸς βορρᾶ Εὐβοίᾳ μυθολογοῦσιν, ὅτι γραῦς ὑπεράνθρωπος ἐπιφέρει τὴν ἡμέραν (Hahn, αὐτ. ἀρ. 52, σ. 286), 131 τελ. ἀναφαίνεται] ἀποξηραίνεται. 142· Περὶ τοῦ παρατατικοῦ ἔπιθι Θ. 845 καὶ Ἰλ. Ψ

572. *215*· Ἐξαλειπτέον τὸν ἀριθμὸν καὶ γραπτέον ἐν τοῖς ἑξῆς 215-6, 236, 1 παραλλάσσει. Ὅ,τι ἀναφέρομεν ἐκ Σόλωνος, ἀποτελεῖ τὸ 12 Ἀπόσπ. 245· Πρῶτος μεθ' Ἡσίοδον τὸ τῶν Νηρεΐδων κάλλος ἐξαίρει Statius (Silvæ 1, 2, 116)· γρ. Volksleben, 266, 3: δημοσιευθέντος, 269: Τρυφιόδωρος, 310: Guilletière, *318* ἐξέπεσε πρὸ τῆς *ἀγελείης*. 320: lumina, 335 τελ.: πορτοκαλλιάν, 355: 1554, 382 προπαραληγ. στ.: ἠερέθονται. 408· Ἐξέπεσε τὸ ἀξιολογώτατον παράδειγμα « ὀλοώτατος ὀδμή » (Ὀδ. δ 442), 438, 7: εὐτελέστεροι, 440, 8: ἀποθρῴσκων, 450, 4 ἀπὸ τοῦ τέλους: μετ' ἐκείνην, 478, 9: εὐκολώτατ' ἄν, 483: περὶ τοῦ ἱεροῦ ἄντρου ἔπιθι Museo d'antichità ἔτ. Β', τ. γ' (Halbherr e Orsi, Antichità dell'antro di Zeus sul monte Ida in Creta, μετὰ ιθ' πινάκων), 509: ὀλοόφρων, 522: Preller, 558: ἀπού, 563 (πυρὸς μένος) Ἀλκινόοιο, σ. 148 πρὸ τοῦ λήμματος « δαιδαλέην » ἐξέπεσε 575, 605: μὲ δίχα, 709: συνέχεαν, 723. « τὸ » πρὸς « νεφέλη », 764 τελ. «ἦτορ οὐ παρ.», 766· ἀνακολούθως γέγραπται· ἄμεινον ἂν εἶπον « Καὶ δὲ ὡς δ. ἕ., τὸν πρ. », 778: ὄρους Ὄχης, 796, 4: ἐπιψαύω, 826, 5 «Ἰλ. Θ 455: πληγέντε», 963, 2: ἐκείνης — ταύτης, 977. παραληγ. ἐξάλειψον Ἀθήνησι, 990 'ταλικὸς = Ἰταλικός, 991 τελ. Πλουτ. Ζητ. Ἑ. 6.

ΕΡΓ. 4. Οὐδὲ τὸ *ῥητοί* παρὰ τὴν τῶν Βοιωτίων συνήθειαν εἴρηται· ἐν ἐπιγραφῇ (Collitz 530) ὀνομάζεται Πολύρειτος, 10· ἀντὶ τοῦ 16, προπαραληγ. ἐτήτυμα, 11 προπαραλ. ὀβέλισον τὸ ἐν. 18 σ. 212 «1880, πίν. G.», 21,3 τὸ ἐρωτηματικὸν ἔσφαλται. 41 σ. 217: Nutzpflanzen. Βυζαντῖνός τις παραινεῖ ἐν χειρογράφῳ τῆς ἐν Μονάχῳ βιβλιοθήκης (ἀρ. 490 φ. 147) «ἀφικτέον δὲ τοῦ τρέφεσθαι μαλάχῃ». Ἡσύχιος χορηγεῖ τὸ σχῆμα *σφόδελος*. 58,11: ἐστίν. 65,14 οὐχὶ +, 65 προπαραλ.: πίθοι, 95, 2 καὶ 257: Μακηδόνιον, 98, 4 πρὸς τὸ Εὐριπίδου ὄνομα πρόσθες « Ἀπόσπ. 73,1», 108, στήλ. β', στ. 10 διόρθωσον τὴν στίξιν· χρύσεον] στ. 5 ἐκβλητέον τὸ κ'. 141: Inscriptionum 150: μέλας] Τὸ ἐρωτηματικὸν μετάθες ὄπισθεν τῆς παρενθέσεως, 203: Παιδαγωγῷ, 219 τελ. Inscriptions. 220, 2 Σχόλ. 3 θετέον κόμμα ἀντὶ τοῦ κώλου· 231 (οὐχὶ 909). 233· Διασκεπτώμεθα καὶ τὰς Διὸς βαλάνους καὶ ὅτι ὁ Σιβυλλικὸς ποιητής, ἀπομιμούμενος Ἡσίοδον, ἐν τοῖς Θεοῦ δώροις ἐγκαταριθμεῖ «(δένδρεά τ') ἀκροδρύων καρπόν». 246: klassischen.


302· Διστάζω πάλιν περὶ τῆς τοῦ σχολίου ἐννοίας· ἆρά γε ἀναφέρεται πρὸς τὴν λέξιν σύμφορος· ἤ, φησί, τίθεται ἐπὶ συζύγων; 311, οὐχὶ «ἤκμαζον», ἀλλ' «ἠτίμαζον», 321, 5: ἰχθυσι-ληπτῆρα. 336: παρὰ Φλέγοντι, 349 παρακαταλ. 3: κἔπαιρνε, 377, 11 ἴδιος] γρ. δῖος, 384: Jahrzeiten, 395, 6: ἁπλῆν, 442 σ. 268 τελ. ἐξέπεσε τὸ, 443, 2: σιδηρᾶ, 526: Strabonianæ, 541, 10: εὐχροές, 544: ἀντικαθίσταсαν. 549 σ. 283 παραλ. ; ἀντὶ τοῦ κόμματος, 562· γράφε 574 ἀντὶ τοῦ 577, 569· Πρὸ ὀλίγου Lerron ἐν τῷ γαλλικῷ συλλόγῳ τῶν φυσιολόγων διεβεβαίωσεν, ὅτι τῷ ὄντι χελιδόνες ἀπομένουσι καὶ κατακρύπτονται, ὅθεν ἡ αὐτὴ τῇ Ἑλληνικῇ δοξασίᾳ ἐν τῇ Γαλλίᾳ ἐρρίζωται, 571, 9: Ἀρκάδα, 589 σ. 289 στ. β', 15: Δήλιον. Ἐν τῷ Γαλλικῷ χωρίῳ ἀναγνωστέον: meilleur, 596: ἐν τῷ λήμματι περισσὸν τὸ ἄρθρον, 598 προηγ. τοῦ προπαραλ. ξηνεμίζω, 617: Kaibel, 638, 6: διὰ, 673, 3: οἶκόνδε, 686, 3: τὠργύριον. 698, σ. 303 β, 5: ψάλλει] γρ. κινεῖ, 18: φιλοσόφοις. Πρὸς Ἔ. 767 παρελίπομεν παραλληλισμόν, ὅνπερ χορηγεῖ ἡ Κρητικὴ κωμῳδία «Στάθης»· ὁ Στάθης γοῦν λέγει πρὸς τὸν ὑπηρέτην (πρ. Α', σκ. ε', 179): «Πᾶσα ὄντας ἦνε ἀρχιμενιά, τέσσερες λίτρες 'παίρνεις». Ἔ. 778: Σῖτον συλλέγουσι δύο γένη τῶν μυρμήκων, ζῶντα κατὰ τὴν πρὸς νότου Εὐρώπην, Aphænogaster structor καὶ Aph. barbara.

Ἀσπ. 30, 8: βυσσόφρων, 32, 11: Λυκόφρονα, 39, 8: πολυκτεανώτατον.

Ἄλλα καταλείπομεν τῇ ἐπιεικείᾳ τῶν ἀναγνωστῶν.

*Ἐκ Μονάχου, τῇ ἑορτῇ τοῦ ἁγίου Γεωργίου.*

Κ. ΣΙΤΤΛ.



# ΕΙΣΑΓΩΓΗ

Ὥσπερ ἡ τῆς Ἑλλάδος φυσιογνωμία οὐ μονοειδής ἐστιν, ἀλλὰ γοητευτικῶς ἀλλοιοῦται κατὰ τὰς ἐπαρχίας, οὕτως καὶ τὸ ἔθνος διῄρητο τὸ πάλαι εἰς φῦλα, ἅτινα ἀλλήλων διέφερον εἴς τε τὸ ἦθος καὶ τὴν διάνοιαν. Τοιαύτη τις διαφορὰ φυσικὴ καὶ διανοητικὴ οὐδαμοῦ ἴσως διαπρεπεστέρα καὶ ὀξυτέρα ὑπῆρχεν ἢ μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας. Ἐκείνης μὲν γὰρ ἡ λεπτὴ καὶ ξηρὰ γῆ ὑπὸ φαιδροτάτῳ οὐρανῷ ἐξέτρεψε τοὺς κατοίκους πρὸς ἐπιμελεστάτην καὶ λεπτοτάτην τῶν φυσικῶν δώρων κάρπωσιν. Πρὸς δὲ βορρᾶν τοῦ Κιθαιρῶνος ἐκτείνονται ἀγροὶ καὶ λειμῶνες εὔυδροι, ὅπου ὁ σῖτος δαψιλέστερον ἢ ἀλλαχοῦ ἐφύετο· ἔτι δὲ ἡ χώρα ἀφθόνως ἔφερεν οἶνον καὶ ἔλαιον καὶ λάχανα. Οὐδαμῶς ἄρα θαυμαστὸν ὅτι οἱ Βοιωτοί, πολλὰ ἐσθίοντες, διότι καὶ εἶχον πολλὰ ἐσθίειν, πολυσαρκότεροι ἦσαν ἢ οἱ λιτοδίαιτοι Ἀθηναῖοι καὶ ἐν Σκώλῳ ἔθυον τῇ Μεγαλάρτῳ καὶ Μεγαλομάζῳ Δήμητρι(1). Εἰ δὲ καὶ τὸ λεγόμενον «Βοιωτία ὗς» φθόνου οὐκ ἐκαθάρευεν, ὅμως καὶ ὁ φιλόπατρις ἱστοριογράφος Ἔφορος (2) ὁμολογεῖ ὅτι οἱ Βοιωτοί, ἀμοιροῦντες τῆς Ἀττικῆς πολυπειρίας, περὶ πολεμικῆς καὶ ἀθλητικῆς μόνον σπουδαιότητος ἐφρόντιζον καὶ τῆς τῶν γειτόνων καλλιεπείας πολὺ ἀπελείποντο. Διὸ οἱ Ἀθηναῖοι οὐ πάνυ ἀδίκως, οἶμαι, ἀπεκάλουν αὐτοὺς ἀμαθεῖς καὶ ἀναισθήτους· ἥτις πρόληψις οὐδὲ νῦν, ὡς πληροφοροῦμαι, ἐξέλιπεν. Ὅπως δὲ καὶ ἂν τοῦτο ἔχῃ, οἱ ἐκ ταύτης τῆς χώρας ἐκβλαστόντες ποιηταὶ φύσει, ἐννοεῖται, πολὺ ἀνόμοιοι ἦσαν Ὁμήρου, τοῦ ζωηροτέρου καὶ λεπτογνωμονεστέρου Ἴωνος.

Ἡ τοιαύτη λοιπὸν χώρα Πίνδαρον μὲν ἤνεγκε τοῖς Ἕλλησι,

(1) Τοῦτο μαρτυρεῖ Πολέμων παρ' Ἀθηναίῳ ἐν Δειπνοσοφ. 10,416 c.
(2) Παρὰ Στράβωνι 9, 2, 2 σ. 401.

μᾶλλον δὲ ἁπάσῃ τῇ ὑφηλίῳ, ἔθρεψε δὲ καὶ ἀοιδόν, ὅστις, καίπερ ἐκείνου ὑστερῶν εἰς τὴν ἐξαίρετον μεγαλοφωνίαν, σεμνοπρεπὴς ἐγένετο τῇ τε παλαιότητι καὶ ἠθικότητι. Ὅπως ἐννοήσωμεν τὸν τοῦ ποιητοῦ χαρακτῆρα, ἀνερευνήσωμεν καὶ μικρολόγως ὅσα σχετίζονται πρὸς τὰ ἐπιτηδεύματα καὶ τὸν βίον αὐτοῦ. Παραδέδονται μὲν οὖν περὶ τῶν ἀρχαίων ποιητῶν δυστυχῶς τοσούτῳ ὀλιγώτερα ὅσῳ πλείονα περὶ πολλῶν νεωτέρων, οἵ γε κάλλιον ἂν ἔμειναν ἀφανεῖς «καὶ ἔλαθον βιώσαντες»· ὁ δὲ Ἡσίοδος οὐκ ἦν δυσέντευκτος, ὥσπερ ὁ Μαιονίδης. Αὐτὸς γὰρ διὰ πλειόνων διηγεῖται, ὅτι ὁ πατὴρ (οὗτινος ἀπεσιώπησε τὸ ὄνομα) ἐν Κύμῃ, πόλει περιφανεῖ τῆς ἐν τῇ Ἀσίᾳ Αἰολίδος, γεννηθείς, δι' ἀπορίαν χρημάτων ἠναγκάσθη διαπλεῦσαι τὴν θάλασσαν ἐμπορίας ἕνεκα, ὕστερον δέ, ἀφεὶς τὸν κινδυνώδη βίον τοῦτον, ὡς ἀναπαυστήριον ἐξελέξατο Ἄσκραν (1), κώμην τινὰ ἐν τοῖς πρὸς ἕω προποδίοις τοῦ Ἑλικῶνος κειμένην, ἣ ἀνῆκεν εἰς Θεσπιὰς ἢ Θέσπειαν, Βοιωτῶν πολίχνιον (2). Ἡσίοδος, ὅσον ἐπ' αὐτῷ, τὴν πατρικὴν κληρονομίαν φιλοπόνως καὶ ἐπιμελῶς διώκει, οἱ δὲ αὐτῷ συζῶντες ἐτάρασσον τὴν εἰρήνην τῆς διαίτης ταύτης. Οὐ μόνον γὰρ Πέρσης, ὁ ἀδελφὸς αὐτοῦ, πρὸν ὃν διεμοίρασε τὴν κληρονομίαν ἀδελφικῶς μετὰ τὸν τοῦ πατρὸς θάνατον, ἅτε φυγόπονος ὤν, συκοφάντου δίκην, ἀπὸ τῶν ἀλλοτρίων πλουτίζεσθαι διενοεῖτο, ὅπερ κατ' ἀρχὰς μὲν διὰ τῶν δωροδόκων ἀρχόντων ἐπετύγχανε, μετ' οὐ πολὺ δὲ καταστροφὴν τοῦ ἔχειν ἐπάξειν ἔμελλεν. Ἀλλὰ περὶ τούτων ἀκριβέστερον ζητητέον ἐν τῇ τῶν Ἔργων καὶ Ἡμερῶν ἐξηγήσει. Ὁμοίως καὶ ἡ σύζυγος τῷ ποιητῇ, ὡς φαίνεται, οὐδεμίαν παρεῖχε χαρὰν εἰ μή, υἱὸν τίκτουσα (Ἔ. κ. Ἡ. 271)· πανταχοῦ γὰρ τῶν ποιημάτων αὐστηρῶς διασύρει τὸ τῶν γυναικῶν φῦλον. Οὐκ ἄνευ λόγου ἄρα μετὰ σκυθρωπότητος καὶ μάλιστα ἐνίοτε μετὰ μισανθρωπίας τὰ τοῦ κόσμου θεωρεῖ. Τὸ δὲ μέγιστον, ὁ Ἀσκραῖος οὐκ ἦν ἐκ τῶν ῥαψῳδῶν τῶν πλανωμένων περὶ τὰς ὀψοφόρους τραπέζας τῶν ἀνάκτων καὶ δυναστῶν, ἀλλὰ γεωργὸς ἀδιακόπως τὸν ἑαυτοῦ ἀγρὸν κατεργαζόμενος, ὅστις ἀνάπαυσιν μόχθων,

(1) Τὸ ὄνομα σημαίνει καθ' Ἡσύχιον «δρῦς ἄκαρπος»· ὁμοιάζει ἄρα τῷ καθ' ἡμᾶς *Γράνιτσα* καὶ πολλοῖς ἄλλοις τόπων ὀνόμασιν ἀπὸ φυτῶν παρηγμένοις.

(2) Τὰ ἐρείπια κεῖνται εἰσέτι ὑπὸ τῷ χωρίῳ Ἐρημοκάστρῳ.

καὶ δὴ καὶ μελαγχολίας θεραπείαν, ἐζήτει παρὰ τῶν Μουσῶν.

Αὕτη ἡ θαυμασία συναρμογὴ ἀνομοιοτάτων σπουδῶν καταλαμβάνεται ἐκ τῆς χώρας ἐκείνης, ἐν ᾗ ἀνετράφη ὁ νέος. Ἀπὸ θείας, ἀληθῶς, βουλῆς ὁ πατὴρ αὐτοῦ τὴν ὑποκάτω τοῦ Ἑλικῶνος κοιλάδα ἐξέλεξεν. Ὁ Ἑλικὼν γοῦν, ἐκτεινόμενος ἀπὸ τῶν τοῦ Παρνασσοῦ παραφυάδων μέχρι τῶν τοῦ Κιθαιρῶνος προπόδων, ἀφιέρωτο ταῖς Μούσαις, αἳ ἡμικυκλίῳ τινὶ ὑπὸ τῶν Δελφῶν, Ὀρχομενίων, Κορωναίων, μάλιστα δὲ ὑπὸ τῶν Θεσπιέων ἐλατρεύοντο. Ἐν τῷ ἔσωθεν τέρματι τῆς κοιλάδος, ὅπου εἰσέτι ἓξ ἔρημοι ἐκκλησίαι ἁγιάζουσι τὸν τόπον, ἐπεφύκει εὐθαλὲς ἄλσος, ὅπερ ὕστερον μὲν ἐξεκοσμήθη ἀγάλμασι καὶ ἄλλοις ἀναθήμασιν, οὐδέποτε δὲ ὑπεδέξατο ναόν, ἀλλ' ἀνέκαθεν μετὰ ἀγροικικῆς ἁπλότητος τὰς θυσίας προσφέροντες διετέλουν ἐπὶ βωμῶν ὑπαίθρων. Ἀλλ' οἱ Θεσπιεῖς οὐχὶ μόνον θυμιάματα καὶ ἱερεῖα τῶν Μουσῶν χάριν κατέκαιον, ἀλλ' ἐτίμων αὐτὰς καὶ δι' ὧνπερ αὐταὶ ἐδωροῦντο χορῶν ἐν τῇ πανηγύρει ἀγωνιζομένων (1). Τούτου τοῦ τόπου οὐκ ἦν ὅπως ἄλλος ἐνεργότερον ηὔξησε τὴν τοῦ νέου γεωργοῦ εὐφυίαν. Τὰ μὲν πολλὴ εὐκαιρία ὑπῆρχε τοῦ ἀκούειν καὶ μανθάνειν ᾄσματα, τὰ δὲ τὸ μυθῶδες τῆς χώρας ἐκίνησε τὴν ποιητικὴν φαντασίαν. Αὐτὸς πάλιν ἐν τῷ τῆς Θεογονίας προοιμίῳ ἀφηγεῖται ὅτι ὑπὸ τῷ τῶν Μουσῶν ὄρει (ἴσως ὅπου νῦν ἔτι ἐπαύλιον ὑπάρχει ἐγγύτατα τοῦ ἱεροῦ ἄλσους) ἐποίμαινε πρόβατα. Ἐν τῇ μυστηριώδει ταύτῃ ἐρημίᾳ λοιπόν, εἴγε ἐξηγούμεθα ὀρθῶς τὴν ὑπόνοιαν τοῦ διηγηματίου, ἀπεστράφη τὴν ἄμουσον καὶ τρυφηλὴν δίαιταν τῶν ἄλλων ποιμένων καὶ ἀφιέρωσε τὸν ἑαυτοῦ νοῦν ταῖς Ἑλικωνιάσι θεοῖς· οὐδὲ τοῦ καθήκοντος μισθοῦ ἀπεστερήθη. Ὅτε γὰρ κατὰ τὸν ἐπιτάφιον ἀγῶνα Ἀμφιδάμαντος, βασιλέως τῆς ἐν Εὐβοίᾳ Χαλκίδος, τὸ ἀριστεῖον οἱ βραβευταὶ ἀπένειμαν αὐτῷ, εὐσεβῶς ἅμα καὶ εὐχαρίστως τὸν τρίποδα, ὃν ἔλαβεν, ἐν τῷ Ἑλικῶνι ἀνέθηκεν (Ἔ. κ. Ἡ. 654-659) (2).

Ταῦτα δὴ ὅσα ἐκ τῶν ποιημάτων συμπεραίνεσθαι ἔξεστιν· οἱ

(5) Ἴδε Ἀμφίωνα (ὃς « Περὶ τοῦ ἐν Ἑλικῶνι Μουσείου » βιβλίον συνέγραψε) παρ' Ἀθηναίῳ 14, 629 a καὶ τὴν ἐπιγραφὴν τὴν ἐν Corpus Inscriptionum Graecarum 3067 δημοσιευθεῖσαν.

(6) Τοῖς ἐν τῷ Ἑλικῶνι ἐπιδημοῦσιν ἐδεικνύετο τρίπους τις ἀρχαῖος, ἐπικαλούμενος Ἡσιόδου (Παυσαν. 9, 31, 3).

μεταγενέστεροι ὅμως, οὐ στέργοντες τὴν τῆς παραδόσεως λιτότητα, πολλαπλασίας προσέπλασαν ἱστορίας, κατὰ τὸ πλεῖστον μέρος ἀναπτυσσομένας ἐξ Ἡσιοδείων χωρίων. Αἴτιοι δὲ τῆς μυθοποιίας ἐγένοντο οὐ σπουδαῖοι γραμματικοὶ καὶ κριτικοί, ἀλλὰ ποιηταὶ καὶ ὁ ποιητικευόμενος ῥήτωρ Ἀλκιδάμας (1), ὧνπερ τὰ πλάσματα, ἅτε ἐν παλαιοτέροις βιβλίοις γεγραμμένα, μεθύστερον ὑπὸ τῶν ἀκρίτως ἱστορήματα συρραπτόντων ἐξισώθησαν τοῖς αὐτοβιογραφικοῖς. Ἐπισυνάπτομεν ἄρα ἐν τοῖς ἑξῆς, ὑποδηλοῦντες τὰς τῶν ἐπινοιῶν ἀφορμάς, τὰ διηγήματα κατὰ λέξιν, ὅπως μὴ ἀφανισθῇ ἡ ἰδιότροπος τῶν νοημάτων διάθεσις καὶ συνέχεια.

Τὴν πρώτην θέσιν καταλαβεῖν ἄξιός ἐστιν, εἰ καὶ μὴ κατὰ τὴν ἀξίαν ἢ τὸν χρόνον, ἀλλὰ κατὰ τὴν λεπτομέρειαν τοῦ λόγου *Ἰωάννης ὁ Τζέτζης*, ὁ πολυγράφος ἐκεῖνος Βυζαντῖνος, ὅς μετ' ἀπεραντολογίας, πολλὰ μὲν οὐδενὸς ἄξια ἐλήρησε, καὶ δὴ καὶ τεμάχιά τινα ἀπὸ τῶν δαψιλῶν δείπνων τῶν παλαιῶν ἀπήνεγκεν. Ἐξηγούμενος δῆθεν τὰ Ἡσιόδου Ἔργα προοιμιάζεται περὶ τοῦ βίου τοῦ Ἡσιόδου ὅσα ἐν τοῖς παλαιοῖς σχολίοις ηὗρε· κατὰ γὰρ τὸν δωδέκατον αἰῶνα πολλὰ ἔτι ἐσῴζοντο βιβλία γραμματικὰ ἐν ἑνί τινι χειρογράφῳ, οὗ κατὰ τοὺς μεθύστερον μιαροὺς πολέμους κατακαυθέντος, τὸ σύγγραμμα παντελῶς ἀπωλώλει. Ὁ Τζέτζης οὖν ἀπὸ τῆς γενικῆς εἰς Ἡσίοδον εἰσηγήσεως μεταβαίνει πρὸς τὸ

## ΓΕΝΟΣ ΗΣΙΟΔΟΥ (2)

1 Κεφ. Α΄. Οὗτος οὖν ὁ Ἡσίοδος σὺν τῷ ἀδελφῷ Πέρσῃ παῖς ἐγεγόνει Δίου (3) καὶ Πυκιμήδης (4), Κυμαίων Αἰολέων, πενή-

(1) Ἐρατοσθένης (ἴδε κατωτέρω) καὶ Εὐφορίων (ὡς λέγει Σουίδας) ἐποίησαν ποιημάτια, οἷς ἐπεγέγραπτο τὸ Ἡσιόδου ὄνομα· πρὸς δὲ καὶ Ἑρμησιάναξ ὁ χαρίεις ἐν ἐλεγείᾳ ἐρωτικῇ ἐμνημόνευσε τὸν Βοιωτὸν συνάδελφον.

(2) Τὰς κριτικὰς σημειώσεις καὶ τὰ ὑπὸ τοῦ συγγραφέως κατὰ τὴν συνήθειαν αὐτοῦ προστεθέντα σχέδια ἀναβάλλομεν εἰς τὸ παράρτημα.

(3) Οὗτος ὁ Δῖος ἐπινενόηται ἐκ τῆς προσρήσεως «δῖον γένος» (Ἔ. κ. Ἡ. 299), διότι τῷ γεωργῷ τοῦτο τὸ ἐκπρεπὲς ἐπίθετον οὐκ ἤθελον συγχωρῆσαι. Ταύτῃ τῇ γενεαλογίᾳ πρῶτος, ὅσον γε ἡμᾶς ἐπίστασθαι, ἐχρήσατο Ἔφορος ὁ ἱστοριογράφος (Ψευδοπλούταρχ. ἐν Γένει Ὁμήρου 1, 2). Ἀναλόγως Πολύζηλός τις ἀπὸ τῆς ἀντωνυμίας «τύνη» (Ἔ. κ. Ἡ. 10) ἔπλασε Τύνην ἢ Τύννην Χαλκιδέων βασιλέα.

(4) Τὸ Πυκιμήδης (ὅπερ καὶ ἐπιμαρτυρεῖ ἐκεῖνος ὁ Πλούταρχον ὑποκρινόμενος) ἄξιον τῆς μητρὸς τοῦ σοφοῦ πάνυ ποιητοῦ.

των ἀνθρώπων, οἳ διὰ τὸ ἄπορον καὶ τὰ χρέα τὴν ἑαυτῶν πατρίδα Κύμην ἀφέντες μεταναστεύουσιν ἐπὶ τὴν Ἄσκρην, χωρίον τῶν Βοιωτῶν δυσχείμερον καὶ κακοθέρειον, περὶ τοὺς πόδας κειμένην τοῦ Ἑλικῶνος, κἀκεῖ κατοικοῦσιν. Τοιαύτῃ δὲ πενίᾳ τῶν ἀνθρώπων συνεσχημένων (1), συνέβη τὸν Ἡσίοδον τοῦτον πρόβατα ἐν τῷ Ἑλικῶνι ποιμαίνειν. Φησὶ δὲ ὡς ἐννέα τινὲς ἐλθοῦσαι γυναῖκες καὶ δρεψάμεναι κλῶνας ἐκ δάφνης Ἑλικωνίτιδος αὐτὸν ἐπεσίτισαν (2), καὶ οὕτω σοφίας καὶ ποιητικῆς ἐμπεφόρητο. Ἀλλὰ τὰ μέχρι μὲν τούτων ἀτρεκῆ τε καὶ ἀληθέστατα ὅτι παῖς ὁ Ἡσίοδος Δίου καὶ Πυκιμήδης, καὶ ὡς κατὰ τὸν Ἑλικῶνα ἐποίμανε· τὰ δ' ἐντεῦθεν μεμυθηγόρηται καὶ ἀλληγορικώτερον λέλεκται. Ἢ γὰρ ἐν τῷ ποιμαίνειν περὶ τὸν Ἑλικῶνα καθευδήσας ὁ Ἡσίοδος ὄναρ εἶδεν ἐννέα γυναῖκας δάφνας αὐτῷ ψωμιζούσας (3)· ἐδήλου δὲ τὸ ὄναρ πάντως ὡς πικρίας καὶ πόνων μετεσχηκὼς τῆς παιδεύσεως ἀειθαλῆ γεννήσει ποιήματα. Ταῦτα (4) τοίνυν ὁ Ἡσίοδος ἢ ὄψει ὀνείρων τεθεαμένος, καὶ διυπνισθεὶς καὶ τὸ ποιμαίνειν ἀφεὶς καὶ πόνοις ἑαυτὸν ἐνδοὺς καὶ μαθήμασι, τὴν τῶν ὀνείρων ἐπίλυσιν ἐξεπέρανεν, ἢ περὶ τὸν Ἑλικῶνα ποιμαίνων ἐγρηγορὼς καὶ ἄϋπνος ὢν σύννους τε πρὸς ἑαυτὸν γεγονὼς καὶ πρέποντα νοῦν ἐσχηκὼς ἀποδιδράσκει μὲν τὸ εὐτελὲς καὶ ποιμενικὸν καὶ σκληρόβιον καὶ προσδραμὼν τῇ παιδεύσει καὶ πόνοις

(1) Σφαλερὰ ἡ γνώμη, ὡς εἰς Θ. 23 δηλώσομεν.

(2) Τὸ αὐτὸ παρέδοσαν ἄλλοι τῶν Βυζαντίνων, οἷον Νικηφόρος ὁ Συνέσιον ἐξηγησάμενος (σ. 371 d, ἔκδ. Petavius: δάφνης φύλλῳ θρεψάσας αὐτόν) καὶ ὁ αὐτοῦ συνώνυμος ὁ Χοῦμνος (ἐν τοῖς ὑπὸ Boissonade δημοσιευθεῖσιν Ἀνεκδότοις τ. Γ', σ. 385: τὸ τῶν Μουσῶν δαφνοφάγον θρέμμα) καὶ Ἰωάννης ὁ Γαλησιώτης (σ. 545: ἡ τοῦ φυτοῦ γεῦσις· 546: δάφνης ἀπογεύεσθαι). Οὐ μέντοι τούτους αἰτιώμεθα ὡς παρενενόουν τὸ *ἔδον* (Θ. 31), παράγοντες τὸν τύπον ἀπὸ ἔδ-(ομαι), ἀλλὰ ὑπηνίττοντο στίχον Λυκόφρονος, οὗτινος ἡ αἰνιγματώδης φράσις θαυμασίως κατεγοήτευε τοὺς τότε λογίους (στ. 6 δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα), ἵνα δηλαδὴ παρεκκλίνωσι τὸ ἤδη ἀγοραῖον «Μουσόθρεπτος», καίτοι κεχαρισμένον π. χ. Θεοδώρῳ τῷ Πτωχοπροδρόμῳ.

(3) Ψυχρὰ μὲν ἡ λογικὴ τοῦ ἀπολόγου ἑρμηνεία, ἡ δὲ αἰτία ἐστὶν οὐχὶ τοῦ Τζέτζη, ἀλλ' ἁπάσης τῆς ἀρχαίας θεολογίας καὶ μυθογραφίας. Τῷ ὄντι ἀπαντῶμεν τὴν αὐτὴν ἐξήγησιν παρὰ τοῖς φιλολόγοις τοῦ δευτέρου μ. Χ. αἰῶνος (Μάρκ. Αὐρήλ. πρὸς Φρόντωνα ἐπιστ. 1, 3) καὶ παρὰ Μαξίμῳ τῷ Τυρίῳ (διατρ. 38, 2. «Ἠνίξατο, οἶμαι, ὁ Ἡσίοδος τὸ αὐτοφυὲς τῆς αὐτοῦ τέχνης, ὥσπερ ἂν εἰ καὶ χαλκευτικὸς γενόμενός τις τέχνης ἄνευ ἀνετίθετο Ἡφαίστῳ φέρων τὸ αὐτόματον τῆς δημιουργίας»).

(4) Τὸ «ταῦτα» τείνει πρὸς τὸν ἀρτίως περὶ τῆς παιδεύσεως εἰρημένον λόγον.

ἐγκαρτερήσας μεγάλην καρποῦται τὴν εὔκλειαν· καὶ βίβλους τοσαύτας ἐξεπονήσατο, ἃς ἐγὼ Μουσῶν τε καὶ γνώσεως ἐπίσταμαι ψώμισμα καὶ δάφνας λάλους Ἑλικωνίτιδας, ἑλισσομένας ἁπανταχοῦ καὶ θαλλούσας καὶ κηρυττούσας τὸν πρὶν μὲν οἰκτρόβιον καὶ ἀφανῆ νομέα ποιμνίων, νῦν δὲ ἡμίθεον χρηματίσαντα δι' ἀρετῆς καὶ παιδεύσεως.

ΚΕΦ. Β'. Συνηκμακέναι δ' αὐτὸν οἱ μὲν Ὁμήρῳ φασίν, οἱ δὲ καὶ Ὁμήρου προγενέστερον εἶναι διισχυρίζονται. Καὶ οἱ μὲν προγενέστερον εἶναι Ὁμήρου διισχυριζόμενοι ἐν ἀρχαῖς εἶναί φασι τῆς Ἀρξίππου (1) ἀρχῆς, Ὅμηρον δὲ ἐν τῷ τέλει· ὁ δ' Ἄρξιππος οὗτος υἱὸς ἦν Ἀκάστου, ἄρξας Ἀθηναίων ἔτη λέ· οἱ δὲ συγχρόνους αὐτοὺς εἶναι λέγοντες (2) ἐπὶ τῇ τελευτῇ τοῦ Ἀμφιδάμαντος τοῦ βασιλέως Εὐβοίας φασὶν αὐτοὺς ἀγωνίσασθαι καὶ νενικηκέναι Ἡσίοδον, ἀγωνοθετοῦντος καὶ κρίνοντος Πανείδου τοῦ βασιλέως τοῦ ἀδελφοῦ Ἀμφιδάμαντος καὶ τῶν υἱῶν Ἀμφιδάμαντος Γανύκτορός τε καὶ τῶν λοιπῶν. Ἐξηρωτηκέναι γὰρ αὐτοὺς πολλὰ πρὸς ἀλλήλους φασὶ δι' ἐπῶν αὐτοσχεδίων καὶ ἀπο-

(1) Ὁ βασιλεὺς οὗτος τῶν Ἀθηναίων καλεῖται ὀρθότερον Ἄρχιππος, ἐβασίλευε δὲ κατὰ τὴν Φιλοχόρου Ἀτθίδα (ἀπόσπ. 14) 1029 — 994 π. Χ. — Ταύτης τῆς γνώμης (ὅτι Ἡσίοδος ἤκμασε πρὸ Ὁμήρου) οὐ πολλοὶ ἀντεποιοῦντο, ὧν ἀρχηγέτης κατέστη Ἔφορος ὁ Κυμαῖος, φιλοτιμούμενος περὶ τὴν καλλιδοξίαν τῆς πατρίδος αὐτοῦ (ἴδε Αὖλον Γέλλιον 3, 11)· ὕστερον δὲ τούτου Λούκιος Ἄκκιος ὁ Ῥωμαῖος τραγικὸς (αὐτόθι) καὶ Φιλόστρατος (ἐν Ἡρωϊκῷ 2, 19 σ. 301, 1), παραλογισμοῖς ἐξαπατηθέντες, συγκατέθεντο τὴν αὐτὴν γνώμην. Τὸν Ἔφορον σεβόμενοι καὶ χρονογράφοι τινὲς αὐτὴν ἀπεδέξαντο ὡς ὁ τὸ ἐν ἐπιγραφῇ Παρίᾳ σῳζόμενον Χρονικὸν συντάξας, ὃς τὸν Ἡσίοδον τριάκοντα ἔτεσιν ἤτοι μιᾷ γενεᾷ πρότερον (937 π. Χ.) ἀναγράφει, καὶ Γεώργιος ὁ Σύγκελλος (σ. 173). Πρβλ. καὶ Σέξτον τὸν Ἐμπειρικὸν π. μαθημ. 1, 204.

(2) Τούτων κορυφαῖος ἦν ὁ τῆς ἱστορίας πατήρ, ὃς (2,53) τάδε τὰ πολυθρύλητα ἔγραψε «Ἡσίοδον γὰρ καὶ Ὅμηρον ἡλικίην τετρακοσίοισι ἔτεσι δοκέω μευ πρεσβυτέρους γενέσθαι». Τῷ δὲ Ἀγῶνι, ἐξ οὗ ὁ Τζέτζης ἀρύεται τὰ ἑπόμενα, συμμαρτυροῦσιν, εἴγε ταύτῃ τῇ λέξει χρῆσθαι δίκαιον, δύο Ψευδησιόδεια, ἀλλὰ περὶ τούτων ἐν καιρῷ ἐροῦμεν. Τοῦ δὲ Θουκυδίδου εἰπόντος ὅτι πλέον ἢ τετρακόσια ἔτη διέμεινεν ἡ Λακεδαιμονίων πολιτεία (1, 18), συγχρονισμὸν Λυκούργου καὶ τῶν δύο ἀρχηγετῶν τῆς Ἑλληνικῆς ποιήσεως ἀπεφήνατό τις, καθὼς μαρτυρεῖ Δημήτριος ὁ Μάγνης (παρὰ Διογένει Λαερτίῳ 1, 38). Ἡροδότῳ συνεφώνησαν ὡσαύτως ἄλλοι χρονογράφοι (Ἀρχέμαχος καὶ Εὐθυμένης κατὰ Κλήμεντα τὸν Ἀλεξανδρείας, Α', σ. 146. Sylburg, Πύρανδρος καὶ Ὑψικράτης ἐν Βίῳ Ὁμήρου Ζ', σ. 31, 11, 12 ἔκδ. Westermann, Κάσσιος ὁ Ῥωμαῖος (Γέλλ. 17, 21, 3), Εὐσέβιος (καν. 1000) καὶ Ἰωάννης ὁ Ἀντιοχηνός (Ἀπόσπ. 1, 18).

κρίνασθαι, καὶ πᾶσι τὸν Ὅμηρον τὰ πρωτεῖα λαμβάνειν· τέλος τοῦ βασιλέως Πανείδου εἰπόντος αὐτοῖς τὰ κάλλιστα τῶν ἑαυτῶν ἐπῶν ἀναλεξαμένους εἰπεῖν, Ὅμηρος μὲν ἄρχεται λέγειν τοῦτο τὸ χωρίον, ἀπὸ πολλῶν ἐπῶν ἀρξάμενος ὄπισθεν·

Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ,
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι,

καὶ περαιτέρω τούτων. Ἡσίοδος δὲ τῶν

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων

ἀπάρχεται καὶ ὁμοίως Ὁμήρῳ προβαίνει μέχρι πολλοῦ τῶν ἐπῶν (1). Καὶ πάλιν ἐπὶ τούτοις οἱ παρεστῶτες πάντες τῶν ἐλλογίμων καὶ στρατιωτῶν τὸν Ὅμηρον ἐστεφάνουν, ὁ δὲ Πανείδης ἔκρινε νικᾶν Ἡσίοδον ὡς εἰρήνην καὶ γεωργίαν διδάσκοντα καὶ οὐ καθάπερ Ὅμηρος πολέμους καὶ σφάγια. Ἀλλὰ ταῦτα μέν εἰσι ληρήματα τῶν νεωτέρων καὶ πλάσεις τῶν πρὸς ἀλλήλους ἐρωτημάτων καὶ τῶν ἐξ Ὁμήρου παρεκβεβλημένων ἐπῶν καὶ ὑπ' ἐκείνου δῆθεν ῥηθέντων. Ὅμηρος γὰρ ὁ χρυσοῦς, ὡς ἐγᾦμαι, μᾶλλον δὲ ἀκριβεστάτως ἐπίσταμαι (2), πολύ τε παλαιότερος Ἡσιόδου ὑπῆρχε, καὶ εἰ πρὸς τοὺς θρυλουμένους ἐκείνους θεοὺς ἔριν ἐστήσατο λόγων, καὶ κατὰ τούτων ἂν τὰ πρωτεῖα καὶ τοὺς στεφάνους ἠνέγκατο. Ἀλλ' ἴσως ἕτερος Ὅμηρος ἦν ὁ τῷ Ἡσιόδῳ ἰσόχρονος ὁ τοῦ Εὔφρονος παῖς ὁ Φωκεὺς ὁ καὶ τούτῳ τὴν ἔριν στησάμενος, κἂν τὰ ἔπη τοῦ θείου ἐκείνου ἀνδρὸς τῇ ὁμωνυμίᾳ πεπλανημένοι λέγειν τοῦτο ἐπλάσαντο. Ὅμηροι γὰρ πολλοὶ γεγόνασιν ἕτεροι, ζήλῳ τοῦ παλαιοῦ τὴν κλῆσιν λαμβάνοντες· καὶ γὰρ καὶ τοῦ Φωκέως Ὁμήρου τούτου ἕτερος ὑπάρχει νεώτερος

(1) Οὗτος ὁ λόγος, πολλάκις ἤδη παρεννοηθείς, συνᾴδει τῷ «ἀπὸ πολλῶν ἐπῶν ἀρξάμενος ὄπισθεν», ὑποδηλῶν ὅτι ὁ Ἡσίοδος πολλοὺς στίχους παραλείπει καὶ αὐτίκα «προβαίνει» πρὸς στ. 383.

(2) Τὴν περὶ τῆς Ὁμήρου ἐποχῆς ἀπόδειξιν ἐπαναλαμβάνει ὁ Τζέτζης ἐν τῷ προλόγῳ τῆς ἀλληγορηθείσης Ἰλιάδος στ. 86-112, τὸν δὲ Διονύσιον ἀναφέρει καὶ ἐν ταῖς Χιλιάσι (12, 179 κἑ.) καὶ ἀνωνύμως ἐν τοῖς πρὸς ἀλληγ. προλεγ. 64, 107 σχολίοις.

Ὅμηρος· οὗτος ὁ νεώτερος Ὅμηρος ἦν παῖς Ἀνδρομάχου τῷ γένει Βυζάντιος ὁ τὴν Εὐρυπύλειαν ποιήσας. Τὸν παλαιὸν δὲ Ὅμηρον Διονύσιος ὁ κυκλογράφος φησὶν ἐπ' ἀμφοτέρων ὑπάρχειν τῶν θηβαϊκῶν στρατειῶν καὶ τῆς Ἰλίου ἁλώσεως. Ἐκ τούτου οὖν λογίζομαι τοῦτον τοῦ Ἡσιόδου εἶναι τετρακοσίων ἐτῶν προγενέστερον: Ἀριστοτέλης γὰρ ὁ φιλόσοφος (μᾶλλον δὲ οἶμαι ὁ τοὺς Πέπλους συντάξας) ἐν τῇ Ὀρχομενίων πολιτείᾳ Στησίχορον τὸν μελοποιὸν εἶναί φησιν υἱὸν Ἡσιόδου (1), ἐκ τῆς Κτιμένης αὐτῷ γεννηθέντα τῆς Ἀμφιφάνους καὶ Γανύκτορος ἀδελφῆς, θυγατρὸς δὲ Φηγέως. Ὁ δὲ Στησίχορος οὗτος σύγχρονος ἦν Πυθαγόρᾳ τῷ φιλοσόφῳ καὶ τῷ Ἀκραγαντίνῳ Φαλάριδι. Οἱ δὲ Ὁμήρου τετρακοσίοις ὑστερίζοντα ἔτεσι, καθά φησι καὶ Ἡρόδοτος (2).

ΚΕΦ. Γ'. Συνεγράψατο δὲ ὁ τοιοῦτος Ἡσίοδος βίβλους ἑκκαίδεκα, Ὅμηρος δὲ ὁ παλαιὸς ιγ'. Τελευτᾷ δὲ ὁ Ἡσίοδος ἐν Λοκρίδι τοιουτοτρόπως: μετὰ τὴν νίκην, ἣν αὐτὸν νενικηκέναι φασὶν ἐπὶ τῇ τελευτῇ Ἀμφιδάμαντος, εἰς Δελφοὺς ἐπορεύθη καὶ ἐδόθη αὐτῷ οὑτοσὶν ὁ χρησμός·

Ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος, Μούσῃσι τετιμένος ἀθανάτῃσι·
τοῦ δή τοι κλέος ἔσται ὅσον τ' ἐπικίδναται Ἠώς.
Ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖ (3) γάρ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν (4).

Ὁ δέ, τὴν ἐν Πελοποννήσῳ Νεμέαν φυγών, ἐν Οἰνόῃ τῆς Λοκρίδος ὑπὸ Ἀμφιφάνους καὶ Γανύκτορος τῶν Φηγέως παίδων ἀναιρεῖται καὶ ῥίπτεται εἰς τὴν θάλασσαν, ὡς φθείρας τὴν ἀδελφὴν

(1) Στησίχορος, ὁ περιώνυμος λυρικός, ὃς κατὰ τὸν ἕκτον αἰῶνα, Φαλάριδος τυραννοῦντος τὴν Σικελίαν, ἤκμασεν, Ἡσιόδου, ὡς ὕστερον δηλώσομεν, μνήμην ἐποιήσατο ἐν τῷ «Κύκνος» ὀνομαζομένῳ χορικῷ ᾄσματι, τοῦτο δὲ οὕτως ἀμφιβόλως ποιήσας φαίνεται, ὥστε ἄλλοι τε καὶ ὁ Σταγιρίτης ὁ πάνυ ἐπλανήθησαν.

(2) Ληρεῖ ὁ ηὐλογημένος Τζέτζης, ἅτε ἀπὸ μνήμης τὰ πάντα γράφων. Ἄλλοι δὲ πολλοὶ καὶ ἀξιολογώτεροι αὐτοῦ προηγήσαντο, περὶ ὧν κατωτέρω λόγον ποιησόμεθα.

(3) Κεῖ, κατὰ Ἰωνικὴν ἀποκοπὴν ὡς καὶ «κεῖνος» ἔλεγον ἀντὶ τοῦ «ἐκεῖνος».

(4) Τὸν χρησμὸν ἀναγνωσόμεθα αὖθις ἐν τῷ Ἀγῶνι, αἰνίττεται δὲ αὐτὸν καὶ ἐν τῷ δευτέρῳ π. Χ. αἰῶνι Ἀλκαῖος ὁ Μεσσήνιος (Ἀνθολογ. 9, 55).

ἐκείνων Κτιμένην (ἐξ ἧς ἐγεννήθη Στησίχορος)· ἐκαλεῖτο δὲ ἡ Οἰνόη Διὸς Νεμείου ἱερόν (1). Μετὰ δὲ τρίτην ἡμέραν ὑπὸ δελφίνων πρὸς τὸν αἰγιαλὸν ἐξήχθη τὸ σῶμα μεταξὺ Λοκρίδος καὶ Εὐβοίας (2), καὶ ἔθαψαν αὐτὸν Λοκροὶ ἐν Νεμέᾳ (3) τῆς Οἰνόης. Οἱ δὲ φονεῖς αὐτοῦ, νηὸς ἐπιβάντες, ἐπειρῶντο φυγεῖν, χειμῶνι δὲ διεφθάρησαν. Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ καὶ ἐπέγραψαν τάδε·

Ἄσκρη μὲν πατρὶς πολυλήϊος, ἀλλὰ θανόντος
ὀστέα πληξίππου γῆ Μινύης (4) κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν,
ἀνδρῶν κρινομένων ἐν βασάνοις σοφίης (5).

Ἐπέγραψε δὲ καὶ Πίνδαρος·

Χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης (6).

---

(1) Ἡ ἱστορία αὕτη ἀρχαιοτάτη· ἀρ' οὗ γὰρ Θουκυδίδης, μικρόν τι παρεκβὰς τῆς ῥύμης, τάδε λέγει (3, 96, 1); «Αὐλισάμενος δὲ τῷ στρατῷ ἐν τοῦ Διός τοῦ Νεμείου τῷ ἱερῷ, ἐν ᾧ Ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ ἀποθανεῖν, χρησθὲν αὐτῷ ἐν Νεμέᾳ τοῦτο παθεῖν, ἅμα τῇ ἕῳ ἄρας ἐπορεύετο ἐς τὴν Αἰτωλίαν»; Ὡσαύτως καὶ Στέφανος ὁ Βυζάντιος τὸν ὀλέθριον τόπον ὀνομάζει Οἰνεῶνα, βεβαιοῦται μέντοι ἡ τοῦ Τζέτζη γραφὴ ἐπιγραφῇ ὑπὸ Wescher καὶ Foucart ἐν Δελφοῖς εὑρεθείσῃ (Inscriptions ἀρ. 410). Ἴσως, ὡς δὲ εὐχόμεθα, βεβαίως ἡ μέλλουσα ἀνασκαφὴ τοῦ ἁγίου χρηστηρίου ἡμῖν καὶ τοιαῦτα μικρολογοῦσιν ὠφέλιμος ἔσται.

(2) Εὐβοίας, ἐπειδὴ συγχεῖται ἡ τῶν Ἐπικνημιδίων Λοκρῶν χώρα τῇ τῶν Ὀζολῶν· τῷ ὄντι γὰρ ἡ Οἰνόη ὑπὲρ τῆς Κορινθιακῆς θαλάσσης ἔκειτο. Τίς δὲ οὐκ οἶδεν ὅτι οἱ Βυζαντῖνοι ἦσαν εἰδημονέστεροι τῆς τοῦ Καυκάσου τοπογραφίας ἢ τῆς Ἑλληνικῆς;

(3) Ὀρθότερον ἂν εἶπεν «ἐν τῷ Νεμείῳ ἱερῷ τῆς Οἰνόης».

(4) Μινύη, ἡ τῶν Μινυῶν πόλις. Ὁμώνυμον πόλιν θεσσαλικὴν ἀναφέρουσι Στέφανος ὁ Βυζάντιος καὶ Σουΐδας.

(5) Τὸ ἐπικήδειον ἐν τῇ Ἀνθολογίᾳ (Ζ', 54) φέρεται ὡς Μνασάλκα τοῦ Σικυωνίου, ὃς κατὰ τὸν τρίτον π. Χ. αἰῶνα ἤκμασεν.

(6) Ψευδεπίγραφον τὸ ποίημα (πρβλ. Ἀριστοτέλη ἐν τῷ Παραρτήματι Παροιμιῶν 4, 92 ἔκδ. Γοττιγγέων Α', σ. 456), συμβιβάζειν προσπαθοῦν τὸ ὅτι δύο

Πολλῷ χρόνῳ πρὸ Ἰωάννου τοῦ Τζέτζη ἀνώνυμός τις συγκριτικὴν διήγησιν τοῦ Ὁμήρου τε καὶ Ἡσιόδου βίου συνέγραψεν, ὡς κεφάλαιον δὲ διεξήει καθ' ἓν ἕκαστον τὸν ἀγῶνα ἐκεῖνον, ὅντινα ἀκηκόαμεν παρὰ τοῦ Ἰωάννου· ὅθεν καὶ βραχύτερον αὐτὸν λέγειν εἰώθασιν « *Ἀγῶνα Ὁμήρου καὶ Ἡσιόδου* ». Τίς ὅμως ὁ συγγραφεύς, ἄδηλον, εἰ δὲ ἀπὸ τῶν περὶ ἑλληνικοῦ ἐθίμου εἰρημένων (κ. 54, 3) τεκμαίρεσθαί τι ἔξεστιν, ἦν τῶν Ῥωμαίων, οἵτινες κατὰ τὸν πρῶτον καὶ δεύτερον μάλιστα μ. Χ. αἰῶνα ἐφιλοτιμοῦντο ἐπιδεικνύεσθαι Ἑλληνικῷ λόγῳ οἷον ὁ πασίγνωστος Αἰλιανὸς καὶ Ἀπουλήϊος ὁ Πλατωνικός. Οὐδὲ θαυμαστὸν εἰ ξένος τις εἰς ταύτην τὴν ὑπόθεσιν ἐνέκυψεν ἅτε κατὰ τοὺς τῶν αὐτοκρατόρων χρόνους διατεθρυλημένην ὑπὸ τῶν γραμματικῶν καὶ ῥητόρων (1). Μιμούμενοι μὲν οὖν τοὺς πρότερον ἡμῶν τὰ Ἡσιόδου ἐκδεδωκότας, εἰ καὶ μέγα μέρος τοῦ συγγράμματος διατρίβει περὶ τὸν Ὅμηρον, ὅμως περιεργίας χάριν αὐτὸ ἀνατυποῦμεν, σχόλια ὀλίγα προσάπτοντες.

# ΠΕΡΙ ΟΜΗΡΟΥ ΚΑΙ ΗΣΙΟΔΟΥ

## ΚΑΙ ΤΟΥ ΓΕΝΟΥΣ ΚΑΙ ΑΓΩΝΟΣ ΑΥΤΩΝ

---

ΚΕΦ. Α΄. Ὅμηρον καὶ Ἡσίοδον τοὺς θειοτάτους ποιητὰς πάντες ἄνθρωποι πολίτας ἰδίους εὔχονται λέγεσθαι. Ἀλλ' Ἡσίο-

ἐδεικνύοντο τάφοι, τῶν τε Ἀσκραίων ἅμα καὶ τῶν περὶ τὴν Ναύπακτον Λοκρῶν διισχυριζομένων ὅτι ἔχουσι τὸ τοῦ θείου ἀοιδοῦ σῶμα. Ἦσαν δὲ οἵ, τὴν ἀνάστασιν ἀπορρίψαντες, Ἡσιόδῳ μόνον διττὴν ἥβην (« δὶς ἡβήσας ») ἀπένεμον καὶ τοῦτο τὸ θαῦμα ἀπεδίδοσαν εἰς τὰς Μούσας (Σύμμαχ. ἐπιστ. 7, 20· Ψευδο-Σέρβιος εἰς Βιργίλιον Ἐκλ. 6, 70, πρβλ. Σχόλ. Βιργιλ. Ἐκλ. 6, 65· Σύμμαχ. ἐπιστ. 1, 53 (47), 2).

(1) Πλούταρχ. Συμπ. προβλ. 5, 2. Φιλοστρ. Ἡρωϊκ. 18, 2. Λιβαν. Σωκρ. ἀπολογ. τ. Α΄, σ. 563. Θεμιστ. λόγ. 30, σ. 348. Ἀποστολ. παροιμ. 14, 11.

δος μέν, τὴν ἰδίαν ὀνομάσας πατρίδα, πάντας τῆς φιλονικίας ἀπήλλαξεν εἰπὼν ὡς ὁ πατὴρ αὐτοῦ (Ἔ. κ. Ἡ. 639-40)

Εἴσατο δ' ἄγχ' Ἑλικῶνος οϊζυρῇ ἐνὶ κώμῃ
Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ οὐδέποτ' ἐσθλῇ.

Ὅμηρον δὲ πᾶσαι ὡς εἰπεῖν αἱ πόλεις καὶ οἱ ἔποικοι αὐτῶν παρ' ἑαυτοῖς γεγεννῆσθαι λέγουσιν. Καὶ πρῶτοί γε Σμυρναῖοι Μέλητος ὄντα τοῦ παρ' αὐτοῖς ποταμοῦ καὶ Κρηθηΐδος νύμφης κεκλῆσθαί φασι πρότερον Μελησιγένη, ὕστερον μέντοι τυφλωθέντα Ὅμηρον μετονομασθῆναι διὰ τὴν παρ' αὐτοῖς ἐπὶ τῶν τοιούτων συνήθη προσηγορίαν. Χῖοι δὲ πάλιν τεκμήρια φέρουσιν, ἴδιον (1) εἶναι πολίτην λέγοντες καὶ περισῴζεσθαί τινας ἐκ τοῦ γένους αὐτοῦ παρ' αὐτοῖς Ὁμηρίδας καλουμένους. Κολοφώνιοι δὲ καὶ τόπον δεικνύουσιν, ἐν ᾧ φασιν αὐτὸν γράμματα διδάσκοντα τῆς ποιήσεως ἄρξασθαι καὶ ποιῆσαι πρῶτον τὸν Μαργίτην.

ΚΕΦ. Β'. Περὶ δὲ τῶν γονέων αὐτοῦ πάλιν πολλὴ διαφωνία παρὰ πᾶσίν ἐστιν. Ἑλλάνικος μὲν γὰρ καὶ Κλεάνθης Μαίονα λέγουσιν, Εὐγαίων δὲ Μέλητα, Καλλικλῆς δὲ Μαιαγόραν, Δημόκριτος δὲ ὁ Τροιζήνιος Δαήμονα ἔμπορον, ἔνιοι δὲ Ταμύραν, Αἰγύπτιοι δὲ Μενέμαχον ἱερογραμματέα, εἰσὶ δ' οἳ Τηλέμαχον τὸν Ὀδυσσέως· μητέρα δ' οἱ μὲν Μῆτιν, οἱ δὲ Κρηθηΐδα, οἱ δὲ Θεμίστην, οἱ δ' Εὐγνηθώ, ἔνιοι δ' Ἰθακησίαν τινὰ ὑπὸ Φοινίκων ἀπεμποληθεῖσαν, οἱ δὲ Καλλιόπην τὴν Μοῦσαν, τινὲς δὲ Πολυκάστην τὴν Νέστορος.

ΚΕΦ. Γ'. Ἐκαλεῖτο δὲ πρότερον Μέλης, ὡς δέ τινές φασι, Μελησιγένης, ὡς δ' ἔνιοι Αὐλητής· ὀνομασθῆναι δ' αὐτόν φασί τινες Ὅμηρον διὰ τὸ τὸν πατέρα αὐτοῦ ὅμηρον δοθῆναι ὑπὸ Κυπρίων Πέρσαις, οἱ δὲ διὰ τὴν πήρωσιν τῶν ὀμμάτων· παρὰ γὰρ τοῖς Αἰολεῦσιν οὕτως οἱ πηροὶ καλοῦνται.

ΚΕΦ. Δ'. Ὅπερ δ' ἀκηκόαμεν ἐπὶ τοῦ θειοτάτου αὐτοκράτορος Ἀδριανοῦ εἰρημένον ὑπὸ τῆς Πυθίας περὶ Ὁμήρου ἐκθησόμεθα. Τοῦ γὰρ βασιλέως πυθομένου, πόθεν Ὅμηρος καὶ τίνος, ἀπεφοίβασε δι' ἑξαμέτρου τόνδε τὸν τρόπον·

(1) Τῷ *ἴδιον* ἀντιδιαστέλλει ὅτι «οἱ Ἴωνες πολίτην αὐτὸν *κοινὸν* ἐποιήσαντο» (Κ. 7).

Ἄγνωστόν μ' ἔρεαι γενεὴν καὶ πατρίδα γαῖαν
ἀμβροσίου σειρῆνος. Ἔδος δ' Ἰθακήσιός ἐστιν,
Τηλέμαχος δὲ πατὴρ καὶ Νεστορέη Ἐπικάστη
μήτηρ, ἥ μιν ἔτικτε βροτῶν πολὺ πάνσοφον ἄνδρα.

Οἷς μάλιστα δεῖ πιστεύειν διά τε τὸν πυθόμενον καὶ τὸν ἀποκρινάμενον, ἄλλως τε οὕτως τοῦ ποιητοῦ μεγαλοφυῶς τὸν προπάτορα διὰ τῶν ἐπῶν δεδοξακότος.

ΚΕΦ. Ε'. Ἔνιοι μὲν οὖν αὐτὸν προγενέστερον Ἡσιόδου φασὶν εἶναι, τινὲς δὲ νεώτερον καὶ συγγενῆ, γενεαλογοῦσί τε οὕτως· Ἀπόλλωνός φασι καὶ Αἰθούσης τῆς Ποσειδῶνος γενέσθαι Λίνον, Λίνου δὲ Πίερον, Πιέρου δὲ καὶ νύμφης Μεθώνης Οἴαγρον, Οἰάγρου δὲ καὶ Καλλιόπης Ὀρφέα, Ὀρφέως δὲ Ὄρτην, τοῦ δὲ Ἰαδμονίδην, τοῦ δὲ Φιλοτέρπην, τοῦ δ' Εὔφημον, τοῦ δ' Ἐπιφράδην, τοῦ δὲ Μελάνωπον, τούτου δὲ Δῖον καὶ Ἀπέλλαιον, Δίου δὲ καὶ Πυκιμήδης τῆς Ἀπόλλωνος θυγατρὸς Ἡσίοδον καὶ Πέρσην· Ἀπελλαίου δὲ Μαίονα, Μαίονος δὲ θυγατρὸς καὶ Μέλητος τοῦ ποταμοῦ Ὅμηρον. Τινὲς δὲ συνακμάσαι φασὶν αὐτοὺς ὥστε καὶ ἀγωνίσασθαι ὁμόσε ἐν Χαλκίδι τῆς Εὐβοίας. Ποιήσαντα γὰρ τὸν Μαργίτην Ὅμηρον περιέρχεσθαι κατὰ πόλιν ῥαψῳδοῦντα, ἐλθόντα δὲ καὶ εἰς Δελφοὺς περὶ τῆς πατρίδος τῆς μητρὸς αὐτοῦ πυνθάνεσθαι, τίς εἴη, τὴν δὲ Πυθίαν εἰπεῖν·

Ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται. Ἀλλὰ νέων παίδων αἴνιγμα φυλάξαι.

Τὸν δ' ἀκούσαντα περιίστασθαι μὲν τὴν εἰς Ἴον ἄφιξιν, διατρίβειν δὲ περὶ τὴν ἐκεῖ χώραν. Κατὰ δὲ τὸν αὐτὸν χρόνον Γανύκτωρ ἐπιτάφιον τοῦ πατρὸς Ἀμφιδάμαντος βασιλέως Εὐβοίας ἐπιτελῶν πάντας τοὺς ἐπισήμους ἄνδρας οὐ μόνον ῥώμῃ καὶ τάχει, ἀλλὰ καὶ σοφίᾳ ἐπὶ τὸν ἀγῶνα μεγάλαις δωρεαῖς τιμῶν συνεκάλεσεν. Καὶ οὗτοι οὖν ἐκ τύχης, ὥς φασι, συμβαλόντες ἀλλήλοις ἦλθον εἰς τὴν Χαλκίδα. Τοῦ δ' ἀγῶνος ἄλλοι τέ τινες τῶν ἐπισήμων Χαλκιδέων ἐκαθέζοντο κριταὶ καὶ μετ' αὐτῶν Πανείδης, ἀδελφὸς ὢν τοῦ τετελευτηκότος. Ἀμφοτέρων δὲ τῶν ποιητῶν θαυμαστῶς ἀγωνισαμένων νικῆσαί φασι τὸν Ἡσίοδον τον

τρόπον τοῦτον· προελθόντα γὰρ εἰς τὸ μέσον πυνθάνεσθαι τοῦ Ὁμήρου καθ' ἓν ἕκαστον, τὸν δ' Ὅμηρον ἀποκρίνασθαι (1). Φησὶν οὖν Ἡσίοδος·

Υἱὲ Μέλητος Ὅμηρε, θεῶν ἄπο μήδεα εἰδώς,
εἴπ' ἄγε μοι πάμπρωτα, τί φέρτατόν ἐστι βροτοῖσιν;

Ὅμηρος·

Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι (2).

Ἡσίοδος τὸ δεύτερον·

Εἴπ' ἄγε μοι καὶ τοῦτο, θεοῖς ἐπιείκελ' Ὅμηρε,
τί θνητοῖσιν ἄριστον ὀίεαι ἐν φρεσὶν εἶναι;

Ὁ δέ·

Ὁππότ' ἂν εὐφροσύνη μὲν ἔχῃ κάτα δῆμον ἅπαντα,
δαιτυμόνες δ' ἀνὰ δώματ' ἀκουάζωνται ἀοιδοῦ
ἥμενοι ἑξείης, παρὰ δὲ πλήθωσι τράπεζαι
σίτου καὶ κρειῶν, μέθυ δ' ἐκ κρητῆρος ἀφύσσων
οἰνοχόος φορέῃσι καὶ ἐγχείῃ δεπάεσσι.
Τοῦτό τί μοι κάλλιστον ἐνὶ φρεσὶ εἴδεται εἶναι.

Ῥηθέντων δὲ τῶν ἐπῶν, οὕτω σφοδρῶς φασι θαυμασθῆναι ὑπὸ τῶν Ἑλλήνων τὰ ἔπη, ὥστε χρυσοῦς αὐτοὺς στίχους προσαγο-

(1) Τοιοῦτοι οἱ ἀγχινοίας ἀγῶνες δημοτικοὶ ἐν τῇ Ἑλλάδι, ὅθεν καὶ ἐν πολλοῖς παραμυθίοις μνήμη αὐτῶν σώζεται (πρβλ. λ. χ. Σακελλάριον ἐν Γ' τῶν Κυπριακῶν σ. 151 κἑ.).

(2) Μελαγχολικωτάτη γνώμη, ἥτις παρὰ πολλοῖς φέρεται καὶ τοῦτο ἄνευ τοῦ ὀνόματος τοῦ ποιητοῦ (Ἀλκιδάμας ἐν Μουσείῳ, κατὰ Ἰωάννην τὸν Στοβαῖον Ἀνθολ. κεφ. 120, 4. Ἐπίκουρος παρὰ Διογένει Λαερτίῳ 10, 126. Διογενειανὸς Παροιμ. ἑκατ. 3, 4. τὸ *πολλοῖς τῶν σοφῶν* εἰρημένον: Ἄλεξις Ἀπόσπ. 141, 14 παρ' Ἀθηναίῳ 3, 123 f), τὴν δὲ γνώμην ἐξεφώνησεν, ὡς μυθολογοῦσιν, ὁ γέρων Σειληνός, ὑπὸ Μίδα τοῦ βασιλέως δεσμωθείς.

ρευθῆναι, καὶ ἔτι καὶ νῦν ἐν ταῖς κοιναῖς θυσίαις πρὸ τῶν δείπνων καὶ σπονδῶν προκατεύχεσθαι πάντας. Ὁ δ' Ἡσίοδος, ἀχθεσθεὶς ἐπὶ τῇ Ὁμήρου εὐημερίᾳ, ἐπὶ τὴν τῶν ἀπείρων ὥρμησεν ἐπερώτησιν καί φησι τούσδε τοὺς στίχους·

Μοῦσ', ἄγε μοι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
τῶν μὲν μηδὲν ἄειδε, σὺ δ' ἄλλης μνῆσαι ἀοιδῆς.

Ὁ δ' Ὅμηρος, βουλόμενος ἀκολούθως τὸ ἄπορον λῦσαι, φησίν·

Οὐδέποτ' ἀμφὶ Διὸς τύμβῳ (1) καναχήποδες ἵπποι
ἅρματα συντρίψουσιν, ἐρίζοντες περὶ νίκης.

Καλῶς δὲ καὶ ἐν τούτοις ἀπαντήσαντος, ἐπὶ τὰς ἀμφιβόλους γνώμας ὥρμησεν ὁ Ἡσίοδος, καὶ πλείονας στίχους λέγων ἠξίου καθ' ἕνα ἕκαστον συμφώνως ἀποκρίνασθαι τὸν Ὅμηρον. Ἔστιν οὖν ὁ μὲν πρῶτος Ἡσιόδου, ὁ δ' ἑξῆς Ὁμήρου, ἐνίοτε δὲ καὶ δύο στίχων τὴν ἐπερώτησιν ποιουμένου τοῦ Ἡσιόδου·

ΗΣΙΟΔΟΣ

Δεῖπνον ἔπειθ' εἵλοντο βοῶν κρέα καὐχένας ἵππων

ΟΜΗΡΟΣ

ἔκλυον ἱδρώοντας, ἐπεὶ πτολέμοιο κορέσθην.

ΗΣΙΟΔΟΣ

Καὶ Φρύγες, οἳ πάντων ἀνδρῶν ἐπὶ νηυσὶν ἄριστοι

ΟΜΗΡΟΣ

ἀνδράσι ληιστῆρσιν ἐπ' ἀκτῆς δόρπον ἑλέσθαι.

ΗΣΙΟΔΟΣ

Χερσὶ βαλέων ἰοὺς οὔλων κατὰ φῦλα γιγάντων

(1) Αἰνίττεται τὸν Διὸς τύμβον τὸν ἐν Κρήτῃ, ὃν οἱ ἄθεοι φιλόσοφοι διὰ στόματος ἔχοντες διετέλουν.

ΟΜΗΡΟΣ

Ἡρακλέης ἀπέλυσεν ἀπ' ὤμων καμπύλα τόξα.

ΗΣΙΟΔΟΣ

Οὗτος ἀνὴρ ἀνδρός τ' ἀγαθοῦ καὶ ἀνάλκιδός ἐστι

ΟΜΗΡΟΣ

μητρός, ἐπεὶ πόλεμος χαλεπὸς πάσῃσι γυναιξίν.

ΗΣΙΟΔΟΣ

Ἦ τ' ἄρα σοί γε πατὴρ ἐμίγη καὶ πότνια μήτηρ

ΟΜΗΡΟΣ

σῶμα τόδε σπείροντε διὰ χρυσέην Ἀφροδίτην.

ΗΣΙΟΔΟΣ

Αὐτὰρ ἐπεὶ δμήθη γάμῳ, Ἄρτεμις ἰοχέαιρα

ΟΜΗΡΟΣ

Καλλιστὼ κατέπεφνεν ἀπ' ἀργυρέοιο βιοῖο.

ΗΣΙΟΔΟΣ

Ὣς οἱ μὲν δαίνυντο πανήμεροι, οὐδὲν ἔχοντες

ΟΜΗΡΟΣ

οἴκοθεν, ἀλλὰ παρεῖχεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.

ΗΣΙΟΔΟΣ

Δεῖπνον δειπνήσαντες, ἐνὶ σποδῷ αἰθαλοέσσῃ
σύλλεγον ὀστέα λευκὰ Διὸς κατατεθνηῶτος

ΟΜΗΡΟΣ

παιδὸς ὑπερθύμου Σαρπηδόνος ἀντιθέοιο.

ΗΣΙΟΔΟΣ

Ἡμεῖς δ' ἂμ πεδίον Σιμοέντιον ἥμενοι οὕτως
ἴομεν ἐκ νηῶν ὁδὸν ἀμφ' ὤμοισιν ἔχοντες

ΟΜΗΡΟΣ

φάσγανα κωπήεντα καὶ αἰγανέας δολιχαύλους.

ΗΣΙΟΔΟΣ

Δὴ τότ' ἀριστῆες κοῦροι χείρεσσι θαλάσσης

ΟΜΗΡΟΣ

ἄσμενοι ἐσσυμένως τ' ἀποείρυσαν ὠκύαλον ναῦν.

ΗΣΙΟΔΟΣ

Φεῦγον, ἐπεὶ γίγνωσκον ἀνέστιον ἠδ' ἀθέμιστον,

ΟΜΗΡΟΣ

Κολχίδ' ἐπεί θ' ἵκοντο καὶ Αἰήτην βασιλῆα.

ΗΣΙΟΔΟΣ

Αὐτὰρ ἐπεὶ σπεῖσάν τε καὶ ἔκπιον οἶδμα θαλάσσης

ΟΜΗΡΟΣ

ποντοπορεῖν ἤμελλον ἐϋσσέλμων ἐπὶ νηῶν.

ΗΣΙΟΔΟΣ

Τοῖσιν δ' Ἀτρείδης μεγάλ' εὔχετο πᾶσιν ὀλέσθαι
μηδέποτ' ἐν πόντῳ, καὶ φωνήσας ἔπος ηὔδα·
ἐσθίετ', ὦ ξεῖνοι, καὶ πίνετε· μηδέ τις ὑμέων
οἴκαδε νοστήσειε φίλην ἐς πατρίδα γαῖαν

ΟΜΗΡΟΣ

πημανθείς, ἀλλ' αὖτις ἀπήμονες οἴκαδ' ἵκοισθε.

Πρὸς πάντα δὲ τοῦ Ὁμήρου καλῶς ἀπαντήσαντος πάλιν φησὶν ὁ Ἡσίοδος·

Τοῦτό τι δή μοι μοῦνον ἐειρομένῳ κατάλεξον,
πόσσοι ἅμ' Ἀτρείδῃσιν ἐς Ἴλιον ἦλθον Ἀχαιοί;

Ὁ δὲ διὰ λογιστικοῦ προβλήματος ἀποκρίνεται οὕτως·

Πεντήκοντ' ἦσαν πυρὸς ἐσχάραι, ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ὀβελοί, περὶ δὲ κρέα πεντήκοντα·
τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί.

(Τοῦτο δὲ εὑρίσκεται πλῆθος ἄπιστον· τῶν γὰρ ἐσχαρῶν οὐσῶν πεντήκοντα, ὀβελίσκοι γίνονται πεντακόσιοι καὶ χιλιάδες β', κρεῶν δὲ δεκαδύο μυριάδες, ͵ε). Κατὰ πάντα δὴ τοῦ Ὁμήρου ὑπερτεροῦντος, φθονῶν ὁ Ἡσίοδος ἄρχεται πάλιν·

Υἱὲ Μέλητος Ὅμηρ', εἴπερ τιμῶσί σε Μοῦσαι,
ὡς λόγος, ὑψίστοιο Διὸς μεγάλοιο θύγατρες,
λέξον, μέτρον ἐναρμόζων, ὅ τι δὴ θνητοῖσι
κάλλιστόν τε καὶ ἔχθιστον· ποθέω γὰρ ἀκοῦσαι.

Ὁ δέ φησιν·

Ἡσίοδ', ἔκγονε Δίου, ἑκόντα με ταῦτα κελεύεις
εἰπεῖν· αὐτὰρ ἐγὼ μάλα τοι πρόφρων ἀγορεύσω.
Κάλλιστον μὲν τῶν ἀγαθῶν ἔσται μέτρον εἶναι
αὐτὸν ἑαυτῷ· τῶν δὲ κακῶν ἔχθιστον ἁπάντων
. . . . . . . . . . . . . . .
ἄλλο δὲ πᾶν, ὅ τι σῷ θυμῷ φίλον ἐστίν, ἐρώτα.

ΗΣΙΟΔΟΣ

Πῶς ἂν ἄριστ' οἰκοῖντο πόλεις καὶ ἐν ἤθεσι ποίοις;

ΟΜΗΡΟΣ

Εἰ μὴ κερδαίνειν ἀπὸ τῶν αἰσχρῶν ἐθέλοιεν,
οἱ δ' ἀγαθοὶ τιμῷντο, δίκη δ' ἀδίκοισιν ἐπείη.

ΗΣΙΟΔΟΣ

Εὔχεσθαι δὲ θεοῖς, τί πάντων ἐστὶν ἄμεινον;

ΟΜΗΡΟΣ

Εὔνουν εἶναι ἑῷ θυμῷ χρόνον ἐς τὸν ἅπαντα.

ΗΣΙΟΔΟΣ

Ἐν δ᾽ ἐλαχίστῳ ἄριστον ἔχεις ὅ τι φύεται εἰπεῖν;

ΟΜΗΡΟΣ

Ὡς μὲν ἐμῇ γνώμῃ, φρένες ἐσθλαὶ σώμασιν ἀνδρῶν.

ΗΣΙΟΔΟΣ

Ἡ δὲ δικαιοσύνη τε καὶ ἀνδρείη δύναται τί;

ΟΜΗΡΟΣ

Κοινὰς ὠφελίας ἰδίοις μόχθοισι πορίζειν.

ΗΣΙΟΔΟΣ

Τῆς σοφίης δὲ τί τέκμαρ ἐπ᾽ ἀνθρώποισι πέφυκεν;

ΟΜΗΡΟΣ

Γιγνώσκειν τὰ παρόντ᾽ ὀρθῶς, καιρῷ δ᾽ ἅμ᾽ ἕπεσθαι.

ΗΣΙΟΔΟΣ

Πιστεῦσαι δὲ βροτοῖς ποῖον χρέος ἄξιόν ἐστιν;

ΟΜΗΡΟΣ

Οἷς αὐτὸς κίνδυνος ἐπὶ πραχθεῖσιν ἕπηται.

ΗΣΙΟΔΟΣ

Ἡ δ᾽ εὐδαιμονίη τί ποτ᾽ ἀνθρώποισι καλεῖται;

ΟΜΗΡΟΣ

Λυπηθέντ᾽ ἐλάχιστα θανεῖν ἡσθέντα τε πλεῖστα.

Ῥηθέντων δὲ καὶ τούτων, οἱ μὲν Ἕλληνες πάντες τὸν Ὅμηρον ἐκέλευον στεφανοῦν, ὁ δὲ βασιλεὺς Πανείδης ἐκέλευσεν ἕκαστον τὸ κάλλιστον ἐκ τῶν ἰδίων ποιημάτων εἰπεῖν. Ἡσίοδος οὖν ἔφη πρῶτος (Ἔ. κ. Ἡ. 383-392).

Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων
ἄρχεσθ' ἀμήτου, ἀρότοιό τε δυσομενάων·
αἳ δ' ἤτοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται, τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
Οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ', οἵ τ' ἄγκεα βησσήεντα
πόντου κυμαίνοντος ἀπόπροθι πίονα χῶρον
ναίουσιν· γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,
γυμνόν τ' ἀμάειν, ὅτ' ἂν ὥρια πάντα πέλωνται.

Μεθ' ὃν Ὅμηρος (Ν 126-35. 339-44).

Ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες
καρτεραί, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθὼν
οὔτε κ' Ἀθηναίη λαοσσόος. Οἱ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον
φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ·
ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ,
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
μακρῇς, ἃς εἶχον ταμεσίχροας. Ὄσσε δ' ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν
ἐρχομένων ἄμυδις. Μάλα κεν θρασυκάρδιος εἴη,
ὃς τότε γηθήσειε ἰδὼν πόνον οὐδ' ἀκάχοιτο.

Θαυμάσαντες δὲ καὶ ἐν τούτῳ τὸν Ὅμηρον οἱ Ἕλληνες ἐπῄνουν, ὡς παρὰ τὸ προσῆκον γεγονότων τῶν ἐπῶν, καὶ ἐκέλευον διδόναι τὴν νίκην. Ὁ δὲ βασιλεὺς τὸν Ἡσίοδον ἐστεφάνωσεν, εἰπὼν

δίκαιον εἶναι τὸν ἐπὶ γεωργίαν καὶ εἰρήνην προκαλούμενον νικᾶν, οὐ τὸν πολέμους καὶ σφαγὰς διεξιόντα. Τῆς μὲν οὖν νίκης οὕτω φασὶ τυχεῖν τὸν Ἡσίοδον καὶ λαβόντα τρίποδα χαλκοῦν ἀναθεῖναι ταῖς Μούσαις ἐπιγράψαντα (1)·

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ᾽ ἀνέθηκεν,
ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

ΚΕΦ. Ϛ΄. Τοῦ δ᾽ ἀγῶνος διαλυθέντος διέπλευσεν ὁ Ἡσίοδος εἰς Δελφοὺς χρησόμενος καὶ τῆς νίκης ἀπαρχὰς τῷ θεῷ ἀναθήσων. Προσερχομένου δ᾽ αὐτοῦ τῷ ναῷ, ἔνθεον γενομένην τὴν προφῆτίν φασιν εἰπεῖν·

Ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἀμφιπολεύει,
Ἡσίοδος Μούσῃσι τετιμένος ἀθανάτῃσι·
τοῦ δ᾽ ἤτοι κλέος ἔσται, ὅσον τ᾽ ἐπικίδναται ἠώς,
ἀλλὰ Διὸς πεφύλαξο Νεμείου κάλλιμον ἄλσος·
κεῖθι δέ τοι θανάτοιο τέλος πεπρωμένον ἐστίν.

Ὁ δ᾽ Ἡσίοδος, ἀκούσας τοῦ χρησμοῦ, τῆς Πελοποννήσου μὲν ἀνεχώρει, νομίσας τὴν ἐκεῖ Νεμέαν τὸν θεὸν λέγειν, εἰς δ᾽ Οἰνόην τῆς Λοκρίδος ἐλθὼν καταλύει παρ᾽ Ἀμφιφάνει καὶ Γανύκτορι, τοῖς Φηγέως παισίν, ἀγνοήσας τὸ μαντεῖον. Ὁ γὰρ τόπος οὗτος ἅπας ἐκαλεῖτο Διὸς Νεμείου ἱερόν. Διατριβῆς δ᾽ αὐτῷ πλείονος γενομένης ἐν τοῖς Οἰνοεῦσιν, ὑπονοήσαντες οἱ νεανίσκοι τὴν ἀδελφὴν αὐτῶν μοιχεύειν τὸν Ἡσίοδον ἀποκτείναντες εἰς τὸ μεταξὺ τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος πέλαγος κατεπόντισαν. Τοῦ δὲ νεκροῦ τριταίου πρὸς τὴν γῆν ὑπὸ δελφίνων προσενεχθέντος, ἑορτῆς τινος ἐπιχωρίου παρ᾽ αὐτοῖς οὔσης Ἀριαδνείας (2), πάντες ἐπὶ τὸν αἰγιαλὸν ἔδραμον καὶ τὸ σῶμα γνωρίσαντες ἐκεῖνο μὲν

(1) Τὸ αὐτὸ ἐπίγραμμα Γέλλιος (3, 11) ηὗρε παρὰ Βάρρωνι τῷ Ῥωμαίῳ, παραδέδοται δὲ καὶ ἐν τῷ Πρόκλου ὀνομαζομένῳ «Βίῳ Ὁμήρου» καὶ Ἀνθολογ. 7, 53. Ὅτι δὲ οὐ μόνον νοθεύεται, ἀλλ᾽ οὐδὲ ἐνεγέγραπτο εἰς ἐκεῖνον τὸν Ἑλικώνιον τρίποδα ὑπὸ τοῦ νοθεύσαντος, καταφαίνεται ἐκ τῆς Παυσανία (9, 3, 31) σιωπῆς. Πρβλ. καὶ ἃ ἐν τῷ κριτικῷ παραρτήματι πρὸς Ἔ. κ. Ἡ. 657 σημειούμεθα.

(2) Ὁ περὶ τὰ συναξάρια δεινὸς παραβάλοι ἂν τὴν ἐκ τοῦ βυθοῦ ἀναφορὰν τοῦ μαρτυρήσαντος Λουκιανοῦ.

πενθήσαντες ἔθαψαν, τοὺς δὲ φονεῖς ἀνεζήτουν. Οἱ δὲ φοβηθέντες τὴν τῶν πολιτῶν ὀργήν, κατασπάσαντες ἁλιευτικὸν σκάφος, διέπλευσαν εἰς Κρήτην· οὓς κατὰ μέσον τὸν πλοῦν ὁ Ζεὺς κεραυνώσας κατεπόντωσεν, ὥς φησιν Ἀλκιδάμας ἐν Μουσείῳ. Ἐρατοσθένης δέ φησιν ἐν Ἡσιόδῳ, Κτίμενον καὶ Ἄντιφον τοὺς Γανύκτορος ἐπὶ τῇ προειρημένῃ αἰτίᾳ αὐτὸν ἀνελόντας (1) σφαγιασθῆναι θεοῖς ξενίοις ὑπ᾽ Εὐρυκλέους τοῦ μάντεως. Τὴν μέντοι παρθένον, τὴν ἀδελφὴν τῶν προειρημένων, μετὰ τὴν φθορὰν ἑαυτὴν ἀναρτῆσαι, φθαρῆναι δ᾽ ὑπό τινος ξένου συνόδου τοῦ Ἡσιόδου, Δημωνίδου ὄνομα· ὃν καὶ ἀναιρεθῆναι ὑπὸ τῶν αὐτῶν φησιν. Ὕστερον δ᾽ Ὀρχομένιοι κατὰ χρησμὸν μετενέγκαντες αὐτὸν παρ᾽ αὐτοῖς ἔθαψαν καὶ ἐπέγραψαν ἐπὶ τῷ τάφῳ·

Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος
    ὀστέα πλήξιππος γῆ Μινυὰς κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστὶν
    ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

Καὶ περὶ μὲν Ἡσιόδου τοσαῦτα.

ΚΕΦ. Ζ΄. Ὁ δ᾽ Ὅμηρος, ἀποτυχὼν τῆς νίκης, περιερχόμενος ἔλεγε τὰ ποιήματα, πρῶτον μὲν τὴν Θηβαΐδα, ἔπη ͵ζ, ἧς ἡ ἀρχή·

Ἄργος ἄειδε, θεά, πολυδίψιον, ἔνθεν ἄνακτες·

εἶτα Ἐπιγόνους, ἔπη ͵ζ, ὧν ἡ ἀρχή·

Νῦν αὖθ᾽ ὁπλοτέρων ἀνδρῶν ἀρχώμεθα, Μοῦσαι.

(Φασὶ γάρ τινες καὶ ταῦτα Ὁμήρου εἶναι). Ἀκούσαντες δὲ τῶν ἐπῶν οἱ Μίδου τοῦ βασιλέως παῖδες, Ξάνθος καὶ Γόργος, παρακαλοῦσιν αὐτὸν ἐπίγραμμα ποιῆσαι ἐπὶ τοῦ τάφου τοῦ πατρὸς αὐτῶν, ἐφ᾽ οὗ ἦν παρθένος χαλκῆ, τοῦ Μίδου θάνατον οἰκτιζομένη. Καὶ ποιεῖ οὕτως·

(1) Ὁ αὐτὸς Ἐρατοσθένης τὸν Ἡσιόδου κύνα εἰσήγαγε κατελέγχοντα ὑλακῇ τοὺς φονεῖς (Πολυδεύκ. Ὀνομαστ. 5, 42), εἰς ὅπερ ἀνήκει ἴσως τὸ εἰς Νικάνδρου Θηριακ. 400 σχόλιον· «Ἐρατοσθένης ἐν Ἀντερινύϊ περὶ κυνὸς λέγων εἶπεν· Ἰυγῆς δ᾽ ὡς παῦρον ἐπέκλυον».

Χαλκῆ παρθένος εἰμί, Μίδου δ' ἐπὶ σήματος ἧμαι.
Ἔστ', ἂν ὕδωρ τε νάῃ καὶ δένδρεα μακρὰ τεθήλῃ
καὶ ποταμοὶ πλήθωσι, περικλύζῃ δὲ θάλασσα,
ἠέλιός τ' ἀνιὼν φαίνῃ λαμπρά τε σελήνη,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ
σημανέω παριοῦσι, Μίδης ὅτι τῇδε τέθαπται.

Λαβὼν δὲ παρ' αὐτῶν φιάλην ἀργυρᾶν, ἀνατίθησιν ἐν Δελφοῖς τῷ Ἀπόλλωνι ἐπιγράψας·

Φοῖβε ἄναξ, δῶρόν τοι Ὅμηρος καλὸν ἔδωκα
σῇσιν ἐπιφροσύναις· σὺ δέ μοι κλέος αἰὲν ὀπάζοις.

Μετὰ δὲ ταῦτα ποιεῖ τὴν Ὀδύσσειαν, ἔπη Μ͵β, πεποιηκὼς ἤδη τὴν Ἰλιάδα ἐπῶν Μ͵εφ'. Παραγενόμενος δ' ἐκεῖθεν εἰς Ἀθήνας, αὐτὸν ξενισθῆναί φασι παρὰ Μέδοντι τῷ βασιλεῖ τῶν Ἀθηναίων. Ἐν δὲ τῷ βουλευτηρίῳ ψύχους ὄντος καὶ πυρὸς καιομένου, σχεδιάσαι λέγεται τούσδε τοὺς στίχους·

Ἀνδρὸς μὲν στέφανοι παῖδες, πύργοι δὲ πόληος,
ἵπποι δ' αὖ πεδίου κόσμος, νῆες δὲ θαλάσσης,
χρήματα δ' οἶκον ἀέξει· ἀτὰρ γεραροὶ βασιλῆες
λαοῖς, εἰν ἀγορῇσι καθήμενοι, εἰσοράασθαι.
Αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι
ἤματι χειμερίῳ, ὁπότ' ἂν νείφῃσι Κρονίων.

Ἐκεῖθεν δὲ παραγενόμενος εἰς Κόρινθον, ἐρραψῴδει τὰ ποιήματα. Τιμηθεὶς δὲ μεγάλως παραγίνεται εἰς Ἄργος καὶ λέγει ἐκ τῆς Ἰλιάδος τὰ ἔπη τάδε (Β, 559-571)·

Οἵ δ' Ἄργος τ' εἶχον Τίρυνθά τε τειχιόεσσαν
Ἑρμιόνην τ' Ἀσίνην τε, βαθὺν κατὰ κόλπον ἐχούσας,
Τροιζῆν' Ἠϊόνας τε καὶ ἀμπελόεντ' Ἐπίδαυρον,
νῆσόν τ' Αἴγιναν Μάσητά τε, κοῦροι Ἀχαιῶν,
τῶν αὖθ' ἡγεμόνευε βοὴν ἀγαθὸς Διομήδης
Τυδείδης, οὗ πατρὸς ἔχων μένος Οἰνείδαο,

καὶ Σθένελος Καπανῆος ἀγακλειτοῦ φίλος υἱός.
Τοῖσι δ' ἅμ' Εὐρύπυλος τρίτατος κίε, ἰσόθεος φώς,
Μηκιστέος υἱὸς Ταλαϊονίδαο ἄνακτος.
Ἐκ πάντων δ' ἡγεῖτο βοὴν ἀγαθὸς Διομήδης.
Τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο·
ἐν δ' ἄνδρες πολέμοιο δαήμονες ἐστιχόωντο
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο.

Τῶν δ' Ἀργείων οἱ προεστηκότες, ὑπερβολῇ χαρέντες ἐπὶ τῷ ἐγκωμιάζεσθαι τὸ γένος αὐτῶν ὑπὸ τοῦ ἐνδοξοτάτου τῶν ποιητῶν, αὐτὸν μὲν πολυτελέσι δωρεαῖς ἐτίμησαν, εἰκόνα δὲ χαλκῆν ἀναστήσαντες ἐψηφίσαντο θυσίαν ἐπιτελεῖν Ὁμήρῳ καθ' ἡμέραν καὶ κατὰ μῆνα καὶ κατ' ἐνιαυτὸν καὶ ἄλλην θυσίαν πενταετηρίδα εἰς Χίον ἀποστέλλειν. Ἐπιγράφουσι δ' ἐπὶ τῆς εἰκόνος αὐτοῦ·

Θεῖος Ὅμηρος ὅδ' ἐστίν, ὃς Ἑλλάδα τὴν μεγαλαύχην
  πᾶσαν ἐκόσμησεν καλλιεπεῖ σοφίῃ,
ἔξοχα δ' Ἀργείους, οἳ τὴν θεοτειχέα Τροίην
  ἤρειψαν ποινὴν ἠϋκόμου Ἑλένης.
Οὗ χάριν ἔστησεν δῆμος μεγαλόπτολις αὐτὸν
  ἐνθάδε καὶ τιμαῖς ἀμφέπει ἀθανάτων.

Ἐνδιατρίψας δὲ τῇ πόλει χρόνον τινὰ διέπλευσεν εἰς Δῆλον εἰς τὴν πανήγυριν. Καὶ σταθεὶς ἐπὶ τὸν κεράτινον βωμὸν λέγει ὕμνον εἰς Ἀπόλλωνα, οὗ ἡ ἀρχή·

Μνήσομαι οὐδὲ λάθωμαι Ἀπόλλωνος ἑκάτοιο.

Ῥηθέντος δὲ τοῦ ὕμνου οἱ μὲν Ἴωνες πολίτην αὐτὸν κοινὸν ἐποιήσαντο, Δήλιοι δὲ γράψαντες τὰ ἔπη εἰς λεύκωμα ἀνέθηκαν ἐν τῷ τῆς Ἀρτέμιδος ἱερῷ. Τῆς δὲ πανηγύρεως λυθείσης, ὁ ποιητὴς εἰς Ἴον ἔπλευσε πρὸς Κρεώφυλον κἀκεῖ χρόνον διέτριβε, πρεσβύτης ὢν ἤδη. Ἐπὶ δὲ τῆς θαλάσσης καθήμενος, παίδων τινῶν ἀφ' ἁλείας ἐρχομένων, ὥς φασι, πυθόμενος·

Ἄνδρες ἀπ' Ἀρκαδίης θηρήτορες, ἦ ῥ' ἔχομέν τι;

εἰπόντων δ' ἐκείνων·

Ὅσσ' ἕλομεν λιπόμεσθ', ὅσα δ' οὐχ ἕλομεν φερόμεσθα,

οὐ νοήσας τὸ λεχθέν, ἤρετο αὐτοὺς ὅ τι λέγοιεν. Οἱ δέ φασιν ἐν ἁλιείᾳ μὲν ἀγρεῦσαι μηδέν, ἐφθειρίσθαι δέ, καὶ τῶν φθειρῶν, οὓς ἔλαβον, καταλιπεῖν, οὓς δ' οὐκ ἔλαβον ἐν τοῖς ἱματίοις φέρειν. Ἀναμνησθεὶς δὲ τοῦ μαντείου, ὅτι τὸ τέλος αὐτοῦ ἥκοι τοῦ βίου, ποιεῖ τὸ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα. Ἀναχωρῶν δ' ἐκεῖθεν, ὄντος πηλοῦ, ὀλισθὼν καὶ πεσὼν ἐπὶ τὴν πλευράν, τριταῖος, ὥς φασι, τελευτᾷ· καὶ ἐτάφη ἐν Ἴῳ. Ἔστι δὲ τὸ ἐπίγραμμα τόδε·

Ἐνθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ὅμηρον.

---

Οἱ μὲν οὖν Βοιωτοί, ἀγαλλιαζόμενοι ἐπὶ τῇ τοῦ πολίτου περιδοξίᾳ, τῇ εἰρημένῃ ἱστορίᾳ σφοδρῶς ἠναντιώθησαν· Πλούταρχος γὰρ ὁ Χαιρωνεὺς ἢ ἄλλος τις Βοιωτὸς ἐν τῷ τῶν Ἑπτὰ σοφῶν Συμποσίῳ (κεφ. 10) ἀντιστροφὴν τοῦ μυθολογήματος ἐποιήσατο, γράφων τὰ ἑπόμενα :

« Ὑπολαβὼν οὖν ὁ Περίανδρος· Ἀλλὰ μὴν καὶ τοῖς παλαιοῖς Ἕλλησιν ἔθος ἦν, ὦ Κλεόδημε, τοιαύτας ἀλλήλοις ἀπορίας προβάλλειν. Ἀκούομεν γάρ, ὅτι καὶ πρὸς τὰς Ἀμφιδάμαντος ταφὰς εἰς Χαλκίδα τῶν τότε σοφῶν οἱ δοκιμώτατοι ποιηταὶ συνῆλθον· ἦν δὲ ὁ Ἀμφιδάμας ἀνὴρ πολιτικὸς καὶ πολλὰ πράγματα παρασχὼν Ἐρετριεῦσιν ἐν ταῖς περὶ Ληλάντου μάχαις ἔπεσεν· ἐπεὶ δὲ τὰ παρεσκευασμένα τοῖς ποιηταῖς ἔπη χαλεπὴν καὶ δύσκολον ἐποίει τὴν κρίσιν διὰ τὸ ἐφάμιλλον, ἥ τε δόξα τῶν ἀγωνιστῶν, Ὁμήρου καὶ Ἡσιόδου, πολλὴν ἀπορίαν μετὰ αἰδοῦς τοῖς

κρίνουσι παρεῖχεν, ἐτράποντο πρὸς τοιαύτας ἐρωτήσεις καὶ προυβάλομεν, *ὥς φησι Λέσχης* (1)·

Μοῦσα, μοί ἔννεπ' ἐκεῖνα, τὰ μήτ' ἐγένοντο πάροιθεν
μήτ' ἔσται μετόπισθεν.

Ἀπεκρίνατο δὲ *Ἡσίοδος* ἐκ τοῦ παρατυχόντος·

Ἀλλ' ὅταν ἀμφὶ Διὸς τύμβῳ καναχήποδες ἵπποι
ἅρματα συντρίψωμεν ἐπειγόμενοι περὶ νίκης.

Καὶ διὰ τοῦτο λέγεται μάλιστα θαυμασθεὶς τοῦ τρίποδος τυχεῖν».

Καθώς τινες εἰς τὸν 657 στίχον τὸ Ὁμήρου ὄνομα ῥητῶς εἰσέβαλον, παραποιοῦντες «ὕμνῳ νικήσαντ' ἐν Χαλκίδι θεῖον Ὅμηρον», κατὰ τὸν αὐτὸν τρόπον ποίημα, ἄγνωστον τί Ψευδησιόδειον περιεῖχεν ὁμοιότροπον ἔκβασιν, ἐξ ἧστινος Φιλόχορος ὁ Ἀτθιδογράφος ἀπέσπασε τούσδε τοὺς στίχους (Σχόλ. εἰς Πινδ. Νεμ. 2, 1. Πρβλ. Εὐστάθ. εἰς Ἰλ. σ. 6, 14)·

« Ἐν Δήλῳ τότε ΠΡΩΤΟΝ ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ ».

Περίεργον ὅτι καὶ ἐνταῦθα στοχάζεσθαι ἔξεστι πόθεν προῆλθε τὸ πλάσμα. Τῆς ἐν τοῖς χειρογράφοις τῶν Ὁμηρικῶν ὀνομαζομένων Ὕμνων συλλογῆς ἄρχουσι δύο εἰς Ἀπόλλωνα ὕμνοι (ὑπὸ τῶν ἀπογραφέων διὰ τὴν τῆς ὑποθέσεως ὁμοιότητα εἰς ἓν σῶμα συναφθέντες), ὧν ὁ μὲν πρῶτος, ὡς ῥητῶς λέγει ὁ ποιητής, ἔργον τυφλοῦ ἀοιδοῦ Χίου καὶ ἐπὶ τῇ ἐν Δήλῳ πανηγύρει τῶν Ἰώνων ἀγωνιστικῶς ἐξεφωνήθη, τὸ δὲ δεύτερον ἀριδήλως πεποίηται ὑπ' ἀνδρὸς τῶν Βοιωτικῶν ἐμπείρῳ. Τούτοις προστίθεμεν ὅτι ἐξ ἐκείνου τοῦ χωρίου ὁμοῦ τῷ τῆς Θεογ. 30 στίχῳ γραμματικός τις, Νικοκλῆς τὸ ὄνομα, συνεπέρανεν ὅτι Ἡσίοδος γέγονεν ὁ πρῶτος ῥαψῳδός (Σχόλ. Πινδ. Νεμ. 2, 1).

(1) Ἀναφέρεται ἄρα διαβεβαιώσεως χάριν εἰς αὐτόπτην τινά, μᾶλλον δὲ εἰς ἕνα τῶν κριτῶν αὐτῶν.

Καὶ ἄλλοι παρέβλαστον μῦθοι ἀγωνιστικοί! Ἐπειδὴ γὰρ τὰς πλείστας ἐποποιίας οἱ μὲν τούτῳ προσένειμαν τῷ ποιητῇ, οἱ δὲ ἐκείνῳ, οἱ δὲ οὐδενί, καὶ ὁ «Αἰγίμιος», ὥσπερ δείξομεν, οὐχ ὑφ' ἁπάντων Ἡσιόδειος ἐνομίζετο, ἀλλ' ἦσαν οἳ Κέρκωπά τινα προέκρινον, ὅθεν καὶ οὗτοι οἱ δύο ἀγωνίσασθαι λέγονται (Διογέν. Λαέρτ. 2, 46).

Ἐν βραχεῖ λόγῳ ἄλλων τε πλείστων ποιητῶν καὶ συγγραφέων καὶ Ἡσιόδου βίον καὶ ἔργα ἐξέθηκε Σουΐδας ὁ περὶ ὀκτακόσια ἔτη πρὸ ἡμῶν γεγονὼς λεξικογράφος· παροργίζει δὲ ἡμᾶς τοὺς φιλολόγους, ἐπειδὴ ὀκνηρότερον τὸν πίνακα τῶν ψευδεπιγράφων ποιημάτων συνέκοψεν.

« Ἡσίοδος Κυμαῖος, νέος δὲ κομισθεὶς ὑπὸ τοῦ πατρὸς Δίου καὶ μητρὸς Πυκιμήδης ἐν Ἄσκρῃ τῆς Βοιωτίας. Γενεαλογεῖται δὲ εἶναι τοῦ Δίου τοῦ Ἀπέλλιδος τοῦ Μελανώπου, ὅν φασί τινες τοῦ Ὁμήρου προπάτορος εἶναι πάππον, ὡς ἀνεψιαδοῦν εἶναι Ἡσιόδου τὸν Ὅμηρον, ἑκάτερον δὲ ἀπὸ τοῦ Ἄτλαντος κατάγεσθαι. Ποιήματα δὲ αὐτοῦ ταῦτα· Θεογονία, Ἔργα καὶ Ἡμέραι, Ἀσπίς, Γυναικῶν ἡρωϊνῶν κατάλογος ἐν βιβλίοις ε', Ἐπικήδειος εἰς Βάτραχόν τινα ἐρώμενον αὐτοῦ, Περὶ τῶν Ἰδαίων Δακτύλων καὶ ἄλλα πολλά. Ἐτελεύτησε δὲ ἐπιξενωθεὶς παρ' Ἀντίφῳ καὶ Κτιμένῳ, οἳ νύκτωρ δόξαντες ἀναιρεῖν φθορέα ἀδελφῆς αὐτῶν ἀνεῖλον τὸν Ἡσίοδον ἄκοντες. Ἦν δὲ Ὅμηρος κατά τινας πρεσβύτερος, κατὰ δὲ ἄλλους σύγχρονος (Πορφύριος (1) καὶ ἄλλοι πλεῖστοι νεώτεροι ρ' ἐνιαυτοῖς ὁρίζουσιν, ὡς λβ' μόνους ἐνιαυτοὺς προτερεῖν τῆς πρώτης ὀλυμπιάδος) ».

Ταύταις ταῖς ὁλοτελέσι βιογραφίαις συναρτῶμεν ὅσα οἱ παλαιότεροι συγγραφεῖς σπουδαίως παρέδοσαν.

## Πλούταρχος ἐν τῷ Πότερα τῶν ζῴων φρονιμώτερα κεφ. 13 § 10:

Ταῦτα δὲ καὶ τὸν Ἡσιόδου κύνα τοῦ σοφοῦ δρᾶσαι λέγουσι,

(1) Ὁ περιώνυμος καθηγητὴς τῆς Νεοπλατωνικῆς σχολῆς, ὃς συνέγραψε τὴν ἱστορίαν τῆς παλαιᾶς φιλοσοφίας· ταύτης δὲ ἔδοξαν θεμελιωταὶ Ὅμηρος καὶ Ἡσίοδος.

τοὺς Γανύκτορος ἐξελέγξαντα τοῦ Ναυπακτίου παῖδας, ὑφ' ὧν ὁ Ἡσίοδος ἀπέκτεινεν.

Αὐτόθι κεφ. 36 § 7:

Ἡσιόδου δὲ κατὰ καιρὸν αὐτὸς ἡμᾶς, ὦ φίλος, ἀνέμνησας, ἀτὰρ οὐ τέλος ἵκεο μύθων· ἔδει τὸν κύνα αἰτησάμενον (;) μὴ παραλιπεῖν τοὺς δελφῖνας.

## Πλούταρχος (;)
## ἐν τῷ τῶν Ἑπτὰ σοφῶν Συμποσίῳ κεφ. 19:

Ἀλλὰ ταῦτα μέν, ὦ Διόκλεις, ἐγγὺς θεῶν ἔστω καὶ ὑπὲρ ἡμᾶς· ἀνθρώπινον δὲ καὶ πρὸς ἡμᾶς τὸ τοῦ Ἡσιόδου πάθος· ἀκήκοας γὰρ ἴσως τὸν λόγον. Οὐκ ἔγωγε, εἶπον. Ἀλλὰ μὴν ἄξιον πυθέσθαι. Μιλησίου (1) γάρ, ὡς ἔοικεν, ἀνδρός, ᾧ ξενίας ἐκοινώνει Ἡσίοδος καὶ διαίτης ἐν Λοκροῖς, τῇ τοῦ ξένου θυγατρὶ κρύφα συγγενομένου καὶ φωραθέντος, ὑποψίαν ἔσχεν, ὡς γνοὺς ἀπ' ἀρχῆς καὶ συνεπικρύψας τὸ ἀδίκημα, μηδενὸς ὢν αἴτιος, ὀργῆς δὲ καιρῷ καὶ διαβολῇ περιπεσὼν ἀδίκως. Ἀπέκτειναν γὰρ αὐτὸν οἱ τῆς παιδίσκης ἀδελφοὶ περὶ τὸ Λοκρικὸν Νέμειον ἐνεδρεύσαντες καὶ μετ' αὐτοῦ τὸν ἀκόλουθον, ᾧ Τρωΐλος ἦν ὄνομα. Τῶν δὲ σωμάτων εἰς τὴν θάλασσαν ὠσθέντων, τὸ μὲν τοῦ Τρωΐλου εἰς τὸν Δάφνον ποταμὸν ἔξω φερόμενον, ἐπεσχέθη περικλύστῳ χοιράδι μικρὸν ὑπὲρ τὴν θάλασσαν ἀνεχούσῃ· καὶ μέχρι νῦν Τρωΐλος ἡ χοιρὰς καλεῖται· τοῦ δὲ Ἡσιόδου τὸν νεκρὸν εὐθὺς ἀπὸ γῆς ὑπολαβοῦσα δελφίνων ἀγέλη πρὸς τὸ Ῥίον ἐκόμιζε καὶ τὴν Μολοκρίαν. Ἐτύγχανε δὲ Λοκροῖς ἡ τῶν Ῥιείων καθεστῶσα θυσία καὶ πανήγυρις, ἣν ἄγουσιν ἔτι νῦν ἐπιφανῶς περὶ τὸν τόπον ἐκεῖνον. Ὡς δὲ ὤφθη προσφερόμενον τὸ σῶμα, θαυμάσαντες, ὡς εἰκός, ἐπὶ τὴν ἀκτὴν κατέδραμον καὶ γνωρίσαντες ἔτι πρόσφατον τὸν νεκρόν, ἅπαντα δεύτερα τοῦ ζητεῖν τὸν φόνον ἐποιοῦντο, διὰ τὴν δόξαν τοῦ Ἡσιόδου. Καὶ τοῦτο μὲν ταχέως ἔπραξαν, εὑρόντες τοὺς φονεῖς· αὐτούς τε γὰρ κατεπόντισαν ζῶντας καὶ τὴν οἰκίαν κατέσκαψαν. Ἐτάφη δὲ ὁ Ἡσίοδος πρὸς τῷ Νεμείῳ· τὸν δὲ τάφον οἱ πολλοὶ τῶν ξένων οὐκ ἴσασιν, ἀλλ' ἀποκέκρυπται

(1) Μιλήσιον αὐτὸν ἀποκαλεῖ, διότι οἱ Ἴωνες ἁβροδίαιτοι καὶ ἀκόλαστοι ἦσαν.

ζητούμενος ὑπ' Ὀρχομενίων, ὥς φασι, βουλομένων κατὰ χρησμὸν ἀνελέσθαι τὰ λείψανα καὶ θάψαι παρ' αὐτοῖς.

Παυσανίας Θ', 31, 6(5):

Ἐναντία δὲ καὶ ἐς τοῦ Ἡσιόδου τὴν τελευτήν ἐστιν εἰρημένα· ὅτι μὲν γὰρ οἱ παῖδες τοῦ Γανύκτορος Κτίμενος καὶ Ἄντιφος ἔφυγον ἐς Μολοκρίαν ἐκ Ναυπάκτου διὰ τοῦ Ἡσιόδου τὸν φόνον καὶ αὐτόθι ἀσεβήσασιν εἰς Ποσειδῶνα ἐγένετο τῇ Μολοκρίᾳ σφίσιν ἡ δίκη, τάδε μὲν οἱ πάντες κατὰ ταὐτὰ εἰρήκασι· τὴν δὲ ἀδελφὴν τῶν νεανίσκων οἱ μὲν ἄλλου τού φασιν αἰσχύναντος Ἡσίοδον λαβεῖν οὐκ ἀληθῆ τὴν τοῦ ἀδικήματος δόξαν, οἱ δὲ ἐκείνου γενέσθαι τὸ ἔργον.

Ὁ αὐτὸς Θ', 38, 3:

Τάφοι δὲ (ἐν Ὀρχομενῷ) Μινύου τε καὶ Ἡσιόδου· καταδέξασθαι δέ φασιν οὕτω τοῦ Ἡσιόδου τὰ ὀστᾶ. Νόσου μεταλαμβανούσης λοιμώδους καὶ ἀνθρώπους καὶ τὰ βοσκήματα, ἀποστέλλουσι θεωροὺς παρὰ τὸν θεόν· τούτοις δ' ἀποκρίνασθαι λέγουσι τὴν Πυθίαν, Ἡσιόδου τὰ ὀστᾶ ἐκ τῆς Ναυπακτίας ἀγαγοῦσιν ἐς τὴν Ὀρχομενίαν, ἄλλο δὲ εἶναί σφισιν οὐδὲν ἴαμα· τότε δὲ ἐπερέσθαι δεύτερα ὅπου τῆς Ναυπακτίας αὐτὰ ἐξευρήσουσι, καὶ αὖθις τὴν Πυθίαν εἰπεῖν ὡς μηνύσοι κορώνη σφίσιν (1). 4. Οὕτως τοῖς θεοπρόποις, ἀποβᾶσιν ἐς τὴν γῆν, πέτραν τε οὐ πόρρω τῆς ὁδοῦ καὶ τὴν ὄρνιθα ἐπὶ τῇ πέτρᾳ φασὶν ὀφθῆναι· καὶ τοῦ Ἡσιόδου τε τὰ ὀστᾶ εὗρον ἐν χηραμῷ τῆς πέτρας καὶ ἐλεγεῖα ἐπὶ τῷ μνήματι ἐπιγέγραπται·

Ἄσκρη μὲν πατρὶς πολυλήϊος, ἀλλὰ θανόντος
ὀστέα πληξίππων γῆ *Μινυῶν* κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον *ἐν Ἑλλάδι κῦδος ὀρεῖται*
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

Πρόκλος εἰς Ἔ. κ. Ἡ. 631:

Ἀοίκητον δὲ αὐτὸ (τὸ πολίχνιον, τὴν Ἄσκραν) ὁ Πλούταρ-

(1) Πρὸς τοῦτο τὸ ἱστόρημα ἀποβλέπει Λουκιανὸς ἐν Περεγρίνου θανάτῳ (41).

χος ἱστορεῖ καὶ τότε εἶναι, Θεσπιέων ἀνελόντων τοὺς οἰκοῦντας, Ὀρχομενίων δὲ τοὺς σωθέντας δεξαμένων. Ὅθεν καὶ τὸν θεὸν Ὀρχομενίοις προστάξαι τὰ Ἡσιόδου λείψανα λαβεῖν καὶ θάψαι παρ' αὐτοῖς, ὡς καὶ Ἀριστοτέλης φησὶ γράφων τὴν Ὀρχομενίων Πολιτείαν.

Ἀνθολογ. Θ΄, ἐπίγρ. 64 Ἀσκληπιοῦ, οἱ δὲ Ἀρχίου:

Αὐταί ποιμαίνοντα μεσαμβρινὰ μῆλά σε Μοῦσαι
ἔδρακον ἐν κραναοῖς οὔρεσιν, Ἡσίοδε,
καί σοι καλλιπέτηλον ἐρυσσάμεναι περὶ πᾶσαι
ὤρεξαν δάφνης ἱερὸν ἀκρέμονα,
δῶκαν δὲ κράνας Ἑλικωνίδος ἔνθεον ὕδωρ,
τὸ πτανοῦ πώλου (1) πρόσθεν ἔκοψεν ὄνυξ,
οὗ σὺ κορεσσάμενος μακάρων γένος, ἔργα τε μολπαῖς
καὶ γένος ἀρχαίων ἔγραφες ἡμιθέων.

Ἀνθολογ. Ζ΄, ἐπίγρ. 52 Δημιούργου:

Ἑλλάδος εὐρυχόρου στέφανον καὶ κόσμον ἀοιδῆς,
Ἀσκραῖον γενεήν, Ἡσίοδον κατέχω.

Ἀνθολογ. Ζ΄, ἐπίγρ. 5 Ἀλκαίου (τοῦ νεωτέρου):

Λοκρίδος ἐν νέμεϊ σκιερῷ νέκυν Ἡσιόδοιο
Νύμφαι κρηνιάδων λοῦσαν ἀπὸ σφετέρων,
καὶ τάφον ὑψώσαντο· γάλακτι δὲ ποιμένες αἰγῶν
ἔρραναν, ξανθῷ μαξάμενοι μέλιτι·
τοίην γὰρ καὶ γῆρυν ἀπέπνεεν ἐννέα Μουσέων
ὁ *πρέσβυς* καθαρῶν γευσάμενος λιβάδων.

Τὸ τίμιον ἐπίθετον τοῦ γέροντος παρὰ τῶν Ἀλεξανδρέων ὀνομαζομένων ποιητῶν παρέλαβον οἱ Ῥωμαῖοι (ὡς Ὀβίδιος: Agricolæ Musa senis), οἵπερ αὐτὸ παρενενόησαν ὡς Ἡσίοδος οὐ κατέστη ποιητὴς εἰ μὴ γηράσας (Ἴδε τὸν ἅγιον Ἱερώνυμον

(1) Τοῦ Πηγάσου· ἴδε τὸ εἰς Θ. 3 σχόλιον.

ἐπιστ. 52, 3). Ἀλλ᾽ ὅμως τῇ ἀληθείᾳ ἐκεῖνο ὥρμησεν ἐκ τοῦ προοιμιαζομένου «Ἡσιοδείου γήρως», ὅπερ ἔλεγον ἐπὶ τῶν ὑπεργήρων (Παράρτημα Παροιμιῶν 4, 92 ἔκδ. τῶν Γοιττιγγέων Α΄, σ. 456, Σουΐδας), ἀφ᾽ οὗ ὁ Ἡσίοδος ἐν θρυλουμένῳ τινὶ ἀποφθέγματι ἀπηρίθμησε τὰ εἰς τὸ βαθύτατον γῆρας προήκοντα ζῷα.

---

Πλείστης σπουδῆς ἄξιόν ἐστι τὸ περὶ τῆς *ἡλικίας* τοῦ ποιητοῦ ζήτημα. Ναὶ μὲν οὐδεμίαν ἂν παρεῖχε δυσκολίαν, εἰ βέβαιον ἦν πότε Ἀμφιδάμας ὁ ἐν τοῖς Ἔ. κ. Ἡ. (στ. 654) μνημονευόμενος βασιλεὺς ἐδέσποζε τῆς Χαλκίδος· οἱ δὲ παλαιοὶ χρονογράφοι ἐξ ἐναντίας τούτου τὴν ἡλικίαν ὥρισαν κατὰ τὴν Ἡσιόδου, ἐπειδὴ πυκνὸν ἐπεκράτει σκότος περὶ τῆς ἱστορίας τῶν χρόνων ἐκείνων. Ἡσιόδου ἄρα οὐδενὸς ἄλλου γεγονότος μνείαν ποιουμένου, οἱ λόγιοι ἀνέκαθεν κατεγίνοντο εἰς εἰκασίας καὶ συνδυασμούς. Ἀριστοτέλης μὲν οὖν καὶ Ἀρίσταρχος μετὰ τῶν ὀπαδῶν αὐτοῦ καὶ δὴ καὶ ὁ Βοιωτὸς Πλούταρχος(1)—τοὺς δὲ ἧττον ἐνδόξους, οἵτινες αὐτοῖς συγκατετίθεντο, παραλείπομεν,—Ὅμηρον ἐνόμιζον παλαιότερον, καίτοι στηριζόμενοι ἐπ᾽ ὀλιγοστῶν αἰτιῶν· ὅσα γὰρ οὐχ ηὕρισκον προκατειρημένα παρ᾽ Ὁμήρῳ, ἐφαίνοντο αὐτοῖς νεωτερισμοὶ ἢ καὶ ἀσαφῶν Ὁμήρου στίχων παρεξηγήσεις(2). Ἀξιολογώτερα μὲν ὅσα ἐσημείωσαν πρὸς τὰ γεωγραφικὰ καὶ ἀρχαιολογικά(3), ἀλλ᾽ οὐχὶ διέκριναν τὰ νοθευόμενα καὶ τὰ γνήσια ποιήματα. Οὐδὲν λοιπὸν τούτων κατάδηλόν ἐστιν, εἰ μὴ τὸ ὅτι Ὅμηρος τὸν Νεῖλον (Θεογ. 338) ὀνομάζει Αἴγυπτον· τίς ὅμως ἔξοιδε πότερον ἦν ἐν χρήσει(4); Τὸν ποταμόν, ὥσπερ ἀπο-

(1) Παραμυθητ. πρὸς Ἀπολλώνιον 7.

(2) Μυθολογικά: Σχόλ. Ἰλ. Ε 422. 741. 880. Ζ 181. Θ 368. Λ 36. 750. Σ 38. Ω 527. Ὀδ. θ 362. Θεογ. 223. 746. 934. 1004. Ἔ. κ. Ἡ. 94. Ἡσύχ. Γοργείην κεφαλήν. Παυσαν. 9, 25, 6.—Γραμματικά: Σχόλ. Ἰλ. Π 34. Υ 227. Ω 25. πρβλ. Ξ 119. Τοιούτοις στίχοις Ὁμήρου προσέγραφον τὴν διπλῆν (Σχόλ. Ἰλ. Ζ 181. 183. Λ 750. Π 34. Ω 527).

(3) Ἀπολλόδωρος παρὰ Στράβ. 7, 299. 306. 8, 370. 13, 587. Σχόλ. Ἰλ. Ι 246. Κ 431. Μ 22. Ὀδ. δ 477.—Σχόλ. Ἰλ. Ψ 683. Σχόλ. Α 215. Πρβλ. καὶ Σχόλ. Ἰλ. Τ 411.

(4) Πρὸ Σόλωνος ηὕρηται τὸ τοῦ Νείλου ὄνομα καὶ ἐν τῷ πρώτῳ ἀποσπάσματι τῆς Δαναΐδος.

δεικνύει ἡ ζωγραφία Μαχαιρίου Μυκηναίου (1), οἱ Ἕλληνες ἐγίνωσκον ἀπὸ παμπαλαίων χρόνων. Ἡμεῖς δέ, ἐπιζητοῦντες εἴ τι παρέλιπον ἐκεῖνοι, οὐδὲν πλέον δυνάμεθα ἀνιχνεῦσαι, διότι τὰ περὶ τῶν Τυρρηνῶν καὶ Λατίνου (Θεογ. 1013-1016) εἰρημένα τοσοῦτο μυθικῶς προφέρονται, ὥστε οὐδεὶς ἂν ἀποδείξειεν ἐκ τούτων ὅτι Ἡσίοδος τὰς παλαιοτάτας εἰς Ἰταλίαν ἀποικίας τῶν Ἑλλήνων ἐγίνωσκεν.

Πλὴν οἱ Ἀλεξανδρεῖς οὐκ ἐντελῶς ἀπέτυχον τοῦ σκοποῦ, ὑπ' ὄψιν τιθέντες τὰς παρ' Ἡσιόδῳ Ὁμηρικὰς ἀντηχήσεις, ἀκριβέστερον δὲ εἰπεῖν, τοὺς ἐκ τοῦ Μαιονίδου ἀρυομένους στίχους (2). Αὐστηρῶς δὲ καὶ ἀδίκως Ποσειδώνιος ὁ Ἀπολλωνιάτης τὸν Ἀσκραῖον ἐμέμψατο, ὅτι πολλοὺς στίχους τοῦ φιλοκάλου προηγήτορος διέφθειρεν (3). Καθόλου ἡ Ἡσιόδειος ἐποποιία ἐξέβλαστεν ἐκ τῆς Ὁμηρικῆς· Ὁμήρου λοιπὸν ἡ διάλεκτος, Ὁμήρου τὰ πλεῖστα τῶν ἐπιθέτων καὶ φράσεων, Ὁμήρου καὶ πολλὰ ἡμιστίχια καὶ οὐκ ὀλίγοι στίχοι ὁλόκληροι. Τὸ δάνειον τοῦτο ὁ Ἡσίοδος ἐπωφελεῖται ὡς ἐπὶ τὸ πλεῖστον ἐπιτηδείως καὶ ῥυθμοπρεπῶς, πλὴν ὁ χαρακτὴρ τοῦ νομίσματος ἀπὸ χειρὸς εἰς χεῖρα διαδιδομένου ἔστιν ὅτε περιτέτριπται καὶ ἐξήμβλυται. Τὰς ἀντηχήσεις ταύτας μέλλομεν ἀναφέρειν ἁπάσας ἐν ταῖς σημειώσεσιν ὡς πλείστην σπουδαιότητα ἐχούσας πρὸς κρίσιν τοῦ ποιητοῦ. Ὁ γὰρ ἀληθῶς διὰ ποιητικῶν δώρων πεπροικισμένος διαφέρει τοῦ ἀπειροκάλου σφοδρῶς λίαν εἰς τρόπον, καθ' ὃν παραδέχεται καὶ μεταπλάσσει ὅσα τῶν ἀλλοτρίων αὐτῷ ἀρέσκουσιν. Ἀλλὰ πόθεν πεποίθαμεν, ἔχοι ἄν τις ἀντιπαρατηρῆσαι, ὅτι ὁ Ἡσίοδος ἤκουσε τὰ Ὁμηρικὰ ποιήματα αὐτὰ καὶ οὐχὶ παλαιότερα ᾄσματα, ἅτινα ἐμιμήσατο καὶ αὐτὸς ὁ Ἰωνικὸς ποιητής; Ἡ πρόφασις αὕτη ἐξαφανίζεται διὰ τοῦ τῶν ποταμῶν καταλόγου (Θεογ. 342 κέ.). Τί γὰρ ἐκίνησε τὸν Ἡσίοδον, ὅπως ῥυάκια οὐτιδανὰ συγκαταριθμήσῃ τοῖς μεγίστοις ὧν ἐγίνωσκε ποταμοῖς, εἰ μὴ ἡ εὔκλεια, ἥνπερ αὐτοῖς ἀπένεμεν ἡ τότε ἤδη πασίγνωστος ἐποποιία ; (4)

(1) Bulletin de correspondance héllenique 1886 Π. Λ' 1. Mittheilungen des deutschen Institutes in Athen τ. Ζ', Π. 8.

(2) Σχόλ. 'Οδ. ε 478.

(3) Τζέτζ. 'Εξήγ. 'Ιλ. σ. 19, ἔκδ. Hermann.

(4) Σχόλ. 'Ιλ. Μ 22 ἡ διπλῆ . . . ὅτι ἀνέγνω ὁ Ἡσίοδος τὰ Ὁμήρου ὡσὰν νεώτερος τούτου· οὐ γὰρ ἐξενήνοχε τοὺς ποταμούς, μὴ ὄντας ἀξιολόγους, εἰ μὴ δι'

Βεβαιοῦντες ἄρα ὅτι τῶν δύο παλαιῶν ἐπικῶν Ἡσίοδος ἦν ὁ νεώτερος, οὐ πολὺ προεκόψαμεν, ἐπειδὴ οὐδὲ Ὁμήρου τὴν ἡλικίαν διορίζειν ἀκριβῶς ἔξεστιν· ἂν δὲ ἀνιχνεύσωμεν ἀπὸ τοῦ ἄλλου μέρους ὅριον χρονολογικόν, πρῶτον ἀπαντᾷ Στησίχορος, ὅσπερ κατὰ τὴν τοῦ ἕκτου αἰῶνος ἀρχὴν Ἡσίοδον θεωρεῖ ἔνδοξον παλαιὸν ποιητὴν καὶ εἰς αὐτὸν ἀναφέρει τὴν Ἀσπίδα ποίημα ὂν ἀνωνύμου Βοιωτοῦ. Οὐ πολὺ δὲ ὕστερον Ἡράκλειτος ὁ σκοτεινὸς φιλόσοφος καὶ Ξενοφάνης ὁ ποιητὴς ἅμα καὶ φιλόσοφος οὐ γινώσκουσιν ἀρχαιοτέρους, οἵστισιν ἐπιβάλοιεν τὴν ἐπινόησιν τῆς Ἑλληνικῆς μυθολογίας, εἰ μὴ πρὸς Ὁμήρῳ τὸν Ἡσίοδον. Προσεπάθησάν τινες προχωρῆσαι εἰς προγενεστέρους χρόνους, ἰχνοσκοποῦντες παρὰ τοῖς πρώτοις λυρικοῖς Ἡσιοδείους γνώμας· κατὰ δὲ τὴν αὐτὴν μέθοδον ἄλλος τις εὐκόλως ἂν δυνηθείη συμπερᾶναι, ὅτι καὶ Σολομῶν ἀνέγνω τὰ Ἔργα καὶ Ἡμέρας. Τέλος πάντων, πότερον ὁ ποιητὴς πρὸ τῆς πρώτης Ὀλυμπιάδος ἔζησεν ἢ οὐχὶ καὶ πόσα ἔτη, ἀνεξερεύνητον φαίνεται, εἰ καὶ ἐκεῖνο τοσοῦτον ὅσον βέβαιόν ἐστιν.

Ὥσπερ Ὁμήρῳ, οἱ παλαιοὶ ἀπεδίδοσαν Ἡσιόδῳ πάντα *τὰ ποιήματα* ὅσα, εἴτε ἀνωνύμως εἴτε ὑπ' ἄλλου ἧσσον ἐνδόξου ὀνόματι περιφερόμενα, ἔφερον τὸν Ἡσιόδειον χαρακτῆρα. Προοιμιαζέσθω δὲ περὶ τούτων Παυσανίας ὁ περιηγητής, ὅς ἐν τῇ τοῦ Ἑλικῶνος περιγραφῇ (9, 31, 4, 5) κατακεχώρικε τὰ ἑξῆς· «Βοιωτῶν δὲ οἱ περὶ τὸν Ἑλικῶνα οἰκοῦντες παρειλημμένα δόξῃ λέγουσιν, ὡς ἄλλο Ἡσίοδος ποιῆσαι οὐδὲν ἢ τὰ *Ἔργα*· καὶ τούτων δὲ τὸ εἰς τὰς Μούσας ἀφαιροῦσι προοίμιον, ἀρχὴν τῆς ποιήσεως εἶναι τὸ εἰς τὰς Ἔριδας λέγοντες· καί μοι μόλυβδον ἐδείκνυσαν, ἔνθα ἡ πηγή (ἡ Ἱπποκρήνη), τὰ πολλὰ ὑπὸ τοῦ χρόνου λελυμασμένον· ἐγγέγραπται δὲ αὐτῷ τὰ Ἔργα. Ἔστι δὲ καὶ ἑτέρα δόξα κεχωρισμένη τῆς προτέρας ὡς πολύν τινα ἐπῶν ὁ Ἡσίοδος ἀριθμὸν ποιήσειεν, ἐς γυναῖκάς τε ᾀδόμενα, ἃς *μεγάλας* ἐπονομάζουσιν *Ἠοίας*, καὶ *Θεογονίαν* (1) τε καὶ ἐς τὸν μάντιν

Ὅμηρον· καὶ τῷ Σιμοῦντι προσέθηκεν ἐπίθετον τὸ «θεῖόν τε Σιμοῦντα» (ἔστι δὲ μικρὸς ὁ Σιμοῦς, Σχόλ. Βικτωρίου).

(1) Ἐκ τοῦ εἱρμοῦ τῶν λέξεων πιθανὸν φαίνεται ὅτι «Θεογονίαν» ἀντικατέστησε τὸ ἀρχέτυπον μέν, ἧσσον δὲ γνωστὸν «*Ἡρωογονίαν*» (ἤτοι Κατάλογον γυναικῶν). Ἡ δὲ Θεογονία ἐμνημονεύθη ἐν ἄλλῳ τῆς περιόδου μέρει.

Μελάμποδα *(Μελαμποδίαν)* καὶ ὡς Θησεὺς ἐς τὸν Ἅδην ὁμοῦ Πειρίθῳ καταβαίη, *παραινέσεις* τε *Χείρωνος* ἐπὶ διδασκαλίᾳ δὴ τῇ Ἀχιλλέως, καὶ ὅσα ἐπὶ Ἔργοις τε καὶ Ἡμέραις (1)· οἱ δὲ αὐτοὶ οὗτοι λέγουσι καὶ ὡς μαντικὴν Ἡσίοδος διδαχθείη παρὰ Ἀκαρνάνων· καὶ ἔστιν ἔπη μαντικά, ὁπόσα τε ἐπελεξάμεθα καὶ ἡμεῖς (2) καὶ *ἐξηγήσεις ἐπὶ τέρασιν*». Οἱ Θεσπιεῖς οὐκ ἀμερόληπτοι ἦσαν κριταὶ τοῦ κριτικοῦ τούτου ζητήματος. Ἀπεδοκίμασαν μὲν τὸ προοίμιον τῶν Ἔργων, διότι τὰς Πιερίδας, ἀλλ' οὐχὶ τὰς Ἑλικωνιάδας, ἀνυμνεῖ, γνήσια δὲ ἔκριναν τὰ Ἔργα, ἅτε τούτων μόνον ἀντίτυπον ἀρχαιοπρεπὲς (μᾶλλον δὲ ἀρχαιοπινὲς) ἔχοντες. Ἀλλοίως ἔχει ἡ τῶν χρόνων κρίσις. Οἱ Βυζαντῖνοι οὐ παρεδέξαντο ὡς Ἡσιόδου ποιήματα εἰ μὴ τὴν *Θεογονίαν* καὶ τὰ *Ἔργα καὶ Ἡμέρας* καὶ τὴν *Ἀσπίδα*. Αὕτη γε εὐνοήθη τύχῃ ἀδίκῳ· πρὸ πολλοῦ γὰρ οἱ κριτικοί, ὡς εἰρήσεται ἐν τῇ εἰδικῇ εἰσαγωγῇ, αὐτὴν κατέκριναν. Ὡς πρὸς δὲ τὴν Θεογονίαν, τῷ Παυσανίᾳ ἀντιτάσσομεν Πλούταρχον, ἄλλως μὲν μετὰ φιλοπατρίας ἐξαίροντα τὴν Βοιωτίαν καὶ τηροῦντα τὰ πάτρια, τῆς δὲ παραδόσεως ἐκείνης παντάπασιν ἀμελοῦντα (3). Ὅ,τι γοῦν ἐκίνησε τοὺς πρὸς τῷ Ἑλικῶνι Βοιωτούς, εἴπομεν. Ἄλλη δέ τις αἰτία οὐχ ὑπῆρχεν. Ὅστις ἀποδοκιμάσῃ τὴν Θεογονίαν, τὸ προοίμιον αὐτῆς ἀναφέρει εἰς νοθευτὴν καὶ ψεύστην· ἡμεῖς δέ, κατὰ τοὺς νομομαθεῖς πάντας προϋπολαμβάνοντες καλοκαγάθους, οὐ κατανοοῦμεν πῶς ἡ τοιαύτη αἰτία δικαιοῦται. Τοὐναντίον οὐδὲν οὐκ ἐπικυροῖ τὴν τοῦ ποιητοῦ ταυτότητα. Τό τε ὕφος καὶ ἡ διάλεκτος τῶν ποιημάτων τοσοῦτο συνᾴδουσιν, ὅσον διδακτικὸν ποίημα, ἔχον δημώδη τινὰ ἐπίχρωσιν, συμφωνεῖ ἐποποιίᾳ Ὁμη-

(1) Αἰνίττεται τὰ Μεγάλα Ἔργα, τὴν Ὀρνιθομαντείαν, τὴν Ἀστρονομίαν.

(2) Δηλαδὴ τὴν ἄρτι μνημονευθεῖσαν Ὀρνιθομαντείαν.

(3) Ὁμοίως ἀμφέβαλλον περὶ τῆς τοῦ ποιητοῦ γνησιότητος ***Ἡράκλειτος*** ὁ σκοτεινὸς (Ἱππολυτ. ἀναιρ. αἱρετ. σ. 444. 446: Διδάσκαλος δὲ πλείστων Ἡσίοδος· τοῦτον ἐπίστανται πλεῖστα εἰδέναι, ὅστις ἡμέραν καὶ εὐφρόνην οὐκ ἐγίνωσκεν· ἐστὶ γὰρ ἕν), *Ξενοφάνης* (Σέξτ. Ἐμπειρ. Κατὰ μαθημ. 1, 193), *Ἡρόδοτος* (2, 52), ***Ἀριστοτέλης*** (Μεταφ. Α', σ. 983 β 29. 1000 α 9), ***Ἱερώνυμος*** ὁ Ῥόδιος ἐν τῇ «Καταβάσει εἰς Ἅδου» (Διογέν. Λαερτ. 8, 21, πρβλ. ὅσα γράφει Ἴλλερ ἐν τῇ Satura Sauppio oblata σ. 106 κέ.), τοὺς δὲ μεθύστερον ἐῶμεν. Ἆρά γε τῶν σκεπτικῶν ἐκείνων ἦσαν οἱ διατεινόμενοι, ὡς τὸν Ἠριδανὸν οὐδεὶς ἐμνημόνευσε πρὸ Φερεκύδου, ἐν τῇ Θεογονίᾳ (338) κειμένου τοῦ ὀνόματος; (Ἴδε Ὑγῖνον περὶ μύθων 154).

ριζούση τοῦτο ἀποδειχθήσεται ἀκονιτὶ ἐν ταῖς σημειώσεσιν. Οὐκ ἀρκεῖ ὅμως ἡ ἀπόδειξις αὕτη, ἀλλ᾽ ὁ ποιητὴς ἐν τῇ τῶν Ἔργων εἰσβολῇ, ὡς παρατηρήσομεν, ἀποβλέπει εἰς τὴν τῆς Θεογονίας, ὡσαύτως δὲ ἐν τῷ 659 στ. Συμπεραίνεται λοιπόν, ὅτι ἡ Θεογονία καὶ ὑπὸ τοῦ αὐτοῦ καὶ πρότερον τῶν Ἔργων ἐποιήθη. Ἀλλὰ ἡ διήγησις τοῦ περὶ Πανδώρας μύθου, οἵα τις ἐν τοῖς Ἔργοις κεῖται (47-89), ἐκτρέπεται τῆς εἰς τὴν Θεογονίαν (570-589) κατακεχωρισμένης! Κατ᾽ ἐμέ, ὁ ἐπιεικὴς κριτὴς οὐχ εὑρίσκει ἄλλας διαφορὰς ἢ παραλλαγάς, ἄς, εἰ μὴ μετεχειρίσατο ὁ Ἡσίοδος, ἄξιος ἂν ἦν μομφῆς τῶν εὐφυῶν ἁπάντων, μικροπρέπειαν σχολαστικὴν προτιμῶν τῆς ποιητικῆς χάριτος. Ὅτι γὰρ ἐκεῖνο οὐκ ἐγένετο ὑπὸ ἐπιλησμοσύνης, δῆλον ἐκ τοῦ εὐφυῶς συναρμόζειν τὰς διηγήσεις ἀμφοτέρας, ὥστε μὴ ἀντιφάσκειν, ἀλλ᾽ ἀλλήλας ἀναπληροῦν. Ἀνακεφαλαιοῦμεν λοιπὸν ὅτι ὁ Ἡσίοδος ἐποίησε τὴν *Θεογονίαν* καὶ ὕστερον τὰ *Ἔργα καὶ Ἡμέρας*.

Εἴγε ἄρα τὰ ποιήματα ταῦτα τῆς αὐτῆς εἰσιν εὐφυΐας γεννήματα, μονοειδὴς *τρόπος τῆς ποιήσεως* δηλονότι ἐν ἀμφοτέροις ἐπικρατεῖ. Πρὶν δὲ ἡμεῖς περὶ τούτου ἀποφαινώμεθα τὴν γνώμην, προηγείσθων οἱ παλαιοί, ἐπιτηδειότεροι ἡμῶν ὄντες κρίνειν τὰ κατ᾽ αὐτούς.

« Εἰσὶ τρεῖς ἰδέαι λόγων, κατὰ Πλάτωνα, ἡ μιμητικὴ καὶ δραματική, καθ᾽ ἣν ὁ ποιητὴς συνεχῶς εὐδοκιμεῖ τοῖς ἤθεσι τῶν εἰς μίμησιν ὑποκειμένων προσώπων· δευτέρα ἰδέα ἡ ἀμίμητος, ὡς ἡ Φωκυλίδου καὶ Θεόγνιδος· καὶ τρίτη ἡ μικτή, ὡς *ἡ τοῦ Ἡσιόδου*» (Εὐστάθιος εἰς Ἰλ. Β 494).

« Ἀρετὴ δ᾽ ἑρμηνείας ἐν τοῖς τοιούτοις (τοῖς γενεαλογικοῖς) καθαρότης καὶ τὸ ἀπροσκορὲς γένοιτ᾽ ἂν ἐν ποιήσει ἐκ συμμετρίας τῶν περιφράσεων, ἐν δὲ τῇ συγγραφῇ ἐκ τῆς ποικιλίας τῶν κώλων. Παρέσχετο δὲ τὴν μὲν ἐν ποιήσει ἀρετὴν Ἡσίοδος καὶ γνοίη τις ἂν μᾶλλον, εἰ τοῖς Ὀρφέως παραθείη» (Μένανδρος περὶ ἐπιδεικτικῶν κεφ. ζ').

« Ἡσίοδος μὲν γὰρ ἐφρόντισεν ἡδονῆς καὶ ὀνομάτων λειότητος καὶ συνθέσεως ἐμμελοῦς» (Ἐπιτομὴ τῆς Διονυσίου τοῦ Ἁλικαρνασσέως κρίσεως τῶν ἀρχαίων 2, 2· ἐκ δὲ τοῦ πλήρους βιβλίου Κυιντιλιανὸς ὁ ἄριστος τῶν ἐν Ῥώμῃ διδαξάντων τὴν ῥητορικήν, ἠρύσατο τάδε [10, 1, 52]: Raro adsurgit Hisi-

odus magnaque pars eius in nominibus est occupata, tamen utiles circa præcepta sententiæ levitasque verborum et compositionis probabilis daturque ei palma in illo medio genere dicendi.

. . . τὸ προσηνὲς τῶν ἐπῶν καὶ τὸ εὐανθὲς τῆς ἁρμονίας» (Μάξιμος ὁ Τύριος λόγ. 32, 2).

« Ὁ γὰρ μᾶλλον ἀφελὴς τῶν λόγων μᾶλλον γλυκὺς καὶ ὅτι καὶ ταύτῃ πολλοὶ χρῶνται καθ᾿ ἑαυτὴν ὥσπερ Ὀρφεὺς καὶ Ἡσίοδος καὶ οἱ λεγόμενοι ἐγκύκλιοι» (Ἰωάννης ὁ Σικελιώτης ἐν σχολίῳ εἰς Ἑρμογένους Ἰδεῶν Β΄, κεφ. ϛ΄).

« Vir fuit perelegantis ingenii et mollissima dulcedine carminum memorabilis»=τῇ λεισιάνῃ γλυκύτητι τῶν ποιημάτων διέφερεν (Velleius ἐν ἱστορίας 1, 7).

Πλὴν τοῦ γνωμικοῦ καὶ γενεαλογικοῦ, ἅπερ πρὸς τὴν ὕλην μᾶλλον ἢ πρὸς τὴν ποιητικὴν σχέσιν ἔχουσιν, οἱ Ἀλεξανδρεῖς ὡς « Ἡσιόδειον χαρακτῆρα » ἐσήμαινον τοὺς ὀνομάτων καταλόγους (1). Ἀλλὰ καὶ τούτους ἀπεζήτησεν ἡ ὕλη, ὥστε τῷ φιλοκάλῳ ποιητῇ οὐδὲν ὑπελείπετο, εἰ μὴ τὸ γλυκαίνειν τὴν ψυχρότητα τῶν κυρίων ὀνομάτων. Τοῦτο δὲ κατώρθωσεν ὅσον οἷόν τε κάλλιστα ὁ ποιητής. Ἄλλα μὲν τεχνάσματα ταμιευόμεθα εἰς τὰς σημειώσεις, νῦν δ᾿ ἤδη μνημονευτέα ἡ ὁμοιοκαταληξία, ἀπαντῶσα ἐν στ. 251. 257. 258. 353. 360 κ. ἀ. καὶ προδιατυπωθεῖσα ἐν τῇ Ἰλιάδι (Σ 43. 47), εἴπερ ὁ τῶν Νηρείδων κατάλογος γνήσιος. Πρὸς δὲ ἔστιν ἃ ἡμεῖς γε μὲν οὐκ αἰσθανόμεθα εὐσκόπως καὶ ἐντέχνως κείμενα, οἱ δὲ ὀξυήκοοι ἐκεῖνοι Ἕλληνες καὶ ἐθαύμαζον (2).

Ὅτι ὁ τοῦ Ἀσκραίου τρόπος ἀλλοῖος ἦν ἢ ὁ τοῦ Μαιονίδου, οὐκ ἔφυγε τοὺς παλαιοὺς κριτικούς, τὰ χαρακτηριστικὰ ὅμως παρεῖδον. Πρῶτον μὲν ἦν Βοιωτός· δραστικὸν δέ τι ἐνῆν ἐν τῇ τούτων διαλέκτῳ, ὅπερ εἶχε ῥοπὴν καὶ εἰς τὸ ἄλλως ἀηδὲς ὕφος τῶν δημοσίων ἐγγράφων, ὥστε π. χ. ὁ Βοιωτῶν δῆμος ἐψηφί-

(1) Σχόλ. Ἰλ. Σ 39. Ω 614. Ὀδ. ο 74.

(2) Πλουτάρχ. Συμποσ. Προβλ. 9, 15: ὃ δὴ τάξει μέν τινι καὶ ἀριθμῷ γενόμενον ἔοικε τοῖς ἐν ποιητικῇ κυρίοις ὀνόμασι μετά τινος κόσμου καὶ λειότητος ἐκφερομένοις ὡς τὰ τοιαῦτα (ὡς παραδείγματα ἀναφέρει Θεογ. 16. 17 καὶ τὸ περὶ τῶν Ἕλληνος υἱῶν ἀπόσπασμα).

σατο, ἐάν τις Ἀθηναίων ἐπὶ τοὺς τυράννους ὅπλα διὰ τῆς Βοιωτίας κομίζῃ, *μηδένα Βοιωτὸν ἀκούειν μηδὲ ὁρᾶν*(1). Ἡ Βοιωτία ἦν καὶ πατρὶς τῆς αἰνιγματώδους Σφιγγός, ἧστινος τὸ τετράπουν καὶ τρίπουν ζῷον προφανῶς κατὰ τὴν ἰδέαν συμφωνεῖ τοῖς παρ' Ἡσιόδῳ *τρίπους βροτός* (Ἔ. κ. Ἡ. 533), *ἀνόστεος* (πολύπους 526), *ὑληκοῖται* (θηρία 529), *εὐφρόνη* (νὺξ 560), *ἡμερόκοιτος* (κλέπτης 605), *πέντοζος* (χεὶρ 744), *ἴδρις* (μύρμηξ 776), *εὐφρόνη* (νὺξ Θ. 440) (2). Δεύτερον δὲ ὁ Ἡσίοδος οὐκ ἦν ῥαψῳδός, καθ' ἡμέραν σχεδὸν λαμβάνων ἐντυπώσεις καινὰς καὶ ποικίλας, ἀλλὰ γεωργός, ἔτος παρ' ἔτος ἀναμετρούμενος τὸν στενὸν κύκλον τῶν ἑαυτοῦ ἐργασιῶν. Μονότονος ἄρα ὥσπερ ὁ βίος φαίνεται καὶ ἡ ποίησις αὐτοῦ. Πολλάκις ἡ αὐτὴ λέξις ἐπανέρχεται ἐν τῷ ἀμέσως ἑπομένῳ στίχῳ (π. χ. Θ. 33 κέ. 46-49. 263 κέ. 886 κέ.). Ἡ τῶν περιόδων πλοκὴ ἐπίσης μονοτονίας οὐκ ἀπήλλακται. Διὸ καὶ οὐ παράδοξον, ὅτι στίχοι τινὲς ἐντελῶς ἢ σχεδὸν ἀπαράλλακτοι διλογοῦνται (3). Ἔτι δὲ ὁ Ἡσίοδος, ἐπειδὴ στερεῖται τῆς τῶν ἀοιδῶν ἀδιακόπου ἀσκήσεως, ἐμπίπτει ἔστιν ὅτε εἰς ἀπορίαν λέξεων καὶ κακοφωνίαν ἢ τῷ μέτρῳ ἀναγκάζεται ἐκφέρειν τὴν γνώμην ἧσσον σαφῶς. Τίς δὲ ἔξοιδεν εἰ πέντε αἰῶσιν ὕστερον ἐχρήσατ' ἂν τῷ ἑξαμέτρῳ καὶ καθόλου τῷ μετρικῷ σχήματι; Ἐν τούτοις, τοῦ ποιητοῦ ὀνόματος οὐ μόνον, διότι ἐμμέτρως ἔγραψεν, ἄξιος ἐγένετο. Ἐλπίσι θερμαινόμεθα, ὡς αἱ ποιητικαὶ καλλοναὶ πλέον κατάδηλοι γίνονται ἐκ τῶν ὑπομνημάτων ἡμῶν. Εὔρωστος θαλερότης καὶ κωμική τις χάρις, τρεφόμεναι τῇ γεωργικῇ ἁπλότητι, δροσίζουσι τὸν ἀναγνώστην ἐν ἁπάσῃ σελίδι, τὰ μάλιστα δέ, ὡς φυσικόν, ἐν τοῖς Ἔργοις (4). Ἀνελπίστως ἔνθα καὶ ἔνθα ἀναλάμπουσι σπινθῆρες Μουσοθρέπτου ἀληθῶς φαντασίας. Ἐφευρίσκει μεταφορὰς ζωγραφικάς, οἷον «πτερὰ νηός,» αἵτινες ἐξέπρεπον ἂν καὶ ἐν τοῖς Ὁμηρικοῖς ποιήμασιν. Ἀξιότιμος δὲ μάλιστα φαίνεται ὁ

(1) Πλουτάρχ. Πελοπίδ. 6.

(2) Βοιωτικὰ ἦσαν, καθ' Ἡσύχιον, καὶ *ἠίκανος* (ἀλεκτρυὼν) καὶ *ἀνωδόρκας* (βρίγκος ὁ ἰχθύς).

(3) Θ. 150—152=671—3 (152=Ἔ. κ. Ἡ. 189). Θ. 519=747. Ἔ. κ. Ἡ. 124—5=254—5. 317=500.

(4) Περιεργότατον τῆς ἁπλότητος παράδειγμα ἡ πρὸς τὸν Δία προσφώνησις Ἔ. κ. Ἡ. 10.

Ἡσίοδος, ἀνυπήκοος τρόπον τινὰ διαμένων καὶ τοῦ λαοῦ καὶ τοῦ τῆς ποιήσεως ἄνακτος. Τὸν μὲν θησαυρὸν τῆς τοῦ δήμου γλώσσης οὐ καρποῦται κηφηνωδῶς, ἀλλὰ δαψιλῶς συνερανίζει καινουργεῖς καὶ αὐτοποιήτους λέξεις, π. χ. *ἐτωσιοεργός*, *ἀμβολιεργός*, καὶ δὴ καὶ τολμηρῶς ἐντείνει τὴν συνθετικὴν εὐχέρειαν τῆς ἐθνικῆς γλώσσης (πρβλ. λ. χ. ἀβούνης). Πρὸς δὲ τὸν θεῖον Ὅμηρον διάκειται οὐ παρασιτικῶς, ἀλλὰ σεμνῶς μάλα, πολλὰ μὲν ἐξ ἐκείνου ἀρυόμενος, ταῦτα δὲ διατιθεὶς ἢ μεταποιῶν αὐτογνωμόνως.

Ὁμοίως *τὴν ἐπικὴν διάλεκτον*, οἵα παρ' Ὁμήρῳ καθέστηκεν, οὐχ ἁπλῶς παρέλαβεν, ἀλλὰ τύπους τινὰς τῆς Στερεᾶς Ἑλλάδος ἐγκατέμιξεν, ἤτοι· *τέτορα* = τέσσαρα Ἔ. κ. Ἡ. 698 (Φωκυλίδ. 3, 1 Δωριστὶ καὶ Λοκριστί, ἔτι δὲ παρὰ τοῖς Δελφοῖς εὐχρηστοῦν), *περ(ι)-ίαχε* Θ. 678 καὶ *περ(ι)-οίχεται* Θ. 733 (πέροδος ἐν Δελφικῇ ἐπιγραφῇ Corpus Inscript. 1688 = Corpus Inscript. Atticarum Β', 545 στ. 16, περόδοις Πινδάρ. Νεμ. 11, 40, περομνύναι καὶ περόσχια Ἡσύχ.), *θεᾶν* Θ. 41 καὶ *μελιᾶν* Ἔ. κ. Ἡ. 145 = θεάων, μελιάων (ὁ τύπος ὑπῆρχε παρὰ τοῖς Δωριεῦσι καὶ Λεσβίοις καὶ πολλοῖς τῶν Θεσσαλῶν, ἴσως δὲ καὶ ἐνιαχοῦ τῆς Βοιωτίας, πρβλ. *τᾶν* ἐν ἐπιγραφαῖς καὶ *κορᾶν* Ἀριστοφ. Ἀχαρν. 883), αἰτιατικὰς τοῦ πληθυντικοῦ μετὰ βραχείας ληγούσης οἷον κοῦρᾰς Θ. 60. 184 (;)· 267. 401. 534. 653. 804. Ἔ. κ. Ἡ. 564. 663. 675 (ὕστερον δὲ ἐν ταῖς ἐποποιίαις τῶν Ψευδοησιόδων, Α. 302 λαγὸς καί, εἴγε οἱ διορθωταὶ ηὐστόχουν, παρὰ Στράβωνι Ζ', σελ. 300 Σκύθᾰς, καὶ ταῖς τῶν Ἀλεξανδρέων, πρὸς τούτοις Βατραχομ. 161 ἑᾰ̆ς, Ὕμν. Ὁμηρ. 3,106 ἀθρόᾰς, ἔτι δὲ παρὰ Δωριεῦσι καὶ Δελφοῖς καὶ Θετταλοῖς), *ἀψῖν* = ἀψῖδα Ἔ. κ. Ἡ. 426, ὥσπερ *Θόαν* = Θόαντα («Ἡσίοδος» παρὰ τῷ Χοιροβοσκῷ Bekker Anecdota Græca Γ', σ. 1183) ἐσχηματισμένον κατὰ τὴν ἀναλογίαν τῶν ἄλλων εἰς *ις* καὶ *ας* ληγουσῶν λέξεων (πρβλ. τὰς παρὰ Δελφοῖς αἰτιατικὰς *Καλλὶν* καὶ *Σωτηρίν), τριηκόντων* Ἔ. κ. Ἡ. 696 (ἀνάλογον τῷ Λεσβικῷ καὶ Χιακῷ κανόνι, πρβλ. Roehl Inscriptiones Antiquissimæ 381 c d), *αἴνημι* = αἰνέω Ἔ. κ. Ἡ. 683 (αἴνημι παρὰ Πινδάρῳ, ἐπαίνημι Σιμωνίδειον, ἐν γένει ἡ κατάληξις *ειμι* Βοιωτική, Ἡρωδιαν. τ. Β', σ. 930 Lentz), *ἀρώμεναι* = ἀροῦν (πρβλ. τὰ εἰς *ήμεναι* ἀπαρέμφατα καὶ τὰ παρὰ τοῖς Βοιωτοῖς προστατεῖμεν, καρτερεῖ-

μεν), *ἦν*=ἦσαν Θ. 321. 825 (Δωριστί), *γέντο*=ἐγένετο Θ. 199. 283. 705 (παρὰ Θεόγνιδι, Ἐμπεδοκλεῖ, Πινδάρῳ, Θεοκρίτῳ, Σαπφοῖ, Παρρασίῳ Ἀνθολογ. παραρτ. 61, 4), *ἐν*=ἐς Θ. 399. 487. 890. Ἔ. κ. Ἡ. 672 (ὅπερ ἐκ τῆς ἀρχαίας γλώσσης ἐν ταῖς πλείσταις διαλέκτοις τῆς Στερεᾶς Ἑλλάδος ἐσῴζετο). Περὶ τοῦ Α τοῦ διατηρουμένου ἐν *λαμπρὰν* Θ. 18. 371 ἀπόφασις βεβαία ἀδύνατος ἀποβαίνει· ἐπ' οὐδενὶ γάρ ἐστι διακρῖναι πότερον οἱ ἀντιγραφεῖς τὸ ἐν τῇ συνηθείᾳ Α εἰσέκλεψαν ἢ ἐν τούτοις τοῖς χωρίοις ἴχνη ἀμυδρὰ διέμειναν τοῦ ἀνιωνικοῦ Α πάλαι ποτὲ ἐπὶ πλέον ἐπεκταθείσης. Ἐκτὸς τούτων, ἡ καθωμιλημένη γλῶσσα ἐπιρροήν τινα ἔχει εἰς τὴν Ἡσιόδειον, ἐπιτρεπομένης κράσεως τοῦ *καὶ* μορίου μετὰ φωνήεντος (Θ. 284 χὠ, Ἔ. κ. Ἡ. 44 κεἰς· 295 κἀκεῖνος· 357 κἂν) (1). Οὐδὲν ὅμως καθαρῶς Βοιωτικὸν εἰσέφρησεν, ἐπειδὴ οὔτε *γεάσχον* (Θ. 15) οὔτε *μειδέων* (Θ. 200) ὀρθῶς γράφονται· ἀλλ' ἐν πλήρει δικαιώματι ὁ ποιητὴς τοῦ κοινοῦ *Σφὶγξ* τὸ ἐπιχώριον *Φὶξ* (Φῖκα Θ. 326, Φίκιον Α. 33) προυτίμησεν. Συγγνώμης δὲ ἄξιος, ὑπεριωνικοὺς παρακινδυνεύσας τύπους (δίη Θ. 260=δῖα, Μαίη Θ. 938=Μαῖα)· ἐξέμαθε γὰρ ἀλλ' οὐχὶ τῇ καταγωγῇ ἐδέξατο τὴν Ἰωνικὴν διάλεκτον.

Ὅπως ποιητῇ ἢ συγγραφεῖ πᾶσαν ἀπονέμωμεν τὴν δικαιοσύνην, δέον ἀκούειν καὶ τὴν τῶν αἰώνων φήμην. Εἴτε γὰρ τὸ πόνημα ἀνταποκρίνεται πρὸς τὸν νεωτερισμὸν εἴτε μή, ἡ ἀξία αὐτοῦ ὑπὸ τῶν ἐπιεικεστέρων μετρεῖται καθ' ὅσον ἔτερψε καὶ ἐνεθουσίασε τοὺς συγχρόνους ἢ τοὐλάχιστον τοὺς ζήσαντας ἐν περιστάσεσιν ὁμοίαις. Ἀφοῦ λοιπὸν τὰς τῶν ῥητόρων καὶ γραμματικῶν κρίσεις ἠκούσαμεν, νῦν ἴδωμεν τίνα ὑπόληψιν εἶχε παρὰ τοῖς πολλοῖς καὶ τοῖς συναδέλφοις, ὧνπερ ἡ γνώμη πλειστάκις διαφέρει τῆς τῶν θεωρητικῶν. Ἐπειδὴ ὅμως καὶ ἐν τοιούτοις ζητήμασι μετ' ἀνθρωπίνων μεροληψιῶν κρίνεται, οἱ τοῦ ποιητοῦ συμπολῖται κατεχόντων κεχωρισμένην θέσιν. Ἡσίοδος οὐδέποτε ἥρως «Ἡσιοδιδῶν» κατέστη, ὥσπερ Ὅμηρος τῶν Ὁμηριδῶν, ἀλλ' εἰσήγαγεν ἄγνωστον τίς ὑποκάτω τοῦ Ἑλικῶνος τὴν λατρείαν τῶν Ἡσιοδείων Μουσῶν, ἃς ἰδίᾳ προσεκύνει ἑταιρεία. Ἐν Βαίοις, πρὸς ΝΔ. τῶν Θηβῶν κειμένοις, ηὑρέθη πέτρα φέρουσα τὴν ἐπιγραφήν· «Ὅρος τᾶς γᾶς τὰς ἱαρᾶς τῶν συνθυτάων τᾶν Μωσᾶν

(1) Παρ' Ὁμήρῳ μόνον Ἰλ. Φ 508 ἐφέρετο ἡ γραφὴ *κἀνείρετο*.

τᾶν Εἰσιοδείων». Καὶ ἐν τῷ Ἑλικῶνι αὐτῷ ἄγαλμα τοῦ ποιητοῦ καθιδρύθη (1), οἱ δὲ Θεσπιεῖς ἐν τῇ ἀγορᾷ, τιμιωτάτῳ τῆς πόλεως τόπῳ, χαλκῇ εἰκόνι αὐτὸν ἐτίμησαν. Μείζων δὲ δόξα αὐτῷ προέρχεται ἐκ τοῦ ὅτι Πίνδαρος, ὥσπερ ἐν τῷ ὑπομνήματι δηλώσομεν, τὸν Ἡσίοδον ἐπιμελῶς ἀνέγνω καὶ οὐκ ἀνάξιον ἑαυτοῦ ἐθεώρησε τὸ χρῆσιν ποιεῖσθαι χωρίων τινῶν λαμπρῶν. Ἀλλ' ἀρχαιοτάτοις ἤδη χρόνοις τὰ Ἡσιόδεια ποιήματα ἐπέρασαν τὰ μεθόρια τῆς Βοιωτίας· τῶν Ψευδοησιοδείων εἰσὶν ἃ φαίνονται ποιηθέντα ἐν τῇ Λοκρίδι καὶ ἄλλοις μέρεσι τῆς μέσης Ἑλλάδος, καὶ δὴ οἱ ἱεροφάνται τῶν Δελφῶν, εἰ καὶ τὸν ποιητικὸν τρόπον τῶν χρησμῶν ἐδίδαξεν αὐτοὺς τὰ μάλιστα ὁ θεῖος ἥρως τῆς ποιήσεως, Ἡσιόδου οὐκ ἠμέλησαν (2). Ἀλλὰ καὶ τοῖς πορρωτέρω οἰκοῦσιν ἀνέκαθεν διεφημίσθη· διὸ παρατηρήσομεν, ὅτι τῶν λυρικῶν τινες γνώμας καὶ μύθους ἐκ τῶν Ἔργων καὶ Ἡμερῶν καὶ τῆς Θεογονίας ἠρύσαντο. Καὶ ὅσοι γε τῷ ἐπικῷ μέτρῳ ἐχρῶντο, εἴτε ἐθνικοὶ εἴτε Χριστιανοί (3), εἴτε διηγηματικοὶ εἴτε ὑμνολόγοι (4), οὐχ ἥκιστα δὲ οἱ διδακτικοί, ἐν οἷς περιλαμβάνομεν καὶ Ἀρχέστρατον τὸν περὶ ὀψοποιίας γράψαντα (5), ἐμφαίνουσι κατὰ τὸ μᾶλλον ἢ ἧττον τὴν Ἡσιόδου ἀνάγνωσιν. Ἰδοὺ τί ἐποίησε Καλλίμαχος εἰς τὰ πασίγνωστα Φαινόμενα τοῦ Ἀράτου (6):

Ἡσιόδου τόδ' ἄεισμα καὶ ὁ τρόπος· οὐ τὸν ἀοιδῶν
ἔσχατον, ἀλλ' ὀκνέω μὴ τὸ μελιχρότατον
τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο· χαίρετε, λεπταὶ
ῥήσεις Ἀρήτου, σύγγονοι ἀγρυπνίη.

Τὸν θαυμασμὸν τοῦ Μουσολήπτου ποιμένος παρέλαβον καὶ οἱ τῶν Ῥωμαίων ποιηταὶ καὶ οὐχ οἱ χείριστοι, οἷον Ὀβίδιος καὶ μάλιστα Βιργίλιος, ὅσπερ ἐν τοῖς Γεωργικοῖς στίχοις τῶν Ἔρ-

(1) Παυσαν. 9, 30, 3

(2) Ἔπιθι τὰ εἰς Ἔ. κ. Ἡ. 268 καὶ 283 σημειωθέντα.

(3) Γρηγόριος ὁ Ναζιανζοῦ (ἴδε Naeke, Opuscula τ. Α', σ. 238).

(4) Τὰ ἐν τοῖς «Ὁμηρικοῖς» ὕμνοις Ἡσιόδεια συνέλεξε Sterret, Qua in re hymni Homerici quinque maiores inter se differant antiquitate vel Homeritate, Boston 1881.

(5) Ἀθήν. 3, 101 f. π. χ. ἀπόσπ. 31, 4: κακὸς ἰχθὺς οὐδέποτ' ἐσθλός (πρβλ. Ἔ. κ. Ἡ. 640).

(6) Ἐπίγρ. 29 (27)=Ἀνθολογ. 9, 507.

γων ἔστιν ὅτε αὐτολεξεὶ μετέφρασεν (1). Εἰδικῶς δὲ μνημονεύομεν τὰς *Θεογονίας* τῶν Ὀρφικῶν, Ἐπιμενίδου (2), Ἀντιφάνους τοῦ Βεργαίου (3), ἀνωνύμου, οὗτινος ἀπόσπασμα ἀξιόλογον ἀναφέρει Χρύσιππος ὁ Στωϊκὸς παρὰ Γαληνῷ ἐν τῷ περὶ Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων (τ. Ε΄, σ. 349) καὶ τὰ *Ἔργα (καὶ Ἡμέρας)* Μενεκράτους τοῦ Ἐφεσίου (4), Μελάμποδος καὶ Ὀρφέως (ἀναφερομένων ὑπὸ τοῦ Τζέτζη ἐν τῷ ὑπομνήματι).

Οὐχ ὅμως μόνοι οἱ εἰς τὰ γράμματα μεγιστᾶνες κατηξίουν τὰ Ἡσιόδου προτερήματα. Ὁ λαὸς ἅπας ἐκ παίδων συνηθίζετο εἰς τὸ ἐκτιμᾶν τὸν Ἀσκραῖον ὡς ἔξοχον διδάσκαλον τῆς ἀρετῆς καὶ παντοδαῆ φιλόσοφον (5). Κατὰ τὸν Περικλέους ἤδη αἰῶνα τὰ Ἔργα Ἀθήνησιν ἦσαν τετριμμένα (6), διὸ ἐπὶ τῆς κωμικῆς σκηνῆς παρῳδοῦντο (7)· ἐκ τούτου τοῦ χρόνου ἀδιαλείπτως διέμειναν ἐκεῖνά τε καὶ ἡ Θεογονία ἐν ταῖς τῶν νέων Ἑλλήνων χερσὶ μέχρι τῆς Ἁλώσεως (8). Κυριακὸς ὁ ἐξ Ἀγκῶνος περιηγητὴς ἐν Ἀδριανουπόλει τῷ 1425-6, ὅτε παρὰ Βώλου τοῦ γραμματικοῦ τὴν Ἑλληνικὴν γλῶσσαν ἐξέμαθεν, ἆρ᾽ οὐ πρῶτον εἰς τὴν Ἰλιάδα καὶ εἰς τὰ Ἔργα ἐνέκυψεν (9). Οὕτως ἀδιαχώριστος ἐγεγόνει σύμβουλος τῶν φιλολόγων Ἑλλήνων ὁ ποιητικὸς γεωργός. Καὶ ἐν τῇ ἀνωτέρᾳ τῆς παιδείας τάξει ἡ Θεογονία ἦν τῶν

(1) Πρβλ. τὴν ὀγκώδη ἔκδοσιν τοῦ Ribbek καὶ Flach ἐν τοῦ «Ἑρμοῦ» τ. Θ΄, σ. 114 κἑ.

(2) Διογέν. Λαέρτ. 1, 100· τὸ ποίημα γνήσιον, εἴπερ διὰ τοῦτο Ξενοφάνης αὐτὸν ἅμα τῷ Ὁμήρῳ καὶ Ἡσιόδῳ διέσυρεν (Διογέν. 9, 18).

(3) Εἰρην. κατὰ αἱρέσεων 2, 19.

(4) Ἐτυμολ. Μέγ. λ. ἠθμός, Βάρρων καὶ Πλίνιος, πρβλ. Jahn ἐν τοῦ «Φιλολόγου» τ. Α΄, σ. 333.

(5) Ἑκαταῖος (ἀπόσπ. 23 ἢ 25) καταγελᾷ τὴν ὑπόληψιν ταύτην.

(6) Ἀριστοφ. Βάτραχ. 1044.

(7) Π. χ. ὑπὸ Κρατίνου (ἀπόσπ. 317 παρὰ Σχολ. Ἀριστοφ. Ἱππ. 531. πρβλ. Ἔ. κ. Ἡ. 299 κἑ.).

(8) Πρβλ. Σέξτ. Ἐμπειρ. κατὰ φυσ. 2, 18. Ἀπολλόδωρον τὸν Ἐπικούρειον παρὰ Διογένει Λαερτίῳ 10, 2. Πλούταρχον «Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν» 6. Λουκιαν. Νεκυομ. 3. Συμποσ. 17. Θεοδώρητ. Ἑλλην. παθημ. Β΄ (τ. Δ΄, σ. 753 ἔκδ. Schulz: τὴν δὲ Ἀσκραίου ποιητοῦ Θεογονίαν οἶδε καὶ τὰ μειράκια), Βασίλειον, πρὸς τοὺς νέους 30: ἢ τί ποτε ἄλλο διανοηθέντα τὸν Ἡσίοδον ὑπολάβωμεν ταυτὶ ποιῆσαι τὰ ἔπη, ἃ πάντες ᾄδουσιν, ἢ οὐχὶ προτρέποντα τοὺς νέους ἐπὶ ἀρετήν;) κ. ἄ.

(9) Τοῦτο διηγεῖται Φραγκίσκος Σκαλαμόντιος ἐν τῷ βίῳ τοῦ φιλέλληνος ἐκείνου (Colucci, delle antichità Picene, τ. ΙΕ΄, σ. 50 κἑ.).

δεδοκιμασμένων ἀναγνωσμάτων (1)· διὰ ταύτην τὴν αἰτίαν Δημοσθένης ὁ Θρᾶξ, ὅς τὴν ῥητορικὴν ἐδίδαξεν αὐτὴν παρέφρασε(2), διὰ τὴν αὐτὴν ὅμως ὁ φιλόμωμος Λουκιανὸς ἔγραψε «Διάλεξιν πρὸς Ἡσίοδον». Μεταβάντες εἰς τὴν Δύσιν, πάλιν εὑρίσκομεν τὸν Ἡσίοδον ἐν ἅπασι τοῖς γυμνασίοις, ἐν ὅσῳ γε ἡ τῶν Ἑλλήνων γλῶσσα ἀναγκαῖον ἐνομίζετο δίδακτρον (3). Εὐθὺς δὲ ὡς ὁ Ἑλληνισμὸς τὰ γράμματα καὶ τὰς ἐπιστήμας ἀνενέωσεν, ὁ ποιητὴς ὡς πρὸς τὰ Ἔργα τὴν προτέραν θέσιν πάλιν κατέσχεν (4), εἰ καὶ ἀνθημιλλῶντο οἱ ἄλλοι γνωμικοί· ἡ δὲ Θεογονία βιβλιοθήκη τῆς παλαιᾶς μυθολογίας ἐτύγχανεν οὖσα, μεταμορφωθεῖσα εἰς Λατινικὰ ἑξάμετρα ὑπὸ Πυλάδου τοῦ ἐκ Βριξίας. Κατὰ τὸν ΙΕ´ καὶ ΙϚ´ αἰῶνα λοιπὸν τὰ Ἡσιόδεια συχνότατα ἀντεγράφησαν καὶ ὕστερον, τῆς τυπογραφίας ἀνευρεθείσης, ὑπὸ πολλῶν ἐξεδόθησαν. Ἀλλὰ νῦν ἡ ἠθικὴ καὶ πρακτικὴ τῆς ἀρχαιότητος ἀντίληψις ὑπεχώρησε τῇ κριτικῇ σοφίᾳ καὶ ἅμα οἱ τὸν Ἡσίοδον ἀναγινώσκοντες ὀλιγώτεροι ὁσημέραι ἐγένοντο. Εἴθε ἥδε ἡ ἔκδοσις προσαγάγοι αὐτῷ φίλους, καὶ μάλιστα ἐκ τῶν ὁμοφύλων αὐτοῦ!

Ἀλλὰ ἡ ἱστορικὴ δικαιοσύνη ἀναγκάζει ἡμᾶς μὴ κατασιωπῆσαι τοὺς πρὸς τοὺς ὀπαδοὺς τοῦ ποιητοῦ μαχομένους· ἦσαν δέ, Ἡράκλεις, ἐπιφανέστατοι ἄνδρες. Οὐκ ἐμέμψαντο τὴν ποιητικὴν δύναμιν, ἀλλ' ἐφοβήθησαν τοὐναντίον μὴ ἐκγοητεύσῃ ἡ τῶν ἀριστουργημάτων χάρις τὰς ἐπιδεκτικὰς πάνυ ψυχὰς τῶν ἀκροατῶν· διὰ τοῦτο λοιπὸν Ἡράκλειτος καὶ Ξενοφάνης καὶ οἱ πλεῖστοι τῶν ὕστερον φιλοσόφων, ἐν οἷς ὁ θεῖος Πλάτων, πόλεμον ἀκήρυκτον κατὰ Ὁμήρου καὶ Ἡσιόδου ὡς διδασκάλων (5) μύθων αἰσχρῶν καὶ ἀκόσμων «οἳ πλεῖστ' ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα, κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν» ἐπο-

(1) Κυιντιλιανός 10, 1, 52 (ἐκ Διονυσίου τοῦ Ἁλικαρνασσέως). Μένανδρος Περὶ ἐπιδεικτικῶν. Walz Rhetores Græci τ. Θ´, σ. 254,8.

(2) Σουΐδας ἐν λ. Δημοσθένης ὁ Θρᾶξ.

(3) Ἴδε πρὸς τῷ Κυιντιλιανῷ τὸν Γέλλιον ἐν Νυκτῶν Ἀττικῶν Δ´ 5, 7.

(4) Ἔπιθι ὅ,τι λέγει Ἄλδος Μανούτιος ὁ περίφημος τυπογράφος καὶ ἐκδότης ἐν τῇ πρὸς Λεονέλλον παραινέσει (Aldi Manutii Scripta tria longe varissima a Fac. Monellio d. edita, Bassano 1806).

(5) Σέξτ. Ἐμπειρ. Κατὰ μαθημ. 1, 289. 9, 193. Ἡρόδοτ. 2, 53. Διογέν. Λαέρτ. 8, 21. Ἀριστοτ. Μεταφ. 2, 4 σ. 1000 α 9 (Ἡσίοδος καὶ πάντες ὅσοι θεολόγοι οὐκ ἐφρόντισαν τοῦ πιθανοῦ).

λέμησαν. Πλὴν τὰ Ἔργα τῷ μὲν ποιητῇ ἐχορήγησαν δόξαν «ἀρίστου συμβούλου τῷ βίῳ τῷ τῶν ἀνθρώπων» (1), τοῖς δὲ διαλεκτικοῖς φιλοσόφοις θέματα συζητήσεων (2), τοῖς δὲ Πυθαγορείοις «καθημέρωσιν» τῆς ψυχῆς (3). Πῶς ἄρα ὁ τῶν λαμπρῶν τούτων γνωμῶν διδάσκαλος ἐν τῇ Θεογονίᾳ ἀφιλόσοφόν τι προφέρειν ἐδυνήθη; Ἄπιστον ἦν τοῖς Στωϊκοῖς, ὅθεν τὴν δοκοῦσαν ἐναντίωσιν διενοήθησαν ἀνελεῖν δι' ἀλληγορικῆς ἐξηγήσεως τῆς Θεογονίας. Τὰ τῶν θεῶν ὀνόματα ἐσήμαινον (ἔφασαν ἐκεῖνοι) οὐχὶ πρόσωπα, ἀλλὰ στοιχεῖα τοῦ κόσμου, οἷον Ποσειδῶν τὴν θάλασσαν καὶ Ἥρα τὸν οὐρανόν (4). Νῦν μὲν θαυμάζομεν πῶς ἀκρόσοφοι ἄνδρες, Ζήνωνες, Χρύσιπποι, Κλεάνθεις, ἔστεργον τοῦτο τὸ τοῦ νοῦ παιγνίδιον, τότε δέ, προθυμούμενοι ὅπως διαλλαχθῇ ἡ θρησκεία τῇ παιδείᾳ, ἅπαντες ἐκτὸς τῶν ἀθέων ἐπεδόθησαν εἰς τὴν ἀλληγορικὴν μέθοδον, ἧς δείγματα ἔνια ὑπάρχουσιν ἐν τοῖς εἰς τὸν Ἡσίοδον σχολίοις (5). Πρὸς δέ, ἐπεὶ καὶ οἱ Χριστιανοὶ διὰ τῆς αὐτῆς προφάσεως διεφύλαττον τὰ μυθολογικὰ βιβλία ἐν τοῖς σχολείοις, οἱ Βυζαντῖνοι ὑπὸ τὴν ἀλληγορικὴν ἔποψιν τὰ Ἡσιόδου παρατηροῦντες διετέλεσαν. Συνέταξαν λοιπὸν ἐκ τῶν παλαιοτέρων πονημάτων Ἰωάννης Διάκονος Γαληνὸς (6) «Εἰς τὴν Ἡσιόδου Θεογονίαν ἀλληγορίας» καὶ ἀνώνυμος «Ἐξήγησιν τῆς τοῦ Ἡσιόδου Θεογονίας» (7).

Τούτων μικρολογηθέντων, λείπεται ζήτημα σπουδαιότατον,

(1) Ταῦτα γράφει οὐ τῶν πολλῶν τις, ἀλλ' Ἰσοκράτης ὁ φιλοσόφου ἦθος λαμβάνων (2, 43).

(2) Ἰσοκράτ. 12, 18. 33.

(3) Κατὰ Πορφύριον ἐν βίῳ Πυθαγόρα (32) ὁ φιλόσοφος ᾖδε τὰ ποιήματα ἵνα «καθημερώσῃ τὴν ψυχήν».

(4) Cicero de natura deorum 1, 14, 36 cum vero (Zenon) Hesiodi Theogoniam interpretatus, tollit omnino usitatas perceptasque cognitiones deorum. Minucius 19, 11. Πλουτάρχ. Χρηστήρ. 12. Γαλην. π. Ἱπποκρ. καὶ Πλάτων σ. 349 ἔκδ. Kühn. Μάξιμ. Τύρ. Διατρ. 375. Πορφύριος εἰς Ἰλ. Ο 21. Κορνοῦτος ὁ Στωϊκὸς ἐν τῇ ἐπιδρομῇ τῶν κατὰ τὴν Ἑλληνικὴν θεολογίαν παραδεδομένων (σ. 31, 12 κέ. ἔκδ. Larg) ἐλπίδα προβάλλεται ὡς ἀλληγορίσει τὴν Θεογονίαν.

(5) Σχόλ. Θεογ. 117. 134. 135. 139. 459. Ἔ. κ. Ἡ. 105. 291 κ.ἀ.

(6) Ἐβίωσεν, ὡς φαίνεται ἐκ τοῦ μνημονεύεσθαι τὸν ἐν Θούλῃ Ἑλληνισμόν, κατὰ τὸν ἔνατον αἰῶνα, τῶν Ἑλληνικῶν μελετῶν ἐν τῇ Ἀγγλίᾳ ἀκμασασῶν.

(7) Ἐξεδόθησαν μετ' ἀναμίκτων ἀλληγοριῶν ὑπὸ Flach (Glossen und Scholien zur Hesiodischen Theogonie, Leipzig, 1876, σ. 295. 420 καὶ 369 κέ.).

ὃ λυτέον, ἂν θέλωμεν καταλαβεῖν ἐντελῶς πῶς ὁ ποιητὴς τοῖς παλαιοῖς ἐφαίνετο. Ἡμεῖς μὲν γὰρ ἀναγινώσκομεν τὰ ποιήματα τοῖς ὀφθαλμοῖς ἢ τὰ μάλιστα ἐκφωνοῦμεν ὅσον ἐφ᾽ἡμᾶς τὸν τῶν ἑξαμέτρων ῥυθμόν, ἀναισθήτως δὲ ἔχομεν τῆς καλλυνούσης καὶ ἐνθουσιαζούσης ἐπενεργείας, ἥντινα ἐξασκεῖ ἡ μουσικὴ καὶ εἰς τὸ ἄλλως ἄχαρι. Παυσανίας γοῦν, ἐπειδὴ παρεννοεῖ τὸ τῆς Θεογονίας προοίμιον (1), μεμψιμοιρεῖ τὸν τεχνίτην, ὅστις ἐπὶ τοῦ Ἑλικῶνος ἀπεικόνισε τὸν ποιητὴν κρατοῦντα τὴν κιθάραν (9, 30, 3) καὶ διηγεῖται τὸ μυθίδιον ὅτι ἕνεκ᾽ἀγνοίας τῆς μουσικῆς ἐξεδιώχθη τοῦ ἀγῶνος (10, 7, 3). Ἀλλὰ τὸν ἄγνωστον ἐκεῖνον αἰῶνα χαίρειν ἐῶμεν καὶ ἐξετάσωμεν τὰς ἐκ τῶν ἱστορικῶν καιρῶν μαρτυρίας. Ἐκ τούτων λοιπὸν ἀριδήλως καταδείκνυται, ὅτι *τὰ Ἡσιόδου ποιήματα ᾔδοντο πρὸς τὴν λύραν* (2). Τίς ἄρα διστάζει ὅτι ἡ ἀνάγνωσις ἡμῶν ἔχει λόγον πρὸς τὴν ἀπαγγελίαν τῶν ἀρχαίων οἷον ἄχρωμος σκιαγραφία πρὸς ζωγραφίαν θελκτικήν; Τότε τὰ βιβλία οὐ μεγάλην εἶχον σπουδαιότητα· τὰ ἀριστουργήματα γὰρ τὸ μὲν ἐν ταῖς ἑορταῖς καὶ πανηγύρεσιν οἱ ῥαψῳδοὶ ἀπήγγελλον (3), τὸ δὲ οἱ σοφοὶ ἀπεστήθιζον καὶ ἐν ἱλαροῖς δείπνοις ἑαυτοὺς καὶ τοὺς φίλους τοῖς ἐξαιρέτως ἀγαπητοῖς στίχοις ἔθελγον (4).

Ταῦτα μέν, οἶμαι, ἀρκετὰ πρὸς προπαρασκευὴν τῶν ἀναγνωστῶν, τὰ δὲ ἰδιαίτερα ἀναζητητέον ἔνθα προσήκει.



(1) Τούτου ἕνεκα Νικοκλῆς Ἡσίοδον ἐκάλεσε τὸν πρῶτον ῥαψῳδόν (Σχόλ. Πινδ. Νεμ. 2, 1).

(2) Πλουτάρχ. Συμποσ. 9, 13. πρβλ. 9, 1, 2. 14, 1. Ἱμερ. λόγ. 22, 1. Πορφύρ. ἐν βίῳ Πυθαγόρα 32.

(3) Πλάτ. Νόμ. 2, 658 d. Ἀθήν. 14, 620 d ἡ γραφὴ ἀβέβαιος.

(4) Πλούταρχος ἐν τοῖς ἀνωτέρω χωρίοις.

# ΘΕΟΓΟΝΙΑ

# ΕΙΣΑΓΩΓΗ

# ΕΙΣ ΤΗΝ ΗΣΙΟΔΟΥ ΘΕΟΓΟΝΙΑΝ

---

Ἐπειδὴ ἐν τῇ Ἑλλάδι διὰ τὸ αὐτεξούσιον τοῦ ἐθνικοῦ πνεύματος ἐπεκράτει μεγίστη κατὰ τοὺς τόπους πολυειδία καὶ ποικιλία θρησκειῶν, πρὸ τοῦ Χριστιανισμοῦ οὐδέποτε σύμπαντες οἱ Ἕλληνες κοινῶς ἐσέβοντο ὡς ἱερὰ οἱαδήποτε βιβλία· ἀλλ᾽ἀντὶ θεοσδότων νόμων οἱ ποιηταὶ ἐχορήγησαν αὐτοῖς θεοπνεύστους παραινέσεις καὶ ὑποθήκας, αἵτινες τοὺς γέροντας οὐχ ἧττον ἢ τὴν νεολαίαν τῇ καλλιεπείᾳ καὶ εὐρυθμίᾳ κατεγοήτευον. Ἐπίσης ἡ μυθολογικὴ ἱστορία παρὰ τοῖς παλαιοῖς ἀνῆκεν εἰς τὴν ποίησιν. Οὐδεὶς γὰρ ἄλλος ἠδύνατο συνάγειν καὶ διαλλάττειν τοὺς καθ᾽ἕκαστον σχεδὸν ναὸν διαφέροντάς πως μύθους ἢ ὁ ποιητής, ὅστις εἰς τὰς πανηγύρεις παραγινόμενος πολλῶν Ἑλλήνων ἐγίνωσκεν ἔθιμα καὶ νόμιμα.

Παρακεκινδυνευμένον ἦν τὸ ἔργον, ᾧ Ἡσίοδος ἐπεχείρησεν. Ναὶ μὲν πρότερον *κλέα ἀνδρῶν* ὕμνησαν Ὅμηρος καὶ πολλοὶ ἄλλοι, εὐδοξίᾳ καὶ μεγαλοφωνίᾳ τούτου ἐλλειπόμενοι, ὧν περ ὀλίγοι πάνυ κατέλιπον τὸ ὄνομα εἰς τὴν τῶν μεταγενεστέρων μνήμην. Ἐν τοῖς ποιήμασι τούτων εἰσήγοντο μὲν οἱ θεοί, καθότι διώριζον τὰς μοίρας τῶν ἀνθρώπων, αὐτοῖς δὲ καθ᾽αὐτοὺς οὐκ ἀφιέρουν οἱ *ἀοιδοὶ* εἰ μὴ τοὺς ὕμνους, δι᾽ὧν ἀρχὴν καὶ τέρμα τῶν ἀγωνιστικῶν ἐπιδείξεων ἐποιοῦντο. Ἐκεῖνος ὅμως ἐτόλμησε μετενεγκεῖν τὸ ἐπικὸν εἶδος πρὸς τοὺς θεούς. Διὰ τοῦ ἐπιχειρήματος τούτου οὐκ ἐβεβήλωσε τὰ θεῖα, ὥσπερ τῶν Χριστιανῶν τις ἂν εἰκάσειεν. Οἱ γὰρ τῶν Ἑλλήνων θεοὶ διέφερον τῶν ἐν ταῖς ἐπο-

ποικίλαις παρερχομένων ἡρώων τὰ μάλιστα εἰς ποσότητα τῶν δυνάμεων καὶ ἀρετῶν καὶ εἰς τὴν ἀθανασίαν, ἐγεννήθησαν δὲ καὶ ἐνυμφεύθησαν καὶ παῖδας ἐγέννησαν καὶ παντοίᾳ συμφορᾷ περιέπεσον, ὥσπερ θνητοὶ ἄνθρωποι. Καθὼς λοιπὸν ἄλλος τίς που ποιητὴς τοὺς ἀπογόνους ἡρωΐδος καὶ τὰ ἀνδραγαθήματα αὐτῶν ἱστόρησεν, ὁμοίως τῷ Ἡσιόδῳ ἐξῆν διηγεῖσθαι ἱστορικῇ ἐποποιίᾳ τὸ Οὐρανοῦ καὶ Γαίας γένος.

Ἡ Θεογονία ἄρα ἐπικόν ἐστι καὶ οὐχὶ διδακτικὸν ἢ δογματικὸν ποίημα. Παραδίδωσιν ὁπωσδήποτε γεγονότα, οὐ μέντοι, ὡς Πρόκλος, ὁ τερατολογῶν φιλόσοφος, ἐνόμιζεν (1), ἀποκαλύπτει ἱερατικὴν σοφίαν, οὐδὲ τὰ περιεχόμενα συνέλεξεν ἀπὸ μυστηριωδῶν ἄντρων ἢ ἀδύτων, ἀλλ᾽ ὁ πρῴην βοσκὸς ἐκαρπώσατο τὰς τοῦ δήμου παραδόσεις, πολλὰ δὲ ἄλλα ἐδίδαξαν αὐτὸν καὶ οἱ προγενέστεροι ποιηταί, μάλιστα δὲ ὅσοι τοὺς θεοὺς καθ᾽ ἕκαστον ὕμνοις ἐδοξολόγουν.

Ἐκεῖνο μὲν ἐν ταῖς παρεκβολαῖς βεβαιώσομεν λεπτομερέστερον καὶ νυνδὴ εἰσαγωγικῶς ἐξετάσομεν ἐν κεφαλαίῳ. Ὁ πάροικος τῶν Ἑλικωνιάδων Μουσῶν οὐδέποτε, τίς χώρα αὐτὸν ἐγέννησεν, οὔτε ἐδύνατο οὔτε ἤθελεν ἀποκρύψαι. Ἕλληνός τινος ἀπόφθεγμα διαδίδοται ὑπὸ Σενέκα τοῦ ῥήτορος ἐν Ῥητορικῇ Ἀνθολογίᾳ, ὅτι «Ἀθῆναι μὲν ἐν λόγοις διάσημοι, *Θῆβαι δὲ ἐν ἱεροῖς*, Σπάρτη δὲ ἐν ὅπλοις» (2). Ἐν τῇ Βοιωτίᾳ τῷ ὄντι ἐπ᾽ ἐξουσίᾳ ἦν τοὺς μύθους ἀφθόνως καὶ *ἱλαδὸν ἑλέσθαι*, διότι οὐδεμία ἄλλη χώρα ἐκαυχᾶτο ἐπὶ τοσαύταις θεογονίαις. Ζεὺς δηλαδὴ καὶ Ἑρμῆς ἐγεννήθησαν πλησίον τῆς Τανάγρας (3), Ἀθηνᾶ δὲ ἐν Ἀλαλκομεναῖς (4), Ἀπόλλων δὲ ἐν Τεγύρᾳ (5), Διόνυσος δὲ ἐν

(1) Τὴν μὲν Θεογονίαν ὁ γενναῖος Ἡσίοδος δοκεῖ μοι συνθεῖναι πάσης τῆς περὶ τὸν κόσμον τῶν θεῶν προνοίας τὰς ἀρχὰς ἐθελήσας παραδοῦναι τοῖς μεθ᾽ ἑαυτὸν κατὰ τὴν πάτριον τῶν Ἑλλήνων φήμην ἀπὸ τῶν ἐν τοῖς ἱεροῖς θρυλουμένων μύθων τὸ σύγγραμμα πᾶν ἐργασάμενος. (Ἐν ἀρχῇ τῆς ἐξηγήσεως τῶν Ἔργων καὶ Ἡμερῶν).

(2) Suasoriae B'.

(3) Παυσαν. 9, 20, 3.

(4) Στράβ. Γεωγρ. 9, 2, 36 σ. 413, κατὰ δὲ τὸν Παυσανίαν (9, 33, 7) ἐκεῖ ἐτράφη.

(5) Σῆμος παρὰ Στεφάνῳ τῷ Βυζαντίῳ λ. Τεγύρα. Πλούταρχ. ἐν βίῳ Περικλέους 16.

Ἁλιάρτῳ (1)· Κρόνον ἐξαπατηθῆναι ὑπὸ τῆς συζύγου οἱ αὐτοὶ ἠξίουν ἐπὶ τοῦ ἐπάνω τῆς Χαιρωνείας Πετραχοῦ (2), Ζεὺς δὲ καὶ Ἥρα κατὰ τοὺς αὐτόθι μυθολόγους ἐποιήσαντο τὸν ἱερὸν γάμον ἐν τῷ Κιθαιρῶνι (3). Πρὸς τούτοις οὐκ ὀλίγοι τῶν Βοιωτῶν ἐγένοντο κατὰ τὴν τῶν ἐπιγόνων δοξασίαν ἀθάνατοι ἐκ θνητῶν. Ἱκανόν γε ἐνταῦθα ὀνομάσαι Διόνυσον, Σεμέλην, Ἡρακλέα, Γλαῦκον. Καὶ δὴ οἱ τυχόντες τῶν θανόντων ἡρωϊκὰς τιμὰς ἐλάμβανον, ὡς δηλοῦσιν ἐπιγραφαὶ ἐπιτυμβίδιοι (4). Τοῦτο διαπαίζει Πλάτων ὁ κωμικός, εἰσάγων ἐρωτῶντά τινα εἰρωνικῶς· «Τί οὐκ ἀπήγξω ἵνα Θήβησιν ἥρως γένῃ;» (5) Πρὸς δὲ ὅτι ὁ Μουσοτραφὴς πλεῖστον ποιεῖται λόγον περὶ θεῶν παρ' ἄλλοις ἧττον τιμωμένων, παράγειν χρὴ ἀπὸ τῶν *πατρῴων* ἱερῶν αὐτοῦ, π. χ. Θήβη ἡ τῆς πρωτευούσης πόλεως ἐπώνυμος θεὰ ἐκαλεῖτο θυγάτηρ τοῦ Προμηθέως (6), οὗ καὶ ἀδελφὸς Ἄτλας ἐν Τανάγρᾳ, ὡς ἔλεγον, διέτριψεν. Τὸ δὲ μέγιστον, Ἔρως, ὃν ἐγκαταλέγει τοῖς στοιχείοις τοῦ κόσμου, οὐκ ἐκ μεταφυσικοῦ συμπερασμοῦ, οἷόν τινα συνεπέρανεν ὁ Ἐμπεδοκλῆς, ἠξιώθη τῆς προεδρίας, ἀλλὰ διότι οἱ Θεσπιεῖς αὐτὸν προετίμων τῶν ἄλλων θεῶν· περὶ τούτου μέντοι ἀκριβέστερον ἐν τοῖς εἰς Θεογ. 120 ἐροῦμεν.

Οἱ Βοιωτοὶ οὐ μόνον εὐσεβεῖς, ἀλλὰ καὶ δεισιδαίμονες ἰσχυρῶς ἦσαν· ἀνησυχίαν γὰρ μόνον οὐκ ἀδιάλειπτον προυξένουν ἀνεξήγητα τέρατα, λέγω δὲ τοὺς συχνοὺς σεισμοὺς (7) καὶ τὴν λυμαντικὴν μεταβολὴν τῶν ὑπογαίων ῥείθρων ἤτοι *καταβοθρῶν*. Οὐ θαυμαστὸν λοιπόν, εἰ ἡ τῶν καλῶν κἀγαθῶν Βοιωτῶν χώρα ἐγάργαιρε τεραστίων σημείων καὶ φαντασμάτων· τὰ μὲν ὄρη κατεῖχεν ἡ Σφίγξ, ἡ Τευμησσία ἀλώπηξ, ὁ Τυφῶν, αἱ Ἐρι-

(1) Πλούταρχ. ἐν βίῳ Λυσάνδρου 29.

(2) Παυσαν. 9, 2, 7. 41, 6.

(3) Παυσαν. 9, 13, 1. 2. Πλούταρχ. ἐν βίῳ Ἀριστείδου 11.

(4) Ἔπιθι ἃ γράφει ὁ Koehler ἐν τῷ Δελτίῳ τῆς Ἀθήνησι Γερμανικῆς Σχολῆς τ. Β', σ. 246, ὑποσημ. 1.

(5) Ζηνοβ. Παροιμ. 6, 17. Πλούταρχ. (;) παροιμ. 17. πρβλ. Σουΐδαν, καὶ Φώτιον λ. Τί οὐ κἐ.

(6) Στέφ. Βυζ. λ. Θήβη. Σημειωτέον καὶ ὅτι ἐν Θεσπιαῖς *Προμαθίδας* τις ἀναγέγραπται (ἴδε Δελτίον τῆς Ἀθήνησι Γαλλικῆς Σχολῆς 1885, σ. 422).

(7) Στράβ. Γεωγρ. Θ', σ. 406. Ι', σ. 447 ἐκδ. Casaubonus.

νύες (1). Αἱ δὲ Θεσπιαὶ ἔτρεμον δράκοντα (2), Ὑρία δὲ καὶ Τάναγρα εἶχον τὴν δυσοιώνιστον οἴησιν τῆς Ὠρίωνος τοῦ γίγαντος γεννήσεως καὶ ταφῆς (2), τὰ δὲ πέριξ τῆς Ὀρχομενοῦ ἐλυμαίνετο τὸ Ἀκταίωνος φάσμα (4). Οὐδὲ μὴν ἐν τῇ θαλασσίᾳ ἀκτῇ ἀσφαλεῖς καὶ ἄφοβοι διητῶντο, τὰς Ταναγραίας θορυβήσαντός ποτε τοῦ Τρίτωνος. Τῆς τοιαύτης δεισιδαιμονίας αἰτία ἐν μέρει ἐγένετο ἡ ἀσιατικῶν τινων ἐθίμων εἴσδυσις, ἥτις ἐν τῇ ἀρχαιοτάτῃ ἱστορίᾳ τῶν Θηβῶν ἀριδήλως ἐκφαίνεται· ἐκ τῆς αὐτῆς καὶ ἐξῆλθον ὅσα ὁ Ἡσίοδος οὐ πάνυ Ἑλληνικῶς, ὡς αἰσθάνεται ἅπας ὁ φιλόκαλος, περὶ τῆς Ἀφροδίτης διηγεῖται· παρέλαβε δὲ τὸν μῦθον τοῦτον ἀπὸ Θίσβης, πολιχνίου οὐ μακρὰν τῶν Θεσπιῶν κειμένου, ὅπου ἐλάτρευον τὴν θαλασσαίαν Ἀφροδίτην ἐν μέσῳ ἱερῶν περιστερῶν (5). Ὃ δὲ περιεργότατον, τὸ ἐν Μονάχῳ ἀρχαιολογικὸν μουσεῖον ἔχει ἄλλα τε πολλὰ εἰδώλια πήλινα καὶ δὴ καί τι ἀπεικονίζον Ἀφροδίτην ἀναδυομένην ἐκ τῆς θαλάσσης, ἣν δεξιοῦται Ἔρως καὶ Ἵμερος, ὥσπερ τὸν μῦθον ἐν τῇ Θεογονίᾳ κείμενον εὑρήσομεν· τοῦτο τὸ ἀρχαῖον οὐκ ἄλλοθι πρὸ πολλῶν ἐτῶν εὑρέθη ἢ ἐν Θεσπιαῖς, τῇ τοῦ Ἡσιόδου πατρίδι.

Ἔπειτα δὲ οὐ παραλειπτέον τὴν τῶν Βοιωτῶν περὶ τὰ μυστήρια σπουδήν· ἐν τῇ Τανάγρᾳ δηλαδή, ὥσπερ ἐν Ἐλευσῖνι, ἐθρησκεύετο ἡ Δηώ, ἀλλὰ καὶ οἱ Κορωναῖοι δι' οἵαν ποτὲ αἰτίαν τὸν φοβερὸν τοῦ κάτω κόσμου θεὸν συμπαρεκάλουν μετὰ τῆς Παλλάδος· περὶ δὲ τὰς ἐκπληκτικὰς τελετάς, ἃς ἀνεδέχετο ἐν Λεβαδείᾳ ὁ πιστὸς προσκυνητὴς τοῦ Τροφωνίου, ἐνταῦθα καιρὸς οὐκ ἔστι διατρίβειν.

Τούτων τῶν ἰδεῶν λοιπὸν ἐκ παίδων ἐμφορηθεὶς ὁ ποιητὴς τοὺς ἐπιχωρίους μύθους ὡς εἰς μητρῷον συνήγαγε, καί, καθάπερ ἔφθημεν εἰπόντες, ἁρμονικῶς τῷ τῶν ποιητῶν λόγῳ συνεκέρασεν. Ἐξεπίτηδες καὶ ἐνταῦθα Ὅμηρον οὐκ ὀνομάζομεν, διότι ὁ Ἡσίο-

(1) Ψευδοπλούταρχ. π. ποταμῶν 2, 3, 4.

(2) Παυσαν. 9, 26, 7.

(3) Πρβλ. Πίνδαρον παρὰ Στράβωνι Θ', 2, 12 σ. 404. Παυσαν. 9, 20, 3.

(4) Παυσαν. 9, 38, 5.

(5) Νόνν. Διονυσ. 13, 61 ἁλικρήπιδά τε Θίσβην, ὅρμον ἐντρήρωνα θαλασσαίης Ἀφροδίτης.

δος κατὰ τὰ ποιητικὰ μὲν τὸν Μαιονίδην προθύμως μιμεῖται, τῆς δὲ ὁμηρικῆς θεολογίας καὶ μυθολογίας ὡς ἀπρεποῦς, οἶμαι, καὶ ἀκόσμου παραμελεῖ, ὥστε εἰς τὰ πλεῖστα καὶ μέγιστα διαφωνοῦσιν. Ἀλλὰ περὶ τούτων μὲν ἐν πολλαῖς σημειώσεσι ῥηθήσονται τὰ εἰκότα. Νῦν δὲ ἤδη τὴν Ἡροδότου γνώμην (1) δοκιμάσαι χρή, καθ' ἣν Ἡσίοδος καὶ Ὅμηρός «εἰσιν οἱ ποιήσαντες θεογονίην Ἕλλησι καὶ τοῖσι θεοῖσι τὰς ἐπωνυμίας δόντες καὶ τιμάς τε καὶ τέχνας διελόντες καὶ εἴδεα αὐτῶν σημήναντες». Φοβούμεθα μὴ ὁ τῆς ἱστορίας πατὴρ κατὰ σπουδὴν ἐνέδωκε τῇ τῶν φιλοσόφων λεπτολογίᾳ, οἵτινες κατεδίωξαν τοὺς ποιητάς, ὅπως ἄρδην ἀνέλωσι τὰ σαθρὰ τῆς μυθολογίας. Οὐκ ἐσκέψατο, ὅτι ὁ ἀνθρωπομορφισμὸς ἀρχῆθεν οὐδένα θεὸν ἀποδέχεται ἀπάτορα καὶ ἀμήτορα, ὅθεν ἀναγκαίως καθίστανται γενεαὶ θεῶν. Τοῦτο βεβαίως δεδόσθω, ὅτι πρὸ τοῦ Ἀσκραίου, ὅσον ἡμεῖς γε παρὰ τῶν συγγραφέων πληροφορούμεθα, οὐδεὶς συνήρμοσε τοὺς μύθους οἴκοθεν οὔτε συνεχεῖς οὔτε συμφώνους ὄντας. Ἡσίοδος ἄρα στέμμα ἢ γενεαλογίαν τῶν θεῶν συνέταξε καὶ διηυθέτησε κατὰ τὴν διαδοχὴν τῶν οὐρανίων βασιλέων, αὐτὸς δὲ ἀφ' αὐτοῦ οὐδὲν ἴσως προσεπέθηκεν, εἰ μὴ πρόσωπα ἀλληγορικὰ καὶ ἐξ ἀφαιρέσεώς που λεγόμενα, ἅτινα οὐδαμοῦ τῆς Ἑλλάδος ἐν τοῖς τότε χρόνοις μετὰ λατρείας καὶ θυσιῶν ἐτιμῶντο. Καίτοι Ἡσιόδῳ καὶ ἄλλα κατ' εἰκασίαν ἀπονέμειν ἐνδέχεται λ. χ. τὸ τοῦ ἀπροσώπου Χάους πρωτοστάσιον, ἡ ἀπόδειξις τούτου ὅμως ἐστὶ δυσχερής.

Ὅτι ἡ τοῦ ποιήματος ὑπόθεσις εἰς ἐπίδειξιν ἐνθουσιασμοῦ θεοπνεύστου καὶ πτήσεως ποιητικῆς οὐ πάνυ ἐπίκαιρος ἦν, εὔδηλον. Γενεαλογικοὶ κατάλογοι οὐδέποτε οὐδενὶ ποιητῇ, ἂν καὶ τῶν εὐφυεστάτων ᾖ, ἀποφέρουσι ζωηρᾶς φαντασίας δόξαν· ἀλλ' οὐδενὸς ἧσσον ἀδίκως οἱ ἐν Ἀλεξανδρείᾳ γραμματικοὶ Ἡσίοδον ὡς ὀνοματολόγον παρίστασαν. Οὐ γὰρ ἔργον ἐποιεῖτο τὸ σειρὰς ὀνομάτων συνείρειν, ἀλλ' ἐγένοντο ἐν τῇ ὑποθέσει αὐτῇ. Τοὐναντίον ὁ ἀοιδὸς τὸ ἀηδὲς τῆς ἥκιστα τρυφερᾶς μυθοποιίας, ὅσον οἷόν τε μάλιστα γλυκαίνειν προθυμεῖται, διηγούμενος μεταξὺ τῶν γενεαλογικῶν κεφαλαίων πράξεις, τὴν Οὐρανοῦ δῆθεν ἐκ τῆς βασιλείας ἔκπτωσιν ἅμα τῇ Ἀφροδίτης γεννήσει, δεύτερον δὲ τὰς συμφορὰς τὰς Προμηθέως καὶ τῶν ἄλλων Ἰαπετιδῶν, τρίτον

(1) Β' κεφ. 53.

δὲ τὴν τῶν Τιτάνων καταπολέμησιν ὁμοῦ τῇ τοῦ Ταρτάρου περιγραφῇ, τέλος δὲ τὴν Τυφῶνος στάσιν. Ἐκτὸς τούτων πολλὰ μὲν ἐν παρόδῳ βραχυλογεῖ περὶ τῶν δυνάμεων τῶν θεῶν, οὐκ ὀλίγα δὲ καὶ παρεμβάλλει περὶ τῶν αὐτοῖς συμβεβηκότων.

Ἐπειδὴ ὁ Ἡσίοδος, ὡς φαίνεται, ἀρχηγὸς ἐγένετο τῆς θεολογικῆς καὶ γενεαλογικῆς ποιήσεως, εἰκότως δὴ οὐχὶ εἰς τὸ ἀκρότατον καὶ τελειότατον ἀνέβη. Οὔτε διεκφαίνεται ἀμέμπτως ἡ τῶν πραγμάτων τάξις οὔτε πανταχοῦ ἱκανῶς σαφηνίζεται, περὶ τίνος γίνεται ὁ λόγος. Καὶ τὸ δεινότερον, ὁ Ἡσίοδος πολλοὺς θεοὺς καὶ δαίμονας παρέλιπεν, ἐν τούτοις δὲ καὶ εὐδοκίμους, οἷον Ἀσκληπιόν, ἔτι δὲ τὰς Σειρῆνας, καίτοιγε τῇ ὁμηρικῇ ποιήσει *πασιμέλουσαι* ἀπετελέσθησαν καὶ ἐν τῇ Βοιωτίᾳ αὐτῇ διάπυστοι ἦσαν(1). Ἀλλὰ ταῦτα μεμψιμοιροῦμεν ἡμεῖς *οἱ ἀπ' Ἀριστάρχου σῆτες*· ὁ καλὸς Ἀσκραῖος ὅμως οὐκ ἐδούλευσεν ἀτενῶς ταῖς Μούσαις, ὅπως Χριστιανοὶ καὶ βάρβαροι ἔχωσιν ἐγχειρίδιον τῆς Ἑλληνικῆς μυθολογίας, ἀλλὰ τοὺς μύθους ἀποθησαυρίζων, ἔμελλε ῥαψῳδήσειν αὐτοὺς ἐνώπιον Ἑλλήνων, οἵτινες διδαχῆς οὐκ εἶχον χρείαν· ἀλλὰ κατανοοῦντες αὐτοὶ ἀπέλαυον τὰ μάλιστα τῆς τῶν ἐννοιῶν περιπλοκῆς καὶ τῆς τοῦ λόγου ἐμφάσεως.

Περὶ μὲν τῆς τοῦ ἔργου γνησιότητος ἤδη εἴρηται· νῦν δ' ἐξεταστέον, εἰ ἅπαντα τὰ ἐν ταῖς τῶν τε ἀρχαίων καὶ νεωτέρων ἐκδόσεσι παραδιδόμενα ἐπ' ἀληθείᾳ εἰσὶν Ἡσιόδεια· τοῦ γὰρ ποιήματος πολλῆς δόξης ἐπιτυχόντος, στοχάζεσθαι πάρεστιν, ὡς οἱ ῥαψῳδοί, εἰ ἐν πανηγύρεσι καὶ ἄλλαις συνελεύσεσι τῶν Ἑλλήνων ἀπήγγελλον, ἀπὸ τῶν ἰδίων ἔνια προσετίθεσαν. Τὸ μὲν τῆς Θεογονίας προοίμιον (στ. 1-115) οὐδεὶς τῶν παλαιῶν γε κριτικῶν ἠθέτησε· καίτοι πολλάκις ἡ τῆς Θεογονίας ἀρχὴ κατελέγετο ἀπὸ τοῦ 116 στίχου (2), διότι τῷ ὄντι τὸ ποίημα αὐτὸ καθ' αὑτὸ ἐντεῦθεν ἄρχεται. Ὅτι μέντοι προοίμιόν τι οἱονδήποτε ἀπαραίτητόν ἐστι, τίς ἂν ἀρνηθείη; Τόδε τὸ προκείμενον πολλοὶ τῶν νεωτέρων κατεκερμάτισαν. Ἐν τοῖς ἑξῆς ὅμως δι' ἀπο-

(1) Παυσαν. 9, 34, 3.

(2) Ἴδε τὸν Σχολιαστὴν εἰς στ. 116. 381. Ἐπίκουρον παρὰ Σέξτῳ τῷ Ἐμπειρικῷ (Φυσ. 2, 18), Κύριλλον κατὰ Ἰουλιανοῦ (Β' 53 β, Θεμίστιον λόγ. 30, 1) σ. 348)· ἄλλως δὲ Ἀριστείδ. τ. Β', σ. 497, ἔκδ. Dindorf: Ἡσίοδος ἀρξάμενος τῆς Θεογονίας καὶ τὰς Μούσας ὑμνῶν. Λουκιαν. π. ὀρχήσεως 24: ἐν ἀρχῇ τῶν ἐπῶν.

λογητικῶν ἐξηγήσεων ἀποδείξομεν, ὅτι ὁ ὀβελισμὸς οὐκ ἀναγκαῖος (μὴ ὅτι περιττός). Τοὐναντίον ὁ ἐπίλογος. — Ἀλλὰ πρὶν ἢ περὶ τούτου εἴπωμεν, διοριστέον, πόθεν ἀρχὴν λαμβάνει. Οἱ μὲν οὖν ἐκ θεῶν καὶ μητέρων θείων ἢ ἀποθεωθεισῶν γεγεννημένοι ἀπαριθμοῦνται ἐν στ. 886-962· μετὰ τοῦτον τὸν κατάλογον πάλιν ὁ ποιητὴς τὰς Μούσας ἐπικαλεῖται, ὅπως μνημονεύσωσι καὶ τοὺς παῖδας θείων μὲν γυναικῶν, θνητῶν δὲ πατέρων. Καὶ τούτους μὲν περιέχουσιν οἱ στ. 965-1018 (1020), ἔχονται δ' αὐτῶν οἵδε·

Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα·
νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.

Οὐκ ἔστιν ὅπως ποίημά τι ἔχει τοιοῦτο τέρμα. Καὶ λοιπὸν ὁ ποιητὴς αὐτός ποτε μετὰ τὸν 962 στ. τέλος τῇ Θεογονίᾳ ἐπέθηκε, ταῖς αὐτοῦ προστάτισι χάριν ἀπονέμων. Ὕστερον δέ, ὅτε οἱ γραμματικοί, μᾶλλον δὲ οἱ βιβλιοπῶλαι τὰ καλούμενα Ἡσιόδεια εἰς τόμους συνέδεσαν, τὸν Γυναικῶν Κατάλογον συνέπλεξαν ὥσπερ διὰ κόμβου τῇ Θεογονίᾳ, καθάπερ συμπαρετάχθη ἡ Αἰθιοπὶς τῇ Ἰλιάδι, μεταποιουμένου τοῦ ἐν τέλει στίχου ὧδε·

Ὣς οἵγ' ἀμφίεπον τάφον Ἕκτορος· ἦλθε δ' Ἀμαζών . . .

Οὐ παράδοξον ἄρα μοι φαίνεται τὸ ὅτι ὁ Παυσανίας (1, 3) ὑπαινίττεται τὸν στ. 986 κέ. τοῖς ἀορίστοις λόγοις: «ἐν ἔπεσι τοῖς ἐς τὰς γυναῖκας». Οἱ δὲ ἀκριβέστεροι τῶν γραμματικῶν καὶ τοῦτο τὸ παράρτημα (965-1018) ἀναφέρουσιν εἰς τὴν Θεογονίαν (1). Ἀλλὰ τρὺξ κατ' ὀπώραν, διότι οὔτε ἡ γνησιότης οὔτε τὸ ἐναντίον οὐδέποτε διὰ πιθανῶν τεκμηρίων βεβαιωθήσεται. Ὅσον δὲ πρὸς τὴν κατ' ἐξοχὴν Θεογονίαν, ἄλλοι μὲν ἄλλα πολλὰ ὠβέλισαν, ἡμεῖς δέ, καίπερ αὐτοί που πρότερον ὑποσυρθέντες πρὸς τὸν τῶν Ἡροστρατείων χορόν, ταύτης τῆς ἐκδόσεως χά-

(1) Π. χ. Χαῖρις τοὺς στ. 992 κέ. (Σχόλ. Πινδ. Πυθ. 4, 18. Σχόλ. Ἀπολλ. Ῥοδ. 3, 200).

ριν προυθυμήθημεν μᾶλλον καταλαβεῖν τὰς τοῦ ποιητοῦ προαιρέσεις καὶ ἄνευ δυσμενοῦς κροκυδισμοῦ ἀναμετρῆσαι τὰς ποιητικὰς καλλονὰς τοῦ ἔργου· ὅθεν τὸ τὴν Θεογονίαν λεπτοκοπεῖν τοῖς θρασυτέροις ἀφίεμεν, πρὸς δὲ τὰς τοῦ Ἑρμαννοῦ καὶ Γεππέρτου καὶ Σοιτβήρου καὶ τῶν ἄλλων «Ἡσιοδείους» Θεογονίας οὐ λογομαχοῦμεν, διότι τὸ ὀνομαστὶ κωμῳδεῖν ἀποφεύγομεν, ἀλλὰ ἐν ταῖς σημειώσεσιν ὑπὲρ τοῦ Ἡσιόδου ἀπολογησόμεθα.



# ΘΕΟΓΟΝΙΑ

---

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,

Στ. 1-115 Προοίμιον.

Οἱ παλαιότατοι ποιηταὶ τῶν Ἑλλήνων ἅπαντες, ἀμοιροῦντες αὐταρεσκείας, τὰ ἀποκυήματα τῆς αὐτῶν μεγαλοφυΐας ἐπανέφερον πρὸς τὰς Μούσας· μάλιστα δὲ τοῦτο ἐνόμιζε καθῆκον ὁ Ἡσίοδος, ὅσπερ τὸ μὲν κατῴκει ὑπὸ τῷ τῶν Μουσῶν ὄρει, τὸ δὲ πρῶτος τῶν Ἑλλήνων ἐτόλμησεν ἐξιστορῆσαι ἀντὶ τῶν ἡρωϊκῶν μύθων τὰ πεπραγμένα ὑπὸ τῶν θεῶν αὐτῶν. Ὅπως τοίνυν μηδεὶς τῶν συμπολιτῶν μυκτηρίζῃ τὸν ψευδολόγον γεωργόν, οὐκ ἔστεργε προσκαλέσας ἁπλῶς Μοῦσαν καθὼς ὁ Ὅμηρος, ἀλλὰ ὡσανεὶ φαντασιάζων θείας διδαχῆς δόξαν ἐπεζήτησεν. Οὐκ ἐπεποίθεσαν ἆρά γε οἱ Οἰταῖοι, ὅτι τὴν ποιμενίδα Δρυόπην αἱ Ἀμαδρυάδες ὑπερφυῶς ἀγαπῶσαι ἐδίδαξαν ὑμνεῖν θεοὺς καὶ χορεύειν; (Ἀντωνίν. Λιβεράλ. 32) Ὁ Ἀσκραῖος ποιητὴς λοιπὸν τοῦ σκοποῦ οὐκ ἀπέτυχεν, ἀλλὰ ὑπὸ Πινδάρου αὐτοῦ ἐμακαρίσθη τῆς εὐδαιμονίας (Πυθ. 3,88-90: λέγονται μὰν βροτῶν ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵ τε καὶ χρυσαμπύκων μελπομενᾶν ἐν ὄρει Μοισᾶν καὶ ἐν ἑπταπύλοις ἄϊον Θήβαις...), ὑπ' ἄλλων δέ, οἷον Δίωνος τοῦ Χρυσοστόμου (17,7), ἄξιος ὡς ἀληθῶς τῆς δόξης ἀνεκηρύχθη.

Ἡ Θεογονία ἀρχὴν λαμβάνει ἀπὸ τῆς εἰς τὰ μουσικὰ μυήσεως τοῦ ποιμένος (στ. 1-35). Πρὶν ὅμως τὸ ἐπινόημα ἀνυποστόλως ἐκδηλώσῃ, ἠρέμα καὶ κατὰ μικρὸν προτυποῖ ὁ προσεκτικὸς ἀοιδὸς τὰς τῶν ἀκροατῶν διανοίας, ἐν ἀρχῇ τὴν ἑαυτοῦ πατρίδα ἐπαγγελλόμενος ὡς διαμονὴν ἐξαιρέτως ἀγαπητὴν τῶν τῆς ᾠδῆς προστατίδων. Οὗτος ὁ σκοπὸς ἐκπεραίνεται ἐν τοῖς στ. 1-21. Τῇδε τῇ τῶν διανοημάτων ἐπιτηδειότητι ἀντιστοιχεῖ ἡ ἐπιμελὴς τῶν στίχων συμμετρία· ἀπεριέργως γὰρ γιγνώσκει τις ὅτι ἐπικρατεῖ ἡ παλαιοβοιωτικὴ ἑπτάς, τοῦ δευτέρου μέρους (22-35) συνεστηκότος ἐκ δύο στροφῶν, ἐνῷ ὁ ἰδιαίτερος ὕμνος τρεῖς ἑβδομάδας στίχων περιέχει· τίς δὲ ἀγνοεῖ τὸν παρ' Ἕλλησί τε καὶ Χριστιανοῖς θρησκευτικὸν χαρακτῆρα τῆς τριάδος;

1. Περὶ τῶν Ἑλικωνιάδων Μουσῶν τὰ δέοντα ἐν τῇ εἰσαγωγῇ εἰρήκαμεν.

*Ἀρχώμεθα*] Πάλαι ποτὲ ὁ ἐπικὸς ποιητὴς τοσοῦτο συνείθιστο ἀποσύρειν αὐτὸν τοῦ λόγου, ὥστε καὶ ἐνταῦθα, καίτοι τὰς Μούσας οὐκ ἤδη προσκαλέσας, τοῦ αὐτογνώμονος ἑνικοῦ προυτίμησε τὸν μετριώτερον πληθυντικόν, περιλαμβάνων εἴτε τοὺς ἀκροατὰς εἴτε ἄλλους ἀοιδούς, οἵτινες μετ' αὐτοῦ ἠγωνίζοντο ἕνεκα τοῦ βραβείου. — Ἡ γενικὴ συντάσσεται τῷ *ἄρχομαι* ῥήματι ὥσπερ καὶ παρ' Ὁμήρῳ (Ἰλ. Ι 97: σέο δ' ἄρξομαι, Ὀδ. φ 142: ἀρξάμενοι τοῦ χώρου, Ἀπολλων. Ῥοδ. Ἀργοναυτ. 1, 1: ἀρχόμενός σεο, Φοῖβε), ἄλλοθι δ' ὁ νοῦς τῆς συντάξεως ἐκτενέστερον δηλοῦται διὰ

αἵθ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,
καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσι
ὀρχεῦνται καὶ βωμὸν ἐρισθενέος Κρονίωνος·

τῆς *ἐκ* προθέσεως, π. χ. ἐν τῷ περιφήμῳ προοιμίῳ Ἀράτου: «Ἐκ Διὸς ἀρχώμεσθα».

2. *αἵθ'*] Καὶ παρ' Ἡσιόδῳ τὸ μόριον *τὲ* πολλάκις βεβαιωτικῶς πρόσκειται ταῖς ἀναφορικαῖς ἀντωνυμίαις.

*Ἑλικῶνος ὄρος*] Τὰ μὲν γεωγραφικὰ ἐν τῇ εἰσαγωγῇ ἐξέθεμεν, ὡς δὲ πρὸς τὴν σύνταξιν, ἡ γενική ἐστιν ἐξηγητική.

*ἔχουσιν*] τὸ ὄρος, καθόσον αὐταῖς ἀφιέρωται (Παυσαν. 9, 29, 1) καὶ αὐτόθι κατοικοῦσι· τὸν αὐτὸν τρόπον Ὅμηρος περὶ θεῶν μεταχειρίζεται τὰς φράσεις «ἔχει Ὄλυμπον, οὐρανόν, δώματα», ἐπὶ δὲ τῆς ἐν γῇ κατοικίας θεοῦ πρβλ. πρὸς τῇ τῷ Διὶ καὶ τῇ Ἀθηνᾷ διδομένῃ ἐπωνυμίᾳ *πολιοῦχος* καὶ Ἰλ. Α, 105: Ἐννοσίγαιος, ὃς Θήβης κρήδεμνον ἔχει. Αἰσχύλ. Εὐμεν. 24: Βρόμιος δ' ἔχει τὸν χῶρον. Σοφοκλ. Οἰδίπ. Κολων. 40: θεαί σφ' ἔχουσι, 54: ἔχει δέ νιν σεμνὸς Ποσειδῶν, καὶ τοὺς ὕστερον ποιητάς.

*μέγα τε ζάθεόν τε*] Καίτοι αὗται αἱ λέξεις οὐκ οἰκεῖαί εἰσιν, ἀλλὰ κατὰ τὰς ὁμηρικὰς *μέγα τε σοβαρόν τε* καὶ *μέγα τε δεινόν τε*, ὡσαύτως τοὺς ἑξαμέτρους τελευτώσας, πεπλασμέναι πλήρη ἔχουσι τὴν ἔννοιαν· τὸ ὄρος γὰρ ἀληθῶς οὐ μόνον μέγα καὶ ὑψηλόν ἐστιν, ἀλλὰ καὶ «πολὺ θεῖον» ὡς ἱερὸν τῶν Μουσῶν. Ἡ αὐξητικὴ πρόθεσις *ζα* τηρεῖται ὑπὸ τῶν Ἀσιανῶν ἐν τῇ λέξει *ζάμεγας* (ἰδὲ Πανδώραν Γ', φ. 234, σ. 431).

3. Οἱ μὲν ἀκροαταὶ τοῦ ποιητοῦ, ἐννοεῖται, ἐγίνωσκον τὸ τῆς πηγῆς ὄνομα, ἡμεῖς δὲ ἀπὸ στ. 6, ἐν ᾧ ὀνομάζεται ἡ ἑτέρα, τεκμαιρόμεθα ὅτι ἐνταῦθα λέγει τὴν Ἀγανίππην.

Τὸ ἐπίθετον ἀναπολεῖ τὸ Ὁμηρικὸν *κρήνη μελάνυδρος* (Ἰλ. Ι 14 = Π 3. Π 160. Φ 257. Ὀδ. υ 158. πρβλ. καὶ δ 359. ζ 91). Τὸ δὲ *ἰοειδὴς* παρ' Ὁμήρῳ εὕρηται ὡς ἐπίθετον τῆς «μαύρης» θαλάσσης (Ἰλ. Λ 298. Ὀδ. ε 56. λ 107, πρβλ. «ἰόεντα θάλασσαν» Νικανδρ. Ἀλεξιφ. 171). Ἡ μεταφορὰ δηλοῖ τὸ μέλαν χρῶμα (Ἡσύχ. ἰοειδές] μέλαν ἢ ἀνθηρὸν ἐν τῷ ὁρᾶσθαι πορφυροῦν) καθὼς ἐν τοῖς ἐπιθέτοις *ἰοπλόκαμος* καὶ *ἰοβόστρυχος* (Πινδάρ. Πυθ. 1, 1 καὶ Ὀλ. 6, 30. Ι. 6, 23, ἀπόσπ. 113). Τῶν τυπικῶν ἐπιθέτων, ὡς δῆλον, οὐκ ἔστιν· ἀμαυρὸν δ' ἐστὶν οὐχὶ τὸ ὕδωρ — Θέογνις, δῆθεν ἐπαινεῖ τὸ «ἡδὺ καὶ καλὸν ὕδωρ» τῆς «μελανύδρου κρήνης» (959, 60) —, ἀλλ' ὁ πετρώδης πυθμὴν ἀποκεκλυσμένος τῷ ῥεύματι, ὥσπερ καὶ οἱ Ἀρκάδες ἀναλόγως πηγὴν ὑπὲρ ἐρυθρὰν γῆν ῥέουσαν «Κοκκινόδρυσιν» καλοῦσιν. Διὰ τὴν αὐτὴν αἰτίαν κατὰ τοὺς νεωτέρους καιροὺς πολλοῖς ποταμοῖς καὶ ῥεύμασιν ἐγένοντο ὀνόματα οἷα *Μαυροπόταμος* ἐν Βοιωτίᾳ καὶ Ἠπείρῳ καὶ Τριφυλίᾳ ἢ ***Μαῦρο νερὸ*** ἢ καὶ ***Μαυρονέρι***, ἃ ὑπὸ τῶν ἀρχαίων ὀνομάζονται τὸ μὲν πλησίον τοῦ Σπερχειοῦ Μέλας, τὸ δὲ Στύξ, τὸ δὲ Κηφισσός. Τοιουτόχροός ἐστιν ἡ ἐπὶ τοῦ Ἑλικῶνος ***Μυγδαλάκη*** ὀνομαζομένη κρήνη, ὑπὸ δὲ τῶν παλαιῶν *Ἀγανίππη*. — Τὸ ἐναργὲς καὶ ἀληθὲς τοῦ φάσματος τούτου οἱ Ἕλληνες τὰ μάλιστα ἂν καταξιώσειαν· μετὰ πόσης χαρᾶς δηλονότι αἱ ἀδελφαὶ καὶ θυγατέρες αὐτῶν εἰσέτι χορεύουσι περὶ κοινὴν πόλεως ἢ χωρίου πηγήν. Πρβλ. καὶ τὸν εἰς Πᾶνα ὕμνον 20: «Φοιτῶσαι πύκα ποσσὶν ἐπὶ κρήνῃ μελανύδρῳ μέλπονται».

4. Ὁ βωμός, ὅντινα οἱ ὕστερον γεγονότες ἀμνημονοῦσι, πλὴν ἀλλ' ἢ σχο-

καί τε λοεσσάμεναι τέρενα χρόα Περμησσοῖο
ἢ Ἵππου κρήνης ἢ Ὀλμειοῦ ζαθέοιο,
ἀκροτάτῳ Ἑλικῶνι χοροὺς ἐνεποιήσαντο

λιαστής τις αὐτὸν ἀπονέμει τῷ Ἑλικωνίῳ Διὶ ἀνῳκοδόμητο πιθανῶς πλησίον τῆς Ἀγανίππης.

Οἱ τρεῖς οὗτοι στίχοι συνήθειάν τινα διηγοῦνται τῶν Μουσῶν· *ἀεὶ γὰρ αἱ Μοῦσαι χορεύουσιν*, ὥσπερ Σιμωνίδης ὁ Κεῖος κατὰ τὸν ῥήτορα Ἱμέριον (16, 7) ἔλεγεν, ὅθεν τεχνίτης τις Ἀθηναῖος ἐν ἀναγλύφῳ (δημοσιευθέντι ὑπὸ Beulé ἐν τῇ Revue archéologique 1860, nouvelle série τ. Β΄, π. 18) χορευούσας αὐτὰς ἀπεικονίζει. Καὶ τὰ ἑπόμενα δὲ ὡς ἔθιμα ὑποτίθενται· πλὴν ὁ ποιητὴς ὅπως διαφύγῃ τὴν μονοτονίαν, καταβαίνει ἀπὸ τοῦ ἐνεστῶτος εἰς τὸν ἀόριστον, ὥσπερ ἂν εἰ ἐκεῖνα ἅπαξ ποτὲ ἐγένοντο. Τοῦτο τὸ τέχνασμα παρὰ τοῖς ὑμνολόγοις ἐν συχνῇ, φαίνεται, χρήσει ἦν, π. χ. καὶ ὁ Ὁμηρίδης, ὃς τὸν εἰς τὸν Δήλιον Ἀπόλλωνα ὕμνον ἐποίησε, τρεῖς στίχους κατὰ τὸν ἐνεστῶτα ᾄσας εἰς τὸν ζωηρότερον παρῳχημένον στρέφεται. Δημώδη δὲ τὴν σύνταξιν ταύτην νομίζομεν, διότι οὐδὲ τοὺς «τραγουδιστὰς» τὸ μηχάνημα λανθάνει, λ. γ. «Κυρά μ', ὄντας *ἐκίνησες* νὰ πᾷς 'ς τὴν ἐκκλησία, *βάνεις* τὸν ἥλιο πρόσωπο καὶ τὸ φεγγάρι στήθη... ἡ ἡ στράτα ῥόδα *γέμισε*» (Passow 295, 14 κἑ. 310, 23 κἑ.).

5. *λοεσσάμεναι*] (ἀπὸ τοῦ λού-ομαι ἢ μᾶλλον ἀπὸ τοῦ μεμακρυσμένου θέματος *λοϜ-εσ-*, ᾧ ἀνάλογον *ὀλ-έσ-σαι*) διευθύνει τὴν γενικὴν κατὰ τὸ Ὁμηρικὸν ἔθος (Ἰλ. Ε 6: λελουμένος Ὠκεανοῖο, Ζ 508=Ο 265: λούεσθαι ἐϋρρεῖος ποταμοῖο, Φ 560: λοεσσάμενος ποταμοῖο) ὥσπερ τὸ συνώνυμον *νίπτομαι* (ἀπόσπ.: νίψατο Βοιβιάδος λίμνης πόδα, Ὀδ. β 261: χεῖρας νιψάμενος πολιῆς ἁλός). Τὴν δὲ τοπικὴν σημασίαν ἐκδηλοῖ Ὅμηρος αὐτός, ἀλλαχοῦ προσάπτων τὴν πρόθεσιν *ἐκ* (Ὀδ. ζ 224: ἐκ ποταμοῦ νίζετο, κ 361: λό' ἐκ τρίποδος μεγάλοιο, πρβλ. Νόνν. Διονυσ. 11, 38: λελουμένος ἐκ ποταμοῖο, Ἱμέριον λόγ. 21,8 σ. 742: ἥλιος ἐξ Ὠκεανοῦ λουσάμενος, ἔτι δὲ Ὕμν. Ὁμηρικ. εἰς Σελήνην (ἀρ. 32 ἢ 31) στ. 7: *ἀπ'* Ὠκεανοῖο λοεσσαμένη χρόα καλόν. Καλλίμαχον Ὕμν. εἰς Δῆλον 124: λουσαμένας ἀπ' ἐμεῖο, Ἡρόδοτ. 3, 23: ἐπὶ κρήνην... ἀπ' ἧς λουόμενοι... Αἰσχίν. ἐπιστ. 10: λουσαμένας ἀπ' αὐτοῦ). Οἱ λουόμενοι δηλονότι οὐ κατέβαινον εἰς τὸ ῥεῦμα, ἀλλὰ ἀπ' αὐτοῦ ἠρύοντο τὸ ὕδωρ.

*τέρενα*] λεπτόν.

*χρόα*] Οἱ ἀρχαῖοι συχνάκις ἐξαίρουσι τὴν ἐπιφάνειαν τοῦ σώματος, ἄλλων ἧττον ἀκριβῶς ὀνομαζόντων τὸ σῶμα αὐτό. Ἐκ τῶν ἀναρίθμων μαρτυριῶν ἀναφέρομεν π. χ. Ἰλ. Ι 596: *χροῒ* δ' ἔντε' ἐδύσατο παμφανόωντα.

*Περμησοῖο*] Ὁ Περμησὸς (βοιωτιστὶ Περμασός), ὅστις οὐ διαφέρει τοῦ νῦν ποταμίου τοῦ Μαζί (μᾶλλον δὲ Maschi), καὶ ὁ Ὀλμειὸς καταρρέουσιν ἀπὸ τοῦ βορειανατολικοῦ μέρους τοῦ Ἑλικῶνος καί, συνενώσαντες τὰ ὀλίγα αὐτῶν ὕδατα πλησίον τῆς Ἁλιάρτου, ἐκβάλλουσιν εἰς τὴν Κωπαΐδα.

7. *Ἱππουκρήνης*] Πρὸς τοῦτο τὸ ὄνομα οἱ παλαιοὶ ὁμοφώνως διηγοῦντο, ὅτι ὁ Πήγασος, ἐπεὶ ἱππεύθη ὑπὸ Βελλεροφῶντος, διψήσας ἔσχισε τὴν πέτραν τῇ ὁπλῇ ὅπως ἀναβλύσῃ ὕδωρ· «ὃ δὴ ὕδωρ ἀπὸ τῆς γῆς ῥεῖ καὶ οὐδέποτε τοῦτο ὄψει ἐκτὸς τῶν τὴν Θέσπειαν οἰκούντων» (Σχόλ. Ἀράτ. Φαινομ. 215). Τὴν ἐνθουσιαστικὴν δύναμιν τούτων τῶν πηγῶν οὔτε ὁ Ἡσίοδος ἐγίνωσκεν οὔτε ἄλλος τις ποιη-

καλοὺς ἱμερόεντας, ἐπερρώσαντο δὲ ποσσίν.
Ἔνθεν ἀπορνύμεναι, κεκαλυμμέναι ἠέρι πολλῇ,
ἐννύχιαι στεῖχον, περικαλλέα ὄσσαν ἱεῖσαι,

τῆς πρὸ τῶν ἐπιγόνων, ὧν τοὺς παλαιοτάτους ἀναφέρομεν ἐν τῇ εἰσαγωγῇ· ταύτην τὴν δοξασίαν φαίνεται παρορμήσας Ἀλκαῖος διὰ τῆς παρατόλμου εἰκόνος: «ἐννέα Μουσῶν ὁ πρέσβυς καθαρῶν γευσάμενος λιβάδων» (Ἀνθολ. 7,55,6). Ἐκεῖνος δὲ ὁ περὶ τοῦ Πηγάσου μῦθος, ὃν ἐπανήγαγον οἱ Τροιζήνιοι (Παυσ. 2,31,9), ἐρρίζωται ἐν τῇ δημώδει φαντασίᾳ· διὸ καὶ ἐν Αἴνῳ ᾄδουσι: «Κι' ὅπου πατήσ' ὁ μαῦρός μου πηγάδια φανερόνει» (Ἑλλ. Φιλολ. Σύλλ. ἐν Κ/πόλει, Θ', σ. 337).

*ζάθεον* (ἴδε στ. 2) καλεῖ τὸν Ὀλμειὸν διὰ τὸ ἀπὸ τοῦ ἱεροῦ ὄρους καταρρεῖν.

8. *ἱμερόεντας* (ἐπαγωγοὺς)] Ὁμηρικὸν ἐπίθετον τῶν χορῶν (Ἰλ. Σ 603. Ὀδ. σ 194).

*ἐπερρώσαντο*] Ἀπὸ τοῦ *ῥώομαι*, ὅτι παρ' Ὁμήρῳ (οἷον ἐν τῷ πολυθρυλήτῳ στίχῳ Ἰλ. Α 529: *ἀμβρόσιαι* δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος) σημαίνει ταχεῖαν κίνησιν, ἴσως δὲ καὶ χορόν, εἴπερ ὀρθῶς ὁ σχολιαστὴς εἰς τὸν στίχον Ἰλ. Ω 617 (νυμφάων αἵτ' ἀμφ' Ἀχελώιον ἐρρώσαντο) τὸ ῥῆμα μεταφράζει τῇ λέξει *ὠρχήσαντο* (πρβλ. Ὕμν. Ὁμηρ. εἰς Ἀφροδίτην 262: Καλὸν χορὸν ἐρρώσαντο καὶ 19,20 φοιτῶσαι (αἱ Νύμφαι) πυκνὰ ποσσὶν ἐπὶ κρήνῃ μελανύδρῳ μέλπονται). Ὁ μὴ Ἕλλην τὰς λέξεις «ἐπερρώσαντο δὲ ποσσὶν» νομίσειεν ἂν πλεοναστικάς, μᾶλλον δὲ οὐκ ἐννοεῖ τὴν πρόθεσιν *ἐπί*· διότι χορεύει τὰ μάλιστα τοῖς ποσί· κατανοοῦμεν ὅμως ἐνταῦθα ὅτι ὁ χορὸς τότε ἤδη, τῶν ποδῶν μόνον ὡς ἐκ περισσοῦ κινουμένων, ἐξετελεῖτο κυρίως ταῖς χερσὶ καὶ τῷ ἄνω μέρει τοῦ σώματος.

9. Ἡ νεφέλη (ἀὴρ) ἐμφαίνει ὑλικῶς τὴν ἀορασίαν κατὰ τὸ Ὁμήρου παράδειγμα, πρβλ. Ἰλ. Π 790 (τὸ πρότυπον τοῦδε τοῦ χωρίου): ἠέρι γὰρ πολλῇ κεκαλυμμένος, Γ 381: ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ, Λ 752: καλύψας ἠέρι πολλῇ. Τοῦ αὐτοῦ ποιητοῦ καὶ ἄλλοι στίχοι ἐπικυροῦσιν ὅτι ὁ «ἀὴρ» ἰσοδυναμεῖ νεφέλῃ (π. χ. Ἰλ. Ε 186: νεφέλῃ εἰλυμένος ὤμους).

10. *ἐννύχιαι*] Οἱ γὰρ θεοὶ ἐν τῇ νυκτερινῇ ἐρημίᾳ εἰς τὴν γῆν καταβαίνειν φιλοῦσιν· ἐντεῦθεν ὁ Ἡσίοδος Ἔ. κ. Ἡ. 730 λέγει: «Μακάρων τοι νύκτες ἔασιν». Διὸ καί, ἀφοῦ οἱ τῶν Ἑλλήνων θεοὶ εἰς τὴν κόλασιν ἐξωρίσθησαν, κατὰ τὰς τῶν Χριστιανῶν προλήψεις, τὰ πονηρὰ πνεύματα τὸ ἑαυτῶν κράτος οὐκ ἐξήσκουν εἰ μὴ ἐν καιρῷ νυκτός· τοῦτο ἐκφωνεῖ πεποιθότως Προυδέντιος ὁ Ἱσπανὸς ποιητής, ὃς κατὰ τὸν μέγαν Θεοδόσιον ἤκμασεν (Καθημερινῶν Α', στ. 37)· εἰσὶ δὲ οἳ καὶ νῦν ταύτην τὴν δεισιδαιμονίαν φυλάττουσιν (Bernhard Schmidt, Volksleben der Neugriechen σ. 94. 116. 127, Märchen σ. 244. Ἑλλην. Φιλολ. Σύλλ. ἐν Κ/πόλει, τ. ΙΔ', σ. 237. τ. ΙΕ', σ. 124 ὑποσημ.). Ὅμοια παραδίδωσι Λουκιανὸς ἐν τῷ Φιλοψευδεῖ (14) διηγούμενος ὅτι ἡ Ἑκάτη καὶ ἄλλα φάσματα, ἐπεὶ πρῶτον οἱ ἀλεκτρυόνες ἔκραξαν, ἠφανίσθησαν. Μέσον δὲ τόπον ἐκτὸς τοῦ Λουκιανοῦ καὶ τοῦ Ἡσιόδου κατέχει Ἄρατος ὁ ἀστρονόμος (118), καθ' ὃν ἡ Δίκη πρόπαλαι ἐπιδείελος (τοῦ ἡλίου δύοντος) πρὸς τοὺς ἀνθρώπους κατήρχετο. Πλὴν οἱ νεώτεροι εἰσέτι τὴν νύκτα τοῖς κακοῖς μόνον πνεύμασιν ἐπινέμουσιν, ἀλλὰ χωρία τινά, π. χ. Ἀράχωβα τῆς Φωκίδος, ἔχουσι τὴν εὐσεβῆ

ὑμνεῦσαι Δία τ' αἰγίοχον καὶ πότνιαν Ἥρην
Ἀργείην χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν
κούρην τ' αἰγιόχοιο Διὸς γλαυκῶπιν Ἀθήνην

πεποίθησιν ὅτι οἱ ἅγιοι, τῶν ἀνθρώπων κοιμωμένων, ἐπιθεωροῦσι τὰς αὐτῶν ἐκκλησίας (Schmidt, Volksleben σ. 77).

*στεῖχον*] Ὁ παρατατικὸς ἀντικαθίστησι τὸν ἐλλείποντα ἀόριστον καθὼς στ. 269 (ἴαλλον).

*ὄσσαν*] Οἱ παλαιοὶ σημειοῦνται, ὅτι ὁ Ὅμηρος οὐδέποτε τῇ λέξει ἐπὶ τῆς ᾠδῆς ἐχρῆτο· λέγει δὲ αὐτὸς ὅπως τὸ αὐτὸ ἐκφράσῃ «Ἱεῖσαι *ὄπα* κάλλιμον» (Ὀδ. μ 192).

*περικαλλέα*] Μικρὸν παραλλάσσει τοῦ ἐν τῇ συνηθείᾳ «καλὰ περίκαλα».

11. *αἰγίοχον*] Τὸν ἔχοντα αἰγίδα. Οὕτω δηλονότι ἐκάλουν οἱ ἀρχαῖοι κυρίως τὴν καταιγίδα, πρβλ. Αἰσχύλ. Χοηφ. 578-585: ἀνεμοέντων αἰγίδων φράσαι κότον· Ἰωάννης ὁ Διάκονος ἐν ταῖς εἰς τὴν Θεογονίαν ἀλληγορίαις 538 (337) τάδε τὰ μετέωρα ἀπαριθμεῖ, δοκίδας καὶ βοθύνους καὶ δαλοὺς καὶ *αἰγίδας* καὶ κομήτας καὶ διάττοντας. Ἐν δὲ τοῖς Ὁμηρικοῖς ποιήμασιν ἡ αἰγὶς ἐναργῶς πέπλασται ὡς ἀσπὶς χαλκῆ (Ἰλ. Ε 738 κἑ. Ο 308 κἑ.), ἥν περ κρατοῦσι καὶ σείουσιν ἄλλοι τε θεοὶ καὶ μάλιστα Ζεύς. Διὰ τοῦτο ἄρα αἰγί-οχος ἐπονομάζεται.

*πότνιαν*] Θηλυκὸν τοῦ *πόσις* (=πότις), ὃ δὴ κατ' ἀρχὰς ἐσήμαινε «κύριος», ὥσπερ καὶ νῦν συχνάκις αἱ γυναῖκες τὸν ἄνδρα ὀνομάζουσιν.

12. *Ἀργείην*] Ἐν τῇ Ἰλιάδι (Δ 51, 52) ἡ Ἥρα λέγει· «Ἤτοι ἐμοὶ τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες, Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη» (Ποσειδῶνος δῆθεν, ὡς Πλούταρχος ἐν τῶν Συμποσιακῶν Θ' 6 διηγεῖται, αὐτῇ παραχωρήσαντος τοῦ Ἄργους καθάπερ τῇ Παλλάδι τῶν Ἀθηνῶν). Τὸ ἐπίθετον οὐχ ἁπλῶς ποιητικὸν ὑποληπτέον (πρβλ. Ἰλ. Δ 8 καὶ Φορωνίδος ἀπόσπασμα παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ Στρωματ. Α', σ. 418), διότι ἐν Σπάρτῃ, ἴσως δὲ καὶ ἐν ἄλλαις πόλεσι δημόσιον ἦν (Παυσ. 3, 13, 8).

*χρυσέοισι πεδίλοις ἐμβεβαυῖαν*] = χρυσοπέδιλον 952. Ὀδ. λ 604 (πρβλ.: κατὰ πέδιλα ἀμβρόσια χρύσεια Ἰλ. Ω 340 = Ὀδ. 96 = ε 44: χρύσεα καὶ τὰ πέδιλα. Καλλιμ. Ὕμν. εἰς Ἀπόλλωνα 34). Ὅσα φοροῦσιν οἱ θεοὶ πάντα ἀπὸ χρυσοῦ πεποίηται, διὸ καὶ ὁ εὐχρήματος χρυσᾶ αὐτοῖς προσφέρει δῶρα (Ὀδ. π 185). Θνητὰς ἔμπαλιν γυναῖκας ἔδει ἀρκεῖσθαι ὑποδημάτων ἱμάσιν ἢ κοσμήμασιν ἀπὸ χρυσοῦ (Πολυδεύκ. 7, 92. 93) ὁμοιοτρόπως ταῖς «ἀρχοντίσσαις», αἵτινες οὐ πρὸ πολλοῦ ἐβρενθύοντο μετὰ καταχρύσων ὑποπτερνίων.

13. *γλαυκῶπιν*] Ἐν Ἀριστοτελικῷ τινι προβλήματι (10, 13) τρία φέρονται γένη τῶν ὀφθαλμῶν, δηλαδὴ μέλανες, αἰγωποί, *γλαυκοί*. Τοιοῦτοι λοιπὸν οἱ τῆς Παλλάδος ἐλέγοντο (Παυσαν. 1, 14, 6: τὸ δὲ ἄγαλμα ὁρῶν τῆς Ἀθηνᾶς γλαυκοὺς ἔχειν τοὺς ὀφθαλμούς. Ἀνακρεόντεια 15 (28), 20: βλέμμα... γλαυκὸν ὡς Ἀθήνης). Περίεργόν τι μνημεῖον τῆς Ἑλληνικῆς χρωμοπλαστικῆς, ἐν Βερολίνῳ νῦν φυλαττόμενον, δημοσιευθὲν δὲ ὑπὸ τῆς ἀρχαιολογικῆς σχολῆς ἐν τοῖς «Ἀρχαίοις Μνημείοις» (Alte Denkmäler, τ. Α', π. 3) ἔχει τὴν γλήνην ὀρφνώδη, τὸ στρογγύλον ὅμως λάμπει ὑπόγλαυκον. Ἂν ζητῶμεν, πόθεν ἀνέβλαστεν ἡ δόξα αὕτη, τὴν ἀπορίαν λύουσιν οἱ ποιηταὶ διὰ τοῦ ὀνομάζειν γλαυκὸν τὸ βλέμμα τῶν λεόντων καὶ ὄφεων (Ἰλ. Υ 172 καὶ Ἡσ. Ἀσπ. 430: γλαυκιόων, Πινδάρ. Ὀλ.

Φοῖβόν τ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν
ἠδὲ Ποσειδάωνα γαιήοχον ἐννοσίγαιον
καὶ Θέμιν αἰδοίην ἑλικοβλέφαρόν τ' Ἀφροδίτην

6,45: γλαυκῶπες δράκοντες, 8,37: γλαυκοὶ δράκοντες. Ὀρφ. Ἀργοναυτ. 936: γλαυκοῖς ἀμφ' ὄσσοισι)· διαρρήδην δὲ Κορνοῦτος ὁ μυθολόγος λέγει: «Καὶ γὰρ τῶν θηρίων τὰ ἀλκιμώτατα, οἷον αἱ παρδάλεις καὶ οἱ λέοντες, γλαυκά εἰσι, δυσαντίβλεπτον στίλβοντα ἀπὸ τῶν ὀμμάτων... οἱ δὲ δράκοντες καὶ ἡ γλαὺξ διὰ τὸ ἐμφερὲς τῶν ὀμμάτων ἀνατίθενται ταύτῃ (Ἀθηνᾷ) γλαυκώπιδι οὔσῃ· σμερδαλέον γὰρ ὁ δράκων δέδορκε καὶ φυλακτικόν τι ἔχει καὶ ἄγρυπνον καὶ οὐκ εὐθήρατος εἶναι δοκεῖ» (κεφάλ. 20).

14. *Φοῖβον*] Ὀρθότερον γραπτέον ὡς ἐπίθετον· «φοῖβον δὲ δήπου (φησὶ Πλούταρχος ἐν τῷ περὶ τοῦ ΕΙ ἐν Δελφοῖς κ. 19) τὸ καθαρὸν καὶ ἁγνὸν οἱ παλαιοὶ πᾶν ὠνόμαζον», πρβλ. ἀπόσπ.: φοῖβον ὕδωρ, Αἰσχύλ. Προμ. 22: ἡλίου φοίβῃ φλογί, Λυκόφρ. Ἀλεξάνδρᾳ 1009.

*ἰοχέαιραν*] Παρὰ τὸ *ἰὸς* καὶ *χέω*· τοξότις γάρ, ὡς πασίγνωστον, ἡ θεός. Τὴν τοῦ ἐπιθέτου αἰτιολογίαν χορηγεῖ Ὅμηρος ἐν τῇ Ὀδυσσείᾳ χ 2 κἑ. «ἆλτο δ' ἐπὶ μέγαν οὐδὸν ἔχων βιὸν ἠδὲ φαρέτρην ἰῶν ἐμπλείην ταχέας δ' ἐκχεύατ' ὀϊστούς»· ἐτόξευον δηλαδὴ τὸ πάλαι εἰς τὸ ἕτερον γόνυ ὀκλάσαντες, ὡς δηλοῦσιν ἀγγείων τε πολλῶν ἀρχαιοτάτων ζωγραφίαι καὶ τὰ αἰγινητικὰ ἀετώματα; Ἢ ἴσως παραβάλλεται τὸ ταχέως τοξεύειν τῷ ὑετῷ, ὡς καὶ Ἰλ. Ε 618: Τρῶες δ' ἐπὶ δούρατ' ἔχευαν, Θ 159. = Ο 590: βέλεα στονόεντα χέοντο, καὶ παρ' ἄλλοις μέχρι τοῦ νῦν «Πέφτουν τὰ τόπια σὰν βροχή, τὰ βόλια σὰν χαλάζι».

15. *γαιήοχον*] διότι τῷ θεῷ τοὺς σεισμοὺς προσῆπτον, ἔλεγον καὶ ὅτι ἡ γῆ ἐπὶ τῆς θαλάσσης ἐστήρικται (ἴδε τὰ εἰς 732 σεσημειωμένα). Πρὸς τὴν ποσότητα τῆς πρώτης συλλαβῆς πρβλ. Ἰλ. Π 235: χαμαιεῦναι, Ὀδ. κ 243 καὶ ξ 15: χαμαιευνάδες, Ὀδ. 379: ἔμπαιος, Πινδ. Ὀλ. 13, 81: γαιαόχῳ, Ὀρφ. Ἀργον. 1025: Αἰήτης. Ἐν τούτοις τοῖς χωρίοις ἐπιτηδειοτέρα ἂν ἦν ἡ νεωτέρα γραφὴ *αι*, διότι ἡ δίφθογγος οὐ συστέλλεται εἰ μὴ πρὸ φωνηέντων.

*ἐννοσίγαιον* ὡς *ἐνοσίχθων* παρὰ τὸ *ἐν-Ϝοθ* καὶ *γαῖα* = *σεισίχθων*, ἐπειδή, ὡς ἔφθην εἰπών, τοὺς σεισμοὺς διενεργεῖ. Ἡ δὲ αἰτία τὸ μὲν ὅτι ὁ ἐκείνου ἱερὸς Ἰσθμὸς καθ' ἑκάστην σχεδὸν ἡμέραν ὀλίγον τι πάλλεται, τὸ δὲ διότι ἅμα σεισμῷ πολλάκις γίνονται σφοδραὶ κινήσεις τῶν κυμάτων· ἔτι δὲ καὶ αἱ τοῦ Αἰγαίου πελάγους νῆσοι καὶ ἡ πρὸς ἑσπέρας ἀκτὴ τῆς Ἑλλάδος ἡφαίστειον χαρακτῆρα ἔχουσιν.

16. Τὸ μὲν *αἰδοίη* ἐπίθετον ἐμφαίνει τὴν τῆς θεοῦ σεβασμιότητα, τὸ δὲ *ἑλικοβλέφαρος* (Ὁμηρ. Ὕμν. 6, 19. Πίνδαρ. Πυθ. 4, 172. ἀπόσπ. 123 = 88, 5) τὸ κάλλος αὐτῆς ἐπαινεῖ συνωνύμως τῷ *ἑλικῶπις* (Θ. 298. Ἰλ. Α 298. Ὁμηρ. Ὕμν. 33, 1. Πινδαρ. Πυθ. 6, 1, πρβλ. τὸ Ὁμηρικὸν *ἑλίκωπες Ἀχαιοί*), τὸ στρογγύλον σχῆμα τῶν ὀφθαλμῶν σημαῖνον. Οὐκ ἄλλως πως ὁ δημοτικὸς ποιητὴς «τὰ σφαιροειδῆ μάτια» τῆς αὐτοῦ ἀγάπης ἐξυμνεῖ (Passow δίστιχ. 718, ἴδε καὶ Ἑλλην. Φιλ. Σύλλ. τ. Η', σ. 427 ἀρ. 21,5: φκιάσε τὰ μάτια δυὸ τροχούς). Τοιουτοσχήμους ὀφθαλμοὺς συμπαρέβαλλον στεφάνῳ (Ἡσύχ. στεφάναι] ... αἱ τῶν βλεφάρων ἀπολήξεις). Ἐπὶ στ. 910 καὶ τοῦ 7 στ. τῆς Ἀσπίδος εὐκαιρία ἔσται τοῦ διασαφηνίσαι πόσον οἱ παλαιοὶ ἐθαύμαζον τὴν τῶν βλεφάρων εὐμορφίαν.

Ἥβην τε χρυσοστέφανον καλήν τε Διώνην
Ἠῶ τ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην

17. *χρυσοστέφανον* (136. Ὁμηρ. Ὕμν. 6, 1, ὅστις στίχος λεπτομερῶς πραγματεύεται στ. 7κἑ. : Κρατὶ δ' ἐπ' ἀθανάτῳ στεφάνην εὔτυκτον ἔθηκαν καλὴν χρυσείην). Τὰ περὶ τοῦ *χρυσοπέδιλος* εἰρημένα καὶ ἐνταῦθα εὐάρμοστα. Ὅσον μέντοι πρὸς τὸ σχῆμα τοῦ διαδήματος, ἐπέχομεν· τὸ ἀρχαιότατον γοῦν ἐκ λίθου ἔργον, ὅπερ νῦν τὸ ἐν Ὀλυμπίᾳ μουσεῖον κοσμεῖ, ἀπεικονίζει Ἥραν, φέρουσαν ἐπὶ τῶν πλοκάμων ταινίαν πλατεῖαν φύλλοις, ὡς φαίνεται, ἐζωγραφημένην. Τὰ φυτικὰ κοσμήματα οἱ χρυσοτέκτονες ἀνέπτυξαν εἰς λαμπρὰν ποικιλίαν· ὡς παράδειγμα ἀρκεῖ τὸ διάδημα κεφαλίου ἀργιλλίνου, ὡσαύτως ἐν Ὀλυμπίᾳ ἀνασκαφθέντος (Ausgrabungen von Olympia τ. Ε', π. 26α). Κατὰ δὲ τὴν διαπρεπεστάτην ἀκμὴν τῆς καλλιτεχνίας στεφάνους φυλλίνους ἐπιμελῶς ὑπετύπουν, οἷοι καὶ ἐν πολλοῖς τάφοις Ἑλλήνων ἢ Ἑλληνιζόντων βαρβάρων, τῶν Σκυθῶν δῆθεν καὶ Τυρρηνῶν, εὑρίσκονται (δύο δείγματα τούτων παρέχει Σπ. Λάμπρος ἐν Ἱστορίᾳ τῆς Ἑλλάδος τ. Α', σ. 264. 318) καὶ ὡς ἀναθήματα μνημονεύονται ἐν ἐπιγράμμασί τισι τῆς Ζ' βίβλου τῆς Ἀνθολογίας (ἔπιθι καὶ Πολυδεύκην 1, 28).

*Διώνην*] τὴν ἐν 353 μνημονευομένην Ὠκεανίδα, ἣ τοῦ ἐπισήμου τόπου τούτου καταξιοῦται, ἐν Δωδώνῃ σύζυγος τοῦ Διός ὑπολαμβανομένη.

Ἡμῖν τοῖς τῇ ἀφώνῳ ἀναγνώσει ἀμβλυνθεῖσι τὰ ὦτα οὐ περιττὸν ἐνθυμηθῆναι ὅτι Πλούταρχος ἐν τοῖς Συμποσιακοῖς Ζητήμασι (9, 15, 1) ἐπαινεῖ τὴν εὐρυθμίαν τῶν δύο τούτων στίχων.

18. Ἰδοὺ τὸ πρῶτον δεῖγμα ἰδιώματος Ἡσιοδείου· ὁ ποιητής, ἂν καὶ προσωποποιῇ τὰς φυσικὰς δυνάμεις, οὐδὲν ἧττον τοῖς ὀνόμασι συνάπτει ἐπίθετα, ἅτινα πρὸς τὰ στοιχεῖα ἁρμόζουσι, π. χ. καλεῖ τὴν μὲν Σελήνην λαμπράν, τὸν δὲ Ὠκεανὸν μέγαν (20), τὴν δὲ Νύκτα μέλαιναν κτλ. Αἱ προσωποποιίαι αὗται οὐκ ἀκαδημικῶν ποιητῶν ψυχραὶ σκιαγραφίαι, ἀλλὰ γεννήματα τῆς δημώδους φαντασίας ἐκφαίνονται· τὴν τῆς Ἠοῦς χώραν ἔλαβεν ὕστερον, διὰ μέσου τῆς ἁγίας Γραφῆς, τοῦτο μὲν ὁ ἑωσφόρος (*αὐγερινός*), τοῦτο δέ, ἐν τῇ τοῦ δήμου ποιήσει, ἡ Παναγία· ὁ δὲ Ἥλιος καὶ κατὰ τὸν μέσον αἰῶνα (πρβλ. πρὸς ταῖς τῶν Βυζαντίνων ζωγραφίαις καὶ τοῖς ψηφοθετήμασι τὸ ᾆσμα τοῦ Ἀρμούρη ἐκδ. ἐν τῷ Ἀρχείῳ τῆς Σλαβικῆς Φιλολογίας τ. Γ', 1878 σ. 555 καὶ παροιμίαν δημοσιευθεῖσαν ἐν τῷ Ε' τ. Μεσαιωνικῆς Βιβλιοθήκης τοῦ Σάθα σ. 563 καὶ ὑπὸ Κρουμβαχέρου ἐν τοῖς τῆς Βαυαρικῆς Ἀκαδημίας Πρακτικοῖς 1887 τ. Β', σ. 87) καὶ νῦν ἐν πολλοῖς «τραγουδίοις» προσωπικῶς ἤτοι προσαγορεύεται ἢ λέγει (ἴδε λ. χ. Passow 121. 398. 399. 539. 622, 3 καὶ Ἀραβαντινοῦ Συλλ. 96) καὶ δὴ καὶ ἐν Ἠπειρωτικῷ παραμυθίῳ (Ἑλλην. Φιλολ. Σύλλ. τ. ΙΔ', σ. 258) *παρέρχεται ὑψηλοτάτης ἐπιφανείας*. Αὐτὸ δὲ τὸ «ψηλὸς ψηλὸς» ἀποδεικνύει πῶς δεκτέον τὸ ἐπίθετον *μέγας*. Ὅτι δὲ ὁ ἥλιος «βασιλεύει» ἢ «φεύγει» ἢ «κοιμᾶται 'ς τὰ βουνά», οἱ πολλοὶ καθ' ἡμέραν ἀπροσέκτως καί, ὡς εἰπεῖν, μηχανικῶς ἐκφράζουσιν. Παραπέμποντες τοὺς σπουδαίους ἀναγνώστας εἰς τοῦ σοφοῦ Πολίτου διατριβὴν («ὁ Ἥλιος κατὰ τοὺς δημώδεις μύθους» Ἀθήνησι 1882), σημειούμεθα ὅτι τοῦ Ἡλίου τὸ γιγάντειον σχῆμα πρὸ πολλοῦ ἐδεινοποίουν, ὅθεν Θεόδωρος ὁ Πρόδρομος (Ῥοδ. καὶ Δροσ. 6, 1) αὐτὸν ἐπωνόμασε «Γίγαντα»· οὐδὲν ἄλλο ἐκίνησε τοὺς Ῥοδίους ἀνεγεῖραι τὸν περιφανῆ κολοσσὸν τοῦ Ἡλίου. Ἀναλόγως ἡ «μέλαινα» Νὺξ ἐφαντάζετο με-

Λητώ τ' Ἰαπετόν τε ἰδὲ Κρόνον ἀγκυλομήτην
Γαῖάν τ' Ὠκεανόν τε μέγαν καὶ Νύκτα μέλαιναν,
ἄλλων τ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων.
Αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν,
ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὕπο ζαθέοιο·

λάμπεπλος (Εὐριπ. ἐν Ἴωνι 1150).

*Λαμπρά τε σελήνη*] Κεῖται αὐτολεξεὶ ἐν τῷ 3 στ. τοῦ ἐπιτυμβιδίου ἐπιγράμματος τοῦ βασιλέως Μίδα· πότερον μέντοι ἦν πρωτότυπον, ζητήσει μόνον ὁ μὴ Ἕλλην, ἀγνοῶν ὅτι τὸ ἐπίθετον ταὐτὸ ἔμενεν ἐν τῇ δημοτικῇ ποιήσει (π. χ. φεγγαράκι μου λαμπρὸ Fauriel τ. Β', σ. 71).

19. *Ἰαπετὸν* ἐξαίρει, διότι Προμηθεὺς ὁ υἱὸς αὐτοῦ ἐν τοῖς ἑξῆς οὐκ ἄσημος παρίσταται, ὅπερ ἐν τῇ εἰσαγωγῇ σ. 37 κέ.) ᾐτιολογήσαμεν. Ὡσαύτως ἐν τῇ Ἰλιάδι (Θ 479) Ἰαπετὸς καὶ Κρόνος συζεύγνυνται καὶ ἀμφότεροι παρὰ τοῖς παροιμιαζομένοις ἐκπροσωποῦσι τοὺς παμπαλαίους πρὸ τῆς Διὸς βασιλείας χρόνους (οἷον: Κρονίων ὄζει, Κρονικὸς ἄνθρωπος, Ἰαπετός).

*ἀγκυλομήτης*] παρὰ *ἀγκύλος* (=σκολιός) καὶ *μή-της*=(φροντιστὴς πρβλ. μῆτις), ἐπίθετον ἐκ τῶν Ὁμήρου ποιημάτων παρειλημμένον, ὃ ἐξελήλυθεν ἀπὸ τοῦ ὅτι Κρόνος τὸν Οὐρανὸν οὐχὶ βίᾳ, ἀλλὰ δόλῳ ἐξεθρόνισεν.

20. Ζήτει εἰς 18.

21. Τὸ τὰς Μούσας περὶ τῶν θεῶν τὰ μάλιστα ᾄδειν φυσικώτατον· ὅθεν οὐ παραδεχόμεθα τὴν γνώμην ὅτι νῦν ἤδη ὑποδεικνύει τὰ ἐν τῇ Θεογονίᾳ περιεχόμενα.

22. Ἐνταῦθα ἀπὸ τῆς συνήθους τῶν Μουσῶν διαίτης ὁ Ἡσίοδος μεταβαίνει πρὸς τὸ καθαρῶς ἱστορικὸν εἶδος· τῷ *νὺ* μορίῳ, ὅπερ ὁμοιάζει τῷ *λοιπὸν* τῆς συνηθείας, ὁ ποιητὴς ἐπιφέρει *ποθ'* ὅπως μὴ συγχέωμεν τὴν ἐμφάνειαν ταύτην μετὰ τῆς ἐν στ. 9-21 ἱστορουμένης.

*Ἡσίοδον*] ὁ ποιητὴς αὐτὸς μνημονεύει τὸ αὐτοῦ ὄνομα ἐν τῷ προοιμίῳ καθὼς οἱ παλαιότατοι τῶν Ἑλληνικῶν πεζογράφων· οὐκ ἀλλοτρόπως ἐν τῷ εἰς τὸν Δήλιον Ἀπόλλωνα Ὁμηρικῷ ὕμνῳ τυφλός τις Χῖος φρονήματος ἔμπλεως περὶ ἑαυτοῦ λόγον ποιεῖται.

23. Πάλαι ποτὲ ἐν τῇ Ἑλλάδι τὰς ποίμνας ἐβουκόλει ὁ υἱὸς τοῦ κυρίου (πρβλ. Ἀριστοφ. Νεφέλ. 71. Πλούτ. π. παίδων ἀγωγῆς 18: [ὁ υἱὸς] ἐβουκόλησέ ποτε δι' οἰκέτου; τὴν ὀργὴν κατάσχες). Νέον δὲ τότε γεγονέναι τὸν ποιητὴν οὔτε τοῖς ἄρτι εἰρημένοις διαβεβαιοῦται οὔτ' ἐκείνοις ὅσα οἱ μεταγενέστεροι ἐμυθολόγουν περὶ Αἰσχύλου καὶ Πλάτωνος καὶ τῶν ὁμοίως Μουσολήπτων, ὡς δῆθεν μειράκια ἢ νέοι ὄντες τῆς θείας χάριτος ἔτυχον· μαρτυρεῖ γὰρ ἡ ψυχαγωγὸς περὶ εὐσεβοῦς ἐπισκόπου ἱστορία, ἥντινα διαδίδωσι Σωκράτης ὁ σχολαστικὸς ἐν τῇ Ἐκκλησιαστικῇ Ἱστορίᾳ (1, 12 σ. 40 ἔκδ. Valesius) ὅτι καὶ οἱ γεωργοὶ αὐτοὶ ἐνίοτε ἐν βουκόλων μέρει καθίσταντο.

Τὸ τοπικὸν *ὑπὸ* διευθύνει κατὰ τὴν Ὁμηρικὴν συνήθειαν τὴν γενικήν, π. χ. Ἰλ. Θ 14: βάθιστον ὑπὸ χθονὸς βέρεθρον, Ξ. 493: ὑπ' ὀφρύος οὖτα. Ἐν τῇ ὑπωρείᾳ ἢ τοῖς πρόποσι λοιπὸν συνέβη ἡ θεοφάνεια. Ἂν τις ἡμῖν συγχωρῇ ἐπαγαγεῖν δύο ψυχρὰς ἐπικυρώσεις, ὑπομιμνήσκομεν πρῶτον μὲν ὅτι ὁ Ἑλικὼν οὐ παρεῖχε τροφὴν εἰμὴ ταῖς αἰξίν (Παυσαν. 9, 28, 1), ἔπειτα ὅτι ἡ δάφνη (πρβλ. 30) κατὰ τὴν σπουδαίαν μαρτυρίαν τοῦ γενικοῦ ἐφόρου τῶν Ἑλληνικῶν δασῶν οὐχ εὑρίσκεται ἀνωτέρω

τόνδε δέ με πρώτιστα θεαὶ προς μῦθον ἔειπαν,
Μοῦσαι Ὀλυμπιάδες κοῦραι Διὸς αἰγιόχοιο·
« Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἶον!
Ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα,
ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα γηρύσασθαι. »
Ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι

τῶν 975 μέτρων ὑπὲρ τὴν θάλασσαν· ἐπὶ τοῦ Ἑλικῶνος λοιπὸν οὐ βλαστάνουσι δάφναι πλὴν ἐν ταῖς περὶ τὸν Ἅγιον Νικόλαον ὑπωρείαις.

24. Ἡ δισσὴ μετὰ τοῦ ῥήματος αἰτιατικὴ ἐξ Ὁμήρου γνωστή.

25. *Ὀλυμπιάδες*] Ἐπίτιμον ἐπίθετον, δι' οὗ μάχεται πρὸς τοὺς ἐν Νυμφῶν ἀριθμῷ τάττοντας τὰς Μούσας.

*αἰγιόχοιο*] Ζήτει εἰς τὸν 11 στ.

26. Ὁ στίχος ὅδε τοσοῦτον ἄτοπος φαίνεται, ὥστε Ἀπολλώνιος ὁ Ῥόδιος, εἰς τὴν ποιητικὴν μᾶλλον ἔνδοξος ἢ τὴν γραμματικήν, ἔλλειμμά τι ὑπώπτευσεν. Ἅπαντα ὅμως νομίζομεν ἀκέραια. Ἡ πτῶσίς ἐστι κλητική, τοῦ δὲ πληθυντικοῦ, ὃς τοὺς γραμματικοὺς λυπεῖ, αἴτιον ἐγένετο τὸ μὴ πρωτότυπον τοῦ στίχου, ἐπειδὴ τὸ μὲν *ποιμένες ἄγραυλοι* ὁ ποιητὴς ἐδανείσατο ἐξ Ἰλ. Σ 162, τὸ δὲ *κάκ' ἐλέγχεα* ἐξ Ἰλ. Ε 787. *Ἄγραυλοι* ἅτ' ἐπὶ τῶν ἀγρῶν αὐλιζόμενοι καλοῦνται. Τοῦ δευτέρου λοιδορήματος τὸ ὑβριστικὸν αὐξάνεται ἀπὸ τοῦ οὐδετέρου γένους, μεταφερομένου πρὸς ἄνδρας ὡς ἀνάνδρους. Τὰ λοιπὰ Ἡσίοδος ἐξ ἰδίας, οἶμαι, ἐμπειρίας προστίθησιν· ὁ νοῦς (ἵνα χρησώμεθα ταῖς Ἡσυχίου λέξεσι): «Τροφῆς μόνον ἐπιμελούμενοι. Διὸ καὶ Ἐπιμενίδης, κατὰ τὸν Ἀπόστολον (πρὸςΤίτον 1,12) τοὺς ὁμοφύλους ὧδε μεμψιμοιρεῖ: «Κρῆτες ἀεὶ ψεῦσται,κακὰ θηρία, γαστέρες οἶον». Εἰσέτι οἱ «Βλάχοι» τοιαύτην φήμην ἔχουσιν. Φυσικῶς ὁ ἐν ἐρημίᾳ βίος ἀδυνατεῖ ἀποτελεῖν ἀνθρώπους εὐγλώσσους καὶ εὐμούσους· εὐφυῶς ἄρα Νόννος ὁ Πανοπολίτης Ἡσίοδον ὀνομάζει κατ' ὀξύμωρον *ἀσίγητον νομῆα* (Διονυσ. 13, 76). Ἡ προσαγόρευσις ὡς πρὸς ἄνθρωπον χωρικὸν ἀγροικίζεται καθάπερ τὸ δημῶδες «*μωρέ* (*μπρέ*)». Ἔτι δὲ ὁ Ἡσίοδος ἐστοχάζετο ὡς οἱ θεοὶ πρὸς τοὺς «δειλοὺς βροτοὺς» σεμνῇ χρῶνται βραχυλογίᾳ.

27. Καὶ οὗτος καθ' Ὁμηρικὸν τύπον πεποίηται (Ὀδ. τ 203: ἴσκε δὲ ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα). Καίτοι νῦν ὁ δῆμος παίζων τὴν λέξιν *ψεύματα* μεταχειρίζεται (λ.χ.: «ψεύματα λέγεις» καὶ Ἀραβαντιν. Συλλογ. 366: 'λᾶτε νὰ 'ποῦμε ψέμματα, νὰ 'ποῦμε παραμύθια), ἐν τούτοις οἵ τε παροιμιακῶς εἰπόντες: «Πολλὰ ψεύδονται ἀοιδοί» (Σόλων Ἀπόσπ. 29, ἔκδ. Bergk) καὶ Ἡσίοδος τὰ πλάσματα κατακρίνουσιν, ὁμονοοῦντες μετὰ τῶν Σπαρτιατῶν, παρ' οἷς *Ὁμηρίδδειν* (Ὁμηρίζειν) συνώνυμον τῷ «ψεύδεσθαι» ἐλέγετο. Ὁ Ἀσκραῖος γὰρ δηλονότι θέλει ἐξειπεῖν ἀληθῆ πράγματα.

28. Τὸ *δὲ* παρατακτικῶς ἐκλαμβάνομεν ἵνα ᾖ ὁ νοῦς τῶν λεγομένων τοιοῦτος: «Καίπερ πολλοῖς ποιηταῖς ἐμπνέοντες ψεύδη, ὅμως δυνάμεθα διδάξαι καὶ ἀλήθειαν — ἄν περ προαιρώμεθα».

*γηρύσασθαι*] Παρὰ τὸ *γῆρυς* = μῦθος.

29. *ἀρτιέπειαι*] Θηλυκὸν τοῦ ἀρσενικοῦ *ἀρτιεπής* εἰς *ια* λῆγον, παρὰ τὸ *ἔπος* καὶ *ἄρτιος*, πρβλ.: ἄρτια βάζειν Ἰλ. Ξ 92 = Ὀδ. θ 240: εὔκοσμα καὶ ἄρτια. Σόλων Ἀπόσπ. 4, 33: ἄρτια

καί μοι σκῆπτρον ἔδον, δάφνης ἐριθηλέος ὄζον
δρέψασαι θηητόν, ἐνέπνευσαν δέ μοι αὐδὴν
θέσπιν, ἵνα κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα,

καὶ πινυτά. 4, 40. Μὴ ἀποπλανάτω τινὰ τὸ ὅτι ἐν τῇ Ἰλιάδι (Χ 281: ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων) ἡ λέξις μεμπτικῷ νῷ κεῖται· τοὐναντίον γὰρ ὁ Πίνδαρος διὰ τοῦ αὐτοῦ ἐπιθέτου κοσμεῖ τὴν ἑαυτοῦ γλῶσσαν (Ἰσθμ. 5 [4], 46) καὶ τὴν Ποσειδῶνος «ὄσσαν» (Ὀλ. 6, 61).

30. Τί σύμβολόν ἐστι τὸ σκῆπτρον γενικῶς καὶ ἰδιαιτέρως τὸ δάφνινον, ἐξηγεῖται κάλλιστα Ἡσύχιος, ὅς εἰς τὸ λεξικὸν καταχωρίζων τὴν λέξιν *αἴσακος* προσγράφει· «ὁ τῆς δάφνης κλάδος, ὃν κατέχοντες ὕμνουν τοὺς θεούς». Τοιουτοτρόπως λοιπὸν αἱ Μοῦσαι αὐτὸν ἀναδεικνύουσι διηγητὴν τῶν θείων καὶ οὐχί, καθὼς τοῖς κακῶς ἐτυμολογοῦσιν ἐδόκει, ἁπλῶς ῥαψῳδὸν ἢ πρὸς ῥάβδον ᾄδοντα. Διὰ τοῦτο ἀγγεῖον Ἑλληνικὸν ἐρυθραῖς ζωγραφίαις κεκοσμημένον (ὅπερ πάλαι ποτὲ ἀπὸ τῆς Ἑλλάδος εἰς Οὐόλκους τῆς Τυρρηνίας ἀπημπολήθη, νῦν δὲ εἰς τὸ Βρεττανικὸν μουσεῖον μετεκομίσθη, ἰδὲ Monumenti dell' Instituto τ. Ε', π. 37 καὶ Welcker, alte Denkmäler τ. Γ', π. 31) παρίστησι Μουσαῖον τὸν Ἐλευσίνιον θεολόγον καὶ ὑμνογράφον τὸ δάφνινον σκῆπτρον κρατοῦντα καὶ μετὰ τῶν Μουσῶν ὁμιλοῦντα. Ἀλλ' ἀπὸ ποίας προλήψεως ἐξῆλθεν οὗτος ὁ νόμος; Οὐκ ἂν εἴχομεν ἀποκρίνασθαι, εἰ μὴ ἀπὸ νομίσματος τῶν Θεσπιέων, ἔμπροσθεν μὲν ἔχοντος γυναικὸς κεφαλὴν δάφνῃ ἐστεμμένης, ὄπισθεν δὲ λύραν (Catalogues of the Greek coins in the British Museum· Boeotia σ. 92 κέ.) ἐτεκμαιρόμεθα ὅτι ἡ δάφνη ἦν ἱερὰ τῶν Ἑλικωνιάδων Μουσῶν.

*ἔ-δο-ν*] Ἀρχαϊκώτερον τοῦ κοινοῦ ἔδο-σαν, οἷον καὶ παρ' Ὁμήρῳ ἀπαντῶμεν ἔ-δυ-ν, ἔ-φυ-ν, ἔ-σταν-μέγαν σωρὸν τοιούτων τύπων ἀπεθησαύρισε Κόντος ὁ γραμματικώτατος ἐν τῷ Λογίῳ Ἑρμῇ (τ. Α', σ. 323-29).

*ἐρι-θηλέος*] Σύνθετον ἐκ τοῦ προτακτικοῦ μορίου *ἐρι*, ὅπερ δηλοῖ τὸ εὔρωστον, καὶ *θάλλω*, διότι ἡ δάφνη ἀειθαλής ἐστιν· ἢ ἔδοσαν αὐτῷ κλάδον πολλοῖς ἄνθεσιν ἐαρινοῖς θάλλοντα, οἷόν τινά μοι ἀπέδρεψεν ὁ ἀγωγιάτης ἐν τῷ Ἀπριλίῳ;

*ὄζον*] Κλάδον (λέξις παρ' Ὁμήρῳ πλεονάζουσα).

31. *θηητόν*] Ἀξιοθέατον, ὅπερ παράγεται ἀπὸ τοῦ Ἰωνικοῦ θηέομαι = θεάομαι.

*ἐνέπνευσαν*] Ὅτι οἱ θεοὶ τὴν ἀνθρωπίνην ψυχήν, τὸ ἴδιον πνεῦμα αὐτῇ ἐνστάζοντες, κινοῦσιν, ὡς καὶ τοῖς Ὁμηρικοῖς ἥρωσι, *μένος* καὶ *θάρσος* ἐμπνέουσιν.

*Αὐδὴν*] Οὐ συνώνυμον τῇ ἁπλῇ φωνῇ, καθὼς δηλοῖ ὁ ἑξῆς στίχος, πρβλ. Ὀδ. α 370-1 = 13, 4: ἀοιδοῦ τοιοῦδ' οἷος ὅδ' ἐστὶ θεοῖς ἐναλίγκιος αὐδήν, καὶ Ἰλ. Ο 55 ἔγραψάν τινες: Ἀπόλλωνα κλυτὸν αὐδήν.

32. *θέσπιν*] Ὁμηρικῶς (θέσπιν ἀοιδὴν Ὀδ. α 328. θ 498). Ἡ ῥίζα τῆς λέξεως καὶ τῶν συγγενῶν *θεσπέσιος* καὶ *Θεσπιαὶ* οὔπω ἀνηρευνήθη· ἰσοδυναμεῖ δέ, ὡς οἱ πολλοὶ ὑπολαμβάνουσι, τῷ *θεῖος*.

*κλείοιμι*] Λέγει εὐκτικῶς, οὐχὶ ὑποτακτικῶς *κλείω*, διότι ὁ νοῦς: Ὅπως οἷός τ' ὦ ποιεῖν οἷον δήποτε ᾆσμα. Πρὸς τὸ προκείμενον ὅμως ποίημα νῦν γε αὐτὸν οὐ παροτρύνουσιν.

*τά τ' ἐσσόμενα πρό τ' ἐόντα*] Λουκιανὸς κατεγέλασε τοῦ καυχητοῦ, ὅς γε οὐδαμοῦ τῆς Θεογονίας περὶ τῶν μελ-

καί μ' ἐκέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστερον αἰὲν ἀείδειν.
Ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;

λόντων λόγον ἐποιήσατο, ἀδικεῖ μέντοι τὸν ποιητήν. Οὐ μόνον γὰρ τὰς λέξεις ἠρύσατο ἐκ τῆς Ἰλιάδος (Α 70), ἀλλὰ καὶ Πλάτων ἐν τῇ Πολιτείᾳ (Γ, σ. 392 d) διαρρήδην λέγει: «Ἆρ' οὐ πάντα, ὅσα ὑπὸ μυθολόγων ἢ ποιητῶν λέγεται, διήγησις οὖσα τυγχάνει ἢ *γεγονότων* ἢ *ὄντων* ἢ *μελλόντων;*» Καὶ ἐν ἐπιγράμματι (Ἀνθολογ. παράρτ. 505, 12) ἡ Κλειὼ ὀνομάζεται «μαντοσύνης Μοῦσα καὶ ἱστορίης». Πρὸς τούτοις, ἂν πειθώμεθα Ἀπολλωνίῳ τῷ Ῥοδίῳ (Ἀργ. 2, 511), αἱ Μοῦσαι Ἀρισταῖον ἐδίδαξαν ἰατρικὴν καὶ χρησμολογίαν. Ἡ δὲ ἐν Δελφοῖς Σίβυλλα μαθήτρια αὐτῶν ἐλέγετο (Πλουτ. Πυθ. χρηστηρ. σ. 398, πρβλ. Ἠθικ. σ. 462). Τηλαυγὲς δὲ τέρμα τῆς σημειώσεως ἔστω τὸ Πινδάρου (ἀπόσπ. 115): «Μαντεύεο, Μοῖσα, προφατεύσω δ' ἐγώ».

34. Ὁ ἁπλοϊκὸς Βοιωτὸς καὶ τοὺς θεοὺς φαντάζεται ἀνθρωπίνῃ φιλοδοξίᾳ ἐνεχομένους.

*Ὕστερον* λέγει, οὐχὶ *ὕστατον*. Ναὶ μὲν νῦν ἡ τοῦ ποιήματος ἀρχὴ ἀπὸ τῶν Μουσῶν γίνεται, ἀλλὰ καὶ ὕστερον, ὅταν ἄλλο τι ἔργον ἀναδέχηται, χάριτος ὑπόχρεως αὐταῖς μένει. Ἀξιομνημόνευτος ᾄσματος Κυπριακοῦ (δημοσιευθέντος ὑπὸ Σακελλαρίου ἐν Κυπριακῶν Γ', σ. 139, 17) στίχος. *Πρῶτα καὶ ὕστερα* εἶμ' ἐδική σου.

35. *τίη* = *τί ἢ* (τί λοιπόν). «Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;» ῥητορικὴ ἐρώτησις συχνὴ ἐν τῇ Ἰλιάδι (Λ 407. Ρ 97. Φ 562. Χ 122. 385. πρβλ. Κ 432. Υ 251. 297), δι' ἧς γίνεται ἐπάνοδος ἐκ παρεκβάσεως. Πιθανώτατον τοίνυν ὅτι ὁ νοῦς τοῦ Ἡσιοδείου στίχου οὐ διαφέρει τοῦ τῶν Ὁμηρικῶν, ὡς καὶ Πορφύριος ὁ Νεοπλατωνικὸς ἐν τῷ Πλωτίνου βίῳ (22) ἐκεῖνον ἀναφέρει, ἵν' ἀποκόψῃ προσωπικὴν παρέκβασιν. Προσέτι τὸ «περὶ δρῦν ἢ περὶ πέτρην», κατὰ τοὺς τῆς πεζογραφίας νόμους, δέον συναφθῆναι τῷ *ταῦτα* διὰ τοῦ ἄρθρου (ταῦτα τὰ περὶ δ. ἢ π. π.). Περὶ τῆς τῶν λοιπῶν λέξεων ἐννοίας ὅμως ἐδίσταζον οἱ ἐξηγηταί, διότι διετάραξαν αὐτοὺς οἱ ἐξωτερικῶς ὁμοιάζοντες στίχοι τοῦ Ὁμήρου Ἰλ. Χ 126: οὐ μέν πως νῦν ἐστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης τῷ ὀαριζέμεναι, καὶ Ὀδ. τ 163: οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ' ἀπὸ πέτρης. Ἀλλά γ' ὁ Ἡσίοδος αὐτογνωμόνως τῇ φράσει ἐχρήσατο οὐχ ἧττον ἢ Πλάτων ἐν Φαίδρῳ (σ. 275 b), οὗπερ αἱ λέξεις τὴν *ἀκρισίαν* ηὔξησαν (λέγει δὲ περὶ τοῦ Δωδωναίου χρηστηρίου): «Τοῖς μὲν οὖν τότε, ἅτε οὐκ οὖσι σοφοῖς ὥσπερ ὑμεῖς οἱ νέοι, ἀπέχρη δρυὸς καὶ πέτρας ἀκούειν ὑπ' εὐηθείας, εἰ μόνον ἀληθῆ λέγοιεν»· τὰ τῶν μεταγενεστέρων, ἐξηρτημένων ἐκ τοῦ ἑτέρου ποιητοῦ ἢ φιλοσόφου χαίρειν ἐῶμεν ἅτε ἀκατάλληλα ὄντα. Ἁπλῶς εἰπεῖν, ὁ νοῦς ἔχει ὧδε: «Ἀλλὰ διὰ τί ἀποκαλύπτω τὴν θείαν ἐπιφάνειαν, ἣν εἶδον μακρὰν πάντων ἀνθρώπων ἐν μέσῳ πετρῶν καὶ δένδρων;» Οἷς ἐπισυναπτέον ἀμέσως τὸν ἑπόμενον στίχον. Πρὶν ἢ ὅμως τοῦτον ἑρμηνεύσωμεν, προεξηγεῖσθαι ἄξιον τὸ *δρῦν*. Πῶς γὰρ ἡ δρῦς, καίτοι εὐάριθμος ἐν τῇ Ἑλλάδι, ἐνταῦθα πάντων τῶν ἄλλων πολυπληθεστέρων δένδρων προτιμᾶται; Ἀλλὰ μὴν ἡ συγκριτικὴ γλωσσολογία διδάσκει ὅτι ἡ λέξις *δρῦς* (Ἰνδιστὶ dru) κατ' ἀρχὰς οτιοῦν δένδρον ἐσήμαινεν, ὅθεν ὕστερον εἰσέτι αἱ παράγωγοι δρυμός, δρύφακτος, δρύκαρπα (Λυκόφρ. 83) ἐν πλατυτέρᾳ σημασίᾳ διετέλουν. Τὴν δὲ αὐτὴν ὁδὸν

Τύνη, Μουσάων ἀρχώμεθα, ταὶ Διὶ πατρὶ
ὑμνεῦσαι τέρπουσι μέγαν νόον ἐντὸς Ὀλύμπου,
εἰρεῦσαι τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
φωνῇ ὁμηρεῦσαι· τῶν δ' ἀκάματος ῥέει αὐδὴ
ἐκ στομάτων ἡδεῖα· γελᾷ δέ τε δώματα πατρὸς

ἐτράπη ἡ αἰωνίως ἀνανεουμένη γλῶσσα, τὴν γενικὴν σημασίαν τῆς λέξεως *δένδρον* συστέλλουσα εἰς εἶδος δρυός (Quercus conferta), ὅπερ πέφυκε περὶ τὴν Ὄσσαν καὶ τὸ Πήλιον καὶ ἐν τῇ Εὐρυτανίᾳ, ἢ καὶ εἰς πάσας δρῦς.

36. Ὁ ποιητὴς ἀφελῶς ἀποκρίνεται, ἑαυτὸν ὡς ἕτερον πρόσωπον τῇ *τύνη* ἀντωνυμίᾳ προσαγορεύων, ἥτις μετ' ἐπιτάσεως ἐκ τῆς σὺ (τὺ) ἐγένετο ὥσπερ ἐγώνη ἐκ τοῦ ἐγώ. Τὰ παρέκτατα ταῦτα σχήματα τῶν μὲν παλαιῶν Ὅμηρος καὶ οἱ Δωριεῖς μετεχειρίζοντο, καθ' ἡμᾶς δὲ τηροῦσιν οἱ Κύπριοι τὰς παλαιὰς μετωνυμίας *ἐγώνη* καὶ *σούνη* ἢ *ἐσούνη*. Ἀντὶ τῆς ἀντωνυμίας κοινότερον ἔγραψεν ἂν «Ἡσίοδε». Καὶ Πίνδαρος ἐν ὁμοιογενεῖ χωρίῳ εὐφυέστερον τοῦ σκοποῦ ἐπέτυχε· λέγω δὲ Νεμ. 3, 26: *Θυμέ*, τίνα πρὸς ἀλλοδαπὰν ἄκραν ἐμὸν πλόον παραμείβεαι; Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν.

*ἀρχώμεθα*] Καθὼς ἐν στ. 1.

37. *τέρπουσι μέγαν νόον*], πρβλ. Ὕμν. εἰς Ἀπόλλ. Πυθ. 26 (204): ἐπιτέρπονται θυμὸν μέγαν. Θεόκριτ. 30, 31: Διὸς ἔσφαλε μέγαν νόον.

*ἐντὸς Ὀλύμπου*] *Ἐντὸς* λέγει, διότι Ὄλυμπος λέγεται οὐχὶ μόνον τὸ ὄρος, ἀλλὰ καὶ ἡ ἐπ' αὐτοῦ κατοικία τῶν θεῶν, περικεκυκλωμένη τείχεσιν, ὡς μανθάνομεν παρ' Ὁμήρου (Ἰλ. Ε 749 = Θ 393. 411).

38. *εἰρεῦσαι*] μετοχὴ τοῦ ἐπικοῦ ῥήματος *εἰρέω* (Ἡσύχ.: εἰρεῦντα, ἐρωτῶντα) ἢ *ἐρέω* (*λέγω*, ἐρωτῶ).

Τὰ λοιπὰ τοῦ στίχου ηὕρηται παρ' Ὁμήρῳ (Α 78), πρὸς δὲ τὴν ἐξήγησιν ἔπιθι τὰ ἀνωτέρω (32) εἰρημένα.

Οὐκ ἀπροαίρετος φαίνεται ἡ τῶν τριῶν μετοχῶν ὁμοφωνία, ἐπειδὴ μάλιστα λόγος γίνεται περὶ ᾠδῆς ὁμοφώνου.

39. *Ὁμηρεῦσαι*] μετοχὴ τοῦ *ὁμηρέω* (κυρίως μὲν = συγκυρέω Ὀδ. π 468, μεταφορικῶς δὲ = συμφωνέω), αὐτὸ δὲ παρωνόμασται ἀπὸ τοῦ *ὁμηρὴς* (Νίκανδρ. Ἀλεξιφ. 70, 261), κοινῶς *ὁμαρὴς* (Ἡσύχ.) = συναρμόζων.

*ῥέει αὐδή* (καθάπερ 31)] Ἡ μεταβολὴ διαφωτίζεται ἀπὸ τοῦ προτύπου τούτων, τοῦ θρυλουμένου Ὁμηρικοῦ χωρίου (Ἰλ. Α 249): «τοῦ καὶ ἀπὸ γλώσσης *μέλιτος γλυκίων ῥέεν αὐδή*».

40. *γελᾷ*] Τοῦτο τὸ σχῆμα παρ' οὐκ ὀλίγοις ποιηταῖς εὔχρηστεῖ, καθάπερ Ἰλ. Τ 362: ἐγέλασσε δὲ πᾶσα περὶ χθὼν (ὅπερ ἐν τῷ εἰς Δήμητρα Ὕμνῳ λεπτομερέστερον διαζωγραφεῖται), Θεογνιδείων στ. 9: ἐγέλασσε δὲ γαῖα πελώρη, Αἰσχύλ. Προμηθ. 90: γέλασμα κυμάτων, οὕστινας ἀκολουθεῖ μέγας χορὸς ποιητῶν μιμητικῶν — Ῥωμαίων, ἐννοεῖται, οὐχ ἧσσον ἢ Ἑλλήνων — καὶ πεζογράφων ποιητικευομένων· καὶ ἀγράμματος δέ τις ἐν διστίχῳ (ὑπ' Ἀραβαντινοῦ σ. 302, 12 δημοσιευθέντι) ᾄδει: «Ὅταν γελᾷς, γελοῦν βουνά».

Περιεργότατον δὲ ὅ,τι λέγει ὁ τοῦ Ἐρωτοκρίτου ποιητὴς (Α', σ. 7, ἔκδ. Βενετ. 1879) περὶ τῆς Ἀρετούσης γεννήσεως: «Τῆς χώρας *σπίτια καὶ στενά, σοῦ φαίνεται, 'γελοῦσαν*». Τῷ ἀνθρώπῳ ἐν γένει ἀνέκαθεν πρὸ τῆς καθ' ἡμᾶς αἰσθηματικότητος τὰ περικείμενα ἐφαί-

Ζηνὸς ἐριγδούποιο θεᾶν ὀπὶ λειριοέσσῃ
σκιδναμένῃ· ἠχεῖ δὲ κάρη νιφόεντος Ὀλύμπου
δώματά τ' ἀθανάτων. Αἱ δ', ἄμβροτον ὄσσαν ἱεῖσαι,
θεῶν γένος αἰδοῖον πρῶτον κλείουσιν ἀοιδῇ
ἐξ ἀρχῆς, οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτον,

νοντο πενθοῦντα μὲν μετὰ πενθοῦντος, χαίροντα δὲ μετὰ χαίροντος.

41. *ἐριγδούποιο*] παρὰ τὸ *γδοῦπος* = δοῦπος (πρβλ. ἐ-γδούπησε Ἰλ. Λ 45) = σφοδρῶς βροντῶντος.

*θεᾶν* μὲν Δωρικῶς, θεάων δὲ ἐπικῶς.

*ὀπὶ λειριοέσσῃ*] ὅπερ καὶ ἐν τῇ Ἰλιάδι (Γ 152) ἐπὶ τοῦ τέττιγος κεῖται, παρὰ τὸ *λείριον*, ὅπερ κατὰ τοὺς Θεοφράστου ἔτι χρόνους ἐσήμαινεν οὐχὶ τὸ λευκὸν κρίνον, ἀλλὰ τὸν νάρκισσον (Ἱστ. φυτ. 6,6,9) ἢ τὸ λευκόϊον (πρβλ. Ὁμηρ. Ὕμν. εἰς Δήμητρα στ. 428 μετὰ 6): «φωνὴ γὰρ *λευκὴ* καὶ μέλαινα λέγεται» (Ἀριστοτ. Τοπικ. 1, 13, ὅπερ ἰδιοποιήσαντο καὶ Ῥωμαῖοι λέγοντες candida vox). Ἡ ἐξαίρετος καὶ ἁβρὰ μεταφορὰ αὕτη πηγάζει ἐκ τῆς Ἑλληνικῆς φιλανθίας, ἣν οἱ Ἑλληνισταὶ ἀδίκως περιορίζουσιν ἐν Χαιρήμονι τῷ τραγικῷ. Πρὸς τούτοις τῷ Ἀσκραίῳ *πάτριόν τι ἐνῆν ἐν τῇ λέξει*· οἱ Θεσπιεῖς ἐμυθολόγουν ὅτι ἡ μήτηρ τοῦ ὡραίου Ναρκίσσου (ἐπικαλούμεθα τὴν τῶν ἀναγνωστῶν προσοχὴν εἰς τὰ περὶ τῆς λέξεως *λείριον* εἰρημένα), οὗ ἀντεποιοῦντο διὰ τὴν ἐν τῇ αὐτῶν χώρᾳ δαψίλειαν καὶ ὡραιότητα ναρκίσσων, ὠνομάζετο Λειριόεσσα (Εὐσταθ. Παρεκδ. εἰς Ἰλ. Β 498, σ. 266, 8) ἢ Λειριόπη (Ὀβιδ. Μεταμορφ. 3, 342). Ἡ Ἡσιόδειος λέξις ἤρεσε τῷ ποιήσαντι τὸ ἐπίγραμμα (Corpus Inscriptionum Græcarum τ. Α', ἀρ. 1012 = Kaibel, Epigrammata Græca 169, στ. 4): «γλυκεροῦ στόματος ὄπα λειριόεσσαν ἱεῖσα».— Ἡ δοτικὴ δηλοῖ τὴν αἰτίαν.

42. *σκιδναμένῃ*] Ὁμηρικῶς = σκεδαννυμένῃ, ὥσπερ ἂν εἰ Ἡσίοδος ἐγνώριζε τὴν τοῦ ἤχου κύμανσιν!

*κάρη*] = Κορυφή, τὸ μὲν ποιητικῶς οἷον ἐν τῷ Ἰλιάδος στίχῳ (Υ 5): «κρατὸς ἀπ' Οὐλύμποιο», τὸ δὲ Βοιωτικῶς, τοῦ Διὸς ἐν Βοιωτίᾳ καλουμένου *καραιοῦ* ἢ κορυφαίου (Ἡσύχ.), διότι ἐπὶ τῶν κορυφῶν κατοικεῖν ὑπελαμβάνετο.

*νιφόεντος Ὀλύμπου* (62. 118. 794. 954. Ἰλ. Σ 616, ἀγάννιφος Ἰλ. Α 420. Σ 186), ἐπειδὴ τὰς τοῦ ὄρους κορυφὰς διὰ πολλῶν μηνῶν βαθὺ πλῆθος χιόνος καλύπτει· ἐκ τούτου οἱ περιοικοῦντες ᾄδουσι: «Νάσπρίση σὰν τὸν Ὄλυμπο» (Passow 299,9. 300,6).

43. *δώματα ἀθανάτων*] Δηλ. αἱ οἰκίαι τῶν *ἄλλων* θεῶν, καθὼς λέγουσι: «Ζεῦ καὶ θεοί»· οἱ γὰρ μυθολόγοι ἑκάστῳ θεῷ ἀπονέμουσιν ἰδιαιτέραν κατοικίαν (63. Ἰλ. Α 606. Λ 76).

*ἄμβροτον*] Θείαν, τῆς πρωτοτύπου ἐννοίας (ἀθάνατος) ἠμυδρωμένης.

*ὄσσαν ἱεῖσαι* = 10.

44. *αἰδοῖον* = Αἰδέσιμον.

Τῷ *πρῶτον* ἀνταποκρίνεται τὸ ἐν στ. 47 *δεύτερον*, σημαίνουσι δ' ἀμφότερα, ὡς ἐξάγεται ἐκ τοῦ 48 στ. οὐχὶ τὴν χρονικὴν ἐπαλληλίαν, ἀλλὰ συντάττουσιν ἁπλῶς τὰ δύο μέλη τῆς περιόδου.

45. *ἐξ ἀρχῆς*] Τουτέστι, τὸ γένος τῶν κατ' ἀρχὴν θεῶν, ὡς αὐτίκα ἐμφαίνει ὁ ποιητὴς αὐτὸς ἐν τῇ ἀναφορικῇ περικοπῇ.

*εὐρύς*] Πρὸς τὴν μὲν φράσιν πρβλ. τὸ δίστιχον (Passow 726): «Ὅσο 'ν' ὁ οὐρανὸς πλατύς», πρὸς δὲ τὴν συμπαράταξιν ζήτει τὰ ἐπὶ τοῦ 18 στ. εἰρη-

οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων.
Δεύτερον αὖτε Ζῆνα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
ἀρχόμεναί θ' ὑμνεῦσι θεαὶ λήγουσί τ' ἀοιδῆς,
ὅσσον φέρτατός ἐστι θεῶν κράτεΐ τε μέγιστος.
αὖτις δ', ἀνθρώπων τε γένος κρατερῶν τε γιγάντων
ὑμνεῦσαι, τέρπουσι Διὸς νόον ἐντὸς Ὀλύμπου
Μοῦσαι Ὀλυμπιάδες κοῦραι Διὸς αἰγιόχοιο,
τὰς ἐν Πιερίῃ Κρονίδῃ τέκε πατρὶ μιγεῖσα

μένα. — Ἀρίδηλον ὅτι Κρόνον καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λέγει.

46. Ἐπειδὴ ἐν τῷ προηγουμένῳ στίχῳ Κρόνος οὐ ῥητῶς μνημονεύεται, τὸν πληθυντικὸν *τῶν* προτιμᾷ τοῦ ἑνικοῦ *τοῦ*· πραγματικῶς μέντοι ἐννοεῖται ὁ Κρόνος μετὰ τῶν Τιτάνων.

*θεοὶ δωτῆρες ἐάων* (=Ὀδ. θ 325)] Ἐπίθετον τῶν ἀθανάτων, ὃ ἐτήρησαν οἱ Ἕλληνες ἀπὸ τοῦ προεθνικοῦ χρόνου, καθὼς ἀποδεικνύουσιν οἱ παμπάλαιοι καὶ ἕως τοῦ Ὁμηρικοῦ σχεδὸν αἰῶνος ἀνερχόμενοι ὕμνοι τοῦ ὑπὸ τῶν Ἰνδῶν Ῥιγ-Βέδα καλουμένου βιβλίου, ὅπου οἱ θεοὶ ὡσαύτως προσαγορεύονται dalâras vasunâm.

*ἐάων*] Γενικὴ τοῦ πληθυντικοῦ τοῦ ἄλλως ἀχρήστου ἐη (Fέση)=ἐὺ ἢ εὖ (ἀγαθόν).

47. *δεύτερον αὖτε*] Ἴδε ἃ εἰς 44 προείπομεν.

*πατέρα*] Ὄνομα ἄξιον τοῦ πατριαρχικοῦ δυνάστου.

48. Ἥστινος τιμῆς οὐ μείζονα δύναται ἀπονεῖμαι ὁ ἐπικὸς ποιητής, ἐστὶ τὸ τῷ τιμωμένῳ ἀφιεροῦν ἀρχὴν καὶ πέρας τῆς ᾠδῆς.

Τοῦ μέτρου χάριν ἀντὶ τοῦ συμμέτρου *λήγουσαι* ὁ ποιητὴς ἠνάγκασται εἰπεῖν *ἀσυντάκτως λήγουσι*. Ὁμοίως ἀσυνάρτητος ἥδε ἡ Ὁμηρικὴ περίοδος (Ἰλ. Γ 79. 80): «τῷ δ' ἐπετοξάζοντο κάρη κομόωντες Ἀχαιοὶ ἰοῖσίν τε τιλυσκόμενοι λάεσσί τ' ἔβαλλον». Πρβλ. καὶ Ὕμν. Ὁμηρ. 3, 59, 60.

49. Πρβλ. Ἰλ. Α 186: «ὅσσον φέρτερός εἰμι σέθεν». Φέρτατος=φέριστος (δυνατώτατος).

50. *γιγάντων*] Τῶν καὶ ἐν 185 μνημονευομένων υἱῶν τῆς Γῆς, οἳ φανερῶς νομίζονται ἔχειν μέσον τινὰ μεταξὺ τῶν θεῶν καὶ ἀνθρώπων τόπον, διότι τὸ μὲν τεράστιοι καὶ ὑπεράνθρωποι, τὸ δὲ θνητοὶ ἦσαν (πρβλ. Ὀδ. η 60. 206. Εὐριπίδ. Ἡρακλ. Μαιν. 852: ἀνοσίων ἀνδρῶν ὕπο, Ἐπιγράμμ. Ἑλλ. Φιλ. Συλλ. ὑπὸ Kaibel 831: ὑβρισταὶ φῶτες)· τὰ σωζόμενα τοῦ μύθου τούτου ἴχνη συνέλεξε Πολίτης ἐν τῇ Μελέτῃ (Α', σ. 513). Αἱ Μοῦσαι λοιπὸν ὑμνοῦσι τὸν μιαρὸν πρὸς τοὺς θεοὺς πόλεμον τῶν Γιγάντων, τί δὲ περὶ τῶν ἀνθρώπων ᾄδουσιν; Τοῦτο πληροφορεῖ ὁ εἰς τὸν Πύθιον Ἀπόλλωνα Ὁμηρικὸς ὕμνος (στ. 190 κἑ.): «ὑμνεῦσίν ῥα θεῶν δῶρ' ἄμβροτα ἠδ' ἀνθρώπων τλημοσύνας ὅσ' ἔχοντες ὑπ' ἀθανάτοισι θεοῖσι ζώουσ', ἀφραδέες καὶ ἀμήχανοι οὐδὲ δύνανται εὑρέμεναι θανάτοιό τ' ἄκος καὶ γήραος ἄλκαρ».

51. Ἴδε 37.

52. =25. Ἡ ἐπανάληψις αὕτη τὸ μὲν πρῶτον μέρος τοῦ ὕμνου (36-51) περαίνει, τοῦ δὲ δευτέρου ἀρχὴ χρησιμεύει.

53. Πιερίαν ὠνόμαζον τὴν εὔκαρπον χώραν τὴν πρὸς βορρᾶν τοῦ Ὀλύμπου ἐκτεινομένην, ἀπὸ τῶν Πιέρων, οἳ ὕστερον μετῴκησαν εἰς τὴν Θράκην.

Περὶ τοῦ *πατρὶ* ἴδε τὴν 47 σημείωσιν.

Μνημοσύνη, γουνοῖσιν Ἐλευθῆρος μεδέουσα,
λησμοσύνην τε κακῶν ἄμπαυμά τε μερμηράων.
Ἐννέα γάρ οἱ νύκτας ἐμίσγετο μητίετα Ζεύς,
νόσφιν ἀπ' ἀθανάτων ἱερὸν λέχος εἰσαναβαίνων·
ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, πέρι δ' ἔτραπον ὧραι,

54. *Μνημοσύνη*] Τῶν Μουσῶν μήτηρ· ἤτοι, ἐπειδὴ τὰ ᾄσματα σῴζουσι τὴν τῶν γεγονότων μνήμην ἢ ὅτι οἱ ἀοιδοὶ τὸ πάλαι ἀπεράντου μνήμης ἔχρῃζον, ὅπως καὶ πολλὰς ἱστορικὰς καὶ μυθολογικὰς λεπτομερείας καὶ χιλιάδας στίχων ἀκριβῶς οἰκειοποιηθῶσιν. Ἐντεῦθεν καθέστηκε στερεότυπός τις φράσις τῶν ὕμνων: *μνήσομαι* ἢ *μνησώμεθα*. Ἦσαν δὲ καὶ οἳ τὴν Μνήμην ἐπεκαλοῦντο (Πλάτ. Εὐθύδημ. 275 d).

*γουνὸς* = γονυ-ός. Παρ' Ὁμήρῳ κεῖται πλὴν τοῦ γ. *ἀλωῆς* ἡ φράσις «γουνοῖσιν Ἀθηνάων ἱεράων» (Λ 320), ἥτινι ὁμοιάζει ἡ Ἡροδότειος τὸν γουνὸν τὸν Σουνιακόν (4, 99 = τὸ ἀκρωτήριον τὸ Σουνιακόν). Τεκμαιρόμεθα ἐκ τούτου, ὅτι οἱ Ἐλευθῆρος γουνοὶ καὶ οἱ Νεμείης (329) ἔλαβον τὸ ὄνομα ἀπὸ τοῦ ἀποκεκλεῖσθαι πεδίον δύο πλαγίως συναπτομένοις ὄρεσιν. Ἡ δὲ γενικὴ «Ἐλευθῆρος» σημαίνει, ἂν πιστεύσωμεν τοῖς σχολίοις (πρβλ. καὶ τὸν Μέγαν Ἐτυμολόγον ἐν λ. ἐλατήρ), Ἐλευθερὰς τὴν ἐν Κιθαιρῶνι πόλιν, ἧς πρὸς τὰ ἐρείπια, ἀποκρυπτόμενα ὑπὸ τῷ χυδαίῳ ὀνόματι «Γυφτόκαστρον», ἀναβλέπει ὁ ἀπὸ τῆς Ἐλευσῖνος εἰς Πλαταιὰς ὁδοιπορῶν. Πληροφορούμεθα καὶ ὅτι ὁ ἐπώνυμος τῆς πόλεως ἥρως ὠνομάζετο Ἐλευθήρ (Στέφαν. Βυζάντ.). Ἀλλ' ὅμως παράξενόν μοι φαίνεται πῶς ἡ Μνημοσύνη ἐκ πόλεως Βοιωτικῆς, μᾶλλον δὲ Ἀττικῆς μεταφέρεται ἐξαίφνης εἰς τὴν πλεῖστα στάδια ἀπέχουσαν Πιερίαν; Πιθανωτέρα λοιπὸν ἡ γνώμη, ὅτι λέγει πολίχνιόν τι τῆς Πιερίας, ὅ,τι παρὰ Στεφάνῳ τῷ Βυζαντίῳ ὑποκοριστικῶς Ἐλευθερίσκος («πόλις Μακεδονίας») ὀνομάζεται.

*μεδέουσα*] (κυρίως, μεριμνῶσα). Ἐν ὕμνοις καὶ προσευχαῖς εὐχρηστεῖ ἐπὶ τῆς θεῶν προνοίας, καί γε εὐεπιφορώτερόν ἐστι πρὸς τὴν τῆς γενικῆς σύνταξιν (: Ζεῦ πάτερ, Δωδώνης μεδέων Ἰλ. Π 234 Σαλαμῖνος Ὕμν. Ὁμηρ. 10, 4. Ἀριστοφ. Ἱππ. 585. 763) ἤπερ πρὸς τὴν δοτικῆς (Πινδάρ. Ὀλ. 7, 87 ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου μεδέων, Μακεδόν. Ἀνθολογ. 6, 30, 8: μεδέων καὶ χθονὶ καὶ πελάγει).

55. *λησμοσύνην*] Ἐπιτετηδευμένη ἀντίθεσις πρὸς τὸ Μνημοσύνης ὄνομα.

*ἄμπαυμα*] = Ἀνάπαυμα, μετὰ γενικῆς καθὼς τὸ ἀναπαύομαι ῥῆμα.

*μερμήρα*] = Μέριμνα, πρωτότυπον τοῦ ἐπικοῦ ῥήματος *μερμηρίζω*.

56. *μητίετα*] Παρὰ τὸ μῆτις. Ἕως τοῦ νῦν διστάζουσιν οἱ γραμματικοί, πότερον τοιαῦται αἱ τῆς πρώτης κλίσεως εὐθεῖαί εἰσιν Αἰολικῆς ἢ ἄλλης τινὸς διαλέκτου ἢ παρεννενοημέναι κλητικαὶ (κατὰ τὸν τύπον: ὦ μητίετα Ζεῦ). Ὅθεν καὶ περὶ τοῦ τόνου οἱ παλαιοὶ ἠμφιγνόουν, ἡμεῖς δὲ στέργομεν τὴν ἐπικρατοῦσαν συνήθειαν.

57. *νόσφιν ἀπ' ἀθανάτων*] Κρυφίως δηλαδή, καὶ μὴ φανερῶς τοὺς γάμους μετὰ τῶν συγγενῶν τελῶν.

*ἱερὸν* ἐστι τὸ λέχος οὐχ ἧττον ἢ «ἱερὸς γάμος ἐκαλεῖτο ὑπὸ τῶν εὐσεβῶν ἡ Διὸς καὶ Ἥρας σύζευξις».

58 καὶ 59 = Ὀδυσσ. τ 152-3. ω 141-2.

58. *ὧραι* δηλοῦσι παρ' Ἡσιόδῳ ὡς ἐπὶ τὰ πλεῖστα τὸν φύσει διωρισμένον καιρόν.

μηνῶν φθινόντων, πέρι δ' ἤματα πόλλ' ἐτελέσθην,
ἣ δ' ἔτεκ' ἐννέα κούρας ὁμόφρονας, ᾗσιν ἀοιδὴ
μέμβλεται ἐν στήθεσσιν ἀκηδέα θυμὸν ἐχούσαις,
τυτθὸν ἀπ' ἀκροτάτης κορυφῆς νιφόεντος Ὀλύμπου·
ἔνθα σφιν λιπαροί τε χοροὶ καὶ δώματα καλά,
πὰρ δ' αὐτῇς Χάριτές τε καὶ Ἵμερος οἰκί' ἔχουσιν
ἐν θαλίῃς· ἐρατὴν δὲ διὰ στόμα ὄσσαν ἱεῖσαι,

*ἔτραπον*] Ἀόριστος δεύτερος παθητικῆς σημασίας οἷον *ἔτραφον*.

59. *ἐτελέσθη-ν*] Ἀρχαϊκῶς ἀντὶ τοῦ ἐτελέσθησαν.

60. *Δὲ*] Παρατακτικῶς, ὡς μυριάκις κεῖται ἐν τοῖς Ὁμήρου ποιήμασιν.

*κούρας*] Δωρικῇ συστολῇ εἶπεν.

*ὁμόφρονας*] Συνώνυμόν ἐστι τῷ ὁμηρεῦσαι (39).

Κατ' ἀρχὰς αἱ μουσικαὶ τέχναι οὐ ταῖς Μούσαις καθ' ἑκάστην διενενέμηντο, ἀλλὰ τοὺς παρ' ἡμῖν ἐπικρατοῦντας χαρακτῆρας ἐκανόνισαν πρῶτοι οἱ κατὰ τὸν τῶν Ῥωμαίων αὐτοκρατόρων αἰῶνα τεχνῖται.

61. *μέμβλεται*] Παρακείμενος τοῦ παθητικοῦ ἢ μέσου τοῦ *μέλω* μετὰ καταλήξεως τοῦ ἐνεστῶτος, καθάπερ μέμβλεσθαι καὶ μέμβλετο (Ἡσύχ.).

*ἀκηδέα θυμόν*] Εὐφυὴς ὡς ἀληθῶς ἡ ἰδέα! Ἂν αἱ Μοῦσαι δύνωνται διασκεδάσαι τὰς μερίμνας (55), αὐτῶν τὸν νοῦν χρὴ εἶναι ἄφροντιν.

62. Διὰ τούτου τοῦ στίχου ὁ ποιητὴς ὑποδηλοῖ τὴν ἔντιμον θέσιν, ἧς ἀπολαύουσιν ἐν τῷ Ὀλύμπῳ αἱ Μοῦσαι. Διὸς γὰρ κατοικοῦντος ἐπὶ τῆς ὑψηλοτάτης κορυφῆς τοῦ ὄρους - τῷ Ὀλύμπῳ - βεβαίως ἐμπρέπει καυχᾶσθαι, ὥς φησιν ὁ λαός (Passow 131, 7. 132, 12): Ἔχω σαράντα (ἢ ἑξῆντα) δυὸ κορφὲς— ὅσῳ πλησιαίτερον ἂν λάβῃ θεός τις οἰκίαν, τοσούτῳ μᾶλλον φαίνεται ἀγαπώμενος ὑπ' αὐτοῦ.

63. *λιπαροὶ χοροί*] Τόποι χορείας (οἷον Ἰλ. Α 590. Σ 590. Θ 260,264), συναπτόμενοι πρὸς τὴν οἰκίαν ὥσπερ Ὀδ. μ 5 (:οἰκία καὶ χοροί). 318 (:χοροὶ ἠδὲ θόωκοι). Λιπαροὶ ὀνομάζονται, καθόσον τὸ τῶν ὀρχηστρῶν ἔδαφος λειοποιεῖται· μάλιστα δὲ ἀξιοπαρατήρητον ὃ Παυσανίας περὶ τῶν Κνωσσίων γράφει (9, 40, 3): «Παρὰ τούτοις δὲ καὶ ὁ τῆς Ἀριάδνης χορός, οὗ καὶ Ὅμηρος ἐν Ἰλιάδι (Σ 590-2), ὡς Δαιδάλου τοῦ ἀγαλματοποιοῦ ἔργον) μνήμην ἐποιήσατο, ἐπειργασμένος ἐστὶν *ἐπὶ λευκοῦ λίθου*. Τοιαῦτα λοιπὸν τὰ ἐκ λίθου χορεῖα ἐλεαίνοντο ἐλαίῳ καθάπερ ἡ Νέστορος καθέδρα (Ὀδ. γ 406-8).

64. Τούτων τῶν θεῶν ἡ συγκοινωνία ὄζει Βοιωτίας· ἐπὶ τοῦ Ἑλικῶνος γάρ, ὡς μαρτυρεῖ ὁ σχολιαστής, πρὸς τῷ τῶν Μουσῶν ἄλσει ὑπῆρχεν ἱερὸν τῶν Χαρίτων καὶ τοῦ Ἱμέρου. Τὰς Χάριτας γοῦν συζευγνύειν εἴωθεν ὁ Πίνδαρος μετὰ τῶν Μουσῶν, ὡσαύτως δὲ ὁ τὸν (27 ἢ 26) εἰς Ἄρτεμιν ὕμνον Ὁμήρῳ ὑποβαλὼν καὶ ὁ Εὐριπίδης (Ἡρακλ. Μαινόμ. 673) ἐκ προσώπου τοῦ χοροῦ ἐκφωνῶν: Οὐ παύσομαι τὰς Χάριτας Μούσαις συγκαταμιγνύς, *ἀδίσταν συζυγίαν*».

65. *Ἐν θαλίῃς*] «Τοὺς φιλοφρόνως καὶ ἱλαρῶς συνιόντας ἀλλήλοις ἐν οἴνῳ *θαλιάζειν* λέγομεν» (Πλουτ. Συμποσ. 9, 14, 7).

*διὰ στόμα*] Ἐπικῶς ἀντὶ τῆς γενικῆς, π.χ. Ἰλ. Α 600: διὰ δώματα ποιπνύοντα.

*ὄσσαν ἱεῖσαι*] Ἐπανείληπται ἐκ 10.

μέλπονται πάντων τε νόμους καὶ ἤθεα κεδνὰ
ἀθανάτων κλείουσιν, ἐπήρατον ὄσσαν ἱεῖσαι.
Αἱ τότ' ἴσαν πρὸς Ὄλυμπον, ἀγαλλόμεναι ὀπὶ καλῇ,
ἀμβροσίῃ μολπῇ· περὶ δ' ἴαχε γαῖα μέλαινα
ὑμνεύσαις, ἐρατὸς δὲ ποδῶν ὕπο δοῦπος ὀρώρει,
νεισομένων πατέρ' ἂν ὅν· ὁ δ' οὐρανὸν ἐμβασιλεύει,

66. *νόμους*] Ὁ μεγαλοφυὴς Ἡσιόδου ὁμόφυλος καὶ ταύτης τῆς λέξεως συμμετέχει (Πινδ. Πυθ. 2, 43: ἐν θεῶν νόμοις). Ἑρμηνεύομεν αὐτὴν ἐπιτηδειότατα βίον καὶ δίαιταν (πρβλ. Ἔ. 276. 388), ἐπειδὴ νομικόν τι πρόπαλαι αὐτῇ οὐκ ἐνῆν, ὅθεν Λυκοῦργος τοῖς Σπαρτιάταις ῥήτρας, ἀλλ' οὐχὶ νόμους ἔδωκεν.

*ἤθεα κεδνά* (σπουδαῖα) = Ἔ. 699.

67. Τὸ πάλιν ἐπαναλαμβάνεσθαι «ὄσσαν ἱεῖσαι» προσκρούει τῇ καινοπρεπεῖ καλαισθησίᾳ. Τοιουτότροποι παλιλλογίαι ἆρά γε ἁρμόζουσιν εἰς τὸ τῶν ὕμνων εἶδος; Πρὸς ἐπίρρωσιν τῆς ἰδέας ἡμῶν ταύτης παρουσιάζεται Καλλίμαχος ὁ ἀκριβολογούμενος τὴν τῶν ἀρχαιοτέρων μίμησιν, ὅσπερ ἐν τῷ εἰς λουτρὰ τῆς Παλλάδος ὕμνῳ τάδε πεποίηκε (72-74): «Λῶντο· μεσαμβρινὰ δ' εἶχ' ὄρος ἁσυχία· | ἀμφότεραι λώοντο, μεσαμβριναὶ δ' ἔσαν ὧραι, | πολλὰ δ' ἁσυχία τῆνο κατεῖχεν ὄρος».

68. Ὁ ποιητής, ἀποφεύγων τὴν μονοτονίαν, διακόπτει τὴν τῶν ἀϊδίων περιγραφὴν καὶ ἐπιστρέφει πρὸς διήγησιν. Ἡ εἰσβολὴ ὑπομιμνήσκει ἡμᾶς τὸν 22 στ. (:αἵ νύ ποθ' κτλ.), καὶ ἀληθῶς ὁ ποιητὴς δοκεῖ πρὸς τὴν αὐτοῦ μύησιν ἀποβλέπειν· καίτοιγε τὰ μεταξὺ οὐκ ὀλίγα. Πρὸς τὴν τῶν πραγμάτων πλοκὴν παραβάλλομεν τὸ ὅτι ὁ Πύθιος Ἀπόλλων, ὡς ἀφηγεῖται ὁ ὑμνῳδῶν Ὁμηρίδης, πρῶτον μὲν φοιτᾷ εἰς Δελφοὺς ὡς αἱ Μοῦσαι εἰς τὸν Ἑλικῶνα: «ἔνθεν δὲ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς . . . εἶσι Διὸς πρὸς δῶμα» (Ὕμν. εἰς τὸν Πύθ. Ἀπόλλ. 8), αἷστισι λέξεσι συνᾴδει τὸ «ἴσαν πρὸς Ὄλυμπον».

69. *ἀμβροσίῃ*] Πρβλ. ἄμβροτον 43.

*περὶ δ' ἴαχε*] Ἐπὶ τοῦ ἤχου, οἷον Ὀδ. ι 395: σμερδαλέον δὲ μέγ' ᾤμωξεν, περὶ δ' ἴαχε πέτρη. Περιηγηταί τινες φιλόμωμοι κατεγέλασαν τῶν καθ' ἡμᾶς Ἑλλήνων ὡς ἀγαπώντων μουσικὴν θορυβώδη. Ἐκ τοῦ προκειμένου χωρίου ἐξάγεται φανερῶς ὅτι οἱ προπάτορες αὐτῶν πρὸς τὸ αὐτὸ διέκλινον. Εἰς βεβαίωσιν χρησιμεύει καὶ τὸ Πινδαρικὸν «βοὰν Πιερίδων» (Πυθ. 1, 13).

*γαῖα μέλαινα*] «Ἡ μαύρη γῆ».

70. *ὑμνεύσῃς*] Ἴδε 11. Ἡ τῆς μετοχῆς δοτική, ἥτις παρὰ τοῖς ἐπικοῖς εὐχρηστεῖ, δηλοῖ μείζονα συμπάθειαν ἢ ἡ γενική, λ. χ. Ἰλ. Θ 487: Τρωσὶν ἀέκουσιν ἔδυ φάος· διὸ καὶ ὀνομάζεται ἠθική.

*ὀρώρει*] Ὁ τελεστικὸς καὶ ὑπερτελεστικὸς παρ' Ὁμήρῳ καὶ Ἡσιόδῳ ἀποτελοῦσιν ἐνίσχυσιν τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ. — Αἱ Μοῦσαι δηλονότι ἐν ῥυθμῷ βαδίζουσιν.

71. *νεισομένων*] Παρὰ τὸ νείσομαι (ΝΕΣιομαι) = νέομαι (χωρῶ, ἀναχωρῶ).

*πατέρα ὅν*] Πεζογράφος τις ἂν εἴποι: «πρὸς τὸν πατέρα». Ἡ λήγουσα -α ἀπομηκύνεται, ὅτι ἡ ἑπομένη ἀντωνυμία πρότερον ἤρχετο ἀπὸ σϜ-.

*οὐρανόν*] Τὴν αἰτιατικὴν οὐ θεωροῦμεν Βυζαντίνων βαρβαρισμόν, ἀλλὰ ὅπως δηλώσωμεν ἄνωθεν τὸν τύπον, λέγομεν ὅτι οἱ μὲν Ἀττικοὶ καὶ Ἴωνες ἅπαντες τὴν μὲν *εἰς* πρόθεσιν κανονικῶς συνέδεον μετὰ τῆς αἰτιατικῆς, τὴν δὲ *ἐν* μετὰ τῆς δοτικῆς. Ἀλλ' ἀρχῆθεν κατὰ τὴν σύνταξιν οὐ διέφερον, ἐπειδὴ *εἰς* ἐξ

αὐτὸς ἔχων βροντὴν ἠδ' αἰθαλόεντα κεραυνόν,
κάρτεϊ νικήσας πατέρα Κρόνον· εὖ δὲ ἕκαστα
ἀθανάτοις διέταξεν ὁμῶς καὶ ἐπέφραδε τιμάς.
Ταῦτ' ἄρα Μοῦσαι ἄειδον, Ὀλύμπια δώματ' ἔχουσαι,
ἐννέα θυγατέρες μεγάλου Διὸς ἐκγεγαυῖαι,
Κλειώ τ' Εὐτέρπη τε Θάλειά τε Μελπομένη τε
Τερψιχόρη τ' Ἐρατώ τε Πολύμνιά τ' Οὐρανίη τε
Καλλιόπη θ'· ἡ δὲ προφερεστάτη ἐστὶν ἁπασέων.

*εν*-ς ἐγένετο. Ὅθεν ἡ διττὴ σύνταξις τῆς *ἐν* ὕστερον ἔμενεν ἐν τῷ μείζονι τῆς μέσης καὶ πρὸς βορρᾶν Ἑλλάδος μέρει, ἔτι δὲ ἐν τῇ Ἀρκαδίᾳ καὶ Κύπρῳ. Ποιηταὶ δὲ καὶ συγγραφεῖς αὐτὴν διωθοῦντο ἐκτὸς τῶν συνθέτων ῥημάτων (π. χ. ἐμπίπτω, ἐμβαίνω, ἐνδάκνω Εὐριπ. Ἱππόλ. 1223: ἐνέβλεψε. Πλάτ. Χαρμίδ. 155 d (;): κόρσην ἐνιδρυνθεῖσα. Καλλιμάχ. Ὕμν. Ἀρτέμ. 78: σπάργανον ἐγκατέδα. Πινδάρ. Νεμ. 1,38), πρὸς τούτοις δέ: *ἐνι* Αἰσχύλ. Πέρσ. 735)· τοῦτον τὸν κανόνα ἀκολουθεῖ καὶ ὁ Ἡσίοδος (πρβλ. 487, 890, 897).

72. *αὐτός*] Μόνος, διότι δὴ οὐδεὶς ἄλλος ἔχει τὰ ἀκαταμάχητα ὅπλα. Περὶ διαφορᾶς βροντῆς καὶ κεραυνοῦ κατωτέρω εἰς τὸν 140 στ. πλατύτερον.

*αἰθαλόεντα*] Παρὰ τὸ *αἴθαλος*, ἀνθ' οὗ οἱ χυδαῖοι λέγουσι *καπνιά*· τοῦτο δὲ ἀπὸ τοῦ αἴθ-ω, πρβλ. τὸ Κρητικὸν *ἀθάλη* Ἡσιόδειον ἐπίθετον (504. 707. 854), Ὁμήρου προτιμῶντος τὰ ψολόεις· ὑπομιμνήσκει ἄρα τὸ καυστικὸν τῆς ἀστραπῆς ἀποτέλεσμα.

73. Τῆς προτέρας μετοχῆς οὔσης αἰτιολογικῆς, ἤδη χρονολογικὴν ἁπλῶς δύναμιν ἔχει.

*κάρτεϊ*] Βίᾳ, ἀλλ' οὐχὶ δόλῳ ὁποίῳ ἐχρήσατο κατὰ τοῦ πατρὸς ὁ Κρόνος.

*ἕκαστα*] Τὴν περιφέρειαν τῆς ἑκάστου ἐνεργείας.

74. *ὁμῶς*] Ὥστε ἕκαστος τὸ ἴσον ἔλαβεν.

*ἐπέφραδε*] Ἀόριστος δεύτερος ηὐξημένος τοῦ ῥήματος φράζω (=ὁρίζω).

*τιμὰς* λ. χ. Ἥφαιστος τὸ πῦρ ἔλαβεν ὡς «γέρας» (Αἰσχύλ. Προμηθ. 38).

75. Τοῦτο τὸ ἐγκώμιον τοῦ Διός, φησίν, οὐκ ἐμόν ἐστιν, ἀλλ' ἐψάλη ὑπὸ τῶν Μουσῶν, ὅτ' ἀνεχώρησαν ἀπὸ τοῦ Ἑλικῶνος πρὸς τὸν Ὄλυμπον. Πάλιν ἐμφαντικῶς ἀναφέρει τὴν ἐκπρεπῆ κατοικίαν τὴν ἐπὶ τοῦ Ὀλύμπου, ἐν δὲ τοῖς ἑξῆς (76) καὶ δεύτερον περὶ τῆς ἀπὸ Διὸς καταγωγῆς λόγον ποιεῖται· ἅμα δὴ (καίπερ μὴ διαρρήδην) ἀμύνεται τοὺς παραδεχομένους τρεῖς μόνον Μούσας οἷον τοὺς Δελφοὺς καὶ Σικυωνίους (Πλουτάρχ. Συμποσ. 9, 14, 3, 7).

77 κέ. Τῶν ὀνομάτων τὰ μὲν πλείονα ἀφορῶσιν εἰς τὰς τῶν Μουσῶν τέχνας καὶ τείνουσι πρὸς λέξεις προειρημένας. Πρὸς *Κλειὼ* παράθες: κλείουσι 32. 44. 67. 105. Ἔ. 1, πρὸς *Εὐτέρπη* τέρπουσι νόον 37. 51, πρὸς *Θάλεια* θαλίῃσι 65, πρὸς *Μελπομένη* μέλπονται 66, μολπῇ 69, πρὸς *Τερψιχόρη* χορούς, -οί 7. 63, πρὸς *Ἐρατὼ* ἐρατὴν ὄσσαν 65, πρὸς *Πολ(υ)-ύμνια* ὑμνεῦσαι, -ι 11. 37. 48. 51. 71. Ἔ. 2, πρὸς *Καλλιόπη* ὀπὶ καλῇ 68. Πλὴν *Οὐρανίη* τὸ ὄνομα ἔχει ἀπὸ τοῦ κατοικεῖν ἐν οὐρανῷ τὰς Μούσας (75). Ὁ κατάλογος οὗτος αὐτολεξεὶ ἕως τοῦ *Καλλιόπη* ἐν Ὀρφικῷ ὕμνῳ (76, 8-10) κεῖται.

79. Τὸ ἐπίθετον *προφερεστάτη* ἐξη-

Ἢ γὰρ καὶ βασιλεῦσιν ἅμ' αἰδοίοισιν ὀπηδεῖ,
ὅντινα τιμήσωσι Διὸς κοῦραι μεγάλοιο
γενόμενόν τε ἴδωσι διοτρεφέων βασιλήων·

γήσατο ὁ θεῖος Πλάτων (ἐν Φαίδρῳ σ. 207 b τῇ πρεσβυτάτῃ Καλλιόπῃ) ἐπὶ τῆς ἡλικίας, οὐδὲ ἀλλοίαν εἶχον γνώμην οἱ ἀπ' αὐτοῦ φιλόσοφοι Ἰάμβλιχος (παρὰ Ἰωάννῃ τῷ Στοβαίῳ ἐν Ἐκλογ. 2, 2, 5 σ. 18, 18, ἔκδ. Wachsmuth) καὶ Θεμίστιος (Λόγ. λα' ἐν τέλει), πρὸς δὲ Ἀρίσταρχος ὁ βασιλεὺς τῶν ἀρχαίων κριτικῶν, ὡς ἀπαγγέλλει ὁ σχολιαστὴς καὶ ὁ καλούμενος Ἀπολλόδωρος (Βιβλιοθ. 1, 3, 1). Οὐδὲν ἧττον, μετ' ἀδείας τῶν περικλεῶν ἀνδρῶν, Λιβάνιος ὁ ῥήτωρ φαίνεται ἀκριβέστερον ἐξαναγνοὺς τοὺς ἀκολουθοῦντας στίχους, ἐπειδὴ Καλλιόπην προσκαλεῖ «Μουσῶν ἀρίστην» (τ. Α', σ. 71, ἔκδ. Reiske). Αὕτη γάρ, ὡς διισχυρίζεται ὁ ποιητής, τὰ μάλιστα ἐνθουσιάζει βασιλεῖς ἅμα καὶ ἀοιδούς. Οἱ δὲ νεώτεροι, παρεννοήσαντες τοῦτον τὸν ἔπαινον, Καλλιόπην ἐνόμιζον προστάτιδα τοῦ ἐπικοῦ γένους. Τὴν Ἡσιόδειον λέξιν ῥηματικῶς μεταφράζει Λεωνίδας ὁ ἐπιγραμματοποιὸς (Ἀνθολ. 9,344) ἐν τοῖσδε: «Ὀψὲ γὰρ ἔγνων, ὁππόσον Οὐρανίην Καλλιόπη *προφέρει*».

80. *καὶ*] Τουτέστιν, οὐ μόνον τοῖς πολλοῖς.

*βασιλεῦσι*] Ὅτι αὕτη ἡ λέξις τοῖς μονάρχαις συμπεριλαμβάνει καὶ τοὺς γέροντας, δηλώσομεν ἐν τῇ πρὸς Ἔ. 38 σημειώσει. Τί δὲ τοῖς βασιλεῦσι καὶ ταῖς Μούσαις; Ὁ ἡρωϊκὸς χρόνος ἀγνοεῖ ἐναντίωσιν τῆς ῥητορείας καὶ τῆς ποιήσεως, ὥστε καὶ Τυρταῖος καὶ Σόλων τὰς φιλοκάλους τῶν συμπολιτῶν ψυχὰς δι' ἐλεγείων πρὸς τοὺς πολιτικοὺς αὐτῶν σκοποὺς ἀνήγειρον. Ἐθαυμάζετο γὰρ ἡ καθόλου καλλιέπεια, εἴτε ἐμμέτρως ἔρρεεν εἴτε πεζῇ, καὶ ἀδιαφόρως ἀντιπαρεβάλλετο τῷ μέλιτι (ἔπιθι τὰ ἐπὶ 84 σημειωθέντα).

*ὀπηδεῖ*] Ὀπηδὸς (Ὕμν. εἰς Ἑρμῆν 450: καὶ γὰρ ἐγὼ (Ἀπόλλων) Μούσῃσιν Ὀλυμπιάδεσσιν ὀπηδός), ἤτοι συνοπαδός ἐστιν, ὅτι οἱ προστάται θεοὶ (καθὼς οἱ φύλακες ἄγγελοι) τοὺς προστατευομένους πανταχόσε ἀκολουθοῦσιν. Διὰ τοῦτο ὁ Λαερτιάδης παραπονεῖται πρὸς Ἀθηνᾶν (Ὀδ. ν 318)· «Οὔ σ' ἔτ' ἔπειτα ἴδον, κούρη Διός, οὔτε νόησα νηὸς ἐμῆς ἐπιβᾶσαν».

81. Καθάπερ Ἡσίοδος τοτὲ μὲν Δία μόνον ἐξαιρεῖ, τοτὲ δὲ τοὺς θεοὺς κοινῶς συμπεριλαμβάνει, οὕτως ἐνταῦθα ἀντὶ Καλλιόπης ἐξυμνεῖ ἐν τοῖς ἑξῆς τὰς ἀδελφὰς συμπάσας, ὅπως μή που προσκρούσῃ ταῖς ἄλλαις ὀκτώ. Ἡ ἀναφορικὴ ἀντωνυμία *ὅντινα* Ὁμηρικῶς συστέλλει τὸν ἀόριστον πληθυντικὸν *βασιλεῦσι*. Οὐχὶ πάντες, ἐννοεῖται, ἀπολαύουσι τῆς θείας χάριτος, ἀλλ' ὅσοι ἂν εὐμενῶς ἐκλεχθῶσιν.

*τιμήσωσι*] Ἐκτιμήσωσιν. Ἐπὶ τῆς θεοῦ πρὸς ἄνθρωπον σχέσεως τὸ ῥῆμα κεῖται ἔτι παρὰ τοῖς Χριστιανοῖς, π.χ. ἐν τῷ μαρτυρίῳ τοῦ ἁγ. Λουκιανοῦ 14: «Θεὸς . . . τὸν μάρτυρα τιμῶν». Ἡ πλατυτέρα αὕτη σημασία τῆς λέξεως δημοτική ἐστι· πρβλ. τὴν Ἀλεξάνδρου τοῦ Μεγάλου ἱστορίαν, ἔκδ. Βενετ. 1871 σ. 9: «Ὦ κάστρον ὡραιότατον τῆς Αἰγύπτου ὁποῦ σὲ ἐτίμησα μὲ τόσα πλούτη».

82. *ἴδωσι*] Καθὼς ὁ βάσκανος, κατὰ τὴν τῶν παλαιῶν καὶ νεωτέρων πρόληψιν, ἑνὶ καὶ μόνῳ βλέμματι διαφθείρει, βλέμμα μόνον θεοῦ ὠφελεῖ. Ἡ ἀνθρωπομορφικὴ αὕτη δοξασία διετέλει οὐχὶ μόνον κατὰ τὸν τῶν Βυζαντίνων αἰῶνα (πρβλ. Θεοδώρ. Προδρόμ. Δροσ. 2, 38 κέ.: Τύχη... πᾶσιν ἄλλοις δεξιῶς ἐπιβλέπει), ἀλλὰ καὶ νῦν ἔτι, παραγαγοῦσα τὴν παροιμίαν· «Τὸν εἶδ' ὁ Θεὸς μὲ δυὸ

τῷ μὲν ἐπὶ γλώσσῃ γλυκερὴν χεύουσιν ἐέρσην,
τοῦ δ' ἔπε' ἐκ στόματος ῥεῖ μείλιχα· οἱ δέ νυ λαοὶ
πάντες ἐς αὐτὸν ὁρῶσι, διακρίνοντα θέμιστας
ἰθείῃσι δίκῃσιν· ὁ δ' ἀσφαλέως ἀγορεύων

'μμάτια». — Τὸ προκείμενον τοῦ Ἡσιόδου χωρίον σύμβολον ὁπωσδήποτε τῶν ποιητῶν ἐγένετο, καὶ πρῶτοι μὲν οἱ Ἀλεξανδρεῖς αὐτὸ παρέλαβον· Καλλιμάχ. Ἐπιγρ. 21 (23), 5: Μοῦσαι γὰρ ὅσους ἴδον ὄμματι παῖδας μὴ λοξῷ, πολιοὺς οὐκ ἀπέθεντο φίλους. Θεόκριτ. 9, 35: οὓς γὰρ ὁρεῦντι, γαθεῦσιν (;). Ὕστερον δὲ Ἀλκίφρων μετήνεγκε τὴν φράσιν πρὸς τὰς Χάριτας (Ἐπιστ. 3, 44: εὐμενεστέροις ὄμμασιν ἐκεῖνον εἶδον αἱ Χάριτες). Μηδὲ ἀμελήσωμεν τῶν Ῥωμαίων ἄλλα τε πολλὰ ἔκλαμπρα καὶ ταύτην καρπωσαμένων, ἴδε Ὁράτιον ἐν Ὠδαῖς (4, 3, 1: Quem tu Melpomene semel nascentem placido lumine videris κτλ.).

*διοτρεφέων*] Ὁμηρικὸν ἐπίθετον (Α 176. Β 98. δ 63), ὅ,τι τοὺς βασιλεῖς παρίστησιν ὡς ἐκ παίδων ὑπὸ Διὸς αὐτοῦ προφυλασσομένους.

83. Τῷ *μὲν* οὐκ ἀνταποκρίνεται τὸ *δέ*, ἀλλ' ἐκεῖνο, ἅτε ἐκ *μὴν* συνεσταλμένον, βεβαιωτικῶς τῇ ἀντωνυμίᾳ πρόσκειται.

*ἐέρσην*] Ἐπειδὴ ἐν τῇ Ἑλλάδι σχεδὸν ἀπάσῃ ἀνομβρία τὸ θέρος ἐπικρατεῖ καὶ πολὺ ὀλίγα ῥεύματα ὕδωρ κατέχουσιν, ἡ δρόσος φυλάσσει τὴν τῶν φυτῶν χλωρότητα καὶ αὐτὰ τρέφει, διὸ Ὅμηρος αὐτὴν προσαγορεύει θῆλυν (Ὀδ. ε 467) καὶ τεθαλυῖαν (ν 245) ἤτοι θρεπτικήν. Οὐ θαυμαστὸν τοίνυν ὅτι οἱ μὲν φιλόθρησκοι τὴν πολύτιμον ὑγρασίαν ἐσέβοντο οἷον ἐν Ἀθήναις τὰς ἡρωΐδας Ἕρσην, Πάνδροσον, Ἄγλαυρον, οἱ δὲ ποιητικοὶ ἐντεῦθεν ἠρύοντο πολλὰς ὡραίας μεταφοράς. Καθ' ὅντινα τρόπον ἡ νῦν συνήθεια (μάλιστα δὲ ἡ τῆς λειψύδρου Κρήτης διάλεκτος) ταῖς λέξεσι *δροσιά, δροσίζω, δροσερὸς* χρῆται, ἔργον ἄλλης πραγματείας· περιεργίας χάριν δὲ ἀναζητοῦμεν αὐτὰς εἰς τὸν μεσαιῶνα, π. χ. ἀπαντῶσι παρὰ Θεοδώρῳ τῷ Προδρόμῳ καὶ Μιχαὴλ τῷ Δουκί, ἀπὸ τότε δὲ διὰ τῆς τῶν αἰώνων σειρᾶς ἐπαναβαίνοντες τὰ πρῶτα ἴχνη ἀνευρίσκομεν παρὰ τῷ τῆς ποιήσεως ἀρχηγέτῃ (ἑερσήεις Ἰλ. Ω 419. 757: Ξ 348. ἕρσαι Ὀδ. ι 222). Καὶ ἂν δὲ περιοριζώμεθα εἰς τὴν Ἡσιόδου λέξιν, οὐ στερούμεθα καταλλήλου μαρτυρίας ἑκάστης περιόδου τῶν Ἑλληνικῶν γραμμάτων. Τὴν μὲν κλασικὴν ὀνομαζομένην ἐκλαμπρύνει Πίνδαρος, ὅσπερ διθυραμβικῶς ᾖσε (Νεμ. 3, 78. 79): «Κιρναμένα δ' ἔερσ' ἀμφέπει, πόμ' ἀοίδιμον», τὴν δὲ Βυζαντινικὴν ἀντιπροσωπεύεται ὁπωσδήποτε Συμεὼν ὁ Μεταφραστὴς ἐν βίῳ ἁγ. Ἰω. Χρυσοστόμου (Migne, Patrologia Græca τ. 114 στ. 1072 C: ἐκ τῆς χρυσῆς ὑετίζων γλώττης), τὴν δὲ νεωτέραν ἐποχὴν ἡ Κρητικὴ τραγῳδία «Ζήνων» (πρ. 3, 44: σὰν κρύο νερὸ δροσίζει με σήμερο ἡ ἐμιλιά σου). Οὐδὲ ἐν σιωπῇ παρελθεῖν ἄξιον τὸ ὅτι *θέμις* μὲν λέγεται ἐπὶ δίκης, *δίκη* δὲ ἐπὶ κρίσεως.

*ἀσφαλέως*] Κατὰ τὴν ἐτυμολογίαν, «μὴ σφαλλόμενος».

*ἀγορεύων*] Διατηρεῖ ὡσαύτως τὴν πρωτότυπον σημασίαν ἤτοι τὸ λέγειν ἐν τῇ ἀγορᾷ· αἱ διαδικασίαι γὰρ ἐγίνοντο δημοσίᾳ ἐνώπιον πολλῶν ἀκροατῶν. Περιεσώθη ἡ λέξις ἐκ τοῦ μεσαιωνικοῦ κλύδωνος ὑπὸ τῶν Ἠπειρωτῶν (*ἀναγορεύω*) καὶ Τραπεζουντίων (*ἐξαγορεύω*).

αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε·
τοὔνεκα γὰρ βασιλῆες ἐχέφρονες, οὕνεκα λαοῖς
βλαπτομένοις ἀγορῆφι μετάτροπα ἔργα τελεῦσι
ῥηϊδίως, μαλακοῖσι παραιφάμενοι ἐπέεσσι.
Ἐρχόμενον δ' ἀν' ἀγῶνα θεὸν ὥς ἱλάσκονται
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισι·

87. Τὸ *αἶψα* παρεισάγει ἰδιαιτέραν ἐπὶ παραδείγματος περίπτωσιν, καθάπερ τὰ Ἀττικὰ *αὐτίκα* (αὐτίκα δὴ) καὶ *εὐθὺς* καὶ τὸ ἐν τῇ καθωμιλημένῃ γλώσσῃ *ἔξαφνα*. Ὅτι ἡ παμπαλαία λέξις ζῇ εἰσέτι ἐπὶ τῆς Νάξου, μανθάνομεν ἀπὸ τῶν Πρωτοδίκου Ἰδιωτικῶν σ. 6· *ἀψὰ* λέγουσι πολλοὶ τῶν πρὸς Ἀνατολῆς Ἑλλήνων (πρβλ. καὶ ἐν «Παρνασσοῦ» τόμ. ΙΑ', σελ. 322 μελέτην Ἰωακεὶμ Βαλαβάνη) εἴτε ἐπὶ ταχείας πράξεως εἴτε ἐπὶ μεγαλοφωνίας· καίτοι Χατζιδάκης ἐν τῷ Ι' τόμῳ τοῦ «Ἀθηναίου» σ. 6 κέ. ταύτην τὴν ἐτυμολογίαν κατακρίνει.

*Τὲ καὶ*] Συμπλέκει ἐνταῦθα ἀνομοιοειδεῖς λέξεις, ἐπίρρημα δῆλα δὴ καὶ ἐπίθετον· τὸ ἐπίρρημα ὅμως κυρίως οὐδὲν ἄλλο ἢ πτῶσις ἐπιθέτου ἐστίν.

*νεῖκος*] Σημαίνει παρ' Ἡσιόδῳ δικαστικὴν ἔριν.

88-90. Ἀπερίττως ἐκφράζουσι τὴν ἰδέαν ὅτι οἱ βασιλεῖς καθίστανται τῶν λαῶν ἕνεκα, οὐ μὴν αἱ πολιτεῖαι χάριν τῶν δυναστῶν.

*τούνεκα — οὕνεκα* (ὡς καὶ Ἰλ. Γ 403. Ν 727) = διὰ τοῦτο — διότι —.

*ἐχέ-φρονες*] = σώ-φρονες.

89. *ἀγορῆφι*] Ἡ *φι* κατάληξις δηλοῖ τὸν ὅπου καθέστηκέ τις τόπον («ἐν τῇ ἀγορῇ») ἤ, καθὼς ἐν τοῖς πλείστοις τῶν ἄλλων χωρίων, τὸ ὄργανον («ἀγορεύοντες», πρβλ. 86).

*μετάτροπα ἔργα πέλονται*] Ἀκυροῦσι τὰ ἔργα, οἷστισι βλάπτονται ἀθῷοι· καὶ τὴν βλάβην τρέπουσιν εἰς τὴν τῶν βλαψάντων κεφαλήν.

90. *παραιφάμενοι*] Πατριαρχικὴ ὡς ἀληθῶς ἡ διαδικασία! Σκοπὸς αὐτῆς ἐστιν ἀντὶ Δρακοντείου αὐστηρότητος ὁ φίλιος τῶν δικαζομένων συμβιβασμός. *Παραί* = παρά, ὡς διαὶ κτλ. — *αι* δὲ κατάληξίς ἐστιν ὡς ἐν *χαμαὶ* τῆς τοπικῆς πτώσεως.

91. Ἐπανέρχεται ἐπὶ τὸν ἀπροσδιόριστον ἑνικόν.

*'*Ἀγῶνα*] Τουτέστι τὸν τόπον, ὅπου οἱ λαοὶ «ἄγουσι» (Ἕ. 768), κοινῶς λεγόμενον *ἀγοράν*· ὅθεν καὶ ἐν Θεσπιαῖς οἱ ἀγορανόμοι ὠνομάζοντο «ἀγώναρχοι» (ἐπιγρ. ἐκδ. ὑπὸ Foucart ἐν *Bulletin de Correspondance Hellénique* 8, 414).

*θεὸν ὥς*] Κατὰ τὸ Ὁμήρου παράδειγμα τὸ ὡς κατόπιν τεθειμένον ἀπομηκύνει τὴν προηγουμένην συλλαβήν, διότι τὸ πάλαι ἤρχετο ἀπὸ τοῦ ἀφώνου ϝ (ϝ), λ. χ. Ἰλ. Ι 155: θεὸν ὣς τιμήσουσι. Ἄδηλον πότερον, Ὅμηρος ὁ τοῖς πολλοῖς κεχαρισμένος ἢ ὁ δῆμος ἔφυσε τὴν παροιμιακὴν φράσιν, ἢ Ἀλκιβιάδης χρώμενος λέγεται ὅτι ἔφη εὐημερήσας ἐν τῷ δήμῳ ἴσος θεοῖς νομίζεσθαι (Αἰλιαν. Ποικ. Ἱστορ. ΙΓ', 38).

*ἱλάσκονται*] Διατιθέασιν ἵλάως ἤτοι εὐμενῶς διὰ προσκυνήσεων καὶ προσφορῶν.

92. *αἰδοῖ μειλιχίῃ*] Οὐκ ἐκ φόβου τρομώδους, ὥσπερ δοῦλοι καὶ τυράννων ὑπήκοοι, ἀλλ' ἅμα σεβόμενοί τε καὶ ἀγαπῶντες.

*μετὰ δὲ πρέπει ἀγρομένοισι*] Πρβλ. Ἰλ. Β 481: ὃ γάρ τε βόεσσι μεταπρέπει ἀγρομένῃσι = ἐκπρεπής ἐστιν ἐν μέσῳ τῶν ἀγειρομένων.

οἷά τε Μουσάων ἱερὴ δόσις ἀνθρώποισι.
Ἐκ γὰρ Μουσάων καὶ ἑκηβόλου Ἀπόλλωνος
ἄνδρες ἀοιδοὶ ἔασιν ἐπὶ χθόνα καὶ κιθαρισταί,
ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ' ὄλβιος, ὅντινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.

80-92. Πανηγυρίζουσι τὸν μουσοτραφῆ ἄνακτα· οὐ μέντοι οἱ βασιλεῖς ἐν γένει κηδεμονεύονται ὑπὸ τῶν Ἑλικωνιάδων, ἀλλὰ οἱ ἀοιδοί. Τοιουτοτρόπως δήπου ἐπισυνάπτει τὴν ποιητικὴν ἔμπνευσιν αὐτῶν, οὐ πάνυ προσδεξίως — ὁμολογοῦμεν — τὴν τῶν ἰδεῶν συνάφειαν ἐκτελέσας. Τὴν συμπλοκὴν ὅμως τῶν ἐννοιῶν αἰνίττονται τῷ μὴ δυσκόλῳ ἀναγνώστῃ αἱ λέξεις: «ἐκ δὲ Διὸς βασιλῆες».

93. Ἡ ἀναφορικὴ ἀντωνυμία σχετίζεται πρὸς ἅπαντα τὰ περὶ τῶν βασιλέων εἰρημένα, ὥσπερ Εὔμαιος τῇ ἀπαριθμήσει τῶν Ὀδυσσέως δώρων ἐπάγει τὸν στίχον (ξ 64): οἷά τε ᾧ οἰκῆι ἄναξ εὔθυμος ἔδωκεν. Ἡ τῆς ἀδιορίστου ἀντωνυμίας αἰτιατικὴ ἐξήρτηται ἀπὸ τοῦ ῥηματικοῦ ὀνόματος *δόσις*, ὥσπερ ἂν εἰ ἔκειτο «(τὸ) διδόναι»· τὸ χωρίον οὖν τοῦτο καὶ τὸ Σόλωνος «τῶν Σαλαμῖν' ἀφετῶν» (Ἀπόσπ. 2, 4) ἀποδεικνύουσιν ὅτι καὶ οἱ Ἕλληνες, οὐχὶ μόνον οἱ Ἰνδοὶ καὶ οἱ Ῥωμαῖοι (π. χ. : manum iniectio, ὃ αὐτολεξεὶ μεταφράσειέ τις: ἂν ἡ χεῖρας ἐπιβολή), ἐτήρησαν ταύτην τὴν προεθνικὴν σύνταξιν.

94-97. = Ὕμν. Ὁμηρ. 25 (24), 2-5.

95. Τὸ *γὰρ* μόριον πολλοῖς ἐφαίνετο ἄτοπον· ἀλλ' ἐν τοῖς Ἔργοις εὑρήσομεν ὁμοίαν περίοδον (42). Πρὸς τούτοις οὐδὲν κωλύει μὴ ἀναφέρειν τὸν σύνδεσμον πρὸς τὰ ἑπόμενα, διότι Ὅμηρος πολλάκις τὰς τοιαύτας περιόδους ἀναστρέφει, πρβλ. καὶ Θεογ. 646.

*Ἐκ* Μουσῶν οἱ ἀοιδοὶ καθόσον οὐκ ἂν ὑπῆρχον εἰ μὴ αἱ Μοῦσαι αὐτοὺς ἐνεθουσίαζον· τὴν αὐτὴν ἰδέαν ἑρμηνεύει μεγαλοπρεπέστερον Πίνδαρος (Νεμ. 3, 1): «Ὦ πότνια Μοῖσα, *μᾶτερ* ἁμετέρα»· ἀκριβέστερον δὲ τὴν λέξιν Διοτρεφὴς ἀπεμιμήσατο Εὐστάθιος ὁ Θεσσαλονίκης (εἰς Ἰλ. σ. 124, 25) διὰ *Μουσοτραφής*.

*ἑκηβόλου*] Ἑκὰς βάλλοντος τῷ ἀργυρῷ τόξῳ Ἀπόλλωνος, τοῦ τῶν κιθαριστῶν προστάτου (95).

95. *ἐπὶ χθόνα*] Κατ' αἰτιατικὴν ἀντὶ τῆς δοτικῆς ὡς καὶ «ἐπὶ γαῖαν, ἐπ' αἶαν».

*κιθαρισταί*] Σημείωσαι ὅτι Ἡσίοδος ἤδη διακρίνει τοὺς ἰδίως μουσικοὺς ἀπὸ τῶν ποιητῶν, ἤτοι, ὅπως χρώμεθα τοῖς συνηθεστέροις ὀνόμασι, τοὺς λυρικοὺς καὶ τοὺς ἐπικούς.

96. *δέ*] Παρατακτικῶς, ἴδε ἀνωτ.

*ἐκ Διός*] Ὑπελαμβάνομεν ἂν κυρίως εἰρημένον, ἐπειδὴ οἱ πλείονες τῶν ἡρωϊκῶν βασιλέων (οἷον οἱ Πελοπίδαι καὶ Αἰολίδαι καὶ Ἡρακλεῖδαι) τὴν αὐτῶν γενεὰν ἀπὸ τοῦ τῶν θεῶν βασιλέως παρῆγον. Πλὴν ἡ ἀναλογία τοῦ προηγουμένου στίχου ἐπικλίνει ἡμᾶς πρὸς ἄλλην ἐξήγησιν, ἥντινα χορηγεῖ Ὅμηρος· Β 204-5: εἷς κοίρανος, εἷς βασιλεύς, ᾧ ἔδωκε Κρόνου πάϊς ἀγκυλομήτεω, Ι 98-9: καί τοι Ζεὺς ἐγγυάλιξε σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύησθα. Τούτοις συμφωνεῖ ὅτι οἱ βασιλεῖς ἐπὶ τῶν σκήπτρων ὡς ἐπίβλημα ἀετοὺς Διὸς ἱεροὺς ἔφερον.

97. * *φίλωνται*] Ὑποτακτικὴ τοῦ ἐπικοῦ ἀορίστου *ἐφιλάμην* = ἐφίλησα, ἀπὸ τοῦ *φίλομαι*.

Πρὸς τὰ λοιπὰ πρβλ. 84· πρωτότυπον δ' ἐχρησίμευσεν Ἰλ. Α 249: τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐ-

Εἰ γάρ τις καί, πένθος ἔχων νεοκηδέϊ θυμῷ,
ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήσῃ μάκαράς τε θεούς, οἳ Ὄλυμπον ἔχουσι,
αἶψ' ὅγε δυσφρονέων ἐπιλήθεται, οὐδέ τι κηδέων
μέμνηται· ταχέως δὲ παρέτραπε δῶρα θεάων.
Χαίρετε, τέκνα Διός, δότε δ' ἱμερόεσσαν ἀοιδήν.

δή, τὰ δὲ ἔμπροσθεν ὁμοιάζουσιν Ὕμν. Ὁμηρ. 5, 487-8: μέγ' ὄλβιος ὅντιν' ἐκεῖναι προφρονέως φίλωνται ἐπιχθονίων ἀνθρώπων.

98. *νεοκηδέϊ θυμῷ*] = νεοπενθέϊ θυμῷ (Νόνν. Διονυσ. 8, 286), κατὰ ποιητικὸν πλεονασμὸν ἀντὶ *νεωστὶ* ἢ *ἔναγχος*.

99. *ἄζηται*] Κυρίως μὲν ταὐτὸ ὃ ξηραίνεται, μεταφορικῶς δὲ οὐ κεῖται εἰ μὴ ἐνταῦθα, πρβλ. ὅμως τὸ παράγωγον αὐσταλέη Ἀσπ. 265.

100. *Μουσάων θεράπων* (Ὕμν. Ὁμηρ. 32. 20. Kaibel 101, 3). Εἰ καὶ Θέογνις (769: Μουσῶν θεράποντα καὶ ἄγγελον) καὶ Θεόκριτος (16, 29: Μουσάων ἱεροὺς ὑποφήτας, 17, 115, πρβλ. Πλάτ. Ἴωνι σ. 534 e: οἱ ποιηταὶ οὐδὲν ἄλλ' ἢ ἑρμηνεῖς εἰσι τῶν θεῶν) ποιητικῇ φράσει χρώμενοι φαίνονται· καὶ Ὅμηρος κατὰ τὸν αὐτὸν τρόπον τοὺς μὲν στρατιώτας ὀνομάζει «θεράποντας Ἄρηος», τοὺς δὲ βασιλεῖς «Διός» (Ὀδ. λ 255), ἐν τούτοις Ἡσίοδος πιθανῶς σύνοδον ἐννοεῖ ῥαψῳδῶν, ἧστινος τὸ θρησκευτικὸν κέντρον ἦν τὸ πρὸς Ἑλικῶνι ἱερόν, ὥσπερ οἱ Ὁμηρίδαι ἐπὶ Χίου προσεκύνουν τὸν ἥρωα Ὅμηρον. Ἀνάλογόν ἐστι τὸ *Ἀθηναίοις δμῶος*, ὅπερ ἀπαντήσομεν ἐν τοῖς Ἔργοις (430)· οἱ γὰρ τεχνῖται ἀνέκαθεν ἐσχημάτιζον συντελείας προστατευομένας ὑπὸ θεοῦ.

*κλεῖα*] Συνῄρηται ἐκ κλέεα (παρὰ τὸ κλέος). Ὡσαύτως ὁ μηνίων Ἀχιλλεὺς καὶ Δημόδοκος ᾖδον «κλέα ἀνδρῶν» (Ἰλ. I 189. Ὀδ. θ 73), ἤτοι ᾄσματα ἐπικὰ ἢ ἱστορικά.

101. Ἡ ποίησις λοιπὸν τότε περιωρίζετο εἰς ᾄσματα ἱστορικὰ καὶ ὕμνους.

102. *δὲ*] Παρατακτικῶς κεῖται ἐν ἀποδόσει.

*δυσφρονέων*] Γενικὴ τῆς ἅπαξ εἰρημένης *δυσφρόνη*, ᾧ ἀντιστοιχεῖ εὐφρόνη (= εὐφροσύνη Ἡσύχ.).

103. *παρέτραπε*] Κατὰ τὸν Ὁμηρικὸν τύπον δεύτερος ἀόριστος. Τί δὲ παρατρέπεται; Ὑπακουστέον βεβαίως αὐτόν, ἐπειδὴ παρ' Ὁμήρῳ συχνάκις εὑρίσκεται· τρέπω φρένα(ς), νόον, κραδίην.

*δῶρα θεάων*] Ἡ ποίησις, οἷον καὶ Ἀρχιλ. 1, 2: Μουσέων ἐρατὸν δῶρον.

104-115. Διὰ τούτων μεταβαίνει ὁ ποιητὴς ἀπὸ τοῦ ὕμνου πρὸς τὸ κύριον θέμα. Κατὰ τὸ ἁπλοϊκὸν ἔθος τῶν ἀρχαίων ἀοιδῶν, Ἡσίοδος ταῖς Μούσαις ῥητῶς χαίρειν λέγει, πρβλ. Ὕμν. Ὁμηρ. 25, 6: χαίρετε, τέκνα Διός, καὶ ἐμὴν τιμήσατ' ἀοιδήν, 10, 4: χαῖρε, θεὰ Σαλαμῖνος, ἐϋ κτιμένης μεδέουσα. Ἀρίδηλον ὅτι οὐκ ἐξῆν αὐτῷ εὐθὺς ἄρξασθαι: «Ἤτοι μὲν πρώτιστα χάος γένετ'». Ἀνήκουστα γὰρ ἐξυμνήσειν μέλλων, ὡς προπαρασκευὴν προὔπεμψε τὴν τοῦ ὑποκειμένου ἀνακεφαλαίωσιν. Τοῦτο δὲ γίνεται οὐκ ἄλλως ἢ ἐν τῇ Ἰλιάδι καὶ τῇ Ὀδυσσείᾳ, τοῦ ποιητοῦ δῆλα δὴ τὰς Μούσας παρακαλοῦντος ἐμπνεῦσαι αὐτῷ τὸ μέλλον ποίημα. Οἱ στ. 105-115 ἄρα ἀποτελοῦσι τὸ ἰδιαίτερον προοίμιον τῆς

Κλείετε δ' ἀθανάτων ἱερὸν γένος αἰὲν ἐόντων,
οἳ γῆς ἐξεγένοντο καὶ οὐρανοῦ ἀστερόεντος
νυκτός τε δνοφερῆς, οὓς θ' ἁλμυρὸς ἔτρεφε πόντος.
Εἴπατε δ', ὡς τὰ πρῶτα θεοὶ καὶ γαῖα γένοντο
καὶ ποταμοὶ καὶ πόντος ἀπείριτος οἴδματι θυίων
ἄστρα τε λαμπετόωντα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
οἵ τ' ἐκ τῶν ἐγένοντο θεοί, δωτῆρες ἐάων,
ὥς τ' ἄφενος δάσσαντο καὶ ὡς τιμὰς διέλοντο,
ἠδὲ καὶ ὡς τὰ πρῶτα πολύπτυχον ἔσχον Ὄλυμπον.
Ταῦτά μοι ἔσπετε, Μοῦσαι, Ὀλύμπια δώματ' ἔχουσαι,
ἐξ ἀρχῆς καὶ εἴπαθ', ὅ τι πρῶτον γένετ' αὐτῶν.

Θεογονίας, καὶ 105-7 προαγγέλλουσι τοῖς ἀκροαταῖς ὅτι ὁ ποιητὴς πρὸς τοῖς κοινῶς λατρευομένοις θεοῖς τοὺς ἁπάντων τῶν τεσσάρων μερῶν τοῦ κόσμου θεοὺς καὶ δαίμονας ἐξυμνήσει.

105. *αἰὲν ἐόντων*] Φυλάττου μὴ εἰσφέρῃς ἐν τῇ διανοίᾳ τὴν μονοθεϊστικὴν ἰδέαν τῆς θείας αἰωνιότητος· οἱ γὰρ ἐθνικοὶ θεοὶ εἰς αἰῶνας τῶν αἰώνων μόνον ζῶσιν, ἀλλ' οὐχὶ καὶ ἀπ' αἰώνων.

107. *δνοφερῆς*] (Ὀδ. ν 269. ο 50) ἀπὸ τοῦ δνόφος ἢ καὶ γνόφος = κνέφας (σκότος).

*ἔτρεφε*] Εἰ μὴ ἐπεζήτει ποικιλίαν, ἔλεγεν ἂν «ἐγέννησε», πρβλ. 191 καὶ τὸ Ὁμηρικὸν «τράφεν ἠδὲ γένοντο».

Δηλωθείσης τῆς ὑποθέσεως, προλέγει τὸ εἶδος τοῦ ποιήματος, 108—13. ἱστορικὴν διήγησιν κατὰ τὰς γενεὰς διωρισμένην ὑπισχνούμενος.

108. Ἡ συλληπτικὴ λέξις *θεοὶ* ἄρχεται συνδετικῶς (*καὶ*) τῆς καθ' ἕκαστον ἀπαριθμήσεως τῶν ἀξιολογωτέρων.

*τὰ πρῶτα*] λέγων ὁ ποιητής, ὡς ἐκ τῶν ἑπομένων ἐξάγεται, ἐννοεῖ τὴν ὁλόκληρον πρὸ τῶν Κρονιδῶν περίοδον.

109. *ἀπείριτος*] Καθάπερ ἀπείρων καὶ ἀπειρέσιος, ὁ μὴ ἔχων πέρας.

*οἴδματι* (λέξις συγγενὴς τῇ οἰδέω καθὼς κῦμα τῷ κύω) *θυίων* = Ἰλ. Φ 234. Ψ 230, μετὰ κυμάτων μαινόμενος ἢ λυσσῶν (πρβλ. Ἰωάνν. Χρυσόστ. εἰς Πράξεις Ἀποστ. ὁμ. Α', κεφ. γ': πελάγους οἰδοῦντος καὶ μαινομένου.

110. *καὶ οὐρανὸς εὐρὺς ὕπερθεν* = Ἰλ. Ο 36. Ὀδ. ε 184.

Τὸ *ὕπερθεν* προσηγορικῶς κεῖται.

111. = 46.

112. 113. Τὸ σχῆμα πρωθύστερον.

112. Πρβλ. 73. 74. 881-5.

*ἄφενος* (πλοῦτος), ὅθεν παράγεται ἀφνειός (πλούσιος), πρβλ. Ἀσπ. 204.

113. *ἔσχον*] ἴδε 820. Αἰνίττεται φιλοπρεπῶς τὴν Διὸς κατὰ τοῦ πατρὸς ἐπανάστασιν.

*πολύπτυχον*] = Ἰλ. Θ 411. Υ 5, παρὰ τὸ *πτύξ*, πρβλ. Ἰλ. Λ 77: κατὰ πτύχας Οὐλύμποιο.

114. Τὴν προστακτικὴν *ἔσπετε* οἱ γραμματικοὶ νῦν παράγουσιν ἀπὸ τῆς ῥίζης ΣΕΠ, ἧστινος οἱ τύποι ἔννεπε καὶ ἐνέπω ηὕρηνται ἐν τοῖς Ὁμήρου ποιήμασιν. Ναὶ μὲν ὅτι συνώνυμόν ἐστι τῷ «λέγω», ἀδίστακτον, Οἰδίποδα δέ τινα γραμματικὸν προσμένει τὸ ἔ-.

115. *Αὐτῶν* ἀναφέρομεν πρὸς τὸ *ταῦτα*, ἐπειδὴ καὶ τὸ οὐδέτερον τῆς ἀναφορικῆς ἀντωνυμίας μεταχειρίζεται. Πρὸς τούτοις παρατηρητέον ὅτι τὸ *ἐγένετο*, δίσημον ὄν, τὰς τῶν θεῶν γεννή-

Ἤτοι μὲν πρώτιστα Χάος γένετ', αὐτὰρ ἔπειτα
Γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεὶ

σεις καὶ τὰ γεγονότα συμπεριλαμβάνει.

*Στ. 116-153 περὶ τῶν τοῦ κόσμου ἀρχῶν.*

116. *ἤτοι μέν*] (Ἰλ. Π 451) Ἰσοδυναμεῖ τῷ ἐν τῇ συνηθείᾳ «καὶ λοιπὸν» καὶ τῷ τῶν Ἀττικῶν «μὲν τοίνυν».

*πρώτιστα*] Πρῶτα πάντων.

*Χάος*] Ὑπεκκλίναντες τοὺς φιλοσόφους, οἵτινες πρὸς ἀλλήλους ἀδιαλλάκτως διεφέροντο πότερον τὸ πρῶτον ἦν ὁ κενὸς χῶρος ἢ ὁ αἰθὴρ ἢ ἄλλο τι, ἐρευνῶμεν, τί αὐτὸς ὁ ποιητὴς τῇ λέξει δηλοῦν βούλεται. Κατ' εὐτυχίαν χρῆται αὐτῇ ἐν δύο ἄλλοις στίχοις τῆς Θεογονίας, πρῶτον μὲν 700, ὅπου ἐπισυνάπτεται τῇ γῇ, χθονί, Ὠκεανῷ, πόντῳ, ἀέρι, ἔπειτα δὲ 814: «Τιτῆνες ναίουσι πέρην χάεος ζοφεροῖο». Ἐκ τούτων κατὰ πᾶσαν πιθανότητα συμπεραίνεται ὅτι χάος καλεῖται ὁ κατωτάτω κόσμος· εὔλογον τῷ ὄντι τὸ πεφυκέναι πρότερον τὸ τοῦ κόσμου θεμέλιον ἢ τοῦτον αὐτόν. Τὸ ὄνομα Ἡσίοδος αὐτός, τὸ χάος ἅπαξ (740) καλῶν *χάσμα*, ὀρθῶς ἐτυμολογεῖ ἀπὸ τῆς ῥίζης ΧΑΥ ἢ ΧΑϜ, ὅθεν γεγόνασι καὶ χαῦ-νος καὶ χηή (Ἰλ. Χ 93 95 = χαϜ-ιή). Ὁ ποιητὴς ἐνταῦθα οὐδοπωσοῦν, καθάπερ πολλοὶ ὑπολαμβάνουσιν, ἑαυτὸν φιλόσοφον ἐπιδεικνύει, ἀλλὰ ταπεινῶς ἐκ τῆς δημώδους μυθολογίας ἀρύεται. Ἐν ᾧ γὰρ οἱ φιλόσοφοί τε καὶ οἱ ἐν παρέργῳ φιλοσοφοῦντες τῇ λέξει προσῆπτον ἰδέας ποικίλας καὶ ἀεροειδεῖς, ὁ δῆμος διὰ πολλῶν αἰώνων τὴν ἀρχαίαν σημασίαν τῆς ἀβύσσου καὶ τοῦ φρικώδους σκότους ἐτήρησεν: Χάων ὠνομάζετο ὄρος τι ἐκ τῆς Ἀρκαδίας εἰς τὴν Ἀργολίδα προεξέχον, ὅπερ ἀχανέσι σπηλαίοις διατέτρηται· τὸ αὐτὸ δὲ ὄνομα εἶχεν, ὡς φαίνεται, ὁ ἐπὶ τῆς Ζακύνθου Χάος, βαθὺ χάσμα ὤν. Πρβλ. πρὸς τούτοις τὸν ψευδοπλατωνικὸν Ἀξίοχον σ. 371 e: ἔρεβος καὶ χάος, τοὺς Ἑβδομήκοντα Μιχ. 1, 6. Ζαχαρ. 14, 4. Πλουτάρχ. Ἠθικ. σ. 953 a: χάος Ἅιδης ὄρφνη, Κόϊντ. Σμυρν. 6, 489. Ἡλιόδωρ. 2, 4 σ. 57 ἐκδ. Κοραῆ: ζόφος καὶ χάος, Ἀνέκδοτ. τοῦ Boissonade τ. Δ', σ. 388, στ. 415, = Ἅιδης Ἀνθολογ. Πλανούδ. 98, 2. Ὕμν. εἰς Ἥλιον ἐκδ. Miller στ. 8: χάεός τε καὶ ἄϊδος, Μανουὴλ Ὁλόβολον 17, 11, Εὐστάθ. Θεσσαλον. σ. 292, 40 καὶ 295, 60 ἐκδ. Tafel, μεταφορικῶς: χ. δυστυχίας Τζέτζης σχόλ. εἰς Θουκυδ. Ζ', ἐν τέλει, χ. τρυφῆς Εὐστάθ. Θεσσαλ. αὐτόθι σ. 245, 21. Καὶ νῦν ἔτι τῶν χυδαίων τις ᾄδει· «Τίποτε δὲν μ' ἀπέμεινε μόν' ἐρημιὰ καὶ χάος» (Νεοελλ. Ἀνάλ. τ. Α', σ. 123 ἀρ. 72), καὶ μάλιστα παρὰ τοῖς Καρπαθίοις ἡ λέξις ζωηρὰ διέμεινεν.

*γένετ'*] Ἐνταῦθα ἡ Ἡσιόδου καὶ φιλοσόφων διαφορὰ γίνεται ἐκδηλοτάτη. Ὁ νέος Ἐπίκουρος τὸ πρῶτον μεταφυσικῆς ἀγχινοίας δεῖγμα παρεῖχε τὸν διδάσκαλον ἐρωτῶν, τί δὴ πρότερον τοῦ Χάους ἦν, εἴπερ ἐγεννήθη καὶ τοῦτο (ἴδε Σέξτον τὸν Ἐμπειρικὸν πρὸς τοὺς μαθημ. 10, 19 καὶ Διογέν. Λαέρτ. 10, 2). Ἡσίοδος ὅμως, ὅστις οὐδὲ τὸ ὄνομα τῆς φιλοσοφίας ποτὲ ἤκουσε, περὶ τούτου οὐ σκέπτεται.

*αὐτὰρ ἔπειτα*] Φράσις τοσοῦτο τετριμμένη ὑπὸ τῶν ἐπικῶν, ὥστε Πωλλιανὸς ἔσκωψε «τοὺς αὐτὰρ ἔπειτα λέγοντας» (Ἀνθολογ. 11, 130, 1). Οὐχ ἅπαντες παρετήρησαν τὸ *ἔπειτα*, ὅπερ διαβεβαιοῖ ὅτι ἡ Γῆ οὐκ ἐκ τοῦ Χάους ἐγένετο.

117. *Γαῖα*] Ὑπὸ τῶν παλαιῶν τεχνιτῶν προσωπικῶς ἐν γυναικὸς σχήματι ἀπεικονίζετο καὶ ἦσαν οἳ αὐτὴν ἠξίουν λατρείας (Παυσαν. 5, 14, 10, 7, 25, 13). Ἴχνη τινὰ τῆς προσωποποιίας τῆς Γῆς καὶ Οὐρανοῦ σῴζονται ἐν τῇ κατὰ τὸν Χριστιανισμὸν καλλιτεχνίᾳ.

*εὐρύστερνος*] Ἡ ἰδέα αὕτη συνερρύη-

ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου
τάρταρά τ' ἠερόεντα μυχῷ χθονὸς εὐρυοδείης,
ἠδ' Ἔρος, ὅς, κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι,
λυσιμελής, πάντων τε θεῶν πάντων τ' ἀνθρώπων

κεν ἐκ δύο ἐννοιῶν. Ἐξ ἑνὸς μὲν ἡ Γῆ φαίνεται μήτηρ καὶ τροφὸς ἁπάντων (π.χ. Ὕμν. Ὁμηρ. 30 [29], 1. 2: παμμήτειρα... ἣ φέρβει ἐπὶ χθονὶ πάνθ' ὁπόσ' ἔστι· ἐν ὕμνῳ παρὰ Παυσανίᾳ 10, 12, 10: Γᾶ καρποὺς ἀνίει διὸ κλῄζετε ματέρα Γαῖαν), ἐξ ἑτέρου δὲ τὰ ὄρη ὑπὸ τῶν ἀρχαίων μαστοῖς γυναικῶν παρεβάλλοντο (Πινδάρ. Πυθ. 4, 8. Ξενοφ. Ἀνάβ. 4, 2, 6. Πολύβ. 1, 56, 6). Εἰς τοῦτο μάλιστα συναρμόζει τὸ παρὰ Σιμίᾳ ἐν τῷ Πτέρυγι στ. 1 κείμενον «βαθύστερνος». Τὸ Ἡσιόδειον ἐπίθετον παρὰ τοῖς λάτρεσι τῆς θεοῦ ἐν χρήσει ἦν (Παυσαν. 7, 25, 13)· οὐκ ἄρα ἐπλάσθη ὑπὸ τοῦ ποιητοῦ.

*πάντων ἕδος*] Διὸ πρὸ πάντων ἐγένετο.

*ἀσφαλὲς αἰεί*] Ἅτε «ἀΐδιον καὶ ἄφθαρτον» (Ὁ λόγος Σιμπλικίου πρὸς Ἀριστοτ. περὶ οὐρανοῦ φυλλ. 70 β). Ὅμοια παρὰ Πινδάρῳ ἀπαντῶμεν (Νεμ. 6, 3): Ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος μένει οὐρανός.

118. = 794, πρβλ. 42.

119. Τὰ τάρταρα μνημονεύει διὰ τὸ ἐνθάδε ἐξωρίσθαι τοὺς Τιτᾶνας, ἀλλ' οὐχὶ ὡς ἰδιαίτερόν τι στοιχεῖον, ἐπειδή, τούτου τεθειμένου, ἔπρεπε χρήσασθαι τῷ ἀρσενικῷ σχήματι «Τάρταρος»· καὶ ἄλλοθι δὲ ὁ ποιητὴς διαρρήδην αὐτὸν ἐμφαίνει μέρος τῆς γῆς (ἔπιθι τὰ κατωτέρω εἰς 725 καὶ 841 σημειούμενα).

*ἠερόεντα*] (=Ἰλ. Θ 13), πρβλ. 729: ὑπὸ ζόφῳ ἠερόεντι, ὡς ὑπὸ τοῦ ἁγίου Βασιλείου (εἰς Ἡσαΐαν κ. 5, τ. Α', σ. 962) ὁ Τάρταρος ὁρίζεται «κοινός τις τόπος... *ἐπίσκιος πανταχόθεν*». Τοῖς γὰρ φιλοφώτοις Ἕλλησι τὸ σκότος φοβερώτατον ἁπάντων.

*χθονὸς εὐρυοδείης*] Ὁμηρικῷ ζήλῳ ὥσπερ ἡ μεγάλη πόλις εὐρύχορος ἢ εὐρυάγυια, ἀναλόγως ἐπονομάζεται ἡ χώρα εὐρυόδεια ἤτοι ἥντινα διανύσειέ τις ἂν μακρᾷ ὁδῷ καὶ πορείᾳ. Ὁ Τάρταρος, ὡς ἐνόμιζον, ἔνδον τῆς γῆς ἐστι καθάπερ ἡ κόλασις, καὶ μέρος αὐτῆς ἀποτελεῖ, διὸ ὀνομάζεται Τάρταρα γαίης (841).

120. *Ἔρος* (Ὁμηρικῶς = Ἔρως) Λοιπὸν ἀριθμεῖται ἐν τοῖς πρώτοις στοιχείοις. Οὐδὲ τοῦτο ὄζει φροντιστηρίου φιλοσόφων· τοὐναντίον ὁ Ἡσίοδος, ὡς ἐν τῇ εἰσαγωγῇ εἴπομεν, τὰ πάτρια ἱερὰ μεγάλως ἐκτιμᾷ, Ἔρως γὰρ προστάτης ὑπελαμβάνετο τῶν Θεσπιέων (Παυσαν. 9, 27) καὶ οὐχ ἀκόλουθος τῆς Ἀφροδίτης, κατὰ τὴν τῶν ἄλλων Ἑλλήνων μυθολογίαν, ἀλλὰ θεὸς τὴν ἁπάντων γέννησιν ἐνεργῶν, ὅσπερ καὶ τοῖς Θεσπιεῦσιν ἔδωκε κρήνην, τὴν εὐτοκίαν τῶν γυναικῶν αὐξάνουσαν (ἴδε Πλινίου Ἱστ. Φυσ. 31, 2). Ἀδύνατον λοιπὸν ἦν, κατ' αὐτούς, τὸ γεννηθῆναι ἢ θεὸν ἢ ἄνθρωπον, πρὶν ἂν ὑπάρξῃ ὁ Ἔρως. Οὗτος προσωποποιεῖται ὑπὸ τῶν πεπειραμένων τῆς βίας αὐτοῦ, καθ' ὃν αἰῶνα καὶ ἂν γένωνται, ὅθεν καθ' ἡμᾶς καὶ ὁ ἀπαίδευτος ἐραστὴς ἐγκαλεῖ τῷ «Ἔρωτι».

121. Περὶ τοῦ ἐπιθέτου *λυσιμελής*, ἅτε οὐκ ἐντριβεῖς ὄντες περὶ τοῦτο, τοῖς ὁμοιοτρόποις ἀνακοινοῦμεν σχολαστικῶς ὅτι διαφωτίζεται τῷ Ὁμηρικῷ στίχῳ (Ὀδ. σ 212): «Τῶν δ' αὐτοῦ λύτο γούνατ', ἔρῳ δ' ἄρα θυμὸν ἔθελχθεν» καὶ ὅμοια ἐποίησεν Ἀρχίλοχος (Ἀπόσπ. 85: ἀλλά μ' ὁ λυσιμελής, ὦταῖρε, δάμναται πόθος. Δυστυχῶς λείπει ὁ τόπος, ὅπως παρεμπλέξωμεν τὴν περίφημον Σαπφοῦς ᾠδήν (Ἀπόσπ. 2), ἧς οἱ στ. 7 κέ. ζωγραφικώτερον τὴν διάθεσιν

δάμναται ἐν στήθεσσι νόον καὶ ἐπίφρονα βουλήν.
Ἐκ *Χάεος* δ' Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο,
*Νυκτὸς* δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο,
οὓς τέκε κυσαμένη, Ἐρέβει φιλότητι μιγεῖσα.
*Γαῖα* δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ

ταύτην περιγράφουσιν. Τούτων διαφέρουσιν οὐ πολὺ ὅσα ἐν νεωτέρων «τραγουδίοις» καὶ διστίχοις περὶ τοῦ ἔρωτος δεινολογοῦνται, π. χ.: μοῦ κόβονται τὰ μέλη μου, μοῦ (ἱ)δρώνει τὸ κορμί μου (Passow δίστιχ. 730): μὲ πλήγωνες τὰ μέλη (Passow 564, 7), ὁπώχ' ἀγάπην, φαίνεται, πρασινοκιτρινίζει, χέρια, ποδάρια τὠρφανὸ τίποτε δὲν ὁρίζει (Sanders, Volksleben σ. 158 δίστ. 67): ἀπὲ σοῦ κόφτει τὴν καρδιὰ καὶ ὅλα σου τὰ μέλη (Ἀραβαντιν. δίστ. 582): σὰν ἀκούσω τὤνομά σου, δὲν ἠξεύρω διὰ τί, κόβονται τὰ ἥπατά μου, τὸ κορμί μ' ἀδυνατεῖ. Ὁ μυθιστοριογράφος Ἀπουλήϊος ἀπαριθμεῖ εἰς συμπτώματα τοῦ ἔρωτος καὶ «γόνατα κεκμηκότα» ἐν Ἀπολογίᾳ (10, 2).

122. Ὁ ἔρως ὑπὸ τῶν παλαιῶν νομίζεται μανία τις, ἣ δόξα διαπρεπέστατα ἐξεφράσθη ἐν τῷ λαμπρῷ χορικῷ τῷ ἐν τῇ Σοφοκλέους Ἀντιγόνῃ.

123. *Ἔρεβος* = Σκότος (Σοφοκλ. Οἰδίπ. Κολ. 40. 106), πρβλ. 515. 669. φύσει οἰκεῖον τῇ «ἐρεβεννῇ» Νυκτί (213) ἐστιν.

*μέλαινα Νύξ*] Προσωπικῶς καθὼς Ἰλ. Ξ 259 κἑ. Ἐπὶ τῆς Ἀθήνησιν ἀκροπόλεως ὑπῆρχε μαντεῖον τῆς θεοῦ (Παυσαν. 1, 40, 6) καὶ τεχνῖται αὐτὴν ἔπλασαν γυναῖκα (Παυσαν. 5, 18, 1. 10, 38, 6. Ἀθήν. 5, 195 b). Ἣν παράδοσιν οἱ Βυζαντῖνοι ἔσωζον. Διὰ τοῦτο ἡ Νὺξ εἰσέρχεται ἔτι ἐν νεωτέρῳ παραμυθίῳ (ἴδε τὸν ιή τόμ. τῆς Πανδώρας 1867, σ. 244 καὶ Πολίτην ἐν Μελέτης τ. Α', σ. 33-4).

Ὁ λαμπρὸς *Αἰθήρ*] Ὅπου ζῶσιν οἱ θεοί, ἀντίκειται τῷ νεφελώδει ἀέρι τῆς γῆς· καὶ αὐτὸν ἀνάγκη γεννηθῆναι πρὸ τῶν οὐρανίων θεῶν, ὡς ἀπαραίτητον ὅρον τῆς ζωῆς αὐτῶν.

*Ἡμέρα*] Ἀκολουθεῖ τὴν Νύκτα, διότι παρὰ τοῖς Ἕλλησιν ἐπεκράτει ἡ συνήθεια τοῦ ἀριθμεῖν τὴν πολιτικὴν ἡμέραν ἀπὸ τῆς τοῦ ἡλίου δύσεως ἕως τῆς ἑπομένης ἑσπέρας (πρβλ. Unger, Zeitrechnung der Griechen und Römer, σ. 552 κἑ.), ἥντινα Ὁμηρικὴν ἤδη ἀποδεικνύει Ἰλ. Τ 141 (:χθιζός = προχθὲς ὀψὲ) καί που ἡ τῆς φράσεως «νύκτας τε καὶ ἦμαρ» τάξις. Πρὸς τοῦτο ἀνεκδοτοδῖφαι ἀναφέροιεν ἂν Διογέν. Λαέρτ. 1, 36 καὶ Κλήμεντος τοῦ Ἀλεξ. Στρωματ. ς', κεφ. 4, σ. 731 ἔκδ. Potter.

125. *κυσαμένη*] Προσέθηκε κατ' ἐπικὸν πλεονασμόν.

*φιλότητι*] = Ἐν φιλότητι· ἡ κατὰ τὸ Ὁμηρικὸν παράδειγμα εὐφημία ἑρμηνείας οὐ χρῄζει.

*Στ. 126-210 περὶ τῶν Γαίας ἀπογόνων καὶ τῆς Οὐρανοῦ πτώσεως.*

Κατὰ τὴν δημωδεστάτην δόξαν, πάντα ἐκ γῆς γεγέννηνται, ὅτι συνεχῶς οἱ ἄνθρωποι ὁρῶσι πάντα ἀπ' αὐτῆς ἢ φυόμενα ἢ τοὐλάχιστον τρεφόμενα, ὅπερ ἐκφράζει ποιητικῶς Αἰσχύλος (Χοηφ. 121 ἢ 127): «γαῖαν, ἣ τὰ πάντα *τίκτεται*». Ὁ αὐτὸς ποιητὴς μεγαληγόροις στίχοις τὴν καρποφόρον μῖξιν τῆς γῆς καὶ τοῦ οὐρανοῦ ἐκλαμπρύνει (Ἀπόσπ. Δαναΐδων 43 παρ' Ἀθην. Δειπνοσοφ. 13, 600 b): «Ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα, ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν, ὄμβρος δ' ἀπ' εὐνάοντος οὐρανοῦ πεσὼν ἔκυσε γαῖαν· ἡ δὲ τίκτε-

Οὐρανὸν ἀστερόενθ', ἵνα μιν περὶ πάντα καλύπτοι,
ὄφρ' εἴη μακάρεσσι θεοῖς ἕδος ἀσφαλὲς αἰεί·
γείνατο δ' Οὔρεα μακρά, θεᾶν χαρίεντας ἐναύλους

ται βροτοῖς μήλων τε βοσκὰς καὶ βίον Δημήτριον». Πολὺ περίεργον δὲ ὅτι καὶ ἀσκητής τις Χριστιανὸς (λέγω δὲ Ἰσίδωρον τὸν Πηλουσιώτην) σύμφωνά πως γράφει (Ἐπιστολ. 4, 192 εἰς τὸ «Τίμιος ὁ γάμος»): «Ἔφης ὅτι καὶ οὐρανὸν μὲν γῇ διὰ τῶν ὑετῶν ὁμιλεῖν». Εἰς τοῦτο τὸ χωρίον στηριζόμενος τολμῶ μνημονεῦσαι καὶ τήνδε τὴν χυδαίου ποιητοῦ ἐκφώνησιν: «Ὦ Οὐρανέ, πατέρα μου, καὶ Γῆς, μάνα γλυκειά μου!» (Passow δίστιχ. 1112).

126. *δέ τοι*] Ἀττικῶς τις ἂν εἴποι «μὲν οὖν» ἢ «μὲν τοίνυν».

*ἶσον ἑαυτῇ*] Κατὰ τὸ μέγεθος, ὡς δηλοῦται ἐκ τῶν ἐπιφερομένων λέξεων. Ὁ οὐρανὸς φαίνεται νεώτερος τῆς γῆς, ἐπειδή, ὥςγε δοκεῖ τοῖς πολλοῖς, ἐπ' αὐτῆς ἐστήρικται. Οἱ Ἕλληνες οὐ προσεδέχοντο θεὸν τὸν Οὐρανόν· οἱ Ὀρφικοὶ γάρ, οἳ ὕμνον εἰς τὸν Οὐρανὸν ἡμῖν κατέλιπον, καὶ Πρόκλος ὁ φιλόσοφος (ἐν ἐξηγήσει εἰς Πλάτ. Τίμαιον σ. 293 c) οὐ δύνανται τοῦτο μαρτυρεῖν ἐν ὀνόματι τοῦ ἔθνους. Ἀλλὰ τὸ ποιητικὸν αἴσθημα τοῦ δήμου παρήγαγε τὴν προσωποποιΐαν, ὅθεν οἱ Βυζαντῖνοι ἐπαροιμιάζοντο (Συλλογὴ Πλανούδη, καλουμένη 8 = συλλ. ἐκδ. Krumbacher 5): «Ἡ Γῆ ὤμοσε τῷ Οὐρανῷ». Κοινὰ δὲ παρὰ τοῖς νεωτέροις τοιαῦτα, οἷα: «Ὁ οὐρανός μ' ἐρώτησε» (Ἀραβαντινοῦ Συλλ. σ. 339, ἀρ. 609) «Ὦ οὐρανὲ δικαιόκριτε (ἤ: 'ποῦ 'σαι ψηλά), κατέβα κάμε κρίσι». «Σπαθιὰ κι' ἂν βρέξῃς, οὐρανέ, μαχαίρια κι' ἂν χιονίσῃς, μένα 'πὸ τὴν ἀγάπη μου νὰ μὴ μὲ ξεχωρίσῃς». Πρὸς τούτοις ἔπιθι τὰ περὶ τῆς Γῆς (117) σεσημειωμένα μοι.

*ἵνα μιν περὶ πάντα καλύπτοι*] Καίτοι ἄξιον λόγου ἐστὶν ὅτι ἡ ἀρχικὴ τῆς λέξεως *οὐρανὸς* σημασία φαίνεται «ὁ καλύπτων» (ἀπὸ τῆς ῥίζης var), πιθανωτέρα ἂν εἴη ἡ γνώμη, ὅτι τὸ διανόημα συμφωνεῖ τῷ 176 στ. Ἡ ὡραία αὕτη εἰκὼν ἀπαντᾷ καὶ ἐν τῇ δημοτικῇ καὶ τεχνικῇ τῶν νεωτέρων ποιήσει, π.χ. Passow δίστ. 341: νἄβγῃ τὸ κνέφι τοὐρανοῦ νὰ σὲ περισκεπάσῃ. Ζαλοκώστας δὲ καλλιεπέστερον εἶπε: «τὴν ἔναστρον στέγην».

128. Ὁ προηγούμενος μὲν λόγος ὑποδέδειχε τὴν αἰτίαν, δι' ἣν Ἡσίοδος τὴν γῆν ἔταξε πρὸ τοῦ οὐρανοῦ, ὁ δὲ προκείμενος δικαιολογεῖ τὴν πρὸ τῶν ἄλλων θεῶν θέσιν τούτου. Φυσικῷ τῷ λόγῳ ἡ τῶν θεῶν αΐδιος κατοικία ὑπάρχει πρὸ τῶν οὐρανίων θεῶν. Τὴν μονοειδῆ κατασκευὴν τῶν τοῦ λόγου κώλων μὴ μεμψιμοιρήσῃς, ἀλλὰ παράθες Ἰλ. Ο 31-2: τῶν σ' αὖτις μνήσω, *ἵν'* ἀπολλήξῃς ἀπατάων, *ὄφρα* ἴδῃς.

*ἕδος ἀσφαλὲς αἰεί*] = 117.

129. Καὶ τὰ ὄρη προσωποποιεῖν εἴωθεν ὁ δῆμος, πάλαι μὲν τοὐλάχιστον ἐν μεταφοραῖς, οἷον: ὄρους ἀγκών, ἀκρωνυχία, δειρὰ ἢ δερὰ ἢ δειράς (πολυδειράς), κνήμη ἢ κνημός, ὄνυξ, ὀφρύες, πούς, ῥάχις, σφυρά, χηλή (οἷς συνᾴδουσι τὰ καθ' ἡμᾶς «μάγουλα» καὶ «μύτη»), νῦν δὲ τίς ἀγνοεῖ τὸ περίφημον ᾆσμα, ἐν ᾧ «ὁ γέρος Ὄλυμπος» «μαλλόνει» μετὰ τοῦ Κισσάβου (Ζαμπέλιος 605, 10 = Passow 131, πρβλ. 132). Ἀντίρροπόν τινα ἱστορίαν περὶ τῶν διχονοούντων ἀδελφῶν Ἑλικῶνος καὶ Κιθαιρῶνος ζήτει ἐν τῷ Ψευδοπλουταρχείῳ περὶ ποταμῶν βιβλίῳ (2, 3). Συνάφειαν τῶν ἀρχαίων καὶ τῶν νεωτέρων πάλιν ἀποτελοῦσί πως αἱ τῶν μεσαιωνικῶν τεχνιτῶν ἐργασίαι. Καὶ ἐνταῦθα ἄκρα ποίησις καὶ δημώδης ἁπλότης ὁμογνωμονοῦσι· τὸ μὲν ὁ με-

Νυμφέων, αἳ ναίουσιν ἀν' οὔρεα βησσήεντα.
Ἡ δὲ καὶ ἀτρύγετον πέλαγος τέκεν, οἴδματι θυῖον,
Πόντον, ἄτερ φιλότητος ἐφιμέρου· αὐτὰρ ἔπειτα,

γαλοπρεπὴς Πίνδαρος τὸν Παρνασσὸν καλεῖ ὑψιμέδοντα (Νεμ. 2, 19), τὸ δὲ οἱ Ἀθηναῖοι ὀρεινοὺς θεοὺς ἀνεβίβαζον εἰς τὴν κωμικὴν σκηνήν.

*ἐναύλους*] *Αὐλὴ* καὶ αἱ συγγενεῖς ἢ παράγωγοι λέξεις ἀντιτίθενται τῇ *οἶκος* λέξει· ὁ ἐπὶ τῶν ὀρῶν ἐν ὑπαίθρῳ βίος λοιπὸν ἀντίκειται ταῖς ἐν τῷ περικλείστῳ Ὀλύμπῳ οἰκίαις. Ὅπερ διαβεβαιοῖ ὁ ποιητὴς αὐτὸς ἐν τοῖς ἑπομένοις.

130. *Νυμφέων*] Τὸ Ἑλληνικὸν πνεῦμα, ἅτε πρὸς τὸν πανθεϊσμὸν εὐδιάθετον ὄν, ἐν τῇ φύσει ἁπάσῃ, τοῖς φυτοῖς, ταῖς πέτραις, ταῖς πηγαῖς ᾐσθάνετο ὄντα ζωοποιά, ἃ ὠνόμαζον Νύμφας. Ὅσα δὲ Ἡσίοδος τῷ ὀνόματι προσέθηκεν, οὐ περιορίζουσι τὰ εἰρημένα εἰς τὰς Ὀρειάδας, διότι ἔξω τῶν ὀρῶν οὔτε πολλὰ δένδρα οὔτ' οὖν πολλαὶ Δρυάδες ἦσαν καὶ αἱ τῶν ποταμῶν πηγαὶ σχεδὸν οὐκ ἐκρέουσιν εἰ μὴ ἐκ τῶν «βουνῶν μὲ τὲς κρυὲς βρύσες»· (πρβλ. Ἰωάνν. Χρυσοστ. Ὁμιλ. κβ' εἰς Πράξ. Ἀποστ., § δ': «ἐν τοῖς ὑψηλοτάτοις χωρίοις αἱ πηγαὶ λέγονται τίκτεσθαι»)· διὰ ταῦτα οἱ Βοιωτοὶ οὐκ ἀφυῶς τὰς Νύμφας ἀπὸ τῶν ὀρῶν ὠνόμαζον π.χ. Κιθαιρωνίδας (Παυσαν. 9, 3, 9) καὶ Λειβηθρίας (Παυσαν. 9, 34, 4). Τὸ δὲ τῶν Νυμφῶν ὄνομα ταὐτὸ βούλεται τοῖς τῶν Νεραΐδων ἐν τῇ νῦν συνηθείᾳ *κοπέλλες* ἢ *κορίτσια* ἢ *κοράσια*.

*βησσήεντα*] Βησσῶν, ἤτοι κοιλάδων, πλήρη.

131. *ἀτρύγετος*] Ὃν οὐδεὶς ἀποξηραίνειν δύναται. Ἡ ῥίζα ἐστὶ ΤΡΥΓ, ὅθεν παρήχθησαν καὶ τρυγέω (τρυγεῖ: ξηραίνει Ἡσύχ.) καὶ τρύγη (καρποὶ ξηροί). Τοῦτο τὸ ἐπίθετον σημαντικώτατόν ἐστιν ἐν χώρᾳ, ὅπου τὸ τοῦ θέρους καῦμα ὅλως ἀποξηραίνει ποταμοὺς καὶ ῥεύματα καὶ πηγάς· ἔτι δέ, ἐν τῇ Βοιωτίᾳ ἀνατραφείς, ὁ ποιητὴς ἐγίγνωσκεν ὅτι ἡ μεγίστη λίμνη τῆς Ἑλλάδος, ἡ Κωπαΐς, τοῦτο μὲν ἀπὸ φυσικῶν αἰτιῶν, τοῦτο δὲ ἀνθρώπων τέχνῃ πολλὰς τῆς περιφερείας μεταβολὰς ἔπαθεν. Ἐναντίον δὲ τούτοις ἑώρα τε καὶ ἤκουε τὸ πέλαγος οὐδ' ἕνα πόδα ἀπὸ τῶν ἀκτῶν ὑποχωροῦν. Ὅμηρος, ὃς συχνάκις τῷ ἐπιθέτῳ χρῆται, ἅπαξ (Ἰλ. Ρ 425, πρβλ. τὸν εἰς Δήμητρα Ὕμνον στ. 67. 457) τῷ αἰθέρι ἀπέδωκε τὴν αὐτὴν προσηγορίαν, διότι κατὰ τὸ θέρος οὐκ ἀναφαίνεται καθῶς ὁ ἐν τῇ Ἑλλάδι ἀήρ, ὅπως ἀπαλλαχθῶσιν οἱ ἐκεῖ κατοικοῦντες θεοῦ καὶ τοῦ πνιγηροῦ αὐχμοῦ.

*οἴδματι θυῖον*] Πρβλ. 109.

132. *Πόντον* ἐπιφέρει τῷ πελάγει ὅπως ἔχῃ ἀρσενικὸν ὄνομα ὁ θεός. Μετὰ τὴν τοῦ Χριστιανισμοῦ νίκην ἡ Θάλασσα αὐτὸν ἀντικαθίστησιν ἐν τῇ καλλιτεχνίᾳ καὶ ποιήσει.

*ἄτερ φιλότητος ἐφιμέρου* (ἄγαμος)] Σχετίζεται πρὸς τὰ 125-132 περιεχόμενα ἅπαντα, ἐνταῦθα ὅμως κεῖται καὶ οὐχὶ πρότερον ἵνα γίνηται καταδηλοτέρα ἡ πρὸς τὰς λέξεις *Οὐρανῷ εὐνηθεῖσα* ἀντίθεσις.

Ἕως τούτων ἐξικνοῦνται τὰ περὶ τὴν κοσμογονίαν, ἧστινος ὁ Ἡσίοδος, τὴν θεογονίαν στέργων, ἀπέκλεισε ζῷα καὶ φυτά, ἅτε φθαρτὰ ὄντα. Ἐν τούτοις, ἂν πρὸς τὴν Μωσαϊκὴν δημιουργίαν αὐτὴν ἀντιπαραβάλωμεν, περίεργον ἡμῖν δοκεῖ τὸ ὅτι Ἡσίοδος ἀποσιωπᾷ τὰ ἄστρα· οὐ μέντοι αὐτὸν διέφυγον, ἐξαριθμοῦνται γὰρ ἐν 371 καὶ 381-2. Οἱ Ἕλληνες δηλαδὴ καὶ πρὸ τῆς σελήνης ἀνθρώπους γεγονέναι ἐνόμιζον.

*αὐτὰρ ἔπειτα*] = 116.

Οὐρανῷ εὐνηθεῖσα, τέκ' Ὠκεανὸν βαθυδίνην
Κοῖόν τε Κρεῖόν θ' Ὑπερίονά τ' Ἰαπετόν τε
Θεῖάν τε Ῥεῖάν τε Θέμιν τε Μνημοσύνην τε
Φοίβην τε χρυσοστέφανον Τηθύν τ' ἐρατεινήν·
τοὺς δὲ μέθ' ὁπλότατος γένετο Κρόνος ἀγκυλομήτης,

133. *Οὐρανῷ εὐνηθεῖσα*] Ἀρχαϊκῇ καὶ ποιητικῇ ἐλλείψει τῆς *σὺν* προθέσεως (πρβλ. Ἰλ. Β 821. Π 716)· ἡ δὲ λέξις κοσμιωτέρα ἐστὶ τῆς κυρίας *μιχθεῖσα*.

Ὠκεανός ἐστιν, ὡς καὶ Ὅμηρος μαρτυρεῖ, ὁ τὴν γῆν περιρρέων ποταμός, ὃν οἱ ὕστερον λόγιοι μετὰ τοῦ Ἀτλαντικοῦ Ὠκεανοῦ συνέχεον· καίτοι δὲ προσωποποιεῖται, ὅμως προσλαμβάνεται τὸ τῶν ἐπὶ τῆς γῆς ποταμῶν ἐπίθετον *βαθυδίνης*, καθάπερ Ὀδ. κ 511. Ὁ ποιητὴς ἐνθυμεῖται τοὺς τῆς αὐτοῦ πατρίδος ποταμούς, οἳ ὕδασιν οὐρανίοις ἢ καὶ νιφετῶν διαλυομένων ἐξαίφνης μεγάλοι καὶ δινώδεις ῥέουσιν.

134. Τὸ τοῦ *Κοίου* ὄνομα ἔφερον καὶ Ἕλληνες, ὡς δηλοῖ παλαιά τις ἐν Ὀλυμπίᾳ ἀνασκαφθεῖσα ἐπιγραφή (Rœhl, Inscriptiones græcæ antiquissimæ 557), ῥίζα δ' αὐτοῦ φαίνεται ὅτι ἐστὶ (Σ)ΚΟϜ, ἐξ ἧστινος ἐγένοντο κοέω ἢ κοιάω, κοάω (θηρέω), θυο-σκόος, Λαοκόων καὶ ἄλλα ὁμοιοειδῆ ὀνόματα, κοίης (ἱερεὺς Καβείρων, Ἡσύχ.), κούαγμα (Ἡσύχ. σύνθημα), κωάζειν (Ἡσύχ. ἐνεχυράζειν).

*Κρεῖος* δὲ συνᾴδει τοῖς μυστικοῖς θεῶν ὀνόμασιν Ἄνακες καὶ Δέσποιναι, ὧν κατ' ἀναλογίαν ἡ τῶν νεωτέρων δεισιδαιμονία εἰσήγαγε τοὺς εὐφημισμοὺς ἡ (καλὲς) ἀρχόντισσες, ἡ κυράδες (κυράτζες), (ἴδε Κοραῆ Ἄτακτα Β', σ. 258, Δ', σ. 211, Β. Σχμὶδτ περὶ τοῦ ἰδιωτικοῦ βίου τῶν νεωτέρων Ἑλλ. Α', σ. 100 κέ.). Κρεῖος γὰρ οὐδὲν ἄλλο ἂν εἴη ἢ τὸ ἐπικὸν «κρείων» (βασιλεύς).

*Ὑπερίων*] Ἀπὸ τοῦ ὕπερος (superus) = ὁ ἄνω ὤν· τί δὲ ὁ Ἡσίοδος τοῦ Μαιονίδου παρεκκλίνει, ἐν 374 στ. δειχθήσεται.

Τὸ *Ἰαπετοῦ* ὄνομα παρεργότερον ἐτυμολογοῦμεν ἀπὸ τοῦ ἰάπτω (ἵημι) ἤ, ὅπερ πολλοῖς πιθανώτερον, ἀπὸ τοῦ υἱοῦ τοῦ πατριάρχου Νῶε.

135. *Θεῖα*] Μοὶ φαίνεται θηλυκὸν τοῦ *θεὸς* ἐσχηματισμένον τῷ ἐπιθέματι *ιᾰ* (οἷον βασίλεια), *Ῥείας* δὲ τὸ ὁμοιοκατάληκτον ὄνομα, εἴγε Ἑλληνικόν ἐστι, τῶν ῥευμάτων θεὸν σημαίνει. Ἐπειδὴ *τε Ῥεῖαν* κατὰ συναλοιφὴν ὡς τερρειᾶν προεφέρετο, ἰσοδυναμεῖ τρισὶ μακραῖς συλλαβαῖς, καθάπερ καὶ «τέκετο Ῥέα» (Ἰλ. Ο 187 ⏑⏑ – –).

*Θέμις καὶ Μνημοσύνη*] Ἀλληγορίαι μᾶλλον ἢ θεοὶ καλεῖσθαι ἄξιαί εἰσι· περὶ τῆς ἑτέρας ζήτει τὰ ἀνωτέρω (54) ῥηθέντα.

136. *Φοίβη*] Θηλυκὸν τοῦ ἐπιθέτου φοῖβος, ὅπερ ἐν τῇ τοῦ 14 στ. ἐξηγήσει ἡρμήνευται.

*χρυσοστεφάνου*] Πρβλ. 17.

Ὅστις ἂν τὴν τῶν ὀνομάτων διαδοχὴν ἐξετάσῃ, κατανοήσει ὅτι οὐκ ἐκ τοῦ αὐτομάτου γέγονεν, ἀλλὰ υἱοὶ καὶ θυγατέρες διῄρηνται, Κρόνος δὲ ὁ σεβασμιώτατος κεχωρισμένον κατέχει τόπον.

137. Πόθεν ὠνομάσθη ὁ Κρόνος, ἐν ἀφανεῖ κεῖται· εἰ δὲ οἱ παλαιοί, χρόνου θεὸν αὐτὸν συνήθως ὑπολαμβάνοντες, εὐστόχησαν τῆς ἐτυμολογίας, οἱ Κρῆτες, οἵπερ *κρόνος* ἔλεγον ἀντὶ τοῦ *χρόνος*, πρῶτοι, τὴν προσηγορίαν ἐμόρφωσαν. Κρόνος μεμυθολόγηται ὡς νεώτατος ἐγεννήθη τῶν Οὐρανιδῶν, ἐπειδὴ ὁ λαὸς τὸν νεώτατον ἀπὸ πλεόνων — καθέστηκε

δεινότατος παίδων, θαλερὸν δ' ἤχθηρε τοκῆα.
Γείνατο δ' αὖ Κύκλωπας, ὑπέρβιον ἦτορ ἔχοντας,
Βρόντην τε Στερόπην τε καὶ Ἄργην ὀβριμόθυμον·

δὲ ἡ τριάς — ἀδελφῶν φρονιμώτερον καὶ εὐβουλότερον ὑπολαμβάνει τῶν ἄλλων· ἐκ νεωτέρων μὲν παραμυθίων μαρτύρια πολλὰ χορηγεῖ ὁ Πολίτης ἐν τῇ Μελέτῃ (Α', σ. 42), Ἡρόδοτος δὲ ἤδη λόγον Μακεδόνων (8, 137) καὶ Σκυθῶν (4,5) ἀπέγραψεν, ὅπου ἡ αὐτὴ δόξα ἐπικρατεῖ.

*ἀγκυλομήτης*] Ἴδε 19.

138. *θαλερόν*] Τὸν θάλλειν ποιοῦντα, ὡς καὶ ἐπονομάζεται ὑπὸ μὲν Αἰσχύλου (Ἑπτὰ ἐπὶ Θήβ. 708) τὸ πνεῦμα, ὑπὸ δὲ Εὐριπίδου (Βάκχ. 692) ὁ ὕπνος. Ἀντὶ τοῦ *δὲ* μορίου Ἡσίοδος, εἰ ἀκριβέστερον προυθυμήθη ἐκφράσαι τὴν τῶν διανοημάτων πλοκήν, ἐχρήσατο ἂν τῷ *γάρ*· αἰτιολογεῖ γὰρ τὰς ἔμπροσθεν λέξεις.

*ἐχθαίρω*] Ὁμηρικῶς = ἐχθρός εἰμι καὶ μισῶ.

139. *γείνατο*] Γαῖα δηλονότι τῷ Οὐρανῷ, ὅπερ ἐν στ. 147 διαρρήδην βεβαιοῦται.

Οὗτοι οἱ Κύκλωπες ἕτεροι μέν εἰσι τῶν παρ' Ὁμήρῳ, ὃς αὐτοὺς εἰσάγει ὡς ἔθνος, ἕτεροι δὲ καὶ τῶν γιγάντων, οἵτινες τὰ Μυκηνῶν καὶ Τίρυνθος τείχη καὶ τὰς Κυζίκου προκυμαίας καὶ ἄλλα τοιουτότροπα ἐκ λίθων ὑπερμεγάλων ἀνοικοδομῆσαι λέγονται, ἀλλὰ τρεῖς θεοὶ ἢ δαίμονες· καὶ τούτοις δὲ ἐπὶ τοῦ Κορινθιακοῦ ἰσθμοῦ βωμὸς εἱστήκει (Παυσαν. 2, 2, 1). Τὸ τῶν Κυκλώπων ὄνομα, εἰ καί, εἰς *Κύκλωπας* (Πιττάκης, Ἐφημ. Ἀρχαιολ. 1852, φ. 30, σ. 647) ἢ *Κυκλῶπο* (Morosi, Studi sui dialetti greci della terra d'Ottranto p. 22, n. XLV) μεταπεποιημένον, διατελεῖ μέχρι τῆς σήμερον, ὅμως τοῖς χυδαίοις οὐκ ἐκ παραδόσεως γνωστὸν ἂν εἴη, ἀλλ' ἀπὸ τῶν μαθημάτων.

140. Οἱ τρεῖς Κύκλωπες παριστᾶσι τὰ τρία μέρη τοῦ οὐρανίου πυρός, ἀστραπήν (τὸ πῦρ καθ' αὐτό), βροντήν (τὸν θόρυβον), κεραυνόν (τὸ ἐνσκήπτειν), ἅπερ διέκριναν καὶ ὁ Σταγιρίτης (Μετεωρολ. 2, 9, 7), Ἀπολλώνιος ὁ Ῥόδιος (Ἀργον. 1, 510), Διογένης Λαέρτιος (7, 153, ὃν ἔπιθι), Ἀπολλόδωρος (Βιβλιοθ. 1, 2), ὁ λεγόμενος Ἰωάννης Δαμασκηνὸς περὶ δρακόντων (στ. 1601 bc ἔκδ. Migne), Μιχαὴλ ὁ Ψελλός, ὃς εἰδικὸν σύγγραμμα «περὶ τοῦ τῆς ἀστραπῆς πυρὸς καὶ βροντῆς καὶ κεραυνῶν» συνέγραψεν, εἰσέτι δὲ οἱ πολλοὶ ταύτης τῆς διαστολῆς ἔμπειροι διατελοῦσι, τρεῖς διαφόρως μεταχειριζόμενοι λέξεις: ἀστραπή, μπουμπουνιτό, ἀστροπελέκι. *Βρόντης* μὲν οὖν, τοῦ τόνου κατὰ τὸν τῶν κυρίων ὀνομάτων νόμον ἀνεσταλμένου, ταὐτό ἐστι τῷ βροντή, *Στερόπης* δὲ τῷ ἀστραπή, ἀνθ' οὗτινος οἱ ἐπικοὶ καὶ «στεροπή» λέγουσιν, *Ἄργης* δὲ τῷ κεραυνός, ὅτι «ἀργὴς» ἐπίθετον τοῦ κεραυνοῦ (:ἀργῆτα κεραυνὸν Ἰλ. Θ 133 καὶ ἄλλοθι· πρβλ.: Ζεὺς ἀργικέραυνος). Ἡ προσωποποιία αὕτη ὡσαύτως τοῦ δήμου ἔργον ἂν φαίνοιτο τῷ ἀναγινώσκοντι ἢ ἀκούοντι τοὺς στίχους: «Ἐγὼ εἶμαι τσ' Ἀστραψιᾶς παιδὶ καὶ τσῆ Βροντῆς ἐγγόνι» (Βρετοῦ Ἡμερολόγιον 1865, σ. 45) καί: «Ποῦ 'γῶμαι τσ' Ἀστραπῆς ὁ γυιός, τοῦ Βρόντ' ἡ θυγατέρα» (Passow 509, 13), «γυιὸς τῆς Ἀστραπῆς» (Χασιώτης 1866, σ. 138 = Πολίτου Μελέτ. Α', σ. 197)· εἰκὸς μέντοι μᾶλλον ταῦτα πηγάσαι ἐκ τῶν Εὐαγγελίων, Μάρκ. γ', 17: ὁ βροντῆς υἱός, ὅπερ διεφήμισαν ἄλλοι τε καὶ ὁ ἅγιος Χρυσόστομος (π. χ. Ὁμιλ. εἰς Ἰωάνν. 1, 1).

οἳ Ζηνὶ βροντήν τ' ἔδοσαν τεῦξάν τε κεραυνόν·
οἱ δ' ἤτοι τὰ μὲν ἄλλα θεοῖς ἐναλίγκιοι ἦσαν,
μοῦνος δ' ὀφθαλμὸς μέσσῳ ἐπέκειτο μετώπῳ·
Κύκλωπες δ' ἔσαν οὔνομ' ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
κυκλοτερὴς ὀφθαλμὸς ἐῢς ἐπέκειτο μετώπῳ·
ἰσχύς τ' ἠδὲ βίη καὶ μηχαναὶ ἦσαν ἐπ' ἔργοις.
Ἄλλοι δ' αὖ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
τρεῖς παῖδες μεγάλοι τε καὶ ὄβριμοι, οὐκ ὀνομαστοί,

141. Οἱ Κύκλωπες Διὶ ἔδωκαν τὸν κεραυνὸν ἕνεκα τῆς Τιτανομαχίας· ἴδε κατωτέρω 687 κέ.

142. *ἤτοι μέν*] Συμφωνεῖ τῷ ἐν τῷ παρακμάσαντι καὶ νεωτέρῳ Ἑλληνισμῷ *ναὶ μέν*· τὸ γὰρ *ἤτοι* οὐ μετὰ τοῦ *ἤ*, ἀλλὰ τοῦ βεβαιωτικοῦ *ἤ* συντέθειται.

*θεοῖς ἐναλίγκιοι ἦσαν*] Ὡμοίαζον δηλαδὴ ἀνθρώποις, ἐπειδὴ ἡ ἀνθρώπων ψυχὴ φαντάζεται τὸν θεὸν κατὰ τὸ σχῆμα τοῦ ἑαυτῆς σώματος.

143. Ὅμοιοι ἄρα εἰσὶν οἱ Κύκλωπες τῷ παρ' Ὁμήρῳ Πολυφήμῳ· αἰτία δὲ τῆς ἀλλοκότου δοξασίας ὅτι ἡ ἀστραπὴ ἐφαίνετο μαρμαρυγὴ πυρώδους ὀφθαλμοῦ, ὅθεν ποιητής τις ἀνώνυμος παρ' Ἡσυχίῳ τῷ λεξιλόγῳ (λ. ὥσπερ) αὐτὴν ἀπεκάλεσεν «ὀφθαλμὸν Διός». Καίτοι Ἡσίοδος περὶ τῆς τοῦ ὄμματος ἐκλάμψεως σιωπᾷ, οἱ Ζακύνθιοι ὅμως τηροῦσι μνείαν γιγάντων σπινθηροπομπὸν ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου φερόντων, ὡς λέγει Β. Σχμίδτ ἐν τῷ περὶ τοῦ τῶν νεωτέρων Ἑλλήνων βίου σ. 201· κατὰ τὸν αὐτόν, ἐν Ἀραχώβῃ μυθεύουσι περὶ ἀγρίου «ἀμονομμάτου» (σ. 203). Πρβλ. καὶ ἐν «Ἑβδομάδος» τόμ. Γ' (1886), σελ. 95 τὰ περὶ τοῦ «μονοφθάλμου τῶν Κυκλώπων» ὑπὸ Ἰωακεὶμ Βαλαβάνη γεγραμμένα.

144. Τοῦ τῶν Κυκλώπων εἴδους δεδηλωμένου, ἑρμηνεύει διὰ τοῦδε τοῦ στίχου καὶ τοῦ ἑπομένου τὴν πρόσκλησιν αὐτῶν. Πρὸς τὴν σύνταξιν πρβλ. Ὀδυσσ. η 54: Ἀρήτη δ' ὄνομ' ἐστὶν ἐπώνυμον, τ 409: τῷ δ' Ὀδυσσεὺς ὄνομ' ἔστω ἐπώνυμον. Κυρίως ἄρα εἰπεῖν ἔδει: «Τοῖς δ' ἦν ὄνομ' ἐπώνυμον Κύκλωπες». Ἀλλὰ κατ' ἀναλογίαν τοῦ πληθυντικοῦ *Κύκλωπες* προετίμησεν Ἡσίοδος τὸ *ἦσαν*.

145. *ἐΰς*] Ἡ ὑπόνοια· καίπερ μόνος ὤν, ὅμως ἦν ὀξύς. Ἡ καταλήγουσά ἐστι μακρὰ ὡς ἐν τῇ λέξει πάϊς (178) καὶ ἄλλοις ὀνόμασι τῶν αὐτῶν τύπων.

146. *Ἰσχὺς* μὲν καὶ *βίη* ἀνήκουσιν εἰς τὴν τοῦ σώματος ῥώμην, *μηχαναὶ* δὲ εἰς τὸν νοῦν.

148. *ὄβριμοι*] Τῆς αὐτῆς ῥίζης ἐστίν, ἧς βρίθω καὶ βριαρός, σημαίνει λοιπὸν κυρίως τὸ βαρὺ καὶ πιέζον. Τὴν φράσιν *οὐκ ὀνομαστοὶ* ἡμῖν ἐξηγείσθω ὁ θεῖος Σοφοκλῆς, Φιλοκτ. 756 γράψας: «δεινὸν οὐδὲ ῥητόν»· τοσοῦτο δεινοὶ ἦσαν, ὥστε οὐδεὶς τὸ ὄνομα ἐκφωνῆσαι τολμᾷ, ὅπως μὴ ἐπιφαίνωνται ὡς κληθέντες· συνῳδὰ δέ: *οὔτι φατειός* 310. Ἀσπ. 114. 160. *δυσώνυμος* 171 (ζήτει τὰ ἐκεῖ σημειούμενα). Τῷ ὄντι τὰ παιδία, ἂν ἡ μήτηρ καλέσῃ τοὺς Κύκλωπας, ἐνόμιζον εὐθέως τούτων τινὰ φαίνεσθαι καὶ «μορμύσσεσθαι» τὸ ἀπειρόκαλον νήπιον (Καλλιμάχ. Ὕμν. Ἀρτέμ. 67 κέ.). Διὰ τὴν αὐτὴν αἰτίαν οἱ παλαιοὶ τοῖς δεινοτάτοις τῶν θεῶν προσέθεσαν εὔφημα ὀνόματα, π. χ. τῷ Ἅδῃ «Πλούτων» καὶ ταῖς Ἐρινύσι «Σεμναί». Νῦν δὲ ὁ διάβολος ὑπὸ τῶν ψοφοδεῶν ἄλλοις τε πολλοῖς

Κόττος τε Βριάρεώς τε Γύης θ', ὑπερήφανα τέκνα·
τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀίσσοντο
ἄπλητοι, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσι·
ἰσχὺς δ' ἄπλητος κρατερὴ μεγάλῳ ἐπὶ εἴδει.
Ὅσσοι γ' ἂρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
δεινότατοι παίδων, σφετέρῳ δ' ἤχθοντο τοκῆϊ

ὀνόμασι παραφράζεται καὶ δὴ καὶ «ἀμελέτητος» καλεῖται.

149. *Κόττος*] Κρητιστὶ λεγόμενος ἀπὸ τοῦ κόττειν (τουτέστι κόπτειν)] τύπτειν (Ἡσύχ.).

*Βριάρεως*] (Ἀπὸ τοῦ βριαρός, περὶ οὗ ἐν τοῖς ἔμπροσθεν εἴρηται) ὀλίγον διαφέρει τοῦ Βριάρεω, ὃν ἅπαντες ἀπὸ τῆς Α ῥαψῳδίας τῆς Ἰλιάδος ἐγνώκαμεν (στ. 402 κέ.). Ἡσίοδος καὶ δεύτερον περὶ αὐτοῦ ἐρεῖ προϊών (817 κέ.).

**Γύγης*, εἴπερ ἡ γραφὴ αὕτη ὀρθοτέρα ἐστί, συμπαραβλητέον ταῖς Ἡσυχίου λέξεσι: Γυγᾶ] Ἀθηνᾶ ἐγχώριος· γυγαὶ] πάπποι· γυγαίη νὺξ] ἡ σκοτεινή· εἰ δὲ γραπτέον *Γύης*, σχέσιν ἔχει πρὸς γυῖον (μέλος) καὶ γύαλος, περὶ οὗ εἰς τὸν 499 στ. ἐροῦμεν.

150. *τῶν*] οὐκ ἄρθρον ἐστίν, ἀλλ' ἐξήρτηται τοῦ *ὤμων*· εἰς βεβαίωσιν τῆς ἑρμηνείας ταύτης χρησιμεύει τόδε τὸ τῶν Ὀρφέως Ἀργοναυτικῶν χωρίον, (519) παραληφθέν, ὡς φανερόν, ἀπὸ τοῦ Ἡσιόδου: «Ἕξ δὲ *ἑκάστῳ* χεῖρες *ἐξ ὤμων* ἀίσσοντο». *Τὸ ῥῆμα* παρ' Ὁμήρῳ πάντοτε ταχεῖαν σημαίνει κίνησιν· οὐδὲν ἧττον δὲ τρόπον τινὰ τὴν Ἡσιόδειον χρῆσιν συνδέει πρὸς ἐκείνην Ἰλ. Ζ 509: «Ἀμφὶ δὲ χαῖται ὤμοις ἀίσσονται». Ἦ που Ἡσίοδος ἐμφαίνειν βούλεται ὅτι οὐδὲ μίαν στιγμὴν ἡσύχαζον;

Ἡ *ἑκατοντάς* ἐστιν ἀπηρτισμένη ὡς ἐν τοῖς Ὁμηρικοῖς ἐπιθέτοις ἑκατόζυγος (Ἰλ. Υ 247), ἑκατόμβοιος κτλ. πρβλ. τὴν ἐπὶ Πάρου «Ἑκατονταπυλιανὴν» ἐκκλησίαν.

151. *ἄπλητοι*] μὲν Ὁμηρικῶς λέγεται, ἀπέλαστοι δὲ κοινῶς, ᾧ συνώνυμα τὰ νῦν ἐν χρήσει ἀπροσπέλαστος καὶ ἀπλησίαστος· ἐν δὲ τοῖς Ὁμηρικοῖς ποιήμασιν εὑρήσεις τοὺς ὁμοιογενεῖς τοῦ ῥήματος πελάζω τύπους πλῆ-το, ἔ-πλη-ντο, πε-πλη-μένος (Ὀδ. μ 108).

152. *ἐπέφυκον*] Ὑπερσυντέλικος μετὰ καταλήξεως παρατατικοῦ.

*στιβαροῖσι*] Ἔχει συγγένειαν πρὸς τὸ «στιβάς» (κακῶς στοιβάς)· σημαίνει ἄρα τὸ πυκνόν.

153. Οὔτε ἐκμαγεῖον τοῦ 146 στίχου εἶναί μοι δοκεῖ οὔτε περιττόν· εἰπεῖν γὰρ ἐχρῆν ὅτι οὐ σκαιὰ τέρατα ἦσαν· ἡ δὲ ἐπανάληψις τῆς λέξεως «ἄπλητοι» ἦν τῶν ἀδειῶν, εἰς ἃς οἱ παλαιοὶ ποιηταὶ τῶν νεωτέρων προεῖχον· εὑρήσομεν δὲ προϊόντες καὶ ἐν ἄλλοις οὐκ ὀλίγοις χωρίοις (π. χ. Ἀσπ. 71. 143).

*μεγάλῳ ἐπὶ εἴδει*] Βραχυλογικῶς ἀντὶ τοῦ ἐπὶ τῷ μεγέθει καὶ τῷ εἴδει ἤτοι τῇ τῶν μελῶν πολλαπλασιότητι, ὡς καταφαίνεται ἐκ Θ. 619-20, ὅπου τὸ αὐτὸ εἶπεν ἐκφραστικώτερον. Λείπει τὸ ῥῆμα *ἦν*, καθάπερ Ὀδ. ε 236. Εὐριπίδ. Ἰφ. Αὐλ. 456. Ξενοφ. Ἀνάβ. 1, 2, 18. 7, 2, 15. Αἰσχίν. 3, 71.

155. Ἐνταῦθα ὁμοίως ὑπακουστέον *ἦσαν* (πρβλ. Ἰλ. Δ 328. Ε 266. Τ 43. Θουκυδ. 4, 40, 2).

Δεινότατοι λοιπὸν ἦσαν τῶν παίδων

ἐξ ἀρχῆς· καὶ τῶν μὲν ὅπως τις πρῶτα γένοιτο,
πάντας ἀποκρύπτεσκε (καὶ ἐς φάος οὐκ ἀνίεσκε)
Γαίης ἐν κευθμῶνι, κακῷ δ' ἐπετέρπετο ἔργῳ
Οὐρανός. Ἡ δ' ἐντὸς στοναχίζετο Γαῖα πελώρη
στεινομένη· δολίην δὲ κακὴν ἐπεφράσσατο τέχνην.
Αἶψα δὲ ποιήσασα γένος πολιοῦ ἀδάμαντος,

ἁπάντων ὅσοι ποτὲ ἐγένοντο· *διὸ* ὁ πατὴρ αὐτοὺς ἐμίσει.

*ἤχθοντο*] Παθητικῶς ἐκφέρεται· ὁ νοῦς: «ἐχθροὶ ἐγένοντο», ὡς καὶ Ὀδυσσ. ξ 366: ἤχθετο πᾶσι θεοῖσι. Ὁ 138 στ. ἄρα τῷ ἀνὰ χεῖρας οὐχ ὁμοιάζει εἰ μὴ κατὰ τὴν ἐπιφάνειαν· ἀπ' ἐναντίας ἀρίδηλον ὅτι ὁ Ἡσίοδος τὸν μὲν Οὐρανὸν δικαιολογεῖ, τὴν δὲ πρώτην αἰτίαν τῆς διχοστασίας ἐπιβάλλει τοῖς φύσει ἀστόργοις καὶ σκληροῖς υἱοῖς.

156. *ἐξ ἀρχῆς*] Ἀπὸ τῆς γεννήσεως· τοῦτο συμπεραίνομεν ἐκ τοῦ συνδέσμου *ὅπως*, ὃς ἅμα τῷ ἐπιρρήματι *πρῶτα* συνώνυμός ἐστι τοῖς παρὰ τοῖς Ἀττικοῖς «ἐπεί, ἐπειδή, ὡς (τὸ) πρῶτον» (πρὸς τὴν χρονικὴν σημασίαν αὐτοῦ πρβλ. Ἰλ. Λ 459. Μ 208. Ὀδ. γ 373 καὶ ὅσα ὁ Βερναρδάκης ἐσημειώσατο εἰς Εὐριπ. Φοιν. 1467).

157. *πάντας*] Ἕκαστον.

*ἀποκρύπτεσκε*] Τὸν μὲν νοῦν ὁ ποιητὴς σαφηνίζει διὰ τῆς παρενθέσεως, ὁ δὲ τύπος θαμιστικοῦ χρόνου κατὰ τὴν Ὁμηρικὴν διάλεκτον, ὅντινα προώρως οἱ Ἕλληνες ἀπέβαλον· οὐδὲν ἧσσον οἱ Μακεδόνες καὶ οἱ ἐν Πόντῳ καὶ ἐν τοῖς παρὰ τὰ ἀρχαῖα Τύανα χωρίοις, Ἀραβανίῳ, Φερτεκίῳ κτλ. διατελοῦσι μεταχειριζόμενοι κατὰ τὸν παρατατικὸν τὴν κατάληξιν εσκα,-ες,-ε ἢ ισκα,-ες,ε κτλ.

Τῇ παρενθέσει χρῆται Ἡσίοδος καὶ 176 κἑ. 928. Καὶ Ὅμηρος δὲ οὐκ αὐτὴν ὑπεκφεύγει, π. χ. Ὀδ. π 4. 5: «Τηλέμαχον δὲ περίσσαινον κύνες ὑλακόμωροι (οὐδ' ὕλαον!) προσιόντα». Οὐδεμία ἐστὶν ἐποχὴ τῶν Ἑλληνικῶν γραμμάτων, καθ' ἣν οὐκ ἐχρησιμοποίουν τὴν ἄδειαν ταύτην, λ. χ. ὅπως ἀναφέρωμεν παράδειγμα ἐκ τῶν νεωτέρων, ὃ ἐν τῷ Ἐρωτοκρίτῳ (μ. Α', σ. 21, ἔκδ. Βενετ.) ἀπηντήσαμεν: «Καθένας τὸν τραγουδιστὴν ἔστεκε κ' ἀναμένει».

158. *γαίης ἐν κευθμῶνι*] Ἰσοδυναμεῖ τῇ Ὁμηρικῇ φράσει «ὑπὸ κεύθεσι γαίης» (Ἰλ. Χ 422. Ὀδ. ω 204)· ἀμφότεραι γὰρ παράγονται ἀπὸ τοῦ ῥήματος *κεύθω* (καλύπτω), σημαίνουσι δὲ τὰ ἔνδον.

Τὸ κῶλον «κακῷ — ἔργῳ» παρενέπλεξε, ἵνα μὴ δοκῇ συναινεῖν τὸ πρᾶγμα τῷ Οὐρανῷ ὁλοσχερῶς.

159. Τῷ στεινομένη συναπτέον τὸ «ἔνδον». Ἐκεῖνο μετὰ τοῦ στοναχίζετο ἐκ προαιρέσεως παρηχητικὸν σχῆμα ἀποτελεῖ.

*πελώρη*] Πελωρία.

160. *δολίην*] Ἐπειδὴ τὸ *δόλιος* αὐτὸ καθ' αὐτό, καθάπερ ἡ λέξις δόλος Ἀσπ. 30, τοῖς παλαιοῖς οὐκ ἐπιμεμπτότερον ἐδόκει ἢ ἡμῖν τὸ *πονηρός*, προστίθησι «κακὴν» ὅπως δηλώσῃ τὴν τοῦ ἔργου ἀποδοκιμασίαν.

*τέχνην*] Τέχνημα, ὡς ἐν τῇ πολλῇ παρὰ τοῖς παλαιοῖς ψηφισματογράφοις φράσει «οὐδεμιᾷ τέχνῃ οὐδὲ μηχανῇ».

161. *ποιήσασα γένος*] Περιφράζει τὸ κοινῶς «γεννήσασα», πρβλ. Ἰλ. Β 857: Ἀλύβης ὅθεν ἀργύρου ἐστὶ γενέθλη. Ἀριστέα ἀπόσπ. παρὰ Παυσανίᾳ 1, 24, 6: τὸν δὲ χρυσόν, ὃν φυλάσσουσιν οἱ γρῦπες, ἀνιέναι τὴν γῆν. Αἰσχύλ. Προμηθ. 301: τὴν σιδηρομήτορα ἐς αἶαν·

τεῦξε μέγα δρέπανον καὶ ἐπέφραδε παισὶ φίλοισι.
Εἶπε δὲ θαρσύνουσα, φίλον τετιημένη ἦτορ·
«Παῖδες ἐμοὶ καὶ πατρὸς ἀτασθάλου, αἴ κ' ἐθέλητε
πείθεσθαι, πατρός κε κακὴν τεισαίμεθα λώβην
ὑμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα.»
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ἕλε δέος, οὐδέ τις αὐτῶν
φθέγξατο· θαρσήσας δὲ μέγας Κρόνος ἀγκυλομήτης
ἂψ αὖτις μύθοισι προσηύδα μητέρα κεδνήν·
«Μῆτερ, ἐγώ κεν τοῦτό γ' ὑποσχόμενος τελέσαιμι

Σουίδαν ἐν λ. Χάλυβες] ἔθνος Σκυθίας, ἔνθεν σίδηρος τίκτεται.

Ὁ *ἀδάμας* ἢ σίδηρος, ἅτε ἧσσον εὔπλαστος ἢ τὰ ἄλλα μέταλλα ὤν, ἐπονομάζεται κατὰ τὴν Ὁμηρικὴν συνήθειαν πολιός· ἂν τούτῳ τῷ χωρίῳ συγκρίνωμεν Ἔ. 151 καὶ 176, γιγνώσκομεν ὅτι ὁ σίδηρος ὑπὸ τῶν τὸν λαμπόμενον χαλκὸν προτιμώντων Ἑλλήνων πάλαι ποτὲ ὑπελαμβάνετο δυσοιώνιστος· διὸ τὴν γένεσιν αὐτοῦ ἀνέφερον εἰς τὸ πρῶτον ἐν τῷ κόσμῳ γενόμενον κακούργημα.

162. *δρέπανον*] Τὸ ἀρχαιότατον τῶν ἐκ σιδήρου ἐργαλείων ἦν, ὅθεν καὶ ὡς παλαιότατον ὅπλον ἐχρησίμευε· καὶ νῦν ἐν Κύπρῳ οἱ γεωργοὶ τοῖς δρεπάνοις μάχονται.

*ἐπέφραδε*] Ἴδε 74.

164. *ἐμοὶ καὶ πατρός*] Σύνταξις εὔληπτος, τῆς κτητικῆς ἀντωνυμίας ἀντικαθιστάσης τὴν τῆς προσωπικῆς γενικήν.

*ἀτάσθαλος*] Ἡ λέξις διατελεῖ εἰσέτι ἐν Πόντῳ κ.ἀ. (ἄτσαλος=ἄτακτος, ἥτις μορφὴ εὕρηται ἤδη παρὰ Θεοδώρῳ τῷ Προδρόμῳ καὶ Στεφάνῳ Ζαχλικίῳ, ἀτσαλοσύνε) καὶ ἐπὶ τῶν Ἰωνικῶν νήσων (ἀτσαλιά).

165. Ὅτι τὸ *κε κακὴν* κακόφωνόν ἐστιν, οὐδεὶς ἂν ἀρνηθείη· εἰς τὸ αὐτὸ ὅμως λάθος εἰσέπεσεν Ὅμηρος οὐχ ἅπαξ· Ἰλ. Ζ 443: κε κακός, Ὀδ. δ 64: κε κακοί, καὶ τὰ μάλιστα Ὀδ. δ 754: κάκου κεκακωμένον.

*λώβη*] Λύμη, αἰσχρουργία.

166. Ἡ τῶν Ἑλλήνων ἠθικὴ οὐ μόνον ἄμυναν ἀθῳοῖ, ἀλλὰ καὶ ἀντίτισιν συγχωρεῖ· ἵνα ἐκλέξωμεν ἀπὸ πολλῶν γνώμην ἀνδρὸς φιλοσόφου καὶ εὐχρήστου, Ξενοφῶν Σωκράτη τάδε λέγοντα εἰσάγει· «Καὶ μὴν πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι, ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν» (Ἀπομν. 2,3,14).

168. *οὐδέ . . . φθέγξατο*] Κοινῶς: οὐδὲ γρῦ εἶπεν (δὲν ἔβγαλε τσιμουδιά).

*μέγας*] Οὐ δοκεῖ μοι ἐπίτιμον ἐπίθετον, ὡς ἐν 29: μεγάλου Διός, ἀλλὰ ὑλικῶς καὶ τῷ *ὑψηλὸς* συνωνύμως ἀποδεκτέον, ἐπειδὴ οἱ Τιτᾶνες γιγαντείου σχήματος ἐνομίζοντο (πρβλ. Λουκιαν. Πῶς δεῖ ἱστορίαν συγγρ. 23: προσωπεῖον Ἡρακλέους πάμμεγα ἢ Τιτᾶνος. Πολυδεύκ. 6, 142, ὅπου ἐν τοῖς τραγικοῖς προσώποις ἀπαριθμεῖται: Τιτὰν ἢ Γίγας). Ὅθεν καὶ Κρόνον πατέρα τῶν Κυκλώπων καὶ τῶν Ἑκατογχείρων ἐμύθευον.

169. *κεδνήν*] οἷον: μητέρι κεδνῇ Ὀδ. κ 8· αἱ ἐπωνυμίαι κεδνὸς καὶ αἰδοῖος ταῖς κυρίαις εἰς τιμὴν δίδονται.

170. *ὑποσχόμενος*] Ταὐτὸ βούλεται τῷ Ἀττικῶς ὑφίσταμαι ἤτοι ἀναλαμβάνω. Ἴδε καὶ Ἰλ. Κ 39: ὑπόσχηται τόδε ἔργον. 303.

ἔργον, ἐπεὶ πατρός γε δυσωνύμου οὐκ ἀλεγίζω
ἡμετέρου· πρότερος γὰρ ἀεικέα μήσατο ἔργα ».
Ὣς φάτο· γήθησεν δὲ μέγα φρεσὶ Γαῖα πελώρη.
Εἷσε δέ μιν κρύψασα λόχῳ· ἐνέθηκε δὲ χειρὶ
ἅρπην καρχαρόδοντα· δόλον δ' ὑπεθήκατο πάντα.
Ἦλθε δέ, Νύκτ' ἐπάγων, μέγας Οὐρανός, ἀμφὶ δὲ Γαίῃ,
ἱμείρων φιλότητος, ἐπέσχετο καί ῥ' ἐτανύσθη
πάντῃ· ὁ δ' ἐκ λοχεοῖο πάϊς ὠρέξατο χειρὶ
σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλαβεν ἅρπην,
μακρὴν καρχαρόδοντα, φίλου δ' ἄπο μήδεα πατρὸς

171. πρβλ. Ἰλ. Θ 477: σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω. Περὶ τοῦ ἐπιθέτου ἐπαναλαμβάνομεν ὅσα εἰς τὸν 148 στ. ἐσημειωσάμεθα· καὶ τοῦτο καθ' Ὁμηρικὸν ζῆλον εἴρηται (Ἰλ. Ζ 255: υἷες Ἀχαιῶν, Μ 116: μοῖραι Ὀδ. τ 571: ἠώς).

172. Δικαιολογίας ἕνεκα παλιλλογεῖ τὴν τοῦ πατρὸς αἰτίασιν.

173. *φρεσὶ*] Κατὰ τὸν Ὁμηρικὸν πλεονασμόν· καίτοι οὐδὲ ἡ συνήθεια ἀλλοτρίως ἔχει πρὸς αὐτόν, πρβλ. « ἐχάρησαν μέσα τὰ (ἐ)σωθικά μου » (κεῖται ἐν τῇ Κρητικῇ τραγῳδίᾳ Ζήνων πρ. Ε', στ. 98).

174. *λόχος*] Ὁμηρικῶς ἔχει τὴν αὐτὴν δύναμιν τῷ ἐνέδρα, καθάπερ καὶ λοχεὸς 178. Ἡσίοδος φαντάζεται, ὡς ἔοικε, κατάστασιν πραγμάτων, ὁποίαν πάντες, οἶμαι, ἀνέγνωσαν ὑφ' Ἡροδότου (Α', κ. 12) τελειότατα καὶ ἐναργέστατα περιγεγραμμένην.

175. *ἅρπη*] Οὐδὲν διαφέρει τοῦ δρεπάνου (162)· ἡ λέξις παρὰ τοῖς Ποντικοῖς εἰσέτι ὑπάρχει, *χάρπα* προφερόμενον.

Τοῦ *καρχαρόδους* ἀρχέτυποι λέξεις εἰσὶ κάρ-χαρ-ος (πρβλ. χαράσσω καὶ κάρχαι] καρκίνοι Ἡσύχ.)=ὀξὺς καὶ ὀδούς.

176. Παριστάνει λαμπρὸν καὶ ποιήσεως μεστὸν εἰκόνισμα· τῷ ὄντι, τῆς νυκτὸς ἐπερχομένης, ὁ οὐρανὸς ἐπὶ τὴν γῆν καταρρέπειν καὶ αὐτῆς ἅπτεσθαι δοκεῖ· διὰ ταύτην τὴν ἰδέαν τῇ νυκτὶ συνῆπται καὶ ἐν τῇ Ὁμηρικῇ φράσει: « ὀρώρει δ' οὐρανόθεν νὺξ » καὶ ἐν τῇ νεωτέρᾳ « ὁ οὐρανὸς νυχτώνει ». Πρβλ. καὶ τὰ ἀνωτέρω ἐν 126 ῥηθέντα, ἔτι δὲ Ὀρφικόν, ὅστις ποτ' ἦν, ποιητήν, ὃς Ἡσίοδον προσπαθεῖ που διορθῶσαι. Ἀργοναυτ. 515: ὄρφνην δ' ἀστροχίτων' ἔπαγεν μελαναυγέα μήνη.

177. *φιλότητος*] Ἴδε 125.

*ἐπέσχετο*]=ἔθιγε (Ἀπολλών. Ῥόδ. Ἀργον. 4, 1607). Περὶ τῆς παρενθέσεως εἴρηται ἐν τῷ εἰς 157 σχολίῳ.

178. *πάντη*]=Περὶ πάντα 127.

*Λοχεοῖο* (πρβλ. 174) παρὰ τὸ ῥῆμα λοχεύω ὡς φωλεὸς παρὰ τοῦ φωλεύω.

*πάϊς*] Τροχαϊκῶς, πρβλ. 746. Ἔ. 376. Ἰλ. Χ 92.

*ὠρέξατο*] Τί ὑπακουστέον, δηλοῖ ὁ 180 στ.

180. *φίλου*] Τὸ ἐπίθετον, καίτοι παρὰ τοῖς ἐπικοῖς συχνάζον, ἐνταῦθα οὐκ ἀσήμαντον ἂν εἴη, ἀλλ' ἐλέγχει, οἶμαι, τὸ παρὰ φύσιν ἔργον τοῦ υἱοῦ.

*μήδεα*] Ἀντὶ τοῦ ὁμοιοφώνου *μέζεα*, ὅπερ παρὰ τοῖς παλαιοῖς τὰ γεννητικὰ μόρια ἐσήμαινεν· εὐφημισμὸς τὸ σχῆμα. Κατὰ τὸν αὐτὸν τρόπον ἀντὶ βινέω ἔλεγον κινέω.

ἐσσυμένως ἤμησε, πάλιν δ' ἔρριψε φέρεσθαι
ἐξοπίσω. Τὰ μὲν οὔτι ἐτώσια ἔκφυγε χειρός·
ὅσσαι γὰρ ῥαθάμιγγες ἀπέσσυθεν αἱματόεσσαι,
πάσας δέξατο Γαῖα· περιπλομένων δ' ἐνιαυτῶν,
γείνατ' Ἐρινῦς τε κρατερὰς μεγάλους τε Γίγαντας,
τεύχεσι λαμπομένους, δολίχ' ἔγχεα χερσὶν ἔχοντας,
Νύμφας θ', ἃς Μελίας καλέουσ' ἐπ' ἀπείρονα γαῖαν.

181. *ἤμησε*] Τὴν ἀγροικικὴν ταύτην λέξιν προέκρινεν ὁ ποιητὴς τοῦ δρεπάνου χάριν. Περιττόν που ἄρα ἀντιπαραβαλεῖν τὸ Σοφόκλειον (Αἴ. 238-9)· «τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν ῥίπτει *θερίσας*», ἢ τὸ κατ' Ἀρίσταρχον Ὁμηρικὸν (Ἰλ. Σ 34): «λαιμὸν ἀπαμήσεις».

Ὅτι τὸ *πάλιν* οὐκ ἐπὶ χρόνου, ἀλλ' ἐπὶ τόπου ἐκληπτέον, τὸ προσὸν *ἐξοπίσω* διαβεβαιοῖ. Οὐκ ἀμούσως τοῦτο εἶπεν. Κρόνος λοιπὸν αὐτός, τὴν πρᾶξιν διατελέσας, φρικιᾷ.

182. *ἐτώσια ἔκφυγε χειρός*] Ἡ φράσις ἐνταῦθα οὐ πάνυ εὐαρμοστεῖ· αἰτία δὲ ὅτι Ἡσίοδος αὐτὴν ἐδανείσατο παρ' Ὁμήρου. Ἰλ. Ξ 407=Χ 292: ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός.

*ἐτώσια*] Παρὰ τὸ ἐτός=μάτην.

183. *ῥαθάμιγγες*] Σταγόνες παρὰ τὸ ῥαθαμίζω=ῥαίνω.

*ἀπέσσυθεν*] γ' πρόσ. πληθ. ἀορ. παθ. τοῦ σεύομαι· τῷ μὲν γὰρ παθητικῷ τούτῳ οἱ ἐπικοὶ χρῶνται ἐπὶ ἔργων (ἴδε καὶ 859), τῷ δὲ μέσῳ *ἀπέσσυτο* ἐπὶ ἀνθρώπων.

184. *πάσας*] Κατὰ Δωρικὴν συστολὴν (– ∪).

*περιπλομένων ἐνιαυτῶν*] Συνᾴδει τῷ *πουλὺν χρόνον* 190. Ἐκείνη ἡ Ὁμηρικὴ λέξις περιφραστικῶς διευκρινεῖται ἐν τῇ Α' περὶ Διγ. Ἀκρίταν ῥαψῳδίᾳ (στ. 1030-1, ἔκδ. Miller)· ἐξ ἐκείνων τῶν χρόνων τῶν κυκλόθεν τοῦ οὐρανοῦ «τρεχόντων δι' ἡλίου». Ἀναλόγως οἱ Ἕλληνες νῦν ἐπὶ τοῦ καιροῦ τὴν λέξιν «γύρισμα» μεταχειρίζονται: «Ἔχει ὁ καιρὸς γυρίσματα καὶ ὁ μῆνας ἑβδομάδες» (Ἀραβαντινοῦ παροιμιαστήριον ἀρ. 405).

185. Αἱ τιμωρητικαὶ θεαὶ φυσικῶς ἀποβαίνουσιν ἐκ τοῦ πρώτου φόνου, ὅπερ ὑποδηλοῖ Αἰσχύλος ἐν Ἀγαμέμνονι (1145-6=1192-3): «Ὑμνοῦσι δ' ὕμνον δώμασιν προσήμεναι πρώταρχον ἄτην».

Ἡ λέξις *κρατερὸς* τὴν σημασίαν ἔχει πολὺ σφοδροτέραν τῆς *ἰσχυρός*, μᾶλλον δὲ βίαιόν τι ἐμφαίνει. Ἡσίοδος περὶ τούτων τῶν φοβερῶν δαιμόνων ὅσον δυνατὸν ὀλίγιστα λέγει, ἐπειδὴ καὶ αὐταὶ «οὐκ ὀνομασταί».

*Μεγάλους τε γίγαντας*] Ἴδε 50.

186. Οἱ Γίγαντες πρὸ τοῦ Φειδίου αἰῶνος ἀείποτε (π. χ. ἐπὶ τῶν περιωνύμων ἐν Σελινοῦντι μετοπῶν) ἐξωπλισμένοι ἀπεικονίζοντο· ὕστερον δέ, ὅπερ ἡμεῖς παρὰ τῶν διδασκάλων μανθάνειν εἰώθαμεν, ἐλέγετο ὅτι ὄφεων πόδας εἶχον καὶ πέτρας κατὰ τῶν ἀντιπάλων ἔρριπτον. Ἐξ αἵματος σταγόνων φύονται, διότι ἄγριοί εἰσι καὶ αἱμόδιψοι. Ἂν δὲ μὴ σφαλλώμεθα, καὶ αὐτίκα ἐν ὅπλοις ἐκ τῆς γῆς ὥσπερ οἱ ἐν Θήβαις Σπαρτοί. Καὶ τοῦτον τὸν στίχον ἠρύσατο ἐκ τῶν Ὁμηρικῶν ποιημάτων (Ἰλ. Σ 510: τεύχεσι λαμπόμενοι, Δ 533: δολίχ' ἔγχεα χερσὶν ἔχοντες).

187. *Μελίαι*] Νύμφαι τῶν μελιῶν

Μήδεα δ' ὡς τὸ πρῶτον, ἀποτμήξας ἀδάμαντι,
κάββαλ' ἀπ' ἠπείροιο πολυκλύστῳ ἐνὶ πόντῳ,
ὣς φέρετ' ἂμ πέλαγος πουλὺν χρόνον, ἀμφὶ δὲ λευκὸς
ἀφρὸς ἀπ' ἀθανάτου χροὸς ὤρνυτο· τῷ δ' ἔνι κούρη

(fraxinus ornus L.), ἃς νῦν *φράξους* ὀνομάζουσιν, ἀλλὰ καὶ μελιός ἢ μέλεγος (Τσακωνικῶς μέλεγο). Αὗται αἱ Μελίαι μνημονεύονται καὶ Καλλιμάχ. Ὕμν. εἰς Δία 47, εἰς Δῆλον 79 - 81 (:νύμφη αὐτόχθων Μελίη . . . . ἥλικος ἀσθμαίνουσα περὶ δρυός). Ἀπολλ. Ῥόδ. Ἀργον. 2, 4. 7. Νόνν. Διονυσ. 14, 212 (:συμφυέες Μελίαι δρυὸς ἥλικος, πρβλ. 16, 230. 245). Τὸ ὄνομα εἶχον, ὡς Εὐστάθιος γράφει (Παρεκβ. εἰς Ἰλ. σ. 1210: 39 κἑ.), «καθ' ὁμωνυμίαν τῶν δένδρων, οἷς μυθικῶς ἔχαιρον ἐκεῖναι» (ὁμοίως Σχολ. Ἀπολλ. Ῥοδ. 2, 4 καὶ ὁ πρὸς τὸ ἀνὰ χεῖρας χωρίον σχολιαστής) καὶ ὁμογενεῖς ἦσαν Ἐλαιῶν (Ὕμν. Ὁμηρ. 5, 23), Ἀγρωστινῶν (Ἡσύχ.), Ῥοιῶν καὶ Μαλιάδων (Εὐστάθ. Ὀδυσ. η 115), ἔτι δὲ Αἰγείρου, Ἀμπέλου, Βαλάνου, Δάφνης, Ἑλίκης (=ἰτέας), Καρύας, Κρανείας, Συκῆς, Φιλύρας (τὰ τῶν παλαιῶν μαρτύρια οὐ παρατίθεμεν, διότι αὐτὰ συνέταξε Σχοιμάννιος ἐν τῷ τῶν συγγραμματίων τ. Β', σ. 128 ὑποσημ. 5) Μελία δέ, κατὰ τὸν ἑνικὸν ἀριθμόν, ὑπὸ τῶν Θηβαίων ἐλατρεύετο (Σχόλ. Πινδάρ. Πυθ. 11, 4 καὶ ἄλλοι, οὓς ἀναφέρει Οὔγγερος ἐν Θηβαϊκοῖς Παραδόξοις σ. 227 κἑ. Ὁ ἀκριβέστερον φιλοσοφεῖν βουλόμενος τὴν ἰδιάζουσαν τῶν Δρυάδων πρὸς τὰ δένδρα σχέσιν ἐπίτω ὅσα ἐν τῷ Ὁμηρικῷ εἰς τὴν Ἀφροδίτην Ὕμνῳ (στ. 265 κἑ.) διαπρεπῶς περὶ αὐτῆς εἴρηται, καὶ δὴ τὸν ἀναζητοῦντα λεπτότερα διανοήματα ἑστιάσει Καλλίμαχος ἐν τῷ εἰς Δῆλον Ὕμνῳ (83-85). Τὸ δὲ κεφάλαιον, Ἡσίοδος ταύτας τὰς Νύμφας εὐσυνέτως γενεαλογεῖ· αἱ γὰρ μελίαι προυξένουν τὰ δοράτων ξυστὰ ἤτοι τὰ σπουδαιότατα τῶν πολεμικῶν ὅπλων· ὅθεν πολλάκις ἐν ταῖς ἐποποιίαις μνημονεύονται. Ἐκλέγομεν οὐχὶ πλέον ἢ δύο ἐπίσημα χωρία, ἐξ ὧντινων μάλιστα ἡ Ἡσιόδου ἔννοια καταφαίνεται. Ἰλ. Π, 143 ὅπου λόγος γίνεται περὶ τῆς Πηλιάδος μελίας, ἣν Χίρων Πηλεῖ ἔδωκε «*φόνον* ἔμμεναι ἡρώεσσι» καὶ Ἀσπ. 420: ἀνδρο*φόνος* μελίη.

*ἐπ' ἀπείρονα* (παρὰ τὸ πέρας=ἀπέραντος) *γαῖαν*] Φράσις Ὁμηρική, ἀνθ' ἧς πεζῇ ἂν γράψειέ τις: «πάντες ἄνθρωποι».

188. Τί τῇ ἐρασμίᾳ Ἀφροδίτῃ καὶ τοῖς ὠμοῖς δαιμονίοις ἐκείνοις; Ἐνῷ ταῦτα δι' ἠθικοὺς λόγους ἐγενεαλόγησεν ἀπ' Οὐρανοῦ, Ἀφροδίτη ἔλαβε τοῦτον τὸν τόπον παρὰ τῶν ἐτυμολόγων, ἕνεκα τῶν ἐπιθέτων δῆθεν *Οὐρανία* καὶ *Φιλομμηδής* (ἴδε 200).

*μήδεα*] Ἴδε 180.

*ὡς τὸ πρῶτον*]=ὅπως πρῶτα 156.

*ἀποτμήξας*] Μετοχὴ τοῦ ῥήματος *ἀποτμήγω*, ὅπερ συνώνυμον τῷ ἀποτέμνω.

*ἀδάμαντι*] (Ἴδε 161) ὥσπερ χαλκὸς καὶ σίδηρος, μετωνυμικῶς ἐπὶ τῶν ἐξ αὐτοῦ ἀντικειμένων ἐκφέρεται.

189. *κάββαλε*]=κατ(ά)-βαλε· ὑποκείμενον δέ ἐστι Κρόνος.

*ἠπείροιο*] Τὸ πρᾶγμα συνέβη ἐπὶ τῆς γῆς, πρβλ. 176 κἑ. 183 κἑ.

*πολυκλύστῳ*] Πολὺ κλυδωνιζομένῳ.

190. *ἂμ*] Ἀνά, κατ' ἀποκοπήν.

191. *χρώς*] Σημαίνει ἐνταῦθα μέρος τοῦ σώματος· παράθες ὅσα εἰς 5 στ. περὶ τῆς λέξεως ταύτης ἐσημειώθησαν.

ἐθρέφθη· πρῶτον δὲ Κυθήροισι ζαθέοισι
ἔπλητ', ἔνθεν ἔπειτα περίρρυτον ἵκετο Κύπρον.
Ἐκ δ' ἔβη αἰδοίη καλὴ θεός, ἀμφὶ δὲ ποίη
ποσσὶν ὕπο ῥαδινοῖσιν ἀέξετο· τὴν δ' Ἀφροδίτην
ἀφρογενέα τε θεὰν καὶ ἐϋστέφανον Κυθέρειαν
κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ' ἐν ἀφρῷ

192. *ἐθρέφθη*] Ἰσοδύναμον τῷ ἐγεννήθη, καθάπερ καὶ ἐν 107· ἐν τῷ προκειμένῳ στίχῳ διὰ τοῦτο ἁρμοδιώτατα μεταχειρίζεται, ἐπειδὴ Ἀφροδίτη εὐθὺς ἐνῆλιξ ἀναφαίνεται.

*Κύθηρα*] Κεῖται πρὸς μεσημβρίας τῆς Λακωνικῆς καὶ ἦν ποτε ἕδρα τῆς Ἑλληνικῆς λατρείας τῆς θεοῦ ταύτης.

*ζαθέοισιν*] Ἐπειδὴ ἡ νῆσος τῆς Ἀφροδίτης ἦν ἱερά, πρβλ. 2.

193. *ἔπλητο*] Ἐπλησίαζεν, ἴδε 151. Ἁρμονικῶς ὁ Ἡσίοδος προθυμεῖται συμβιβάσαι τὰς ἀξιώσεις τῶν Κυθηρίων καὶ τῶν Κυπρίων, ὅπερ ἀμφότεροι διισχυρίζοντο ὅτι ἐπὶ τὴν αὐτῶν νῆσον πρῶτον ἀνέβη ἡ τοῦ Ἔρωτος μήτηρ. Ἡρόδοτος γοῦν, ᾧ ἕπεται Παυσανίας (3, 23, 1), τὸ ἐν Κυθήροις ἱερὸν ἐνόμισεν ἀρχαιότερον (1, 105). Ἡσίοδος ὅμως τούτῳ οὐδὲν προτέρημα ἀπονέμει εἰ μὴ τὸ ὅτι εἶδε τὴν νῆσον ἡ θεὸς πρώτην πασῶν χωρῶν.

194. Ἡ Γῆ φαίνει τὴν αὐτῆς χαράν, ἄνθη ἀναθάλλουσα ὥσπερ ὅτε Ζεὺς καὶ Ἥρα συνῆλθον (Ἰλ. Ξ 347-8): «Τοῖσι δ' ὕπο χθὼν δῖα φύεν νεοθηλέα ποίην, λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον». Οὐδὲ ὁ μεσαιὼν ταύτης τῆς πανθεϊστικῆς ἰδέας ἄθικτος ἔμεινε, πρβλ. Διγεν. Ἀκρίταν Β', 1376: ἡ γῆ μὲν ἔχαιρε καὶ ἔθαλλε τῇ τέρψει. Μᾶλλον δὲ ὁμοιάζει τῷ Ἡσιοδείῳ χωρίῳ δίστιχόν τι ἐρωτικόν: «Ἄσπρα λουλούδια φύτρωσαν ἀπ' τὴν περπατησιά σου». (Ἀραβαντ. Συλλ. σ. 301 δίστ. 5), ἔτι δὲ ἕτερόν τι: «Θαυμάζομαι, σὰν περπατεῖς πῶς δὲν ἀνθοῦν ἡ ῥοῦγες». Τῇ δὲ ἀναχωρούσῃ νύμφῃ εὔχονται· «Ὅθεν περάσῃς νἄβγουνε τριαντάφυλλα καὶ ῥόδα» (Ζαμπέλιος, Πόθεν ἡ κοινὴ λέξις τραγουδῶ; σ. 46), ὅπερ καὶ ἀναπολεῖ ὁμοιότατον Γρηγορίου τοῦ Ναζιανζηνοῦ χωρίον· «Πᾶσα μὲν ὑμετέροισιν ἐπίτροχος αἶα πέλοιτο ποσσὶν ἐπειγομένοισι καὶ ἄνθεα καλὰ φύοιτο». Κατ' ἰδίαν ὁ ἀνθινὸς χαιρετισμὸς πρέπει, εἴπερ τινί, τῇ Ἀφροδίτῃ, ἣν «ἄνθειαν» ἢ «ἱεροκηπίδα» ἢ «ἐν κήποις» προσωνόμασαν.

195. *ῥαδινοῖσι*] (Ὕμν. εἰς Δήμητρα 183, παρὰ δ' Ὁμήρῳ πρόσκειται μόνον τῇ ἱμάσθλῃ (Ἰλ. Ψ 583), συγγενὴς οὖσα ταῖς λέξεσι ῥάδαμνος καὶ ῥάδιξ (κλάδος), ἀντιστοιχεῖ τῇ ἡμετέρᾳ *λυγερή* (παρὰ τὸ λύγος)· ἡ προηγουμένη πρόθεσις τροχαῖον ἀποτελεῖ, διότι ἡ λέξις πρῴην ἤρχετο ἀπὸ δίγαμμα, ὅθεν παρὰ Σαπφοῖ (Ἀπόσπ. 90. 104) Αἰολικῶς *βράδινος* κεῖται.

196. *ἀφρογενέα*] Ἐπαναλαμβάνει ἐμφαντικῶς τὴν ἐτυμολογίαν. Διαφωνεῖν μὲν ἔξεστι περὶ αὐτῆς πρὸς τὸν ποιητήν, οὐχ ἧττον δὲ πιθανή ἐστιν ἡ ἡ ἀπὸ Ἀσιατικῆς γλώσσης παραγωγή.

*τε*] Προσάπτει τὴν τοῦ ὀνόματος ἑρμηνείαν, καθὼς οἱ γραμματικοὶ κατὰ βραχυλογίαν τῇ ἀδήλῳ λέξει τὴν κοινὴν διὰ τοῦ συνδέσμου *καὶ* συνέδεον.

196. *Κυθέρεια* καὶ *Κύπρις* εἰσὶν αὐτοτελῆ ὀνόματα.

197. Ἐκ μαρτυρίων Ὁμηρικῶν (Ἰλ. Α 403. Β 813. Ξ 291. Υ 74. Ὀδ. κ 305. μ 61) συμπεραίνεται ὅτι κατὰ τοὺς παλαιοτάτους χρόνους οἱ Ἕλληνες τοῖς

θρέφθη, ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις,
Κυπρογενέα δ', ὅτι γέντο πολυκλύστῳ ἐνὶ Κύπρῳ,
ἠδὲ φιλομμηδέα, ὅτι μηδέων ἐξεφαάνθη.
Τῇ δ' Ἔρος ὡμάρτησε καὶ Ἵμερος ἕσπετο καλὸς
γενομένῃ τὰ πρῶτα θεῶν τ' ἐς φῦλον ἰούσῃ.
Ταύτην δ' ἐξ ἀρχῆς τιμὴν ἔχει ἠδὲ λέλογχε
μοῖραν ἐν ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
παρθενίους τ' ὀάρους μειδήματά τ' ἐξαπάτας τε

θεοῖς προσῳκείωσαν διάλεκτον, ὡς εἰπεῖν, Ἑλληνικῆς γλώσσης, καθόσον ἐν ταῖς θεολατρείαις βεβαίως ἐσῴζοντο λέξεις ἀφανισθεῖσαι ἐκ τῆς κοινῆς συνηθείας.

198. *ἀτὰρ Κυθέρειαν*] Ἐπεμβάλλει σαφηνείας χάριν, ἀλλ' ἱκανὸς ἂν ἦν ὁ σύνδεσμος *καί*, διότι πᾶς τις γινώσκει ὅτι ἡ μὲν προτέρα αἰτιολογικὴ γνώμη ἀνήκει εἰς τὸ πρότερον μέρος τοῦ 196 στ., ἡ δὲ δευτέρα πρὸς τὸ δεύτερον.

*προσέκυρσε*] Παρὰ τὸ προσκυρέω = ἔπλητο 193.

199. Τὸ σπανιώτερον *Κυπρογενὴς* ἐξελέξατο ἀντὶ τῶν ἐν τῇ συνηθείᾳ *Κυπρογένεια* καὶ *Κύπρις*, ἵνα γένηται ὡς καταδηλοτάτη ἡ ἐτυμολογία. Ταύτης χάριν καὶ *γέντο* (= γένετο, κατὰ κανόνα ἀρχαιότερον, φωνήεντος συνδετικοῦ στερούμενον) ἐνταῦθα κεῖται, εἰ καὶ μὴ ἐγεννήθη ἡ Ἀφροδίτη ἐν Κύπρῳ· ἐν τούτοις τὸ ῥῆμα γνωστὸν ὅτι μετὰ τῆς *ἐν* προθέσεως συνώνυμον τῷ *ἐλθεῖν* ἦν.

*περικλύστῳ* = περίρρυτον 193. πρβλ. πολύ-κλυστος 189.

200. Νῦν δὴ ἐμφαίνει τὴν αἰτίαν, δι' ἣν Ἀφροδίτην, ἣ καθ' Ὅμηρον ἀπὸ Διὸς καὶ Διώνης ἐγένετο, οὐκ ἀξιοτίμως προερχομένην εἰσάγει ἐκ τῶν μηδέων ἤτοι αἰδοίων τοῦ Οὐρανοῦ· ἐπειδὴ γὰρ οἱ μὴ Ἴωνες Ἀφροδίτην ἐπωνόμαζον οὐχὶ *φιλο(μ)μειδῆ* (ὡς ἀρεσκομένην μειδιάμασι, πρβλ. Ὑμν. Ὁμηρ. 14, 2, 3: ἐφ' ἱμεριῷ δὲ προσώπῳ αἰεὶ μειδιάει), ἀλλὰ *φιλο(μ)μηδῆ*, ὥσπερ καὶ τὸ ῥῆμα φέρεται παρ' Ἡσυχίῳ· *μηδιᾷ*] γελᾷ· ὅθεν οἱ ἄγροικοι, τοῦ Πλατωνικοῦ ἔρωτος ὄντες ἀμύητοι, τὴν λέξιν ἠτυμολόγουν ἀκομψότερον.

*ἐξεφαάνθη*] Ὁ παθητικὸς ἀόριστος τοῦ ῥήματος *φαείνω* (= φαίνω) κατὰ μὲν τὸν κανόνα ἔχει· *ἐφαένθη*, Ὁμηρικῶς δὲ ἐξομοιοῦται τὸ *ε* πρὸς τὸ *α*.

201. Περὶ τῆς τοῦ Ἱμέρου (ἰδὲ 64) γεννήσεως σιωπᾷ· διπρόσωπος γάρ ἐστι τοῦ Ἔρωτος, διὸ Ἀντίπατρος ὁ Σιδόνιος (Ἀνθολογ. Πλανοὐδ. 167, 3) τὸν διάσημον τοῦ Πραξιτέλους Ἔρωτα μνημονεύει ὡς «τὸν ἐνὶ Θεσπιάδαις γλυκὺν *Ἵμερον*».

202. *τὰ πρῶτα*] ἤτοι ἅμα τῇ γεννήσει. *θεῶν ἐς φῦλον*] ἐννοεῖ κατὰ τὴν στενωτέραν σημασίαν τοὺς Ὀλυμπίους θεούς.

203. *ταύτην*] Διασαφεῖται τοῖς ἑπομένοις (205-6).

204. *μοῖραν*] Πρόσθεσίς ἐστι τῆς πρώτης αἰτιατικῆς. Οὐκ αἰνίττεται τὴν ἐν 882 κἑ. μνημονευθησομένην τῶν τιμῶν διανέμησιν, ὡς ἐξάγεται ἐκ τῶν λέξεων *ἐξ ἀρχῆς*· ἄλλοι δὲ ταύτην «*Διὸς πάρα* μοῖραν» ἔχουσιν (347).

205. *παρθενίους τ' ὀάρους*] Κοινῶς *χάδια* ἢ *χαϊδεύματα*, πρβλ. Ἰλ. Χ 129: παρθένος ἠίθεός τ' ὀαρίζετον ἀλλήλοιιν, Ζ 516: ἢ ὀάριζε γυναικί.

*ἐξαπάτας*] Ἐπειδὴ Ἀφροδίτη «ἀπατᾷ» (Ὑμν. Ὁμηρ. εἰς Ἀφροδίτ. 7).

τέρψιν τε γλυκερὴν φιλότητά τε μειλιχίην τε.
Τοὺς δὲ πατὴρ Τιτῆνας ἐπίκλησιν καλέεσκε
παῖδας νεικείων μέγας Οὐρανός, οὓς τέκεν αὐτός·
φάσκε δὲ τιταίνοντας ἀτασθαλίῃ μέγα ῥέξαι
ἔργον, τοῖο δ' ἔπειτα τίσιν μετόπισθεν ἔσεσθαι.
*Νὺξ* δ' ἔτεκε στυγερόν τε Μόρον καὶ Κῆρα μέλαιναν

Ζεὺς λοιπόν, τὸ λεγόμενον, τοὺς τῶν ἐρώντων ὅρκους οὐκ ἀκούει.

206. *τέρψιν*] Ἑρμηνευτέον διὰ τοῦ τῆς Ὀδυσσείας στίχου (Ψ 300): φιλότητος ἐταρπήτην ἐρατεινῆς, ὡς καὶ

*μειλιχίην* ἐκ τῆς τοῦ 10 (9) Ὁμηρικοῦ ὕμνου ἀρχῆς: «Κυπρογενῆ Κυθέρειαν ἀείσομαι, ἥτε βροτοῖσι μείλιχα δῶρα δίδωσι».

207. Ἀναλαμβάνεται ἡ ἐν στ. 182 διακοπεῖσα ἀφήγησις.

*Τοὺς* μὲν σημαίνει τοὺς Οὐρανίδας, *πατὴρ* δὲ τὸν Οὐρανόν· ἵνα δὲ ἀκριβέστερον εἴπωμεν, ἐκ τῶν στ. 133-37 ἀπηριθμημένων παίδων τὸ τῶν Τιτάνων ὄνομα ἀποδίδοται τοῖς πρὸς Δία πολεμήσασι, διὸ τούτου ἀμοιροῦσιν Ὠκεανὸς καὶ αἱ Οὐρανοῦ θυγατέρες, ἔτι δὲ οἱ Ἑκατόγχειρες καὶ Κύκλωπες.

*ἐπίκλησιν καλέεσκε*] Κατὰ τὴν Ὁμηρικὴν φράσιν «ἐπίκλησιν καλέουσιν» ἐσχημάτισται· οὐδενὸς ἧττον δὲ καθ' ὅλην τὴν σημασίαν τῆς λέξεως *ἐπωνόμασεν* ἐκείνους Τιτᾶνας, ἐπειδὴ τὸ ὁλοτελὲς ὄνομα *θεοὶ Τιτῆνες* (630=648=668. 729).

208. *νεικείων*] Ὑβριστικῶς καθ' Ὅμηρον.

*οὓς τέκεν αὐτός*] Ὑπομέμφεται τοὺς τοῦ Οὐρανοῦ παῖδας, οἵπερ ᾔκισαν τὸν ἴδιον αὐτῶν πατέρα.

209. Ταύτης τῆς ἐτυμολογίας ἕνεκα ὁ ποιητὴς ἐπιρρίπτει τὴν αἰτίαν εἰς τοὺς Τιτᾶνας ἅπαντας. Οὐκ εὐστοχωτέρα φαίνεται ἡ παραγωγὴ ὑπὸ τὴν γραμματικὴν ἔποψιν· εἰ γὰρ καὶ ἡ τῆς πρώτης συλλαβῆς διέκτασις δικαιολογεῖται τῷ Ὁμηρικῷ πιφαύσκω (Ἰλ. Κ 478, 502. Σ 500), ἡ τῆς σημασίας μετὰ τοῦ πράγματος συμπλοκὴ ἐπιτετήδευται. Τὸ *τιταίνω*, ἀναδεδιπλασμένος τύπος τοῦ *τείνω* ὄν, συνωνυμεῖ τυχὸν (πρβλ. Ἰλ. Ψ 403) τῷ μέσῳ *τιταίνομαι*, ἀνθ' οὗ οἱ πεζογράφοι χρῶνται τῷ *ἐντείνομαι*. Μικρὰ ἡ αἰτιολογία τῆς ἐπινοίας ταύτης, ὑποδεικνυομένη ἐν τῷ ἐπιθέτῳ *μέγα* (ἔργον).

210. Τῇ ἐτυμολογίᾳ ἐπισυνάπτει παρονομασίαν, τὴν μέλλουσαν τιμωρίαν (*τίσιν*) παριστάνων. Ἐν στ. 463 κἑ. τὴν ἀπειλὴν ταύτην λεπτομερέστερον πραγματεύεται. Οὐρανὸς οὐκ ἀποθνήσκει (ἴδε στ. 470), ἀλλ' ἐκτμηθεὶς οὔτε γεννᾶν δύναται οὔτε βασιλεύειν.

*211—232* περιέχουσι *τὸ τῆς Νυκτὸς γένος*. Ὁ ποιητὴς τὸ τοὺς θεολόγους καὶ φιλοσόφους ἅπαντας ἀπασχολοῦν ζήτημα πῶς τὸ κακὸν εἰσῆλθεν εἰς τὸν κόσμον λύειν προθυμεῖται διττῶς, ἐνταῦθα μὲν γενεαλογικῶς καὶ ἠθικῶς, διὰ δὲ τῆς περὶ Πανδώραν μυθοποιΐας σκωπτικῶς. Πρὸς μὲν τὸ γενεαλογικόν, ἡ Νὺξ τῷ ἐν φωτοδρύτῳ γῇ διαιτωμένῳ Ἕλληνι δυσοιώνιστος καὶ ἀνησυχίας πρόξενος οὖσα, φαίνεται πάντων κακῶν προστάτις· ὅθεν εἰσέτι ὁ Κρὴς ὡς φοβερώτατον λοιδόρημα ἐκφωνεῖ: «Τῆς νυχτὸς ἀγριόπουλο» (ἴδε τῆς τραγῳδίας «Ζήνων» πρ. Α', στ. 137). Πρὸς δὲ τὸ ἠθικόν, τὴν τῶν κακῶν γένεσιν παράγει ἀπὸ τοῦ πρώτου κακουργήματος, ὥστε ἐπικρατεῖ ἡ αὐτὴ ἰδέα ἐνταῦθα καὶ ἐν στ. 183—187.

Τὸ φθαρτὸν τοῦ ἀνθρώπου ὑπὸ τρία

καὶ Θάνατον, τέκε δ' Ὕπνον, ἔτικτε δὲ φῦλον Ὀνείρων·
(οὔτινι κοιμηθεῖσα θεὰ τέκε Νὺξ ἐρεβεννή)·
δεύτερον αὖ Μῶμον καὶ Ὀϊζὺν ἀλγινόεσσαν,
Ἑσπερίδας θ', αἷς μῆλα πέρην κλυτοῦ Ὠκεανοῖο

πρόσωπα παρίσταται, Μόρον στυγερὸν ἢ τὴν πεπρωμένην τοῦ θανάτου ἀνάγκην (ἐπειδὴ ὁ μὲν μόρος οὐ διαφέρει τῆς μοίρας, ὁ δὲ θάνατος κατὰ Πίνδαρον (Νεμ. 1, 65: ὁ ἐχθρότατος μόρος), Κῆρα μέλαιναν, ἤτοι τὴν «μαύρην» τύχην, Θάνατον ἢ τὸν ἀφαρπάζοντα τὴν ψυχὴν δαίμονα. Ὡσαύτως διακρίνει ὁ Μαωνίδης «θάνατόν τε μόρον τε» (Ὀδ. λ 409) καὶ «θάνατον καὶ κῆρας» (Ἰλ. Σ 387). Ἀπήχησις δέ τις τῆς πολυωνυμίας ταύτης λείπεται ἴσως ἐν τῇ φράσει «Κήρα καὶ Μόρα»· πρὸς τούτοις καὶ τὸ τοῦ Θανάτου πρόσωπον ἐν ᾄσμασιν οὐκ ὀλίγοις παρέρχεται. Ἡ τοῦ θανάτου πρὸς τὴν νύκτα σχέσις κατάδηλος ἐκ μεταφορῶν, αἵτινες ἀφ' Ὁμήρου (:τὸν δὲ σκότος ὄσσε κάλυψε κτλ.) ἕως τοῦ νῦν (:ὁ μαῦρος Χάρος, μαῦρος σὰν τὸ[ν] Χάρο[ν]) παρ' ἡμῖν ἀκμάζουσιν. Τῆς πλαστικῆς διανοίας τῶν Ἑλλήνων ταύτας ἀποτελούσης ἐναργεῖς, ὁ Θάνατος «μελάμπεπλος» ὑπολαμβάνεται (Εὐριπίδ. Ἴων 1150), τὰ δὲ τῶν νεκρῶν φάσματα οἱ δεισιδαίμονες ὁρῶσιν ὁλοτελῶς μέλανα (Ἡλιόδωρ. 1, 3, σ. 6, ἔκδ. Κοραῆ). Ἐπειδὴ ἀκούομεν ὅτι ὁ Θάνατος ὑπὸ τῶν Σπαρτιατῶν (Πλουτάρχ. Κλεομ. 9) προσεκυνεῖτο καὶ εὑρίσκομεν αὐτὸν ὡς τραγικὸν πρόσωπον τῆς Εὐριπίδου Ἀλκήστιδος καὶ ἀπεικονισμένον ἐν πολλοῖς ἀναγλύφοις καὶ ἀγγείοις, αἱ προσωποποιίαι καταφαίνονται κοινὸν τοῦ ἔθνους κτῆμα.

212. Τὸν Ὕπνον εὐκατάληπτον ὅτι ἐθεώρουν υἱὸν τῆς Νυκτὸς καὶ ἀδελφὸν τοῦ Θανάτου (Ἰλ. Ξ 231. Π 672. 682), ὅσπερ ἐστὶν ὕπνος χάλκεος (Ἰλ. Λ 241), μακρός (Ἀνθολ. 7, 173, 3), βαθὺς (Ἀνθολ. 7, 170, 6), μακρὸς ἀτέρμων νήγρετος (Μόσχ. Εἰδύλλ. 3, 111). Ὡς θεὸς ἀπαντᾷ ἐν Τροιζῆνι (Παυσαν. 2, 31, 3) καὶ διαλαμπρύνεται ἐξαιρέτοις ἔργοις τῆς ποιήσεως καὶ τέχνης, τῷ γλυκεῖ τοῦ «Φιλοκτήτου» χορικῷ καὶ προτομῇ χαλκῇ εἰς τὴν Τυρρηνίαν ποτὲ ἀπενεχθείσῃ. Ζῇ τὸ πρόσωπον αὐτοῦ καθ' ἡμᾶς ἐν τοῖς βαυκαλήμασιν ἢ «νανα-ρίσμασι», π. χ.: ἔλα Ὕπνε, κ' ἔπαρέ το (Passow 279. Ἀραβαντ. Συλλ. 175), νὰ μοῦ τὸ πάρῃς, Ὕπνε (Passow 284), Ὕπνε, 'ποῦ παίρνεις τὰ μικρὰ (Ἀραβαντ. 169, πρβλ 166. 175).—Ἐπίσης τὰ νυκτερινὰ ἐνύπνια, ἐννοεῖται, ἐκ τῆς νυκτὸς γίγνονται.

213. *Οὔτινι κοιμηθεῖσα*] Συνώνυμον τῇ λέξει «εὐνηθεῖσα» στ. 133 κά. εὑρισκομένῃ.

214. *Δεύτερον αὖ*] Χρονολογικῆς ἐννοίας στερεῖται.

215. Ὁ *Μῶμος* τοῦτον τὸν τόπον κατέχει ὡς ἀποκύημα μελαίνης καρδίας καὶ προσωπικῶς ἐν τῷ σκότει κατοικῶν (Καλλιμάχ. Ὕμν. Ἀπόλλ. 113: ὁ δὲ μῶμος, ἵν' ὁ φθόρος, ἔνθα νέοιτο). Εἰ Στασῖνος ἤδη ἐν τοῖς «Κυπρίοις» τὸν ἰδιότροπον τοῦτον θεὸν εἰσήγαγε (Σχόλ. Ἰλιάδ. Α 5), διαμφισβητεῖται· ὕστερον ὅμως, πρὸς τοῖς φιλοσόφοις (οἷον Πλάτωνι Πολιτ. 6, 487 a) καὶ σοφισταῖς, καὶ οἱ Αἰσώπειοι μῦθοι (Ἀριστοτ. π. ζῴων μορίων 3,2 σ. 663 a 35) παρεισάγουσι τὸν Μῶμον.

*Ὀϊζὺν*] Ἔχει τὴν λήγουσαν μακράν· ἡ νὺξ γεννᾷ τὴν ταλαιπωρίαν, εἴτε κατὰ μεταφορὰν ὡς ὁμογενῆ ταῖς ἄνω εἰρημέναις (Ἰλ. Ρ 591: τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα καὶ τραγγ., πρβλ. Wecklein εἰς Αἰσχ. Προμ. 144), εἴτε ψυχολογικῶς, ἐπειδή, ὡς Ὀβίδιος εὐ-

χρύσεα καλὰ μέλουσι φέροντά τε δένδρεα καρπόν,
καὶ Μοίρας καὶ Κῆρας ἐγείνατο νηλεοποίνας,
[Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε βροτοῖσι
γενομένοισι διδοῦσιν ἔχειν ἀγαθόν τε κακόν τε],
αἵτ', ἀνδρῶν τε θεῶν τε παραιβασίας ἐφέπουσαι,

φυῶς λέγει, τῶν φροντίδων ἐστὶν ἀρίστη τροφός (curarum maxima nutrix).

216. Τοῦ αὐτοῦ γένους εἰσὶ καὶ αἱ *Ἑσπερίδες*, ἅτε μὴ ἀπολαύουσαι τοῦ φωτὸς τοῦ ἡλίου· κατοικοῦσι γὰρ νησίον ἐν τῷ Ὠκεανῷ κείμενον πέραν τῆς τοῦ ἡλίου δύσεως («ἐσχατιῇ πρὸς νυκτός» 275). Τὸ *πέρην* μεταχειρίζονται καὶ ἐπὶ διαπεράσεως μέρους τινὸς τῆς θαλάσσης (Θ. 274, 294, Ἰλ. Β 626 καὶ Ω 752: πέρην ἁλός).Τὸ ὄνομα τῶν Ἑσπερίδων ἀναφέρεται εἰς τὴν ἐν τῇ δύσει κατοικίαν αὐτῶν καί, εἴγε διασαφήσεως χρήζει, συμπληρωτέον τῷ οὐσιαστικῷ *Νύμφαι* (Ἀριστοφ. Νεφ. 271. Ἀπολλ. Ῥοδ. Ἀργον. 4, 1396).

*κλυτοῦ*] «Ἐξακούστου».

Τὰ χρυσᾶ μῆλα χαρακτηριστικὸν τῶν λαϊκῶν μύθων καὶ «παραμυθίων». Ὅθεν ὁ λαὸς εὔχεται τῇ μελλονύμφῳ «χρυσὸ μῆλο νὰ παίξῃ» (Passow 459, 6). Ἀξιώτερον δὲ ἔτι μνείας, τῶν Ἑσπερίδων κατοικουσῶν πρὸς τῷ Ἅδῃ, μυρολόγιον δημοσιευθὲν ἐν τῶν τοῦ συλλόγου πρακτικῶν τ. Η', σ. 598,καθ' ὅπερ τὰ παιδάρια ἐν Ἅδου «παίζουν μὲ τὰ χρυσόμηλα νὰ λησμονοῦν τὲς μάνες». Περὶ τὸν τῶν Ἑσπερίδων μῦθον (ὅπως Ἡρακλῆς ἐντολῇ μὲν Εὐρυσθέως, βοηθείᾳ δὲ Ἄτλαντος ἐκόμισε τὰ ὑπὸ δράκοντος (πρβλ. στ. 335) φυλασσόμενα μῆλα) οὐδεμία διατριβὴ γίνεται, ἐπειδὴ οἱ Ἡρακλέους ἆθλοι ἐν τῇ Βοιωτίᾳ ἦσαν τῶν πατρίων καὶ πασιγνώστων μύθων.

*Φέροντά τε δένδρεα καρπόν*] (Ταύτης τῆς λέξεως ὁ πληθυντικὸς λείπει παρ' Ἡσιόδῳ οὐχ ἧττον ἢ παρ' Ὁμήρῳ) ὑποδηλοῖ τὸν κῆπον, ὅντινα Ζεὺς (κατὰ Σοφοκλέα Ἀπόσπ. 297 ἔκδ. Nauck παρὰ Στράβ. 7, 295) ἢ Ἥρα (ὡς Φερεκύδης ἐν Ἐρατοσθένους Καταστερισμοῖς 3) ἢ Ὠκεανὸς (Ἀριστοφ. Νεφέλ. 271) ἢ ἐν γένει οἱ θεοὶ (Εὐριπίδ. Ἱππόλ. 750-1) εἶχον ἐν τοῖς τῆς γῆς τέρμασιν.

217. Ὁ καθ' ἡμᾶς λαὸς λέγεται ὅτι διακρίνει εὐμενεῖς καὶ κακοήθεις Μοίρας, καίτοι ταύτης τῆς προλήψεως μαρτυρίᾳ ἀναξιοπίστῳ χρώμεθα. Τοσοῦτο ὅμως βέβαιον ὅτι Ἡσίοδος ὑπολαμβάνει τὸ μὲν Μοίρας οὐρανίας, Διὸς θυγατέρας, τὸ δὲ ἀρχαιοτέρας Μοίρας «νηλεοποίνους»· τοῦτο γὰρ τὸ ἐπίθετον ἀνήκει εἰς ἀμφότερα τὰ ὀνόματα, ὥστε ἡ διάνοια ἡ αὐτὴ ὥσπερ τῶν Μοιρῶν συζευγνυμένων μετὰ τῶν Ἐρινύων (Αἰσχύλ. Προμηθ. 516. πρβλ. καὶ Παυσαν. 2, 11, 4 περὶ τῆς ἐν Σικυῶνι ὁμοίας λατρείας τῶν Μοιρῶν καὶ Εὐμενίδων). Ὡσαύτως αἱ «νηλεόποινοι» Κῆρες διαφέρουσι τῆς ἐν στ. 211 καταλεγομένης Κηρὸς καὶ ὁμοιάζουσι ταῖς Ἐρινύσι, μεθ' ὧν ὁ αὐτὸς Αἰσχύλος (Ἑπτὰ ἐπὶ Θήβ. 955, 1040) καὶ Εὐριπίδης (Ἠλέκτρ. 1252) αὐτὰς συμμιγνύουσιν.

**Νηλεόποινοι* δηλονότι ὀνομάζονται, ἅτε ἀνηλεῶς ποινὴν ἐπιβάλλουσαι.

218 καὶ 219. Παρενεβλήθησαν ἐξ 904, 905 ὑπ' ἀνθρώπου, ὅστις παρεῖδε τὴν ἄρτι δηλωθεῖσαν διαφοράν.

220. Εἴπερ ἔχουσιν ἐξουσίαν καὶ ἐπὶ τῶν Ὀλυμπίων (π.χ. ἐπὶ Κρόνου Θεογ. 464. Αἰσχύλ. Προμ. 507), ἐπάναγκες γεννηθῆναι πρότερον αὐτῶν.

*ἐφέπουσι*] Προσέχουσιν εἰς τὰ παραπατήματα καὶ τιμωροῦσιν αὐτά.

οὐδέποτε λήγουσι θεαὶ δεινοῖο χόλοιο,
πρίν γ' ἀπὸ τῷ δώωσι κακὴν ὄπιν, ὅστις ἁμάρτῃ.
Τίκτε δὲ καὶ Νέμεσιν, πῆμα θνητοῖσι βροτοῖσι,
Νὺξ ὀλοή· μετὰ τὴν δ' Ἀπάτην τέκε καὶ Φιλότητα,
Γῆράς τ' οὐλόμενον, καὶ Ἔριν τέκε καρτερόθυμον.
Αὐτὰρ *Ἔρις* στυγερὴ τέκε μὲν Πόνον ἀλγινόεντα
Λήθην τε Λιμόν τε καὶ Ἄλγεα δακρυόεντα

221. *Ποτε* (◡‒) πρὸ τῆς λέξεως *λήγουσι*, καθότι ἄρχεται ἀπὸ συμφώνου ὑγροῦ, ἐκτείνεται ὡς *ὅτε* Ὀδ. θ 87.

*θεαί*] Παρέλκει κατὰ τὸν ἐπικὸν τρόπον.

222. *ὄπιν*] Κυρίως τὸ ὄπισθεν ἢ κατόπιν, τῆς τιμωρίας ἀκολουθούσης τὴν ἁμαρτίαν (πρβλ. Ἔ. 470. 741).

223. Ἡ *Νέμεσις* ἐπαμφοτέραν φύσιν ἔχει, τὸ μὲν ἀγαθὴν ὡς Ἔ. 203 (= Ἰλ. Ν 121), ὅπου συντάσσεται μετὰ τῆς Αἰδοῦς, τὸ δὲ κακήν, ὅπερ ἐνταῦθα συμπεραίνεται ἐκ τῆς συναφείας. Ὁμοίως ὑπὸ Πινδάρου αὐτῇ ἐπιτίθενται τὰ ὀνόματα «διχόβουλος» (Ὀλ. 8, 86) καὶ «ὑπέρδικος» (Πυθ. 10, 44). Τὴν δύναμιν τῆς κακῆς Νεμέσεως ἐξακριβοῦν οὐκ ἔξεστιν, εἰ μὴ τοσοῦτο ὅτι Ὅμηρος τῷ προσηγορικῷ ὀνόματι «νέμεσις» χρῆται συνωνύμως τῷ *μῶμος*. Ἡ Νέμεσις αὕτη, ἡ τῆς Νυκτὸς θυγάτηρ, εἶχεν ἱερὸν ἐν τῷ πλησίον Σμύρνης ὄρει Πάγῳ (Παυσαν. 7, 5, 3). Ἡ δευτέρα αἰτιατικὴ *πῆμα* συμφωνεῖ τῇ πρώτῃ· τῇ δὲ ἐπικῇ φράσει *θνητοῖσι βροτοῖσι* (Ὀδ. η 210. Θέογν. 591. 1221) οὐκ ἐπαρκῶς δηλοῦται, εἰ ταὐτὸ βούλεται, ὅπερ Παυσανίας περὶ τῆς Νεμέσεως λέγει (1,33, 2): «Θεῶν μάλιστα *ἀνθρώποις ὑβρισταῖς* ἐστιν ἀπαραίτητος».

224. *Νὺξ ὀλοή*] Πλέον ἢ συμπλήρωμα παρέλκον τοῦ ἑξαμέτρου· τοσούτων κακῶν ἀπαριθμηθέντων, ὁ ποιητὴς παθητικῶς ἐκφωνεῖ: Ἀληθῶς ἡ νὺξ ὀλεθρία!

*Ἀπάτη*] Ἀδιαχώριστος τῆς Φιλότητος (τῶν Ἀφροδισίων, πρβλ. 206) ἀκόλουθός ἐστιν· ἔπιθι στ. 205.

225. *Γῆρας οὐλόμενον*] Ἤτοι ὀλέθριον παρὰ τὸ οὔλομαι (ἐσχηματισμένον ὡς «βούλομαι») = ὄλλυμι. Τὸ γῆρας φοβοῦνται οἱ εὐφρόσυνοι Ἕλληνες, ἔνιοι δέ, ὧν ἡγεῖται Μίμνερμος ὁ λυρικός, οὐκ ἀποκάμνουσι διαζωγραφοῦντες τὰ δείματα αὐτοῦ.

*Ἔριν*] Περὶ ἧς διὰ πλειόνων λόγον ποιεῖται ἐν Ἔ. 185.

226. Ἡ ἑπομένη ἀλληγορικὴ γενεαλογία καὶ αὐτὴ στερεῖται ψυχρᾶς σχολαστικότητος· ὁ λαὸς γὰρ τοιαῦτα φιλῶν οὐκ ἐπαύσατο, π. χ. λέγει: «Τὰ γέλια μὲ τὰ κλαύματα καὶ ἡ χαρὰ καὶ ἡ πίκρα (εἰς μίαν ὥραν ἐσπάρθηκαν ἤ) μαζὶ ἐγεννηθῆκαν» καί: «Πρέπει σου νά σ' ὀνομάσω ἀδερφὴ τῆς ἀπονιᾶς» (Ἀραβαντινοῦ Συλλ. δίστιχ. 973, σ. 361).

*Πόνος*] Ἀνήκει ὡς «*σκοτούρα*» εἰς τὸ τῆς σκοτεινῆς νυκτὸς γένος.

227. Ἡ *Λήθη* τοῖς φιλομνήμοσιν Ἕλλησι κακόν τι μέγα φαίνεται, ἧστινος γνώμης καὶ Πλάτων τε καὶ οἱ ἀπ' αὐτοῦ φιλόσοφοι κοινωνοῦσιν. Τῶν Ὀρφικῶν ὁ μὲν (Ὕμν. 77, 10) εὔχεται: «λήθην δ' ἀπὸ τῶνδ' ἀπόπεμπε», ὁ δὲ (Ὕμν. 85, 5) αὐτὴν παρίστησιν ἀδελφὴν Ὕπνου καὶ Θανάτου. Πίνδαρος δὲ (Ὀλ. 7, 45) ἀποστρέφεται τὸ «λάθας νέφος». Τούτων οὐ διαφωνεῖ τὸ Ξενοφῶντος (Ἀπομν. 3, 12, 6): «Λήθη καὶ ἀθυμία πολλή... εἰς τὴν διάνοιαν ἐμπίπτουσιν». Οἱ δὲ

Ὑσμίνας τε Φόβους τε Μάχας τ᾽ Ἀνδροκτασίας τε,
Νείκεά τε ψευδέας τε Λόγους Ἀμφιλογίας τε
Δυσνομίην τ᾽ Ἀάτην τε, συνήθεας ἀλλήλοισι,
Ὅρκον θ᾽, ὃς δὴ πλεῖστον ἐπιχθονίους ἀνθρώπους

πλεῖστοι λήθην καὶ θάνατον συνδυάζουσιν,ὧν ὁ πρωτοστάτης κατὰ τοὺς χρόνους ἦν Θέογνις (705: Περσεφόνην...., ἥτε βροτοῖς παρέχει λήθην, βλάπτουσα νόοιο. Ἐπίγραμμα ἐπιτυμβίδιον Corpus Inscriptionum 2892=Kaibel Epigrammata 223, 3: ὕπνος ὁ λήθης καὶ Corpus Inscr. 3398=Kaibel 312, 3 ἐπὶ τῆς νυκτὸς [νῦν θανάτου]: λήθης δῶρα φέρουσα, Νόνν. Διονυσ. 4, 153: πολυκλαύτῳ παρὰ Λήθῃ). Ὅθεν ἡ Λήθη μετὰ τῆς Σιωπῆς ἐν Ἅδου οἰκεῖ (Πλούταρχ. περὶ τοῦ Δελφικοῦ ΕΙ 21) ἐν τοῖς «Λήθης δόμοις» (Σιμωνίδ. ἐπίγρ. 184 =Ἀνθολογ. 7, 25, 6, Ἀνών. παρὰ Πλουτάρχ. παρηγ. πρὸς Ἀπολλ. 15) :ἐπὶ τοῦ «Λήθης πεδίου» (Ἀριστοφάν. Βάτραχ. 186. Πλάτ. Πολιτ. 10,621 a Διονυσ. Ἁλικαρν. Ἀρχαιολ. Ῥωμ. 8, 52, πρβλ. Πλούταρχ. π. τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων 22 καὶ Ἀγαθίαν Ἀνθολ. 7, 220, 5). Οἱ δὲ μεταγενέστεροι, συγχέοντες μετ᾽ αὐτῆς τὴν Λήθης πηγήν,ἥπερ τοῖς ἐπισκεπτομένοις τὸ Τροφωνίου χρηστήριον (Παυσαν. 9, 39, 8) ἀφῄρει τὴν μνήμην, αὐτοσχεδίασαν *Λήθης ποτόν* (Λουκιαν. π. πένθους 5), *πῶμα* (Kaibel 261, 20), *πόμα* (Kaibel 244, 10), *ὕδωρ* (Παυσαν. 9, 39, 8. Ὀνέστης Ἀνθολογ. 11, 45, 4 πικρόν. Ἀνθολ. 7, 346,4. Kaibel 204, 11 ἔσχατον. Λουκιαν. διαλ. νεκρ. 13, 6. 23, 2. Τιμ. 54), *ὕδατα* (Νόνν. Διον. 19, 173. 12, 219, πρβλ. 36, 201), *λιβάδα* (Corpus 4708=Kaibel 414, 10), *πέλαγος* (Ἀνθολ. 7, 716, 2 πικρόν), *λιμένα* (Νόνν. Διον. 7, 498), κρατῆρα (Εὐστάθ. Μακρεμβολ. 9, 3, 1. 11, 20, 2). Λοιπὸν τὴν νῦν πολυπάτητον ἰδέαν,ἣν καὶ ὁ λαὸς γιγνώσκει (Ὁποῦ περνοῦν τὸν ποταμὸ καὶ πίνουν τὸ νερό του καὶ λησμονοῦν τὰ σπίτια τους καὶ τὤρφανὰ παιδιά τους), μὴ ἐπιβάλῃς τῷ παλαιῷ ἀοιδῷ,καθόλου ἀπείρῳ ὄντι ταύτης.

* *τε Λιμόν*] Ἀναγνωστέον ὡς τρίμακρον, ἥτις μετρικὴ ἄδεια συγχωρεῖται πρὸ τῶν ὑγρῶν συμφώνων λ, μ, ν, ρ.

Πότερον Ἡσίοδος ἠθέλησε *Λιμὸν* ἢ *Λοιμόν*, ἐνδοιάζομεν, ἐπειδὴ οἱ μὲν ἀντιγραφεῖς τοῦτο, οἱ δὲ ἐκεῖνο ἡμῖν ἐγκατέλιπον. Ἀμφότερα δὲ ταῦτα τὰ κακὰ ἐν Ἑλλάδι προσωποποιοῦνται. *Λιμὸς* μὲν οὖν μνημονεύεται ὑπὸ Σιμωνίδου (Ἀνθολογ. 7, 101) καὶ ἀπεικονίσθη ὑπὸ ζωγράφου (Ἀθήν. Δειπνοσοφιστ. 10, 452 b). Πολύαιν. Στρατηγημ. 2, 15), *Λοιμὸς* δὲ ἢ «πανοῦκλα» ἐν ἁπάσῃ τῇ Ἀνατολῇ φαντάζεται,ἢ πρότερον τοὐλάχιστον ἐφαντάζετο,γυνὴ μελανοφοροῦσα, ἥτις νυκτὸς ἐπιπνεῖ τὰς οἰκίας.

228. =Ὀδυσσ. λ 612. *Μάχη* διαφέρει *ὑσμίνης*, καθόσον αὕτη μὲν σημαίνει τὸν δι᾽ ὅπλων ἀγῶνα, ἡ δὲ μάχη καὶ τὴν λογομαχίαν· ὁμοίως *φόνος* καὶ *ἀνδροκτασίη* οὐ κατὰ πάντα συμφωνοῦσιν, ἀλλὰ τὸ ἕτερον περιορίζεται εἰς τὸν ἐν μάχῃ φόνον.

229. *Νείκεα*] Ἴδε Ἔ. 29.

*Ἀμφιλογίας* (– – ∪ ∪ – χάριν τῆς λ.) ἑρμηνεύεται Ἔ. 28. 29.

230. Ἡ *Δυσνομίη*, ἤτοι ἀναρχία, προέρχεται ἐκ τῶν κακῶν ἐρίδων, ὡς ἐξακριβοῦται. Ἔ. 238 κἑ.· ἀντίθετος δὲ ἡ εὐνομία. Ἐπειδὴ ἡ *ἄτη*, ἤτοι ὁ ὄλεθρος, καταμαστίζει τὴν δύσνομον πολιτείαν, ὀνομάζονται συνήθεις,ἤγουν σύνοικοι· *ἤθεα* γάρ,ὡς δηλώσομεν εἰς Ἔ. 137, τὰ οἰκητήρια.

231. Ὁ *Ὅρκος* ὡς ἀληθῶς πολ-

πημαίνει, ὅτε κέν τις ἑκὼν ἐπίορκον ὀμόσσῃ.
Νηρέα δ' ἀψευδέα καὶ ἀληθέα γείνατο *Πόντος*,
πρεσβύτατον παίδων, αὐτὰρ καλέουσι Γέροντα,

λοὺς Ἕλληνας ἀπώλεσεν, οὐδενὸς ἀδικήματος συχνότερον ἀδικουμένου ἢ τῆς ἐπιορκίας· καὶ τοῦτο διὰ πλειόνων ἐκφράζεται Ἔ. 219. Ὅθεν κακός τις δαίμων τοὺς μιαροὺς διαφθείρειν ἐδόκει, ὃν κατ' εὐφημίαν ὠνόμαζον Ὅρκον (Χρησμὸς παρ' Ἡροδότῳ ϛ', 86, 3. Πινδάρ. Νεμ. 11, 24. Σοφοκλ. Οἰδ. Κολ. 1767: ὁ πάντ' ἀΐων Διὸς Ὅρκος. Βάβριος Μῦθ. 50, 18. Χρυσᾶ ἔπη Πυθαγόρα 2 μετὰ σχολίου Ἱεροκλέους).

*ὅς δή*] Εἰσάγει ἐνταῦθά τε καὶ 271, δικαιολογίαν, τοῦ ποιητοῦ ἐπιδεικνύοντος διὰ τί τὸν Ὅρκον εἰς τοῦτον τὸν κακέμφατον τόπον κατεχώρισεν.

232. *πημαίνει*] Εἰς πῆμα καὶ ταλαιπωρίαν ἐμβάλλει. Τὰ ἄλλα ἐσχημάτισε κατὰ Ἰλ. Γ 279 = Τ 260: «ὅτις κ' ἐπίορκον ὀμόσσῃ».

*ἑκών*] Ἔ. 282 ἑκούσιος ἢ ἐκ προαιρέσεως.

*233-336. Περὶ τοῦ Πόντου γένους.*

233. Ἀρχὴν ποιεῖται ἀπὸ Νηρέως καὶ μετὰ προθυμίας περὶ αὐτὸν διατρίβει ὅπως ἀντιθῇ τοῖς σκυθρωποῖς τῆς Νυκτὸς γεννήμασιν εἰκόνα φαιδροτέραν.

*Νηρεὺς* μὲν οὖν ὠνόμασται παρὰ τὸ *νηρόν*, ὅπερ θαυμασίως πολλὰς λέξεις, αἵτινες πολὺ κοινότεραί ποτε ἦσαν, ἐπέζησε, προφερόμενον *νερόν*, καθὼς ἀντὶ τοῦ *ξηρὸν* νῦν *ξερὸν* λέγουσιν. Εἰς μάτην Φρύνιχος ὁ Ἀττικιστὴς παρήνεσε (σ. 42): *νηρὸν* ὕδωρ μὴ εἴπῃς, ἀλλὰ πρόσφατον, ἀκραιφνές (πρβλ. Ἐτυμολ. μέγα σ. 597, 47). Ἀναστασίου βασιλεύοντος, εὑρίσκω ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ Θεοδώρου (Ἰωάνν. Δαμασκ. περὶ εἰκόνων Γ', σ. 376 = στ. 1389 c): «ἡ νεροφόρος» = ὑδροφόρος· ἦσαν δὲ οἳ παρὰ Σκύμνῳ τῷ περιηγητῇ (στ. 652) ἔγραψαν «Νερήδων».

*Ἀψευδέα καὶ ἀληθέα* (ἀπολύτως λοιπὸν καὶ κατὰ λιτότητα)] ἐπονομάζει τὸν Νηρέα, ὅτι προφητεύει τὰ μέλλοντα ἢ αὐτὸς (ὡς Ὁράτιος ἐν ᾠδῇ Ἑλληνιστικῇ 1, 15) ἢ διὰ τοῦ ἀποθεωθέντος Γλαύκου, τοῦ προφήτου αὐτοῦ (Εὐριπ. Ὀρ. 361-2) ἐν Ἀνθηδόνι τῆς Βοιωτίας καὶ ἐπὶ τῆς ἱερᾶς Δήλου.

234. Τὸ *αὐτὰρ* μόριον ἀποδίδωσι τόνδε τὸν νοῦν. Πρεσβύτατος μέν ἐστιν, οὐχ ὅμως διὰ τοῦτο γέρων καλεῖται, ἀλλὰ . . . . . . Ἡ ἐπωνυμία λοιπὸν ἀναλογεῖ πρὸς τοὺς *γέροντες* καὶ *δημογέροντες* τοὺς ἐν ταῖς ἀρχαίαις πολιτείαις καί, ὅσον πρὸς τὸν καθ' ἡμᾶς αἰῶνα, ὅμοιόν τι βούλεται τοῖς καλογέροις, καλογραίαις, πρεσβυτέροις, γραίαις (= οἰκοδεσποίναις, παρὰ τοῖς Ἠπειρώταις). Κατὰ τὸν αὐτὸν τρόπον ἐν τῇ Ὀδυσσείᾳ Φόρκυς (α 72. ν 96) καὶ Πρωτεὺς ἐπονομάζονται «*ἅλιος γέρων*»· ἐν δὲ Γυθείῳ ἐλάτρευον Γέροντά τινα ἐν τῇ θαλάσσῃ κατοικοῦντα (Παυσαν. 3, 21, 9). Πρβλ. καὶ Σχόλ. εἰς Ἀπολλών. Ῥόδ. 2, 767. Οἱ ζωγράφοι καὶ πλάσται ὅμως, οἷς συμφωνεῖ Νόννος (Διον. 20, 395: πολιῷ Νηρῆι) τὸν Νηρέα ὑπετύπωσαν ἔχοντα τὴν τρίχα ἢ πολιὰν ἢ ἀραιὰν οἷον γέροντος (π. χ. ἐν ἀναγλύφῳ χαλκῷ Ὀλυμπίασιν ἀνευρεθέντι, Ausgrabungen von Olympia τ. Δ', πίν. 25 καὶ ἐν ζωγραφίᾳ ἀγγείου, Gerhard, auserlesene Vasenbilder πίν. 8). Τοῦτο δέ ἐστιν ἀρχαιότερον καὶ ὀρθότερον τῆς Ἡσιοδείου γνώμης, ἐπειδὴ οἱ θαλάσσιοι δαίμονες τοιοῦτοι νομίζονται διὰ τὸ χρῶμα τῆς «πολιῆς ἁλός» (Ἰλ. Α 350 κἀ.), ἤτοι τῆς «ἄσπρης θάλασσας», ὡς εἴρηται ἐν χελιδονίσματι (Sanders, Volksleben der Neugriechen σ. 106, ἀρ.

οὕνεκα νημερτής τε καὶ ἤπιος, οὐδὲ θεμιστέων
λήθεται, ἀλλὰ δίκαια καὶ ἤπια δήνεα οἶδε—,
αὖτις δ' αὖ Θαύμαντα μέγαν καὶ ἀγήνορα Φόρκυν
(Γαίῃ μισγόμενος) καὶ Κητὼ καλλιπάρῃον
Εὐρυβίην τ' ἀδάμαντα ἐνὶ φρεσὶ θυμὸν ἔχουσαν.
*Νηρῆος* δ' ἐγένοντο μέγ' ἐρατὰ τέκνα θεάων

4), μᾶλλον δὲ «διὰ τὸ ὥσπερ πολιὰν ἐπανθεῖν τοῖς κύμασι τὸν ἀφρόν» (Σχόλ. εἰς Ἰλ. Α 358. Εὐνάπιος ἐν βίῳ Προαιρεσίου σ. 129 [74] ἐπὶ τῆς κόμης αὐτοῦ: διὰ πλῆθος τριχῶν ἀφριζούσῃ θαλάσσῃ προσεμφερής», οἷς συνᾴδουσι Κορνοῦτος 23 καὶ Σέρβιος εἰς Βιργιλ. Γεωργ. 4, 403).

235. *νημερτής*] Ὥσπερ ὁ Πρωτεὺς (γέρων ἅλιος ν. Ὀδ. δ 349. 384), ἀξιόπιστος, ἀσφαλής. Ἅμα δὲ *ἤπιος* ἢ εὔνους τοῖς ἀνθρώποις ἐστί, καθότι τοῖς ναύταις τὸν χειμῶνα προφαίνει. Οἱ γὰρ θαλάσσιοι προφῆται οὗτοι οὔκ εἰσιν εἰ μὴ αἱ διὰ τῆς θαλάσσης ἐπισημασίαι τοῦ καιροῦ, ὧν τινας παρατίθεται Ἄρατος εἰς τὰ Διοσημεῖα (177-80=909-12).

*οὐδὲ θεμίστων λήθεται*] Ὥσπερ Πολύφημος, ὃν εἰσάγει ὁ Ὅμηρος (ι 215): «οὔτε δίκας εὖ εἰδότα οὔτε θέμιστας»· τοῖς γὰρ φιλοσόφοις τε καὶ τοῖς ἰδιώταις ἐπιστήμη τις ἐφαίνετο ἡ ἀρετή.

236. Παραλλάσσω τὸν προηγούμενον στίχον. *Δήνεα* παρὰ τὴν ῥίζαν ΔΑ (-ημι) σημαίνει τὰς διανοίας· ἡ δὲ φράσις ἅπασα (ἤπια δήνεα οἶδε) μετενήνεκται ἐκ τῆς Ἰλιάδος (Δ 361). Τὸ πρῶτον ἐπίθετον ἡμᾶς ἀναμιμνήσκει ὅ,τι ὁ σοφὸς Σόλων περὶ τῆς θαλάσσης λέγει· «Ἢν δέ τις αὐτὴν μὴ κινῇ, πάντων ἐστὶ *δικαιοτάτη*».

237. *Θαύμαντα μέγαν*] Τὸν πελώριον, διὸ καὶ τὸ ὄνομα φέρει.

*ἀγήνωρ*] Παρὰ τὸ ἄγω καὶ *ἀνὴρ* = ἀγεσίλαος, βασιλικός.

*Φόρκυς*] Ὅν περ ἅπαντες ἐμάθομεν παρ' Ὁμήρου (Ὀδ. α 72. ν 96), κυρίως οὐκ ἄλλο ὄνομα εἶχεν ἢ οἱ ἄλλοι «γέροντες», ἐπειδή, καθ' Ἡσύχιον, *φορκόν* σημαίνει «λευκὸν πολιὸν ῥυσόν» (πρβλ. Λυκόφρ. 477 κἑ.: λαιμῷ φόρκῳ). Νῦν εἰσέτι ἴχνος τοῦ δαίμονος παρατηροῦμεν ἐν Κρήτῃ, ὅπου γυναῖκα συκοφαντικὴν ἀποκαλοῦσι *Φορκοῦ*.

238. *Γαίῃ μισγόμενος*] Βεβαίως ἀναφέρεται καὶ εἰς Νηρέα.

*Κητώ*] Τὸ ὄνομα ἔλαβεν ἀπὸ τῶν κητῶν ἢ ἀπὸ τῆς «κητωέσσης» καὶ «μεγακήτους» θαλάσσης.

*καλλιπάρῃος*] Ἐν ταῖς ἐποποιΐαις οἱᾳδήποτε γυναικὶ θείᾳ ἢ ἡρωϊκῇ ἐπιτίθεται.

239. *Εὐρυβίην*] Κυρίως ἐπίθετον τῶν θαλασσίων θεῶν (εὐρυβία Θέτις Ὀρφ. Ἀργον. 1259, εὐρυβίης Τρίτων Θ. 931, εὐρυβίας Ποσειδῶν Πινδάρ. Ὀλ. 6, 58. Πυθ. 2, 12, ὁμοίως δέ: εὐρυσθενὴς Ποσειδῶν Ἰλ. Η 455 = Θ 201 = Ὀδ. ν 140, εὐρυμέδων Πινδάρ. Ὀλ. 8, 31), καθότι ἐπικρατοῦσι τὸν «εὐρὺν πόντον» καὶ τὰ «εὐρέα νῶτα θαλάσσης».

*ἀδάμαντα*] Ἀδάμαστον, λέξις σπανιωτάτη, ἣ ἐκτὸς τούτου τοῦ χωρίου οὐκ εὐχρηστεῖ εἰ μὴ ὡς ἐπίθετον Πλούτωνος καὶ κύριον ὄνομα. Οἱ τῆς θαλάσσης θεοὶ μετέχουσι τῆς ἀκαταμάχου φύσεως τοῦ στοιχείου τούτου.

240. * *μέγ' ἐρατά*] Ἀνάλογον τῷ *ἐπήρατα* (Θ. 67).

*τέκνα θεάων* καὶ 366. *θεάων ἀγλαὰ τέκνα* εἰσὶ περιφράσεις, προελθοῦσαι ἐκ τοῦ ὅτι οἱ Ἕλληνες τὴν εὐγενῆ καταγωγὴν περὶ πλείστου ἐποιοῦντο. Ὁμοιάζουσι

πόντῳ ἐν ἀτρυγέτῳ καὶ Δωρίδος ἠϋκόμοιο,
κούρης Ὠκεανοῖο, τελήεντος ποταμοῖο,
Πρωτώ τ' Εὐκράντη τε Σαώ τ' Ἀμφιτρίτη τε

δὲ πολλὰ καὶ δημοτικώτατα, λ. χ.: υἷες Ἀχαιῶν, παῖδες Ἀθηναίων (Σιμωνίδης Ἀνθολ. 7, 257, 1), παῖδες Ἑλλήνων (=ἐθνικοί, Βίος καὶ πολιτεία τῆς όσ. Συγκλητικῆς κεφ. 100, Coteleri Monumenta Α', σ. 269 b), σεμνὰς θεῶν παῖδες (Σοφ. Ἠλ. 112) κτλ.

241. *ἀτρυγέτῳ*] Ἔπιθι ὅσα ἐσημειώθησαν εἰς 131· οὐχ ἅπαξ ἐν τῇ Ὀδυσσείᾳ εὕρηται ἡ ὁμοία φράσις: «πόντον ἐπ' ἀτρύγετον».

*ἠύκομος* σημαίνει, ὡς φαίνεται, τὴν τῶν τριχῶν ἀφθονίαν, ὥσπερ ***καλλίκομος*** τὸ κάλλος αὐτῶν· ἀμφότερα δὲ ἐπίθετα οὐκ ἀσήμαντα ἐν τῇ Ἑλλάδι, ὅπου καὶ καλλονὴ καὶ ἀφθονία τῆς γυναικείας κόμης πάσας σχεδὸν καλλωπίζουσιν.

242. Οἱ Ὠκεανοῦ ἀπόγονοι ἐν τοῖς ἑξῆς, καὶ αὐτὴ γε στ. 350 μνημονεύονται.

*τελήεις*] Ὁ πάντοτε τέλεος ὤν, ἐπειδὴ οὐδέποτε ἐλαττοῦται, ὅπερ πάσχουσιν οἱ τῆς γῆς ποταμοί. Πλὴν διὰ στ. 345-6 δικαιούμεθα προφέρειν ἄλλην εἰκασίαν. Ἥρα γοῦν ἐπωνομάζετο ***τελεία*** ὡς «τελοῦσα» τὸν γάμον. Οὐκ ἔξαλλον ἄρα, εἰ Ὠκεανὸς τὴν αὐτὴν ἐπωνυμίαν ἔλαβε διὰ τὸ ἐν Θεσπιαῖς εἶναι τῶν γαμηλίων θεῶν, ὥσπερ ἄλλοθι αἱ Νύμφαι. Ἀλλὰ ταῦτα οὐ στηρίζονται ἐπὶ τῆς παραδόσεως.

243. * Πασίγνωστον ὅτι αἱ Νηρεΐδες ὑπὸ τῶν καθ' ἡμᾶς χυδαίων *Νερά(γ)ιδες* ἢ *Ἀνεραΐδες* καλοῦνται· πλὴν τοῦτο τὸ ὄνομα, ἂν μὴ προστεθῇ «τοῦ γιαλοῦ» (Passow 436, 10), περιέχει τὰ γυναικεῖα δαιμόνια ἅπαντα. Ὁ συγκρητισμὸς οὗτος ἐγένετο πρὸ πολλῶν αἰώνων, ὡς Χαρίτωνος χωρίον (2, 4, 8: μία Νυμφῶν ἢ Νηρηΐδων ἐκ θαλάσσης ἀνελήλυθε) καὶ γλώσσημα χειρογράφου Ἡσιοδείου (Laurentianus 31, 32) κατὰ τὸν ΙΔ' αἰῶνα γραφέντος, (:νυμφέων, τῶν Νηρεΐδων) μαρτυροῦσιν. Καὶ νῦν εἰσέτι ἔστιν ὅπου ὁ παλαιὸς μῦθος ἀκεραιότερος σῴζεται π.χ. ἐπὶ τοῦ νησίου Σύμης, ἧς οἱ κάτοικοι κατὰ τὰς ἱερὰς ἐκείνων ἡμέρας οὐκ ἐμβυθίζουσι τὴν κεφαλὴν εἰς τὴν θάλασσαν (Ἑλλην. Φιλολ. Σύλλ. Πρακτ. Η', σ. 470). Τὸ ὄνομα φαίνεται ὅτι πρῶτον μὲν μετέβη εἰς τὰς Ὠκεανίδας (τῷ ὄντι ἐπὶ Λευκάδος αἱ Νεράϊδες διαιτῶνται περὶ τοὺς ποταμοὺς καὶ τὰς πηγάς, Ἑλλην. Φιλολ. Σύλλ. Πρακτ. Η', σ. 457), ὕστερον δὲ καὶ τὰς ἄλλας Νύμφας ἐσήμαινεν. Ἔνιοι δὲ ταῖς Νηρείσιν εἰδικὸν ὄνομα ἔπλασαν, λέγω δὲ ***ἁρμυροποῦλα*** (Passow 522, 8), ἤτοι ἥν, κατὰ τὸν Ἡσίοδον εἰπεῖν, «ἁλμυρὸς ἔτρεφε πόντος». Ἀλλὰ πολὺ πλείονα περὶ αὐτῶν εὑρήσει τις ἐν τῇ Ν. Πολίτου Μελέτῃ (Α', σ. 81 κἑ.).

Ἀπαραίτητον τὸ ἀντιπαραβαλεῖν τὸν ἀνὰ χεῖρας κατάλογον πρὸς τὸν ἐν Σ τῆς Ἰλιάδος (στ. 39-49) ἀναγινωσκόμενον, ᾧ καὶ οἱ Ἀλεξανδρεῖς ἀπέδωκαν Ἡσιόδειον χαρακτῆρα, ὥστε ἀρχέτυπον, κατ' αὐτούς, ἐγένετο ἐκεῖνος. Παρ' Ὁμήρῳ ἀναφέρονται λγ' ὀνόματα, τῶν ἄλλων βουκολουμένων τῇ βραχυλογίᾳ «ἄλλαι θ'». Τούτων δὲ κοινὰ ἀμφοτέροις ποιηταῖς ιη'(;), ὧν μέγα μέρος ἀποτελεῖ τοὺς αὐτοὺς στίχους (248=Σ 33, 250=Σ 43, πρβλ. καὶ 245 πρὸς Σ 40). Ναὶ μὲν ὁ Ἡσιόδου κατάλογος προφερέστερός μοι φαίνεται, ἅτε σκοπίμως διατεθειμένος· ἄρχεται δηλαδὴ ἀπὸ Πρωτοῦς καὶ χαριέντως διακεκόσμηται παραφθέγμασι, τὸ δὲ κεφάλαιον, ὅπως ὑποστηρίξῃ τὴν τῶν ῥαψῳδῶν μνήμην,

Εὐδώρη τε Θέτις τε Γαλήνη τε Γλαύκη τε,
Κυμοθόη Σπειώ τε θοὴ Θαλίη τ' ἐρόεσσα
καὶ Μελίτη χαρίεσσα καὶ Εὐλιμένη καὶ Ἀγαύη

Ἡσίοδος τὸν κατάλογον διένειμεν εἰς στροφικὰς πεντάδας στίχων, ὧν τῆς δευτέρας καὶ τρίτης (245 καὶ 250) δηλοῦνται αἱ ἀρχαὶ τῷ ἀσυνδέτῳ· τὸ δὲ τέρμα τὸ τῆς τρίτης καὶ τετάρτης (254 καὶ 259) μαρτυροῦνται διὰ τῶν ἐξεπίτηδες προμήκων μελῶν. Πάντων τῶν εἰρημένων προτερημάτων στερεῖται τὸ τῆς Ἰλιάδος ἐπεισόδιον· ἀλλ' ὑπολάβοι ἄν τις τὸ ἀφελέστερον ἀρχαϊκώτερον. Τῶν Νηρεΐδων *Ἀμφιτρίτη* (συγγενὲς τὸ ὄνομα αὐτῆς τῷ Τρίτωνος καὶ τῷ *τριτώ*, ῥεῦμα [Ἡσύχ.] καὶ *Τρίτων*, ῥεῦμα Βοιωτίας καὶ Θεσσαλίας) καὶ *Θέτις* λατρείας ἠξιοῦντο· τὰ δὲ ἄλλα ὀνόματα ποιητικῆς φαντασίας ἀποκυήματα φαίνονται. Καὶ *Πρωτὼ* μέν, ὡς εἴρηται, πρόδρομος τρόπον τινὰ εἰσέρχεται. Τῶν δὲ ἄλλων πολλὰ ἀφορῶσιν εἰς τὴν θάλασσαν: Ἁλιμήδη — Κυμοθόη, Κυμοδόκη, Κυματολήγη, Κυμώ — Γαλήνη — Γλαύκη, Γλαυκονόμη — Ἱπποθόη, Ἱππονόη, Μενίππη (ὅτι οἱ ποιηταὶ τὰ κύματα ἀντιπαρέβαλλον πολλάκις ἵπποις ἀφηνιάζουσι) — Ποντοπόρεια, Εὐπόμπη (ἣ πέμπει τοὺς ναύτας εἰς τὴν πατρίδα), Φέρουσα (τῶν ἀνέμων φερόντων τὰς ναῦς), καί, ἂν μὴ σφαλλώμεθα, Εὐ-νείκη (ἡ εὖ ἐνεγκοῦσα, ἤ, κατὰ τὴν Ὁμηρικὴν διάλεκτον, ἐνείκασα· τὸ δὲ Ε πρόσθετον), Σαώ (ἡ σῴζουσα τοὺς ποντοπόρους) — Νησαίη, Νησώ — Ἀκταίη, Σπειώ, Ψαμάθη, Εὐλιμένη — Γαλάτεια («διὰ τὴν εὐβοσίαν τῶν θρεμμάτων καὶ τοῦ γάλακτος πολυπλήθειαν», Δοῦρις Ἀπόσπ. 42 b παρὰ Σχολ. Θεοκρίτ. 6, 7), Εὐάρνη (τὸ τοῦ Λόγγου μυθιστόρημα ἐπιχαρίτως περιγράφει τὸν ἐπὶ τῇ θαλασσίᾳ ἀκτῇ βίον τῶν ποιμένων) — Πανόπη (ἀπὸ τῆς ἐπὶ τὴν θάλασσαν ἀπόψεως), Πασιθέη, ἐπειδὴ «τῶν κυμάτων ἡ θέα» (Ζαλοκώστας, τὸ Στόμιον τῆς Πρεβέζης ῥαψ. Β΄) ὑπὸ πάντων θαυμάζεται. Ἀπὸ τοῦ πατρὸς παράγονται (οἷον Τηλέμαχος, οὗπερ ὁ πατὴρ τῆλε μάχεται, ἢ Εὐρυσάκης, τοῦ εὐρυσάκους Αἴαντος παῖς), Θεμιστώ, Προνόη, Πουλυνόη (εὔβουλος· ὁ πατὴρ κατὰ Πίνδαρον Πυθ. 3, 92), Αὐτονόη, Λειαγόρη, Εὐαγόρη, Λαομέδεια, Πρωτομέδεια, Πουλυνόμη, Λυσιάνασσα, Δυναμένη, ἀπὸ δὲ τοῦ μητρὸς Δωρίς, Δωτώ, Εὐδώρη. Πρὸς δὲ τὸ τῶν Νηρεΐδων κάλλος τείνουσιν Ἀγαύη, Ἐρατώ, Πρωθώ (= Πρωθήβη ὑποκοριστικῶς), Εὐκράντη (;). Ἀδιάφορα δὲ Θαλίη καὶ Μελίτη, αἳ τάχ' ἂν οὐκ εἶεν πεπλασμέναι ὑπὸ τοῦ ποιητοῦ.

245. *θοή*] Κατὰ τοὺς χυδαίους, αἱ Νεράϊδές εἰσι ταχύποδες (Bernh. Schmidt, Wolksleben der Neugriechen Α΄, σ. 105), ἡ πρόληψις καὶ κατὰ τὸν Περίκλειον αἰῶνα (Εὐριπίδ. Ἱκέτιδ. 993: ὠκύθοαι νύμφαι) καὶ ἐν τοῖς τῶν αὐτοκρατόρων χρόνοις (Ὀρφ. Ὕμν. 51 [50], 6) ὑπῆρχεν.

*ἐρόεσσα* (251), *χαρίεσσα* (246. 260), *εὐειδής* (250), *φυὴν τ' ἐρατὴ* καὶ *εἶδος ἄμωμος* (259) μόνον οὐ βοῶσιν ὅτι ἡ τῶν πολλῶν δόξα, καθ' ἣν αἱ Νεράϊδες εὐμορφώτεραί εἰσι τῶν θνητῶν γυναικῶν (σὰν Ἀνεράϊδα φαίνεσαι Passow δίστ. 692, Ἀραβαντ. Συλλ. σ. 302 δίστ. 11: εἶνε ὄμμορφη σὰν Νεράϊδα, τῆς Ἀνεράϊδος γέννα Passow δίστ. 652, Ἀραβαντ. δίστ. 578, τῆς Ἀναράϊδας γέννημα Ἀραβαντ. δίστ. 579, Νεραϊδοπλασματένια, ἐπίθετον Κυθήριον λευκῆς καὶ εὐειδοῦς γυναικός, Νεράϊδές μου, κολάκευμα Κρητικόν, πρβλ. τὸν «Στάθην» πρ. Γ΄, στ. 504 καὶ τὸν «Γύπαριν» πρ. Δ΄, στ. 169) ἀνήκει εἰς

Πασιθέη τ' Ἐρατώ τε καὶ Εὐνείκη ῥοδόπηχυς
Δωτώ τε Πρωθώ τε Φέρουσά τε Δυναμένη τε
Νησαίη τε καὶ Ἀκταίη καὶ Πρωτομέδεια,
Δωρὶς καὶ Πανόπη τε καὶ εὐειδὴς Γαλάτεια
Ἱπποθόη τ' ἐρόεσσα καὶ Ἱππονόη ῥοδόπηχυς
Κυμοδόκη θ', ἣ κύματ' ἐν ἠεροειδέϊ πόντῳ
πνοιάς τε ζαχρέων ἀνέμων σὺν Κυματολήγῃ
ῥεῖα πρηΰνει καὶ ἐϋσφύρῳ Ἀμφιτρίτῃ
Κυμώ τ' Ἠϊόνη τε ἐϋστέφανός θ' Ἁλιμήδη
Γλαυκονόμη τε φιλομμειδὴς καὶ Ποντοπόρεια
Λειαγόρη τε καὶ Εὐαγόρη καὶ Λαομέδεια
Πουλυνόη τε καὶ Αὐτονόη καὶ Λυσιάνασσα
Εὐάρνη τε φυήν τ' ἐρατὴ καὶ εἶδος ἄμωμος,

τοὺς ἀρχαιοτάτους χρόνους· μέσον τινὰ τόπον μεταξὺ τοῦ Ἡσιόδου καὶ τοῦ λαοῦ ἡμῶν κατέχει Χαρίτων (1, 1, 2: ἦν γὰρ τὸ κάλλος οὐκ ἀνθρώπινον, ἀλλὰ θεῖον οὐδὲ Νηρεΐδος ἢ νύμφης τῶν ὀρεινῶν, ἀλλ' αὐτῆς Ἀφροδίτης παρθένου, 2, 4, 8. 3, 2, 15), ᾧ ἐπισυνάπτομεν Κωνσταντῖνον τὸν Μανασσῆν (ἐκ τῶν κατ' Ἀρίστανδρον καὶ Καλλιθέαν 8, 11) καὶ Ἐμμανουὴλ Γεωργίλλαν τὸν Ῥόδιον (στ. 115: Νεράδες ἢ ἀγγέλισσες).

247 καὶ 251. *ῥοδόπηχυς*] Σαπφὼ «ὁμοιοῖ τὸ ῥόδον τοῖς τῶν Χαρίτων πήχεσιν ἐπειδὰν ἀποδύωσι τὰς ὠλένας» (Φιλοστράτ. Ἐπιστ. 51). «Ῥοδοπήχεες δέ (εἰσι) Νύμφαι» (Ἀνακρεόντεια 53, 21).

252. *ἠεροειδής*]=Ὀμιχλοειδής, Ὁμηρικῶς κεῖται. Ὁμοίως τῷ *πολιὸς* ζωγραφίζει τὴν θάλασσαν οἵαν ἔποψιν παρέχει νεφελῶν καλυπτουσῶν τὸν οὐρανὸν καὶ ὁπωσδήποτε συγχεουσῶν αὐτὸν μετὰ τῶν κυμάτων.

253. *ζαής*] Συντέθειται ἀπὸ τῆς *ζα-* (=διὰ) προθέσεως καὶ *ἄημι*.

254. *ῥεῖα*] Τὸ ῥᾴδιον γὰρ καὶ ἄπονον τοῦ πράττειν διακρίνει τοὺς ἀθανάτους· ἴδε καὶ 441. Ἔ. 5, 7, 325, 379.

*ἐΰσφυρος*] Διασαφεῖται χωρίῳ Μουσαίου (στ. 61-2): «Νεισομένης δὲ καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης». Ἐπειδὴ τότε αἱ γυναῖκες τοὺς πόδας εἶχον γυμνοὺς καθὼς νῦν εἰσέτι ἐν ἐνίοις μέρεσι τῆς Ἑλλάδος, τὰ σφυρὰ ἢ τὰ περὶ τοὺς ἀστραγάλους φανερὰ ἦσαν. Ὥστε τὸ κάλλος αὐτῶν περὶ πλείστου ποιοῦνται καὶ ᾄδουσιν εἰδικὸν ᾆσμα, οὗτινος ἀναφέρομεν μόνον δύο στίχους σημαντικούς· «Κέτσ' ἐφάνηκε τὸ ποδαστράγαλόν της, ἔλαμψ' ὁ 'γιαλός, ἔλαμψ' ὁ κόσμος ὅλος». Πρὸς τούτοις, πήχεις καὶ πόδες καὶ κόμη τῶν Νυμφῶν ἰδίᾳ ἐγκωμίου τυγχάνουσι, διότι, ὡς ῥητῶς παραδίδοται, αὐτῶν πόδες ἀνυπόδητοι, χεῖρες εἰς ὤμους γυμναί, κόμη μέχρι τῶν αὐχένων λελυμένη» (Λόγγου Α 2 ὁ λόγος, πρβλ.: ἀκρήδεμνος Νηρεΐς, Νηϊάς· Νόνν. Διον. 39, 400. 47, 461, ὅπου καὶ περὶ τῆς ἀνυποδησίας λέγει).

255. *ἐϋστέφανος*] Καὶ ἡ λαϊκὴ δοξασία κοσμεῖ τὰς Νεράϊδας στεφάνοις.

259. Νῦν διακρίνομεν οὐχὶ φυὴν καὶ

καὶ Ψαμάθη, χαρίεσσα δέμας, δίη τε Μενίππη
Νησώ τ' Εὐπόμπη τε Θεμιστώ τε Προνόη τε
νημερτής, ἣ πατρὸς ἔχει νόον ἀθανάτοιο.
Αὗται μὲν Νηρῆος ἀμύμονος ἐξεγένοντο
κοῦραι πεντήκοντα, ἀμύμονα ἔργα ἰδυῖαι.
*Θαύμας* δ' Ὠκεανοῖο βαθυρρείταο θύγατρα
ἠγάγετ' Ἠλέκτρην· ἣ δ' ὠκεῖαν τέκεν Ἶριν

εἶδος καὶ δέμας, ἀλλὰ φυὴν καὶ ὄψιν καὶ κατασκευὴν ἢ κρᾶσιν τοῦ σώματος.

*δίη*] Περὶ οὗ ἐν τῇ εἰσαγωγῇ ἐποιησάμεθα λόγον (σ. 53), ἀντιστοιχεῖ τῷ Ὁμηρικῷ *δῖα* (=δίϜ-ια).

262. Παραπέμπει τὸν ἀκροατὴν εἰς 235. Καὶ οἱ Ζακύνθιοι τὰς Νηρεΐδας τὸ μέλλον γνωρίζειν πεποίθασι (Schmidt Volksleben Α', σ. 114) καὶ ἐν Κρήτῃ ἐμυθολογεῖτο Νηρεύς τις προφητική («Γύπαρις» πρ. Δ', στ. 152 κἑ.).

263. *ἀμύμων*] Ὑπὸ τῶν μεταγενεστέρων συνεχύθη μετὰ τοῦ ὁμοίου *ἄμωμος*· τὴν δὲ γνησίαν ἐτυμολογίαν προμηθεύεται ὁ Μαιονίδης αὐτὸς Ἰλ. Κ 19 ᾄδων: «μῆτιν ἀμύμονα . . . , ἥτις ἀλεξίκακος πᾶσιν Δαναοῖσι γένοιτο»· ἀμύμων ἄρα ὁ εὖ ἀμύνων. Ὕστερον δ' ἐγένετο συνώνυμον τῷ *ἄριστος*.

264. Τὸ *ἀμύμονα* παράδειγμα, οὗ εἴπομεν ὅτι οὐδεὶς ποιητὴς τῶν ἀρχαίων εὐλαβεῖται μὴ παλιλλογῆσαι.

*ἰδυῖα*] Τύπος ἀρχαῖος τοῦ θηλυκοῦ ἀντὶ τοῦ κοινοῦ «εἰδυῖα». = Τί δὲ ἐργάζονται αἱ Νηρεΐδες; Νήθουσιν ἐν χρυσαῖς ἠλακάταις (Πινδάρ. Νεμ. 5, 36: χρυσαλακάτων τινὰ Νηρεΐδων) ἢ ὑφαίνουσιν ἁλιπόρφυρα ὑφάσματα (Φιλοστράτ. Εἰκόν. 2, 8) ἤτοι, κατὰ νεώτερόν τινα μῦθον (Hahn, griechische und albanesische Märchen Α', σ. 300, ἀρ. 54), ἐσθῆτας χρυσᾶς· ὅθεν ἐν Ζαγορίῳ αἱ γυναῖκες παρασκευάζουσιν ἄτρακτον ἵνα νήθωσι τὰ «στοιχειά» (Wachsmuth, das alte Griechenland σ. 53). Καὶ τοὺς λεπτοὺς μίτους, οἵτινες πολλάκις καλύπτουσι τοὺς λειμῶνας καὶ τὰ τρίφυλλα, ἤτοι τὰ «κούσκουτα» (adiantum capillum Veneris) ὀνομάζουσι πολλοὶ «νεραϊδονέματα» (ἀνεραϊδογνέματα), ἐν δὲ τῇ Μεσσηνίᾳ «νεραϊδόχορτο»· ὁμοίως λιθάρια τετρυπημένα ἐπὶ Κεφαλληνίας καὶ Ζακύνθου ὑπολαμβάνονται «ἀνεραϊδοσφόνδυλα».

265. *θαύμας*] Ἴδε 237.

*βαθυρρείτης* = βαθύρρους.

266. *ἄγομαι*] Κυρίως κεῖται ἐπὶ τῆς εἰς τὴν οἰκίαν ἀγωγῆς τῆς νύμφης, ὅπερ ἀκριβέστερον ἐκφράζεται στ. 410: «ἠγάγετ' εἰς μέγα δῶμα».

*Ἠλέκτρην*] Ὠκεανίδα (349).

*Ἶρις*] Τὸ μὲν ἀνήκει εἰς τὸ τοῦ Πόντου γένος, ἐπειδὴ ἡ ἶρις πασίδηλον ἦν ὅτι ἔχει σχέσιν πρὸς τὸ ὑγρόν, καὶ ἐδόκει προσημαίνειν ὑετόν (Θεόφραστ. π. σημείων ὑδάτων 22), τὸ δὲ Θαύμαντος θυγάτηρ ἐστίν, αὐτὴ θαυμασία οὖσα (Πλάτ. Θεαίτητ. 155 d) καὶ Ἠλέκτρης, ὡς ἠλεκτροειδὴς καὶ στιλπνή.

*ὠκεῖα*] Ἅτε ἐπτερωμένη (: Ἶριν χρυσόπτερον Ἰλ. Θ 398 = Λ 185). Διὰ τὴν αὐτὴν αἰτίαν συνδέεται μετὰ τῶν ταχυπτέρων Ἁρπυιῶν.

266. *ἠύκομοι*] Τῷ ὄντι ὁρῶμεν αὐτὰς μακρότριχας ἐπ' ἀρχαιοτάτου ἀγγείου (δημοσιευθέντι ἐν τῇ τῶν Γερμανῶν Ἀρχαιολογικῇ Ἐφημερίδι 1882, πίν. 9)· φαίνονται δὲ καὶ εὐειδεῖς ἐπὶ τοῦ ἐν Ξάνθῳ τῆς Λυκίας περιφήμου μνημείου — πλὴν αὐτόθι ἔχουσι πόδας

ἠϋκόμους θ' Ἁρπυίᾱς, Ἀελλώ τ' Ὠκυπόδην τε·
αἵ ῥ' ἀνέμων πνοιῇσι καὶ οἰωνοῖς ἅμ' ἕπονται
ὠκείῃς πτερύγεσσι· μεταχρόνιαι γ' ἄρ' ἴαλλον.
*Φόρκυϊ* δ' αὖ Κητὼ Γραίας τέκε καλλιπαρῄας
ἐκ γενετῆς πολιάς, τὰς δὴ Γραίας καλέουσι

καὶ οὐρὰς ὀρνίθων. Τὸ δίμορφον τοῦτο φάσμα ἐστὶ τῶν παραμυθίων· πρβλ.: «ἔχω πουλὶ ἐγὼ ὀχθρὸ 'ψηλὸ σὰ 'μιὰ λελέκα, πώχει τὰ 'νύχια ξήμυτα κεῖναι μισὸ γυναῖκα» (Schmidt, Märchen σ. 179, στ. 21)·ἐν Ἠπείρῳ αἱ «'ξουθιὲς» φαίνονται ὡς «μανικὰ πουλία» (Χασιώτης ἐν Χρυσαλλίδος Γ', 9). Ἡσίοδος δὲ περὶ τούτου σιωπᾷ, ὥστε πιθανώτερον ὅτι οἱ καλλιτέχναι τὰς Ἁρπυίας ἐν ἐντελῶς ἀνθρωπίνῳ σχήματι παρέστησαν (Παραδείγματα εὑρίσκονται ἐν τῇ τῶν Γερμανῶν Ἀρχαιολογικῇ Ἐφημερίδι 1882 στήλ. 203-4).

Ἁρπυίᾱς] Ἴδε σ. 51. Παριστᾶσι τὰς «ἁρπαζούσας» καταιγίδας ἤ, ὅπερ πιθανώτερον, τὸν ἀνεμοστρόβιλον, ᾧ κατὰ τὴν τοῦ λαοῦ δοξασίαν, πνεῦμα δαιμονιακὸν ἔνεστιν. Ἐν τούτῳ, ὡς διηγοῦνται οἱ Ἠπειρῶται (Hahn, griechische Märchen, ἀρ. 81), αἱ Νεράϊδες ἁρπάζουσιν ἀνθρώπους· τίς λοιπὸν οὐ γινώσκει ὅτι ταὐτὸ ποιοῦσι ταῖς Ὁμηρικαῖς Ἁρπυίαις; Καταριθμοῦνται δὲ εἰς τοὺς ἐκ θαλάσσης δαίμονας, καθόσον κινδύνους παρέχουσι ταῖς ναυσίν.

*Ἀελλώ*] Συγκέκοπται ἀπὸ τοῦ ἐπιθέτου *ἀελλόπους*, ἤγουν θυελλόπους· συνᾴδει λοιπὸν τῷ *Ὠκυπέτῃ* ἢ ταχέως πετομένῃ.

268. *ἕπονται*] Ἡσίοδος ἄρ' ἀγνοεῖ τὸν μῦθον, ἀποθανεῖν αὐτὰς φθασθείσας ὑπὸ τῶν Βορεαδῶν, ὅτε οὗτοι αὐτὰς ἐδίωξαν ἀπὸ τοῦ Φινέως δείπνου. Ἡ πρὸς τὸν ἄνεμον ἀντιπαραβολὴ συχνότατα εὑρίσκεται ἀπὸ τοῦ ἀρχηγέτου τῆς ποιήσεως μέχρι τοῦ «ἀλόγου ποὺ νὰ φεύγῃ σὰν τὸν ἀέρα» (Νεοελλην. Ἀνάλ. Α', σ. 50)· δυστυχῶς δὲ ἐνταῦθα ἐκνενεύρισται τῇ τῶν «καὶ οἰωνοῖς» προσθήκῃ. Ἐνέπεσε λοιπὸν εἰς ἀντικλίμακα.

269. Αἱ Ἅρπυιαι λοιπὸν ἔχουσι πτερά, ὥσπερ αἱ Νεράϊδες, ὧν περ τὸ ὄνομα, ὡς εἴδομεν (266), περιλαμβάνει καὶ ἐκείνας, παρὰ τοῖς Εὐβοεῦσι παρουσιάζουσιν (Hahn, Märchen, Β', σ. 82, ἀρ. 83).

*μεταχρόνιαι*] «Μετέωροι· καὶ τὸν οὐρανὸν γὰρ χρόνον καλοῦσι». Οὕτω λέγει ὁ σχολιαστὴς (=Ἐτυμολ. μέγα σ. 581, 41, πρβλ. Σουΐδαν λ. μεταχρονίῃ καὶ Ἀπολλώνιον τὸν λεγόμενον Σοφιστὴν λ. μεταχρόνιον) καὶ μετὰ ταύτης τῆς σημασίας ἡ λέξις κεῖται παρὰ τοῖς μεταγενεστέροις τῶν ἐπικῶν (Ἀπολλών. Ἀργον. 2, 330. 589. 3, 1150. 4, 952 κἑ. 1296. 1385. Μάξιμος περὶ καταρχῶν 420. Πλὴν Τρυφιόδωρος (στ. 1) καὶ Λουκιανὸς (Ἀλεξ. 26) καὶ Ἡσύχιος (λ. μεταίσιον) τὴν λέξιν συνταυτίζουσι τῇ *μετάχρονος*, καὶ τοῦτό γε ἐκ τῶν τῆς συνθέσεως κανόνων ἀναγκαῖον. Ὁ νοῦς λοιπόν· «Οὐχ ὑπελείποντο τῶν ἀνέμων ἢ τῶν ὀρνίθων, καίτοι τούτοις παρεχωροῦντο προέχειν».

*ἴαλλον*] = Ἵεσαν, δηλαδὴ τὰς πτέρυγας.

270. *Φόρκυϊ*] Ἴδε 237, *Κητώ* 238. Ὅτι *Γραίας* κύριον ὄνομα, δηλοῖ ἀμέσως τῷ ἐπιθέτῳ· ὅπερ ἐκτὸς τούτου ἀποδεικνύει ὅτι οὐ τεράστιαι οἵας παρίστησιν αὐτὰς ὁ πεπατημένος μῦθος, κατὰ τὸν Ἀσκραῖον ἦσαν. Οὐκ ἀπαντῶσιν εἰ μὴ ἐν τῷ περὶ Περσέως μύθῳ.

271. *τὰς δή*] = 231.

Πολιὰ νομίζεται ἡ κόμη αὐτῶν ἅτε

ἀθάνατοί τε θεοί, χαμαὶ ἐρχόμενοί τ' ἄνθρωποι,
Πεμφρηδώ τ' εὔπεπλον Ἐνυώ τε κροκόπεπλον,
Γοργούς θ', αἳ ναίουσι πέρην κλυτοῦ Ὠκεανοῖο,
(ἐσχατιῇ πρὸς Νυκτός, ἵν' Ἑσπερίδες λιγύφωνοι)
Σθενώ τ' Εὐρυάλη τε Μέδουσά τε λυγρὰ παθοῦσα.

δαιμόνων οὐσῶν τῆς γραίας ἤτοι τοῦ τῶν κυμάτων ἀφροῦ (πρβλ. καὶ ὅσα ἐσημειώθησαν εἰς 234). Ὅθεν Θεόδωρος ὁ Πρόδρομος ἄντικρυς τὴν θάλασσαν λέγει «γραῦν» (τῶν κατὰ Ῥοδάνθην κ. Δοσ. Δ', στ. 102).

272. Περὶ τοῦ πράγματος ἀνωτέρω (197) εἴπομεν.

*χαμαὶ ἐρχόμενοι*] (=Ἰλ. Ε 442) ἀφορᾷ εἰς ἀνθρώπινον κακόν, ὅτι δηλαδὴ ἀφωρισμένοι εἰσὶν εἰς τὴν γῆν, ἐνῷ οἱ θεοὶ καὶ περῶσι τὴν θάλασσαν καὶ διαπέτονται τὸν ἀέρα.

273. *Πεμφρηδώ*] Τὸ ὄνομα καταγελᾷ τῶν ἐτυμολόγων.

*εὔπεπλον*] Ἐπίθετον θεῶν ἐπιτήδειον, διότι οἱ παλαιοὶ ἐκόσμουν τὰ ἀγάλματα αὐτῶν πολυτίμοις πέπλοις, οὗπερ παλαιοτάτη μαρτυρία ηὕρηται ἐν τῇ Ζ ῥαψῳδίᾳ τῆς Ἰλιάδος· τὸ δὲ εὐσεβὲς ἔθιμον διατηρεῖται ὁπωσδήποτε ὑπὸ τῶν καθ' ἡμᾶς προσκυνητῶν.

*Ἐνυώ*] Οὐχ ἡ αὐτή ἐστιν, ὡς ἐννοεῖται, τῇ συνωνύμῳ Ἄρεως ἀδελφῇ· τὴν ἐτυμολογίαν τούτου τε καὶ τοῦ ἀρσενικοῦ *Ἐνυεὺς* χορηγεῖ Ἡσύχιος ἐν τῷ λεξικῷ (ἔνυον, ἔφορον).

*κροκόπεπλον*] Εὔδηλον ὅτι κατὰ τὸν τότε τρόπον τὸ κροκῶδες χρῶμα κεχαρισμένον ἦν ἐν τοῖς μάλιστα. Ἀλλ' ὅμως ὕστερον αἱ ἄτιμοι γυναῖκες αὐτῷ ἠρέσκοντο.

Ἡσίοδος δύο μόνον Γραίας ὁμολογεῖ οὐχ ἧττον ἢ δύο μόνον Ἁρπυίας, τῶν πλείστων μεταγενεστέρων προτιμώντων τὴν τριάδα.

274. *Γοργούς*] Αἰτιατ. πληθυντ. τοῦ ἑνικοῦ *Γοργώ*· τοῦτο γὰρ σημαίνει τὴν γοργήν, προστιθεμένου σημείου κυρίου ὀνόματος. Ὁ ἕτερος κανών ἐστι *Γοργόνες* (Ἀσπ. 230), ὅ γε διεφύλαξεν ὁ λαὸς προσηγορικῶς· τὸ μὲν γὰρ *γοργόνα* δηλοῖ ἐν Ἀραχώβῃ τῆς Παρνασσίδος κόρην ταχεῖαν, τὸ δὲ παρὰ τοῖς Ῥοδίοις καὶ Κυθνίοις καὶ Κεφαλλῆσι δυσειδῆ ἢ ἀγριωπὸν γυναῖκα.

*πέρην κλυτοῦ Ὠκεανοῖο*] = 215. Κατοικοῦσι δηλαδὴ ἐπὶ νήσου, ἧστινος τὸ ὄνομα (Σαρπηδών) ἀναφέρεται ἐν τοῖς «Κυπρίοις» (Ἀπόσπ. 21).

275. *ἐσχατιῇ πρὸς Νυκτός*] Ἐν τῷ ἐσχάτῳ τέρματι τῆς γῆς, ὅπου κρατεῖ τὸ σκότος πέραν τοῦ ὁρίζοντος.

*ἵνα*] Ὅθι.

*Ἑσπερίδες*] Ἴδε 215.

*λιγύφωνοι*] Ἄδουσι λοιπὸν μεταξὺ τῆς ἐργασίας ὥσπερ λ. χ. ἡ παρ' Ὁμήρῳ Κίρκη (Ὀδ. κ 221) καὶ ἡ Καλυψώ (Ὀδ. ε 61)· νῦν δὲ αἱ Νεράϊδες (ὡς Πολίτης ἐν Μελέτης τόμ. Α', σ. 112-3). Συμφωνοῦσι τῷ Ἡσιόδῳ, μᾶλλον δὲ ἐνθυμοῦνται τοῦ χωρίου Εὐριπίδης (Ἡρακλ. Μαιν. 394: ὑμνῳδῶν κορᾶν, Ἱππόλ. 743: ἀοιδῶν) καὶ Ἀπολλώνιος Ῥόδιος (4, 1397: ἐφίμερον ἀείδουσαι).

276. *Εὐρυάλη*] Παρὰ τὴν ἅλα ἢ θάλασσαν, καθότι πρὸς τῇ θαλάσσῃ κατοικοῦσιν.

*Σθενὼ* ὑποδηλοῖ τὸ σθένος καὶ τὴν δύναμιν τῶν ἀδελφῶν, ὡσαύτως δὲ *Μέδουσα*, ὅπερ ἀφορᾷ εἰς τὸ δεσποτικόν.

*λυγρὰ παθοῦσα*] Ἧττον βραχυλογικῶς ἂν εἶπεν: «ἣ λυγρὰ παθεῖν ἔμελλεν». Ἡ ἐμπαθὴς αὕτη φράσις τάχ' ἂν ἐκίνησε τοὺς μετ' Ἀλέξανδρον καλλιτέχνας πρὸς τὸ παθητικῶς μεταπλάσσειν

Ἡ μὲν ἔην θνητή, αἳ δ' ἀθάνατοι καὶ ἀγήρῳ,
αἳ δύο· τῇ δὲ μιῇ παρελέξατο Κυανοχαίτης
ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσι.
Τῆς δ' ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν,
ἔκθορε Χρυσάωρ τε μέγας καὶ Πήγασος ἵππος.
Τῷ μὲν ἐπώνυμον ἦν, ὅτ' ἄρ' Ὠκεανοῦ περὶ πηγὰς

τὰς Μεδούσης εἰκόνας. Ὥστε τὸ πρόσωπον αὐτῆς, οὗ τὸ διάστροφον πρότερον ἐφόβισε τοὺς θεατάς, τότε ὀδυνηρὰν ἔλαβεν ὄψιν. Ἡ Medusa Ludovisi ἐστὶν ἡ τελειοτέρα ἀπεικασία τῆς Ἡσιοδείου φράσεως.

277. Φανερὸν ποιεῖ πῶς Περσεὺς αὐτὴν ἀποκτεῖναι κατώρθωσεν.

*ἀθάναται καὶ ἀγήρῳ* = -ος (ον) καὶ -ως (ων) Ἰλ. Θ 539. Ὀδ. ε 136. 218. η 257. ψ 336. Τὸ Τιθωνοῦ ἀποτρεπτικὸν παράδειγμα φανερὸν ποιεῖ ὅτι ἀθανασία χωρὶς αἰωνίας νεότητος οὐδενὸς ἀξία ἐστίν.

278. *αἳ δύο*] Ἐπισυνάπτεται, ἵνα μὴ παρεννοηθῇ τὸ ἀμέσως ἑπόμενον.

*Κυανοχαίτης*] Ποσειδῶν Ὁμηρικῶς (ὡς ἡ τοῦ ἑξαμέτρου λῆξις ὁλόκληρος, πρβλ.: παρελέξατο Κυανοχαίτῃ Ἰλ. Υ 224). Ἡ κόμη αὐτοῦ ὁμοιάζει τὸ χρῶμα τοῖς κύμασιν, ὅταν αἱ τοῦ ἡλίου ἀκτῖνες αὐτὴν φωτίζωσι μήπως ἢ ὀλίγον συννενεφωμέναι ἢ ὅταν σκότος ἐπικρατῇ τῆς θαλάσσης. Ὅθεν ἄφθονος ἀριθμὸς μαρτυριῶν τοῦ ζωγραφικοῦ ἐπιθέτου ὑπάρχει: κυανόχροα κυμάτων ῥόθια (Εὐριπ. Ἑλ. 1502), κυανοειδὲς ὕδωρ (Εὐριπ. Ἑλέν. 179), κύανος] θαλάττιον ὕδωρ (Ἡσύχ.), κυανεῖ ἡ θάλασσα (Bekker Ἀνεκδότων Α', σ. 46), κυανέου ὠκεανοῖο (Ἄρατ. 48), κυαναυγέτιν ἕδρην (Ὀρφ. Ὕμν. 23, 1), κυανέη θάλασσα (Κολουθ. 202), κυανέα ἅλς (Εὐριπ. Ἰφ. Ταύρ. 7. Κόϊντος Σμυρν. 14, 379), πρβλ. Λουκιαν. ἀληθ. ἱστ. 2, 4. Τῆς αὐτῆς αἰτίας ἕνεκα ἐπονομάζεται ἡ Ποσειδῶνος σύζυγος «κυανῶπις» (Ὀδ. μ 60) καὶ «κυαναυγής» (Διονύσ. Περιηγ. 169), Τηθὺς δὲ «κυανόπεπλος ἄνασσα» (Ὀρφ. Ὕμν. 22, 2), ἐπειδὴ ὁμοίως τῷ θαλασσίῳ βασιλεῖ αὐτῷ μετ' ἐνδυμασίας μελανόχρωτος ἀπεικονίσθη (Κορνουτ. ἐπιδρ. 22, σ. 42 ἔκδ. Lang) καὶ Θέτις «κυανοκρήδεμνος» (Κόϊντος Σμυρν. 4, 381. 5, 121). Τέλος δὲ οὐ θέλομεν ἀποκρύψαι παράλληλα χωρία τῆς νεωτέρας ποιήσεως, π. χ. τὴν ἐν διστίχοις (Ἀραβαντιν. 688 σ. 344, Passow 381) «μαύρην θάλασσαν» καὶ τὰς παρὰ Καρασούτσᾳ ἐν Βαρβίτῳ «κυανᾶς ἐκτάσεις».

279. Τὸ τὰς κόρας ἀνθολογεῖν ἐπὶ τῶν λειμώνων τοῖς μυθολόγοις ἔδωκεν ἀφορμὴν οὐκ ὀλίγοις ἐρωτικοῖς μύθοις· μνημονεύομεν παραδείγματος χάριν μόνον τὴν Περσεφόνης ἁρπαγήν. Ἡ Πηγάσου ὅμως γέννησις ὑποστηρίζει ἄλλην εἰκασίαν, ὅτι ἡ Μέδουσα ὑπολαμβάνεται τέρας «βοσκόμενον λειμῶνι», ὥσπερ ἡ Ἅρπυια Ποδάργη, ἣ ἐκεῖ Ζεφύρῳ ἵππους ἔτεκεν (Ἰλ. Π 150-1).

280. *ἀπεδειροτόμησεν*] Τὴν δειρὰν ἀπέτεμεν.

281. *ἔκθορε*] Ἐξεπήδησεν ἐκ τοῦ τραχήλου· τοῦτο δεικνύουσιν αἱ ἀρχαιόταται εἰκόνες, π. χ. μετόπη τοῦ Σελινουντίου ναοῦ.

μέγας] Πελώριος, ἀλλ' ἄνθρωπος ὡς φανερὸν γίνεται ἐκ τῆς αὐτῆς μετόπης καὶ ἀναγλύφου ἐκ Μήλου πηλίνου.

282. *ἐπώνυμον*] Ὄνομα, ὡς 144. Ἰλ. Ι 562. Ὀδ. η 54. Ἡ τῶν ὀνομάτων ἑρμηνεία γίγνεται ζευγματικῶς· τῷ *μὲν* ἄρα δεικνύει τὸν Πήγασον.

γένθ', ὃ δ' ἄορ χρύσειον ἔχεν μετὰ χερσὶ φίλῃσι.
Χὼ μὲν ἀποπτάμενος, προλιπὼν χθόνα μητέρα μήλων,
ἵκετ' ἐς ἀθανάτους· Ζηνὸς δ' ἐν δώμασι ναίει,
βροντήν τε στεροπήν τε φέρων Διὶ μητιόεντι.
*Χρυσάωρ* δ' ἔτεκε τρικέφαλον Γηρυονῆα,
μιχθεὶς Καλλιρόῃ κούρῃ κλυτοῦ Ὠκεανοῖο.
Τὸν μὲν ἄρ' ἐξενάριξε βίη Ἡρακληείη
βουσὶν ἐπ' εἰλιπόδεσσι περιρρύτῳ ἐν Ἐρυθείῃ

*ἦν*] Ἴδε 142.

*ὅτ' ἄρ*] Ὅτι (Ἰλ. Θ 251).

*περί*] Πλησίον.

*Πήγασος*] Ἐτυμολογεῖται ὑφ' Ἡσιόδου παρὰ τὸ πηγή· ἐπ' ἀληθείᾳ ὁ Ὠκεανός, εἴπερ ἐστὶ ποταμός, φύσει ἔχει πηγήν· μηδὲ ἐρωτήσωμεν μικροπρεπῶς πῶς ἐδύνατο περικλείειν τὴν γῆν ἄνευ ἐλλείμματος. Τῷ ὄντι δὲ *πήγασος* ἐπίθετον ἵππων ἦν (Ἰλ. Ι 124=266), ὅπερ οἱ σχολιασταὶ ἐξηγοῦνται «μέγας» ἢ «εὐτραφής». Συγγενὴς λοιπόν ἐστι τῷ ῥήματι «πήγνυμι».

283. *γένθ'*] Ἴδε 199.

*Χρυσάωρ*] Ὁ ἄορ ἢ ξίφος χρυσοῦν ἔχων.

284. *χὼ μὲν ἀποπτάμενος*] Πήγασος ἐπεπροίκιστο διὰ πτερῶν.

*μητέρα μήλων*] Ὁμηρικὸν ἐπίθετον πόλεων καὶ χωρῶν (Ἰλ. Β 696. Ι 479. Λ 222. Ὀδ. ο 226), ὅπερ ἀφορᾷ εἰς ἀξιολογώτατον μέρος τῆς τῶν τότε ἀνθρώπων κτήσεως (ἴδε περὶ Ἔ. 120)· καίτοι οἱ παλαιοὶ λεξικογράφοι τὴν λέξιν «μῆλον» πλατύτερον ἐκλαμβάνουσιν (Ἡσύχιος καὶ Φρύνιχος λ. μῆλα, Εὐστάθ. Ὀδύσσ. σ. 1649, 1).

286. *φέρων*] «ὑφ' ἅρματ' ἐλθὼν Ζηνὸς ἀστραπηφορεῖ» (Εὐριπ. Ἀπόσπ. 314 παρ' Ἀριστοφ. Εἰρ. 722), καθόσον «δοκεῖ ὄχημα τοῦ Διὸς ἡ βροντὴ εἶναι» (Ἡσύχ. λ. ἐλασίβροντα). Ὅθεν Ζεύς, πρὸς τοὺς Γίγαντας μαχόμενος, κατὰ πλείστους τῶν καλλιτεχνῶν (οὕστινας ἀριθμεῖ M. Mayer Giganten, σ. 391 κἑ.) ἐλαύνει. Ὅμοιαι προλήψεις ὑπάρχουσι καθ' ἡμᾶς. Οἱ πολῖται, ἂν βροντᾷ, πιστεύουσιν ὡς ὁ προφήτης Ἡλίας ἡνιοχεῖ τὸ αὑτοῦ ἅρμα (Πολίτης ἐν Μετεωρολογικοῖς Μύθοις σ. 5), ἐν δὲ Ἀραχώβῃ λέγουσιν· «Ὁ θειός καλιγόν' τἄλογό του» καὶ «βροντοῦν τὰ πέταλα ἀπ' τἄλογο τοῦ θειοῦ» (Schmidt, Volksleben σ. 32).

*μητιόεντι*] Ταὐτὸ βούλεται τῷ Ὁμηρικῷ *μητίετα* (πολύνους).

287. *Γηρυονῆα* καὶ Γηρυονῆι (309) ἀνήκει εἰς «Γηρυόνης» ὡς Ἀντιφατῆα (Ὀδ. κ 114) εἰς Ἀντιφάτης. Παράγεται δηλονότι ἀπὸ «γῆρυς» (ἴδε 28).

*τρικέφαλον*] Τὸ μέτρον ἀπαιτεῖ τὴν διέκτασιν τῆς παραληγούσης. Πρὸ πεντήκοντα ἐτῶν φάσμα τρικέφαλον διετάραξε τοὺς κατοικοῦντας τὸν Ἀκροκόρινθον (Pückler, nordöstlicher Bildersaal Β', σ. 113). Ἀείποτε ἡ δεισιδαιμονία γεννᾷ ταὐτὰ φάσματα.

288. *Καλλιρόη*] Ἴδε 351.

289. *ἐξενάριξε*] Ἤτοι οἱ κατὰ τὸν ἡμέτερον ποιητὴν Ἕλληνες οὐκέτι ᾐσθάνοντο τὴν κυρίαν σημασίαν τῆς λέξεως (τὸ ἀποδύειν τὰ ἔναρα ἢ τὴν πανοπλίαν) ἢ Γηρυόνης ὡμοίαζε τοῖς Ἡσιόδου καθωπλισμένοις Γίγασιν (186).

*βίη Ἡρακληείη*] Ὁμηρικὴ περίφρασις (Ἰλ. Ε 638 κἀ.) οἷον: ἲς Τηλεμάχοιο κτλ.

290. *βουσὶν ἐπ' εἰλιπόδεσσι* = Ἰλ.

ἤματι τῷ, ὅτε περ βοῦς ἤλασεν εὐρυμετώπους
Τίρυνθ' εἰς ἱερήν, διαβὰς πόρον Ὠκεανοῖο
Ὄρθον τε κτείνας καὶ βουκόλον Εὐρυτίωνα
σταθμῷ ἐν ἠερόεντι πέρην κλυτοῦ Ὠκεανοῖο.
Ἡ δ' ἔτεκ' ἄλλο πέλωρον, ἀμήχανον οὐδὲ ἐοικὸς
θνητοῖς ἀνθρώποις οὐδ' ἀθανάτοισι θεοῖσι,
σπῆϊ ἐνὶ γλαφυρῷ, θείην κρατερόφρον' Ἔχιδναν,

Ζ 424. Ἡ μὲν πρόθεσις δηλοῖ τὴν πρὸς τὰ ποίμνια σχέσιν τοῦ *ποιμένος* (Ἰλ. Ζ 25. Λ 106. Ὀδ. υ 209. 221). Τὸ δὲ ἐπίθετον διακρίνει τὰς βοῦς τῶν «ἀερσιπόδων» ἵππων καὶ τῶν «προβάτων», ἃ προπίπτουσιν εἰς τοὺς προσθίους πόδας. Αἱ γὰρ βοῦς εἰσι «σιμοὶ τὴν κνήμην» (Ἡλιόδωρ. 3, 1, σ. 108 Κορ.), διὸ αὐτὰς περιστρέφουσιν. Οἱ Ἕλληνες ἀνέκαθεν προσεῖχον εἰς τὴν παντός τινος ζῴου βάδισιν· ἀλλ' ἵνα διεξέλθωμεν τὴν τῶν αἰώνων σειρὰν ἀπὸ τοῦ «μακρὰ βιβάντος» Ἀτρείδου μέχρι τῆς «πέρδικος (λαγοῦ) περπατησιᾶς», ἔδει πραγματείας εἰδικῆς.

*Ἐρυθείῃ*] Νήσῳ, ὡς ἐξάγεται ἐκ τοῦ ἐπιθέτου, ὀνομαζομένῃ ἀπὸ τῆς ἑσπερινῆς ἐρυθρότητος ἢ καὶ ἀπὸ τῶν φοινικῶν βοῶν (Ἀπολλόδωρ. 2, 5, 10, 3). Ὑποτίθεται δὲ ἐν τῷ Ὠκεανῷ (292. 214).

291. *ἤλασεν*] Κατ' εὐφημίαν ἀντὶ τοῦ ἥρπασεν· οἱ τῶν πεζογράφων κανόνες μέντοι ἀπαιτοῦσι τὸν παρατατικόν, ἐπειδὴ ἡ μάχη ἐγένετο ἐπὶ τῆς νήσου (Ἀπολλόδωρ. 2, 5, 10, 7).

*εὐρυμετώπους*] Πάλιν Ὁμηρικὸν τὸ ἐπίθετον.

292. *Τίρυνθα*] Εἰς τὰ ὑπὸ Σχλιεμάννου κατὰ μέρος ἀνασκαφθέντα ἀνάκτορα τοῦ Εὐρυσθέως, κείμενα μεταξὺ Ναυπλίας καὶ τοῦ χωρίου Κοφινίου, πρὸς ὃ ἐξετείνετο ἡ κάτω πόλις.

*ἱερήν*] Ὁ μὲν σχολιαστὴς τοῦτο δικαιολογεῖ διὰ τοῦ Κύκλωπας κτίσαι τὰ τείχη, πιθανώτερον δὲ ἀντιπαραβαλεῖν τὰς Ὁμηρικὰς μαρτυρίας, καθ' ἃς τινες πόλεις ἀξιοῦνται τοῦ ἐπιθέτου, καθότι κεκοσμημέναι εἰσὶ διὰ ναῶν ἱερῶν καὶ φυλάσσονται ὑπὸ τῶν ἐκεῖ κατοικούντων θεῶν.

*πόρον Ὠκεανοῖο*] Τὸ ῥεῖθρον τοῦ ποταμοῦ.

293. * *Ὄρθον*] Ὡς «ὄρθιον» δηλονότι ὑλακτοῦντα. Ἡμεῖς μὲν μανθάνομεν βραδέως (309) ὅτι ὁ Γηρυόνου κύων τοῦτο τὸ ὄνομα ἔφερε, τοῖς δὲ τότε Ἕλλησιν ὁ μῦθος πασίγνωστος ἦν.

294. *σταθμῷ*] Νῦν μάνδρα λέγεται.

*ἠερόεντι*] Ὅτι ἔκειτο πέραν τῆς ἡλίου δύσεως. Τὰ λοιπὰ ηὕρηνται 215 καὶ 274. — Ὁ ποιητὴς περιγράφει μετὰ νευρώδους βραχυλογίας, οὐδὲν ἀξιομνημόνευτον παραλιπών, τὸν Γηρυόνου μῦθον εἰς ὀλίγους στίχους.

295-6. πρβλ. Ὕμν. Ὁμηρ. 2, 173-4 (1, 351-2): «ἣ δ' ἔτεκ' οὔτε θεοῖς ἐναλίγκιον οὔτε βροτοῖσι δεινόν τ' ἀργαλέον τε Τυφάονα, πῆμα βροτοῖσι».

295. *ἥ*] Κητὼ (270), ὡς συμπεραίνομεν ἐκ 333· πατὴρ δὲ ὑπονοεῖται Φόρκυς (Φερεκύδης ἐν Σχολ. Ἀπολλ. 2, 1248).

*ἀμήχανον*] Πρὸς ἣν οὐδεμία μηχανὴ ὠφελεῖ· «οὐδέ τις ἔστ' ἀλκή» (Ὀδ. μ 120) τῆς ὁμοιοτρόπου Σκύλλης.

296. Τὰ κῶλα ἀμφότερα ἀτεχνῶς ἰσοδυναμοῦσι, διότι οἱ θεοὶ ἀνθρωπίνου σχήματός εἰσιν.

297. Ἐν σπηλαίῳ ζῇ, ἐπειδὴ ἡ φαντασία, κινουμένη τῷ σκότει καὶ τῷ ἀβύθῳ, καθίζει δαιμόνια εἰς τὰς τῶν ὀρῶν

ἥμισυ μὲν νύμφην ἑλικώπιδα καλλιπάρῃον,
ἥμισυ δ' αὖτε πέλωρον ὄφιν δεινόν τε μέγαν τε
αἰόλον ὠμηστήν, ζαθέης ὑπὸ κεύθεσι γαίης
(ἔνθα δέ οἱ σπέος ἐστὶ κάτω κοίλῃ ὑπὸ πέτρῃ
τηλοῦ ἀπ' ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων·
ἔνθ' ἄρα οἱ δάσσαντο θεοὶ κλυτὰ δώματα ναίειν)·
ἡ δ' ἔρυτ' ἐν Ἀρίμοισιν ὑπὸ χθόνα λυγρὴ Ἔχιδνα,
ἀθάνατος νύμφη καὶ ἀγήραος ἤματα πάντα.
Τῇ δὲ Τυφάονά φασι μιγήμεναι ἐν φιλότητι,
δεινόν θ' ὑβριστήν τε ἄνομον, ἑλικώπιδι κούρῃ,
ἡ δ' ὑποκυσαμένη τέκετο κρατερόφρονα τέκνα·

ὀπάς· συντομίας χάριν περιοριζόμεθα εἰς ἓν καὶ μόνον παράδειγμα, τὴν ἐν Θερμοπύλαις «Δρακοσπηλιά».

*θείην*] ὅτι ἀθάνατός ἐστι καὶ ἀγήρως (305) ὡσαύτως τῇ Σκύλλῃ (Ὀδ. μ 118: ἡ δέ τοι οὐ θνητή, ἀλλ' ἀθάνατον γένος ἐστί).

*κρατερόφρων*]=Καρτερόθυμος 225.

298. *νύμφην*] Κόρην.

*ἑλικώπιδα*] Ἴδε τὴν εἰς 16 σημείωσιν.

299. *ἥμισυ*] Ἐννοεῖται τὸ κατώτερον. Τὸ δεύτερον ἥμισυ τοῦ ἑξαμέτρου ἀποτελεῖ γνωστὴ Ὁμήρου φράσις.

300. *αἰόλον*] Τοὺς ποικίλους ὄφεις φοβεῖται ὁ λαὸς τὰ μάλιστα· καὶ οἱ Ἀλβανοί γε τὴν ἐστερχά-ι νομίζουσι κακὸν δαίμονα.

*ὠμηστήν*] Παρὰ τὸ ὠμὸς καὶ ἔδω, ὅπερ παρ' Ὁμήρῳ χρησιμεύει ἐπίθετον οἰωνῶν, κυνῶν, ἰχθύων.

Ἀλλὰ ποῦ κεῖται τὸ γλαφυρὸν σπέος; Ὅπως τοῦτο δηλώσῃ, προσάπτει ὅτι ἦν ὑπὸ τῇ τῆς γῆς ἐπιφανείᾳ.

*ζαθέης*] Ἆρ' οὐ θεὸς ἡ Γῆ;

301-3 καὶ 304-5. Δισσῶς ἐκφράζουσι τὸ ἴδιον. Καὶ ἐκεῖνοι μὲν ἀποτελοῦσι τρίστιχον στροφὴν ὡς καὶ 295-7 καὶ 298-300, οὗτοι δὲ μετὰ 295-300 ἰσαριθμοῦσι τῷ προηγουμένῳ κεφαλαίῳ (287-294).

304. *ἔρυτο*] Ἀόριστος μέσος μετὰ παθητικῆς σημασίας· ὅτε δηλαδὴ ἐγεννήθη, οἱ θεοὶ οὐκ ἀφῆκαν αὐτὴν εἰς τὸ φῶς.

*ἐν Ἀρίμοισι*] Ἰλ. Β 783: «ἐν Ἀρίμοις ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς». Οἱ μεταγενέστεροι ἀνεζήτησαν τὸν τόπον ἐν Μυσίᾳ ἢ Λυδίᾳ, οἱ δὲ ἐν Λυκίᾳ ἢ Κιλικίᾳ, ὅπου τὸ χαραδρῶδες τῆς χώρας ὑπαινίττεται δεινὰς καταστροφάς.

305. *νύμφη*]=298. Τὸ λοιπὸν τοῦ ἑξαμέτρου μετενήνεκται ἐξ Ἰλ. Θ 539. Ἴδε δὲ καὶ τὰ σεσημειωμένα εἰς 277.

306-32. Ἐπεισοδικῶς διηγεῖται τὴν σύζευξιν αὐτῆς τὴν μετὰ Τυφωέως, ὅς γε ἐν πολὺ ὑστέρῳ χωρίῳ μνημονεύεται· ἀλλ' αὐτὸν ἐγνώριζον ἄλλως, ὡς εἴδομεν ἐν τῇ εἰς τὸ ποίημα εἰσαγωγῇ (σ. 52), οἱ τοῦ ποιητοῦ πολῖται.

306. *φασί*] Κεῖται παρ' Ὁμήρῳ ὡσαύτως ἐπὶ Τυφωέως (Ἰλ. Β 783: ὅθι *φασὶ* Τυφωέος ἔμμεναι εὐνάς)· ἐπιτήδειον δὲ φαίνεται τὰ μάλιστα πρὸς τέρατα, ἅτινα φοβοῦνται, ἀλλ' οὐχὶ θρησκευτικῆς λατρείας ἀξιοῦσιν.

307. *ἑλικώπιδι κούρῃ*] Πρβλ. 298.

308. *κρατερόφρονα*] Ἴδε 297.

Ὄρθον μὲν πρῶτον κύνα γείνατο Γηρυονῆϊ.
Δεύτερον αὖτις ἔτικτεν ἀμήχανον οὔτι φατειὸν
Κέρβερον, ὠμηστήν, Ἀΐδεω κύνα χαλκεόφωνον,
πεντηκοντακέφαλον, ἀναιδέα τε κρατερόν τε.

309. Νῦν δὴ γενεαλογεῖται ὁ Ὄρθος (293).

*Γηρυονῆι*] Συντακτέον μετὰ *κύνα*, πρβλ. 287.

310. *ἀμήχανον*] Ἴδε 295.

*οὔτι φατειόν*] Χάριν φράσεως πρβλ. 148. Πρὸς δὲ τὸν τύπον, τὴν ὀρθὴν ἐξήγησιν προξενεῖ τὸ συνώνυμον «οὐ φατός» (Ἀσπ. 230). Ἡ λῆξις *-τειος* λοιπὸν ἀντιστοιχεῖ τῇ ἐν τῇ συνηθείᾳ *-τέος*. Πῶς δὲ τεράστιος ἦν ὁ Ὄρθος; Οἱ Ἡσιόδου ἀκροαταὶ οὐκ ἠγνόουν ὅτι, ἀξίως τοῦ κυρίου, εἶχε δύο κεφαλάς (Ἀπολλόδωρ. 2, 5, 10, 3, οὗ τὴν μαρτυρίαν βεβαιοῖ ἀγγεῖον τοῦ ἐν Μονάχῳ μουσείου ἀρ. 337).

311. *Κέρβερος*] Ὑφ' Ὁμήρου ἀνωνύμως μνημονεύεται· τὸ δὲ ὄνομα, καίπερ ἐξωτερικόν τινα φθόγγον ἔχον, Ἑλληνικόν ἐστιν (κέρβεροι, βάτραχοι ἄφωνοι Σχόλ. Νικάνδρ. Ἀλεξ. 378). Ὁ φόβος αὐτοῦ παιδόθεν τοσοῦτο ἐναπετυποῦτο εἰς τὰς τῶν Ἑλλήνων ψυχάς, ὥστε οὐδὲ ἐκ πολλῶν αἰώνων Χριστιανίζοντες, ἐπιλανθάνονται αὐτοῦ· «εἶνε σκυλὶ τρικέφαλο, ποὺ καίει σὰ' φωτία, ἔχει τὰ 'νύχια πουντερὰ καὶ τὴν ὀρὰ μακρύα, 'βγάνει φωτιὰ 'φ' τὰ μάτια του, ἀπὸ τὸ στόμα λάβρα, ἡ γλῶσσά του εἶνε μακρυά, τὰ 'δόντια του εἶνε μαῦρα» (Schmidt, Märchen, σ. 179, στ. 15-18). Παρὰ τῶν Ἑλλήνων μαθόντες οἱ ἐν Ἠπείρῳ Τόσκοι μυθολογοῦσι περὶ κυνὸς τρικεφάλου καὶ ἀγρύπνου (Hahn, albanesische Studien, Β', σ. 166). Ζωηροτάτη ἔμεινεν ἡ δοξασία ἐπὶ τῷ Ταινάρῳ, ὅπου, ὡς ὁ τῶν παλαιῶν μῦθος, Ἡρακλῆς ἐκόμισε τὸν κύνα ἐκ τοῦ Ἅδου. Ἐχέτω δὲ τὸν λόγον ὁ de la Guilletiere, ὃς ἐν τοῖς πρώτοις τὴν νεωτέραν Ἑλλάδα τῇ δύσει γνωστὴν κατέστησε: «Le vulgaire dit encore aujourd'hui par tout le Brazzo di Maina (οὕτως ὠνόμαζον οἱ Βενετοὶ τὴν Μάνην), que le diable sort tous les jours par cette caverne pour aller à la chasse, *déguisé en chien courant*» (Athènes ancienne et nouvelle, σ. 55). Καθ' ἡμᾶς δὲ αὐτόθι οὐκ ἀπομένει εἰ μὴ ἡ μνήμη τῆς εἰς τὸν Ἅδην εἰσόδου (Maurer, das griechische Volk, Α', σ. 3).

*ὠμηστήν*] Χάριν ἐτυμολογίας ἔπιθι 300. Ἐσθίει, κατὰ τὸν 773 στ., τοὺς νεκρούς.

*Ἀΐδεω*] Σημαίνει τὸν τοῦ κάτω κόσμου θεόν· ὕστερον δὲ ἐκ τῆς ἐλλειπτικῆς φράσεως «ἐν Ἅδου (οἴκῳ)» ἀνεπτύχθη ἡ νῦν σημασία τοῦ «Ἅδης». Οἱ Βυζαντῖνοι ἔστιν ὅτε τὸ πρόσωπον διεφύλαξαν ἐν τῇ καλλιτεχνίᾳ (πρβλ. ψαλτήριον τοῦ ΙΓ' αἰῶνος, ὃ περιγράφει G. Voss ἐν τῇ Zeitschrift für bildende Kunst 1884, σ. 335).

*χαλκεόφωνον*] Ὁμοίως τῷ Ὁμήρου Στέντορι (Ἰλ. Ε 785), πρβλ. Ἀσπ. 243: χάλκεον ὀξὺ βόων, Ἰλ. Σ 222: ὄπα χάλκεον. Ἡ μεταφορὰ διαφωτίζεται ἐξ ἄλλων ἐπιθέτων τῆς φωνῆς, «ἄρρηκτος» (Ἰλ. Β 490) δηλαδὴ καὶ «ἀτειρής».

312. Ὁ ἀγοραῖος μῦθος, χάριν τῶν τεχνιτῶν, τῷ Κερβέρῳ τρεῖς μόνον κεφαλὰς συγχωρεῖ.

*ἀναιδέα*] Ἀνηλεᾶ, ὥσπερ ὁ Σισύφου λίθος (Ὀδ. λ 597) καὶ ὁ θάνατος (Θέογνις 207), πρβλ. 764. Οὐκ ἀφίησι δηλονότι τοὺς ἐν Ἅδου ἔξω.

*κρατερόν*] Ἴδε 225.

Τὸ τρίτον Ὕδρην αὖτις ἐγείνατο λυγρὰ ἰδυῖαν
Λερναίην, ἣν θρέψε θεὰ λευκώλενος Ἥρη,
ἄπληστον κοτέουσα βίῃ Ἡρακληείῃ·
καὶ τὴν μὲν Διὸς υἱὸς ἐνήρατο νηλέϊ χαλκῷ
Ἀμφιτρυωνιάδης σὺν ἀρηϊφίλῳ Ἰολάῳ
Ἡρακλέης βουλῇσιν Ἀθηναίης ἀγελείης.

313. *λυγρὰ ἰδυῖαν*] Ἴδε 236.

314. *Λερναίην*] Ἡ ἐφώλευεν ἐν Λέρνῃ τῆς Ἀργολίδος, ὅπου νῦν, πλέον ἢ μίαν ὥραν διέχον τῆς πόλεως, τὸ χωρίον Μύλη κεῖται πρὸς τῇ εἰς Τρίπολιν ἀγούσῃ ὁδῷ. Ἐκεῖ τὸ Ποντίνου ὄρος ἀποτελεῖ στενόν τι, εἰς ὅπερ τὸ δαψιλῶς τὴν χώραν ποτίζον ὕδωρ ἀναστέλλεται, ὥστε ὁ τόπος ἑλώδης ἀποβαίνει. (Χάρτην εὑρήσει τις ἐν τῷ γ' πίνακι τοῦ β' τόμου τῆς Ἑλληνικῆς γεωγραφίας τοῦ ἀοιδίμου Bursian). Ἐν τῷ τῆς Λέρνης ἕλει λοιπόν (Ἀπολλόδ. 2, 5, 2, 1), ἤτοι τῇ Ἀλκυονιδικῇ λίμνῃ, δράκων ποτὲ κατῴκησεν, ὃς ἐλυμαίνετο τὰ πέριξ. Ἐπ' ἀληθείᾳ, οἱ ὄφεις καὶ ἔχιδναι φιλοῦσι τὸ ὑγρόν· ὅθεν τὰ ἕλη, ἔχοντα τοὺς καλάμους ἀδιοράτους, ὑποτίθενται κατοικητήρια ὄφεων πελωρίων. Ἐπὶ Ῥόδου τῷ 1342 ἐν τῷ πλησίον τῆς πόλεως ἕλει δράκων ἔφαγεν ἀνθρώπους καὶ ποίμνια, τέλος δὲ ὑφ' ἱππέως γενναίου ἐφονεύθη. Αἱ δὲ πολλαὶ κεφαλαὶ αἰνίττονται τὰς πηγάς, ἐξ ὧν γίνεται τὸ ἕλος· ὁ γὰρ λαὸς ἐκείνας ὀνομάζει *κεφαλάρια*, ὅπερ ἀρχαιότατον, Ἡροδότου ἤδη οὕτω χρωμένου τῇ λέξει *κεφαλή* (4, 91). «Ὁ δράκοντας τῶν ἑβδομῆντα βρύσων» (Ἀραβαντ. Συλλ. 448, 5) λοιπὸν δύναιτ' ἂν ὀνομασθῆναι ἑβδομηκοντακέφαλος. Πρὸ πεντήκοντα ἔτι ἐνιαυτῶν ὁ περὶ τὴν Λέρναν τόπος τοῖς κατοίκοις ἀνησυχίαν προεξένησε φοβουμένοις κακὰς Νεράϊδας (Maurer, das griechische Volk, Α', σ. 3).

315. *βίῃ Ἡρακληείῃ*] 289. Ἡ ὕδρα ἔμελλε βλάψειν τὴν τοῦ Εὐρυσθέως χώραν ἵνα ἐκπέμψῃ οὗτος τὸν Ἡρακλέα.

316. *μὲν* (βεβραχυμένον ἐκ *μὴν*) οὐκ ἀντίθεσιν ἐπαγγέλλει, ἀλλὰ ἐνδυναμοῖ τὴν δεικτικὴν ἀντωνυμίαν· ἡ αὐτὴ ἀρχὴ εὑρίσκεται Ἰλ. Ζ 183 ἐπὶ ὁμοίου πράγματος.

*ἐνήρατο*] Τὸ «ἐναίρομαι» παρῆκται ἀπὸ τοῦ «ἔναρα» (λάφυρα).

*νηλέϊ χαλκῷ* = Ἰλ. Μ 427 κἀ. Τῷ ἀψύχῳ ὁ ποιητὴς ἐμπνέει ζωὴν καὶ αἰσθήματα.

317. *Ἀμφιτρυωνιάδης* καὶ παρ' Ὁμήρῳ ὁ Ἡρακλῆς καλεῖται, εἰ καὶ Ἀμφιτρύων τροφεὺς μᾶλλον ἢ πατὴρ ἦν· ἐπειδὴ ὅμως προηγεῖται «Διὸς υἱός», παρεννοῆσαι οὐκ ἔστιν. Ὡσαύτως οὐχὶ μόνον οἱ Διόσκουροι καλοῦνται Τυνδαρίδαι (Πινδάρ. Πυθ. 1, 66. Νεμ. 10, 38. Εὐριπ. Ἠλ. 1295. Ὀρ. 1689. Ἀνθολογ. παράρτ. 188, 1, 2 κἀ.), ἀλλὰ καὶ καθ' αὐτόν: ὁ ἀθάνατος Πολυδεύκης (Πινδάρ. Νεμ. 10, 73).

*σὺν ἀρηϊφίλῳ Ἰολάῳ*] Τῷ πιστῷ ἑταίρῳ, ὃς ἐκαυτηρίασε τοὺς διατμηθέντας ὑφ' Ἡρακλέους τραχήλους. Ὁ μῦθος ἐγένετο ἐκ τοῦ ὅτι, ὡς πᾶς τις γεωργὸς τῆς Ἑλλάδος ἐπίσταται, οἱ ὄφεις ἐντελέστατα ἐξολοθρεύονται, ἂν ἐκκαύσῃ τις τοὺς ἐν οἷς φωλεύουσι καλάμους.

*ἀρηΐφιλος*] Ὡ ἀνάλογον *διΐφιλος*, συνίζησεν ἐκ τοῦ Ἄρηϊ φίλος εἰς μίαν λέξιν.

*ἀγελείης*] Ἀγούσης λείαν, συνωνυ-

Ἡ δὲ Χίμαιραν ἔτικτε πνέουσαν ἀμαιμάκετον πῦρ,
δεινήν τε μεγάλην τε ποδώκεά τε κρατερήν τε.
Τῆς δ' ἦν τρεῖς κεφαλαί, μία μὲν χαροποῖο λέοντος,
ἡ δὲ χιμαίρης, ἡ δ' ὄφιος, κρατεροῖο δράκοντος
[πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,
δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο].
Τὴν μὲν Πήγασος εἷλε καὶ ἐσθλὸς Βελλεροφόντης.

μεῖ τῷ παρ' Ὁμήρῳ: *ληῖτις* (Ἰλ. Κ 460).

319. Ἡ δὲ] ἡ αὐτὴ Ἔχιδνα.

*Χίμαιρα*] Κύριον ὄνομα, ὅπερ οὐχ ἧττον ἢ Ἔχιδνα παρελήφθη ἀπὸ ἑνὸς μέρους τοῦ μικτοῦ σχήματος· ἐπειδὴ χίμαιρα σημαίνει αἶγα.

*ἀμαιμάκετον*] Πῦρ (ἣν φράσιν προσίεται καὶ Σοφοκλῆς, Οἰδ. Τύρανν. 177 χορ.) καὶ «ἀμαιμάκετος χίμαιρα» (Ἰλ. Ζ 179. Π 329) ἐπονομάζονται παρὰ τὸ ῥῆμα «μαιμάσσω» (ἐνεστῶτα ἀναδεδιπλασιασμένον τοῦ θέματος ΜΑΚ). Ἐπειδὴ Ἡσύχιος «μαιμάκτης» ἑρμηνεύει «μείλιχος», ἀμαιμάκετος ἑπομένως οὐ διαφέρει τοῦ ἐπικοῦ ἐπιθέτου «ἀμείλιχος» ἢ ἄκαμπτος. Ἀλλὰ τοῦτο μὲν κυρίως ἁρμόζει τοῖς δυσθραύστοις ἱστοῖς (Ὀδ. ξ 311) καὶ δόρασι (Κόϊντ. Σμυρν. 1, 523). Ἡ δὲ περὶ ἧς ὁ λόγος λέξις μεταφορικῶς κεῖται, ὥσπερ καὶ Ἀσπ. 207 ἐπὶ τῆς θαλάσσης (ἐπὶ τοῦ πόντου Πινδάρ. Πυθ. 1, 14).

320. *τε μεγάλην*] – ◡ ◡ –, ᾧ ἀντιστοιχεῖ ἐν τῷ αὐτῷ ποδὶ τοῦ ἑξαμέτρου «τε μεγάλη τε» (Ὀδ. ξ 7).

*ποδώκεα*] Τούτου ἕνεκα ὁ Βελλεροφῶν τοῦ πτερωτοῦ Πηγάσου χρείαν εἶχεν.

*ἦν*] ἦσαν, κατὰ τὸν ἀρχαιότερον κανόνα, περὶ οὗ εἴπομεν ἐν τῇ εἰσαγωγῇ, ἀκουσίως τότε ἀποσιωπήσαντες ὅσα Κόντος περὶ τούτων τῶν βραχυτέρων τύπων ἀπεθησαύρισεν εἰς τὸν Λόγιον Ἑρμῆν (Α', σ. 328).

*χαροποῖο*] Σύνθετος ἡ λέξις ἀπὸ τῆς ῥίζης ΧΑΡ (σανσκριτιστὶ ghar) καὶ ΟΠ (βλέπ-ω), ὥστε δηλοῖ τὸ ἀστράπτον καὶ δριμὺ τοῦ βλέμματος. Ὁ Χάρων ἀπὸ τούτου ἔχει τὸ ὄνομα, ὅπερ οὐχ ἤδη λανθάνει τὸν καθ' ἡμᾶς λαόν (Passow 428, 4. 516, 20, πρβλ. καὶ Βιργίλιον ἐν Αἰνηΐδ. 6, 300 stant lumine flamma). Ὅστιςδήποτε τὸ τοῦ λέοντος ἐπίθετον ἔπλασε, παρετήρησεν ὀρθῶς τὸ ἰδίωμα τοῦ τῶν ζῴων βασιλέως· πολλοῖς αἰῶσιν ὕστερον Πλίνιος ὁ συνερανισάμενος ἐξ ἀναρίθμων βιβλίων Ἑλληνικὴν σοφίαν σημειοῦται ὅτι τοῦ λέοντός ἐστιν ἔξοχος δύναμις ἐν τοῖς ὄμμασιν (est leoni praecipua vis in oculis, Φυσ. Ἱστ. 8, 16).

322. *χίμαιρα*] Θηλυκὸν τοῦ χίμαρος (τράγος).

*ὄφιος*] Ἡ λέξις *ὄφις* περιλαμβάνει καὶ βλαβερὰς καὶ ἀκάκους, ὥσπερ καὶ νῦν (ὀ)*φίδι*(ον). Διὸ προστίθησι «δεινοῖο δράκοντος», ὅπερ ἐπιτηδειότατ' ἂν μεταφράσαιμεν «ὀχιᾶς».

323 καὶ 324 κατὰ τὸν τῶν Ἀλεξανδρέων ἤδη αἰῶνα παρεμβεβλημένοι ἦσαν ἐξ Ἰλ. Ζ 181-2. Ἐκφράζουσι ταὐτό, ὅπερ οἱ γνήσιοι στίχοι, κατὰ βραχυλογίαν δηλαδὴ τὸ ζῷον αὐτὸ εἰσάγεται ἀντὶ τῆς κεφαλῆς, πρὸς ὃ ἀντιπαραβάλλομεν Ὀρφ. Ἀργον. 980 κἑ. (ὁ λόγος περὶ τῆς τρικεφάλου Ἑκάτης): Λαιοῦ δέ οἱ ἔσσετ' ἐπ' ὤμου *ἵππος χαιτήεις* κτλ.

325. Ὅτι ὁ Βελλεροφῶν τὴν νίκην οὐκ ἂν κατώρθωσεν, εἰ μὴ τὸν Πήγασον εἶχε καὶ χάριν τῆς ταχύτητος αὐτοῦ

Ἡ δ' ἄρα Φῖκ' ὀλοὴν τέκε Καδμείοισιν ὄλεθρον,
Ὄρθῳ ὑποδμηθεῖσα, Νεμειαῖόν τε λέοντα.
Τόν ῥ' Ἥρη θρέψασα, Διὸς κυδρὴ παράκοιτις,
γουνοῖσιν κατένασσε Νεμείης πῆμα βροτοῖσι·
ἔνθ' ὅγε οἰκείων ἐλεφαίρετο φῦλ' ἀνθρώπων,
κοιρανέων τρητοῖο Νεμείης ἠδ' Ἀπέσαντος·

«εἷλε» τὸ τέρας, Ἡσίοδος ἐξαίρει τοῦτον διαπρεπῶς. Οὗ μύθου χριστιανικὴ ἀπήχησις δοκεῖ ὁ Κρητῶν λόγος ὅτι ὁ ἅγιος Νικήτας διιππεύει τὸν ἀέρα ἐφ' ἵππου λευκὰ πτερὰ ἔχοντος (Spratt, Travels and researches in Crete I, 346).

326. *ἡ δ' ἄρα*] Ἔχιδνα (Εὐριπ. Φοίν. 1020. Ἀπολλόδ. 3, 5, 8, 2. Ὑγίν. Μῦθ. προλ. σ. 15. κεφ. 151), οὐ Χίμαιρα, ὅπερ ἀποδέχονται ὁ σχολιαστὴς καὶ Ἰωάννης Διάκονος, ἔτι δὲ Σχόλ. Εὐριπ. Φοίν. 46. Κλαυδιαν. Ἐγκώμ. Ἡρακλέους 76). Εὔδηλον ὅτι ὁ στ. 326 ἀντιστοιχεῖ τῷ στ. 319. Τὸ Ἔχιδναν συζεύγνυσθαι Ὄρθῳ τῷ ἑαυτῆς υἱῷ, τοσούτῳ ἧττον ἀλλόκοτον ἐν τοιούτοις τέρασιν, ὅσῳ ταὐτὸ ἐγένετο ἐπὶ Γῆς καὶ Ὠκεανοῦ.

326. * *Φῖκα*] Τὸ ἀρχαιότερον ὄνομα τῆς Σφιγγός, ὅπερ οἱ μεταγενέστεροι κατὰ τὴν λαϊκὴν λεγομένην ἐτυμολογίαν ἀφωμοίωσαν τῷ ῥήματι «σφίγγω», διέμεινε καὶ ἐν τῷ Φικίῳ ὄρει, ὃ εὑρήσομεν Ἀσπ. 33. Πότερον ἡ Φὶξ ἐκ τῆς ἐπιχωρίου δεισιδαιμονίας ἐγεννήθη ἢ ἐξ Αἰγύπτου διὰ τῶν Φοινίκων ἀνεκοινώθη τοῖς Ἕλλησιν, οὐδεὶς ἂν διαβεβαιώσειεν. Ἀλλ' ὅμως ὁ μῦθος ἐν τῇ Ἑλλάδι στερεῶς ἐρριζοβόλησε καὶ ἐγκατεγήρασε μέχρι τῶν νῦν χρόνων (Schmidt, Märchen, σ. 247 κἑ.).

*Καδμείοισι*] Τοῖς κατοικοῦσι τὴν Καδμηΐδα γῆν (Ἔ. 162), ἤτοι τὴν Θηβαϊκήν, ἧς ἐπώνυμος ἥρως ἦν Κάδμος (Ἔ. 162).

*ὄλεθρον*] Δεύτερον ἀντικείμενον, ᾧ συντάσσεται ἡ δοτική, πρβλ. 223.

327. *Ὄρθῳ*] Περὶ οὗ ἐμάθομεν τὰ δέοντα εἰς στ. 309.

*Νεμειαῖόν τε λέοντα*] Κατὰ τὸν πέμπτον καὶ τέταρτον π. Χ. αἰῶνα εἰσέτι ὑπῆρχον λέοντες ἐπὶ τοῖς πρὸς βορρᾶν μεθορίοις τοῦ Ἑλληνισμοῦ (Ἡρόδοτ. 7, 126. Ἀριστοτ. περὶ ζῴων 6, 31. 8, 28. Παυσαν. 6, 5, 5).

328. *θρέψασα*] πρβλ. 314.

*Διὸς κυδρὴ παράκοιτις*] = Ἰλ. Σ 184.

* Κυδρὴ παρὰ τὸ κῦδος, ὁ δὲ ὑπερθετικὸς *κύδιστος*. Ἀξιομνημόνευτον, ὅτι ἐν Ἰλ. Φ 483 περὶ τῆς Ἥρας ἀναγινώσκομεν· «ἐπεί σε *λέοντα* γυναιξὶν Ζεὺς θῆκεν καὶ ἔδωκε κατακτάμεν ἥν κ' ἐθέλῃσθα».

329. *γουνοῖσιν*] Ἔπιθι 54.

*κατένασσε*] Ὁ ἐνεργητικὸς ἀόριστος τοῦ ῥήματος «ναίω» αἰτιατικὴν ἔχει τὴν σημασίαν (ἀπῴκισεν, ἐγκατέστησεν), πρβλ. Ὀδυσσ. δ 174: οἱ Ἄργεϊ νάσσα πόλιν.

*Νεμείη*], Ὁ ὑπὸ τῶν πεζογράφων Νεμέα καλεῖται, κοιλὰς μικρὰ μέν, εὔφορος δέ ἐστι, περὶ πέντε ὥρας ἀπέχουσα τῆς Κορίνθου. Περιώνυμον δὲ ἐγένετο εἰς ἀεὶ διὰ τὰ Νέμεια ἤτοι τοὺς Νεμείους ἀγῶνας, οὓς κατέστησαν, κατὰ τὸν μῦθον, οἱ Ἑπτὰ ἐπὶ Θήβας.— Ὁμοίως τῇ ὕδρᾳ (315) ὁ λέων ζημιοῖ τὴν Ἀργολικὴν ἵνα ἐκπεμφθῇ ὁ Ἡρακλῆς.

330. *οἰκείων*] Οἰκέων.

*ἐλεφαίρετο*] Ἔβλαπτεν.

*φῦλ' ἀνθρώπων*] Ὁμηρικὴ περίφρασις.

331. *κοιρανέων*] Τὸ μὲν οἱ μῦθοι

ἀλλά ἑ ἶς ἐδάμασσε βίης Ἡρακληείης.
Κητὼ δ' ὁπλότατον Φόρκυϊ φιλότητι μιγεῖσα
γείνατο δεινὸν ὄφιν, ὃς ἐρεμνοῖς κεύθμασι γαίης
πείρασιν ἐν μεγάλοις παγχρύσεα μῆλα φυλάσσει.

κατοικίζουσι τοὺς «δράκους» εἰς ἀνάκτορα· τὸ δὲ μάλιστα τῷ λέοντι πρέπει ἡ λέξις ὡς βασιλεῖ τῶν ζώων. Θαυμαστὸς ὡς ἀληθῶς ὁ παραλληλισμὸς ὁ τοῦ προκειμένου χωρίου καὶ οὗτινος ηὗρον ἐν μύθῳ τῶν ἁγίων Σισιννίου καὶ Σισυνοδώρου (ἐκδοθέντι ὑπὸ Λέοντος Ἀλλατίου, de quorundam Græcorum opinationibus, σ. 134)· αὐτόθι ὑπισχνεῖται ἡ κατανικηθεῖσα Γειλλὼ(Γελώ)· «Οὔτε *δυναστεύσω* τὸν οἶκον αὐτοῦ».

*τρητοῖο*] Τετρυπημένης· τὸ γὰρ πλησίον ὄρος (ὃ νῦν λέγουσι Κορακοβοῦνι) τετρύπηταί πως πολλοῖς σπηλαίοις,ὅθεν καὶ ὠνομάσθη Τρητόν. Ἰδίᾳ δὲ ἐδείκνυον «περὶ τὴν ῥίζαν (τοῦ ὄρους) διώρυχα διηνεκῆ, καθ' ἣν εἰώθει φωλεύειν τὸ θηρίον» (Διόδωρ. Σικελ. 4, 11, 3)· «συμφυγόντος δὲ εἰς (τοῦτο τὸ) ἀμφίστομον σπήλαιον αὐτοῦ, τὴν ἑτέραν (ὁ Ἡρακλῆς) ἀπῳκοδόμησεν εἴσοδον» (Ἀπολλόδωρ. 2, 5, 1, 3)· ἔτι δὲ Παυσανίας (2, 15, 2) οὐκ ἀνωφελῶς ἀναγνωσθήσεται.

Οἱ βορειοδυτικοὶ λόφοι τοῦ Τρητοῦ συνάπτονται μετὰ τοῦ *Ἀπέσαντος* (νῦν Φοῦκα λεγομένου) ὅσπερ, ἀνυψούμενος μέχρις 873 μέτρων, τὴν κοιλάδα ὁρίζει πρὸς ἀνατολάς, ὥστε ἀποτελοῦσι *γουνὸν* ἢ γωνίαν.

332. *βίης Ἡρακληείης*] Ὁ συνήθης πλεονασμός, ὃν ἀπηντήσαμεν ἐν στ. 289, ἐνταῦθα ἐξώγκωται τῇ προσθήκῃ τοῦ *ἴς* (βία).

333. *ὁπλότατον*] Ἴδε 37.

* *Φόρκυϊ*] Ἔπιθι 237.

334. *ὄφιν* (◡ – πρὸ τῆς πενθημιμεροῦς)] Ὁ δράκων ὑπὸ μεταγενεστέρων μυθολόγων Λάδων καλεῖται.

*ἐρεμνοῖς κεύθμασι γαίης*] Ἐν τοῖς σκοτεινοῖς (παρὰ τὸ ἔρεβος) κεύθμασι γῆς ἤγουν ὑπὸ τὴν γῆν.

335. *πείρασιν ἐν μεγάλοις*] Καὶ πρὸς ταῦτα ἀναφέρειν χρὴ τὸ *γαίης*, ὅτι αἱ Ἑσπερίδες ἐν τοῖς πέρασι τῆς γῆς οἰκοῦσι (518), πρβλ. 622.

*παγχρύσεα*] Οὐχὶ ἐπίχρυσα, προστίθησιν ὁ βιομήχανος ἀνήρ.

*φυλάσσει*] Ἐκ τοῦ ἐνεστῶτος χρόνου προαγόμεθα πρὸς τὴν εἰκασίαν, ὅτι Ἡσίοδος οὐκ ἐπίστευσεν, ὡς Ἡρακλῆς τὸν δράκοντα ἀπέκτεινεν, ἀλλ' ἐκείνοις συνέθετο, καθ' οὓς Ἄτλας αὐτῷ ἐκόμισε τὰ μῆλα· οὗτος ὁ μῦθος ἀπεικόνιστο ἐπὶ τῆς λαμπροτάτης τῶν Κυψελιδῶν λάρνακος (Παυσαν. 5, 18, 4).—Οἱ δεισιδαίμονές τε καὶ φιλόχρυσοι δοξάζουσιν, ὅτι οἱ ὄφεις, συχνάκις ἐν ἐρειπίοις φωλεύοντες, φυλάσσουσι θησαυρούς (Schmidt, Volksleben, σ. 192 f). Ἡ δοξασία αὕτη ἐν Ἑλλάδι πρὸ πολλῶν αἰώνων ὑπῆρχεν. Λεξικογράφος τις, πρὸ Αὐγούστου τοῦ αὐτοκράτορος ἀκμάσας, ὃν ἀντιγράφει Φῆστος ὁ Ῥωμαῖος, ἐτυμολογεῖ τὴν λέξιν «δράκων» ἀπὸ τοῦ ῥήματος δρακεῖν· διὸ φυλάσσειν τοὺς θησαυρούς. Κατὰ δὲ Ἀρτεμίδωρον τὸν ὀνειροκρίτην (2, 13), σημαίνει δράκων ἐν ὕπνῳ ὁρώμενος «πλοῦτον καὶ χρήματα διὰ τὸ ἐπὶ θησαυροὺς ἱδρῦσθαι». Πρὸς τούτοις ὁ ἅγιος Βασίλειος ἐν τῷ πρὸς τοὺς νέους λόγῳ (20, 85) ἀστείως παραλέγει· «Εἰ μὴ κατὰ τοὺς ἐν τοῖς μύθοις δράκοντας ἡδονήν τινα φέροι θησαυροῖς κατορωρυγμένοις ἐπαγρυπνεῖν». Πρβλ. καὶ Φαίδρου Μῦθ. Αἰσωπ. 3,20, Λυκόφρονα Κάσσ. 1311, Μακροβ. Saturnalia 1, 20. Ἐπιστημονικώτερον δέ πως λέγει Φιλόστρατος (Εἰκόν. 2, 17, σ. 421, 10): «δράκων πλούτου τινός,

Τοῦτο μὲν ἐκ Κητοῦς καὶ Φόρκυνος γένος ἐστί.
Τηθὺς δ' Ὠκεανῷ Ποταμοὺς τέκε δινήεντας,
Νεῖλόν τ' Ἀλφειόν τε καὶ Ἠριδανὸν βαθυδίνην,
Στρυμόνα Μαίανδρόν τε καὶ Ἴστρον καλλιρέεθρον

οἶμαι, φύλαξ, ὃς ὑπὸ τῇ γῇ κεῖται· τοῦτο γὰρ λέγεται τὸ θηρίον εὔνουν τε εἶναι τῷ χρυσῷ καὶ ὅ,τι ἴδῃ χρυσοῦν ἀγαπᾶν καὶ θάλπειν». — Εἰδικῶς ὁ τῶν χρυσῶν μήλων καὶ τοῦ φυλάσσοντος δράκοντος μῦθος οὐ τῆς μυθολογίας, ἀλλὰ τῶν «παραμυθίων» ἢ ἀπολόγων ἐστίν. Ὅθεν οἱ Θηραῖοι διηγοῦνται εἰσέτι, ὅτι δράκος φρουρεῖ πορτοκαλλιὰ (Deffner ἐν τῷ Ἀρχείῳ, σ. 129) καὶ οἱ Ἠπειρῶται λέγουσι τάδε· «'ς ἕναν τόπον μακρινὸν ἦταν μιὰ μηλιὰ ὅπ' εἶχε τρία μῆλα ξαϊκουστά . . . . ὁ δράκος ποὺ τὰ φύλαε» κατεσθίει τοὺς ἁρπάζειν βουλομένους (Ἑλλην. Φιλολ. Σύλλ. πρακτ. τ. ΙΔ', σ. 259).

336. Ἐπισημειοῖ τὸ τέρμα τοῦ κεφαλαίου. Μετὰ τῶν Κητοῦς ἀπογόνων συνείρει ὁ ποιητὴς ἁρμοδιώτατα ἄλλους θαλασσίους θεούς.

*337-616. Ἀπόγονοι καὶ πράξεις τῶν Οὐρανιδῶν.*

337. *Τηθύς*] Συγγενής ἐστι τῷ *τήθη*.

Οἱ ποταμοὶ προσωπικῶς προσεκυνοῦντο, ὡς δύναμιν τὸ μὲν μακαριωτάτην, τὸ δὲ βλαβερωτάτην ἔχοντες. Κατὰ τὸν μέσον αἰῶνα οἱ καλλιτέχναι τὴν Ἑλληνικὴν παράδοσιν ἐτήρησαν (Unger ἐν τῇ Ἐγκυκλοπαιδείᾳ τοῦ Ersch καὶ Gruber τμ. Α', τ. 84, σ. 457-8). Νῦν δὲ ὁ λαὸς φοβεῖται κατὰ τὸ μᾶλλον ἢ ἧττον «τὰ στοιχειὰ τῶν ποταμῶν», ἅτινα καὶ ἀπαιτοῦσι θύματα, ἵνα μὴ κωλύωσι τὴν γεφύρας οἰκοδομήν. Πρβλ. καὶ Passow τραγ. 401. — Τῇ Ἡσιοδείῳ γενεαλογίᾳ ἀναλογεῖ νεώτερος μῦθος, ὅτι οἱ ποταμοὶ ἅπαντες ἐκγίνονται ἀπὸ τῆς θαλάσσης (Schmidt, Märchen, Leipzig 1877, σ. 143-4).

338. Οἱ ποταμοὶ ἄνευ τάξεως ἀπαριθμοῦνται καθὼς τὸ μέτρον ὁρίζει, μόνον ὁ Νεῖλος, ἅτε ὁ μέγιστος ὢν ὁ ποιητὴς γινώσκει ποταμὸς ὤν, τυγχάνει τῆς πρωτοστασίας. Περὶ τοῦ ὀνόματος τούτου ἐν τῇ εἰσαγωγῇ εἴπομεν, ὅτι ἐνταῦθα ἡ πρώτη μαρτυρία τοῦ Νείλου εὑρίσκεται, ἐπειδὴ Ὅμηρος τῷ «Αἴγυπτος» χρῆται. Τὸν δὲ Ἡσίοδον ἀκολουθοῦσιν ὁ ποιήσας τὴν Δαναΐδα (παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ ἐν Στρωματ. ϛ', σ. 224) καὶ Σόλων (παρὰ Πλουτάρ. Σόλ. 26).

*Ἀλφειός* (Ῥουφειᾶς, ὅπερ παρέφθαρται ἐκ τοῦ κατὰ τὸν νεώτερον κανόνα Ἀρφειός)] Ὁ μέγιστος ποταμὸς τῆς Πελοποννήσου, ὃν καθιέρωσεν ἡ σύνεγγυς Ὀλυμπία.

*Ἠριδανός*] Κατὰ τὸν Στράβωνα εἰπεῖν (5, 1, 9 σ. 215, ᾧ συμφωνεῖ Ἡρόδοτος 3, 115), οὐδαμοῦ γῆς ἦν, ἀλλὰ ἐν τῇ μυθολογίᾳ καὶ τὰ μάλιστα ἐν τῷ περὶ τοὺς Ἀργοναύτας μύθῳ ὑπῆρχεν. Τὸ ὄνομα Ἑλληνικόν, ὅθεν ἔφερον αὐτὸ καὶ ῥύαξ τῆς Ἀττικῆς (Πλάτ. Κριτίᾳ σ. 112 a κἀ.) καὶ ἀνὴρ Μιλήσιος (ἐπὶ νομίσματος περιγραφομένου ὑπὸ Mionnet, Description des médailles grecques τ. Γ', σ. 267).

*βαθυ-δίνη-ς*] Ταὐτὸ βούλεται τῷ ἀσυνθέτῳ ἐπιθέτῳ.

339. *Στρυμών* (Στροῦμα)] Διαρρεῖ πολλῷ τῷ ῥεύματι τὴν Μακεδονίαν, τῷ δὲ Ἡσιόδῳ, εἰ μὴ ἄλλως, ἀπὸ μύθων (π. χ. Ἀπολλόδωρ. 1, 3, 4. 2, 5, 10, 12. 3, 5, 1, 3) γνωστὸς ἐγένετο.

*Μαίανδρος* (Μενδερές)] Ἐκβάλλει πλησίον τῆς Μιλήτου.

*Ἴστρος*] Οὐχ ἧττον ἢ ὁ Ἠριδανὸς ἐν Οὐτοπίᾳ ηὑρίσκετο. Πίνδαρος ἔτι αὐτὸν ἐγκατέστησεν εἰς τὴν τῶν μυθω-

Φᾶσίν τε Ῥῆσόν τ' Ἀχελώϊόν τ' ἀργυροδίνην
Νέσσον τε Ῥοδίον θ' Ἁλιάκμονά θ' Ἑπτάπορόν τε
Γρήνικόν τε καὶ Αἴσηπον θεῖόν τε Σιμόεντα
Πηνειόν τε καὶ Ἕρμον ἐΰρρείτην τε Κάϊκον
Σαγγάριόν τε μέγαν Λάδωνά τε Παρθένιόν τε
Εὔηνόν τε καὶ Ἄρτησκον θεῖόν τε Σκάμανδρον.

δῶν Ὑπερβορείων χώραν (Ὀλ. 3, 14 κἑ.). Ὕστερον δὲ ἅπαντες συνεφώνησαν, ὡς ὁ Δούναβις πρότερον οὕτως ἐκλήθη. Ἀνήκει ἐπίσης εἰς τὸν τῶν Ἀργοναυτῶν πλοῦν.

340. Ταὐτὸ ῥητέον περὶ τοῦ *Φάσιδος*, ὃν οἱ μεταγενέστεροι πρὸς τῷ Καυκάσῳ ἀνεζήτουν.

*τε*] Ἐνταῦθα καὶ ἐν τῷ ἑπομένῳ στίχῳ μετὰ τοῦ ἀρχικοῦ Ῥ ἀποτελεῖ συλλαβὴν μακράν, ὥσπερ καὶ 135.

*Ἀχελώϊος*] Ὁ μέγιστος ποταμὸς τῆς κατὰ τὴν στενωτέραν σημασίαν Ἑλλάδος, οὗ τὸ ὄνομα ἅπαντας τοὺς ποταμίους θεοὺς ἐν γένει ἐσήμαινε καὶ ὃς διεπάλαισε πρὸς Ἡρακλέα. Ὡς δεῖγμα τοῦ τύπου χρησιμευέτω νόμισμα τῶν Ἀκαρνάνων, ἀπεικονισθὲν ἐν τῇ ὑπὸ Σπ. Λάμπρου Ἱστορίᾳ τῆς Ἑλλάδος τ. Α', σ. 12.

*ἀργυροδίνην*] Τὸ ἐπίθετον (ὅπερ παρέλαβε Διονύσιος ὁ Περιηγητὴς στ. 433) ἔπλασεν εἴτε Ἡσίοδος εἴτε ἄλλος τις ποιητὴς ἰδίοις ὄμμασι θεωρήσας τὸ λευκαινόμενον τιτάνῳ ὕδωρ, διὸ καθ' ἡμᾶς «Ἀσπροπόταμος» ὀνομάζεται.

341. * *Νέσσος*] Ἤ, ὀρθότερον εἰπεῖν, Νέστος (Μέστα) ἐν Θράκῃ ἀπέναντι τῆς Θάσου χεῖται εἰς τὴν θάλασσαν. Ἴσως ἐν τῇ ἐποποιίᾳ τῶν «Νόστων» ἐμνημονεύθη, καθότι Νεοπτόλεμος αὐτὸν διέβη ἐπαναχωρῶν εἰς τὴν πατρίδα.

*Ἁλιάκμων* (Βιστρίτσα)] Πρὸς βορρᾶν τοῦ Ὀλύμπου τὴν Πιερίαν διαρρεῖ.

Οἱ λοιποὶ τῶν ἐν 340-2 ἀπαριθμουμένων ποταμῶν, πρὸς δὲ ὁ Σκάμανδρος τῆς Τρωάδος καὶ τῷ ποιητῇ γνωστοὶ κατέστησαν οὔ τοι ἀπ' αὐτοψίας, ἀλλὰ ἐξ Ἰλ. Μ 20-22, ὅθεν καὶ μικρὰ ῥεῖθρα, τῆς ποιήσεως περιβαλλούσης αὐτοῖς λαμπηδόνα τινά, τοῦ αὐτόθι ἐπιτίμου τόπου κοινωνοῦσιν.

343. Τοὐναντίον ὁ *Πηνειὸς* (Σαλαμβρίας) τῆς Θεσσαλίας, καὶ ὁ *Ἕρμος* (Γκεντὶζ-Τσάϊ) τῆς Λυδίας, καὶ ὁ ἐν Μυσίᾳ *Κάϊκος* ὕδωρ πολὺ ἔχουσιν.

344. Ὁ *Λάδων* ἐστὶ ποταμὸς τῆς Ἀρκαδίας, ὃς εὐθὺς ἀπὸ τῆς πηγῆς πολὺς ῥεῖ καὶ εἰς τὸν Ἀλφειὸν μετὰ πλείστου ὕδατος ἐμβάλλει, ὥστε νῦν ὑπολαμβάνεται ὡς ἄνω ῥεῖθρον τοῦ Ἀλφειοῦ. Ἐνταῦθα δὲ μνημονεύεται ἐπειδὴ πολλῶν τε μύθων θέατρον ἐγένετο (Ἀπολλόδ. 2, 5, 3, 2. Παυσαν. 8, 20. Εὐστάθ. Θεσσαλ. εἰς Διονύσ. Περιηγ. 417), καὶ κάλλους ἕνεκα οὐδενὸς ποταμῶν δεύτερος οὔτε τῶν βαρβαρικῶν ἐστιν οὔτε Ἕλληνος» (Παυσαν. 8, 25, 13, πρβλ. 8, 20, 1). Οὐκ ἀποσιωπῶμεν ὅμως, ὅτι κατὰ Παυσανίαν (9, 10, 6) ὁ ἐν Θήβαις Ἰσμήνιος κατ' ἀρχὰς Λάδων ἐκαλεῖτο.

345. *Εὔηνος* (Φίδαρις)] Δι' Αἰτωλίας ῥέων, ὀνομαστὸς ἐγένετο ἀφ' οὗ Ἡρακλῆς ἐκεῖ τὸν Κένταυρον Νέσσον χάριν Δηϊανείρας ἐτόξευσεν, ἔτι δὲ ἀπὸ τῆς προσκειμένης Καλυδῶνος.

* *Ἄρτησκος* (Ἄρντα)] Κατὰ μὲν Ἡρόδοτον (4, 92) παραποτάμιον τοῦ Θρακικοῦ Ἕβρου, εἰς ὃν πλησίον Ἀδριανουπόλεως εἰσρεῖ, ἦν, πιθανώτερον δὲ ἡγοῦμαι τὸ ὄνομά ποτε περιλαβεῖν τὸν Ἕβρον αὐτόν (Μαρίτσα).

Τίκτε δὲ θυγατέρων ἱερὸν γένος, αἳ κατὰ γαῖαν
ἄνδρας κουρίζουσι σὺν Ἀπόλλωνι ἄνακτι

*τε*] Πρὸ «Σκάμανδρον» ἐξ ἀνάγκης μετρικῆς οὐκ ἐκτείνεται, ὥσπερ ἐν τοῖς Ὁμηρικοῖς ποιήμασιν.

Ἂν ἀντιπαραβάλωμεν τὸν ὧν γνωρίζομεν περιωνύμων ποταμῶν χορὸν πρὸς τὸν Ἡσιόδειον κατάλογον, μετὰ θαυμασμοῦ ἐπαισθησόμεθα τὴν ἔλλειψιν τοῦ Ἀσωποῦ καὶ τοῦ Βοιωτίου Κηφισσοῦ· ὁ γοῦν Ἀττικός τε καὶ ὁ Ἰλισσὸς πρὸ τοῦ Περικλέους αἰῶνος οὐδενὸς προσοχὴν ἐκίνησαν. Πότερον αἴτιος ἦν φθόνος τῶν γειτόνων ἢ ἡμῶν τὸ λάθος, ὑπολαμβανόντων τοὺς πολυθρυλήτους ποταμοὺς τοῦ ὄντος μείζονας; Ὁ Ἀσωπὸς οὐκ ἔχει ὕδωρ, εἰ μὴ τέσσαρας μῆνας (Leake, Travels in northern Greece, B', 485) καὶ ὁ Κηφισσός, κατ' ἀκριβολογίαν, οὐ καταφθάνει ἐπὶ τὴν θάλασσαν, ἀλλ' εἰσβάλλει μέχρι τοῦ νῦν εἰς τὴν Κωπαΐδα.

346. *τίκτε*] Τηθὺς τῷ Ὠκεανῷ· αἱ θυγατέρες αὐτῶν εἰσιν αἱ τῶν κρηνῶν Νύμφαι Νηϊάδες ἢ Ναϊάδες καλούμεναι· καθότι ἐκ τοῦ Ὠκεανοῦ ἐκρέουσιν αἱ κρῆναι καὶ πηγαὶ ἅπασαι (Ἰλ. Φ 197). Αὗται ὑπὸ τῶν Βυζαντίνων εἰσέτι προσωπικῶς ἐζωγραφήθησαν (Unger ἐν τῷ οὐχ ἅπαξ μνημονευθέντι βιβλίῳ σ. 457), νῦν δὲ ἤτοι δαιμόνια αὐτόθι ἐπικρατοῦσιν ἢ ἁγιάσματα προσκυνοῦνται.

347. *κουρίζουσι*] Παρὰ τὸ κοῦρος ἤτοι «ἄγουρον». Ὁ νοῦς λοιπόν· Τῇ βοηθείᾳ αὐτῶν ἀνδροῦνται οἱ νέοι (ὥστε τὸ *ἄνδρας* δηλονότι προληπτικῶς κεῖται). Συνηθεστέρα ἦν ἡ λέξις *κουροτρόφος*, π. χ. Νόνν. Διονυσ. 24, 50: ὑμετέρου δὲ γέραιρε Λάμου κουροτρόφον ὕδωρ, Εὐστάθ. Ἰλ. Ψ 141: «κουροτρόφοι ἐνομίζοντο οἱ ποταμοὶ διὰ τὴν ὑγρότητα καθὰ καὶ ὁ ἥλιος Ἀπόλλων διὰ θερμότητα». Τῆς κουροτροφίας ἕνεκα Πηλεὺς τὴν Ἀχιλλέως τρίχα ἀφιεροῖ τῷ ποταμῷ Σπερχειῷ (Ἰλ. Ψ 142 ff. πρβλ. Αἰσχύλ. Χοηφ. 6: πλόκαμον Ἰνάχῳ θρεπτήριον. Παυσαν. 1, 37, 3. 8, 41, 3). Διὰ τὴν αὐτὴν αἰτίαν ποταμῶν θεοί τε καὶ Ναϊάδες ἐν τῇ γενεαλογίᾳ ἅπαντος σχεδὸν τοῦ ἀρχαίου γένους ἀναφέρονται (π. χ. ὁ Ἀσωπὸς παρὰ τοῖς Βοιωτοῖς) καὶ πολλοὶ ἄνθρωποι ὀνομάζονται ἀπὸ ποταμοῦ, ὅστις αὐτοὺς ἔδωκε τοῖς γονεῦσιν εὐχῆς χάριν ἢ θρέψειν ἔμελλεν, οἷον ἐν τῇ Βοιωτίᾳ Καφισόδοτος, Καφισῖνος, Καφισοθρᾶς (=Κηφισοτρεφής, Θεσπιακὸν ὄνομα, ἴδε τὰ Πρακτικὰ τῆς Ἀρχαιολογικῆς Ἑταιρείας 1883 σ. 67 κέ.), Ἀσώπιος, Ἀσώπων κτλ.

Ἀλλ' ἐπιστρέψωμεν ἐπὶ τὰς πηγάς. Ἡ σπουδαιοτάτη περὶ τούτων μαρτυρία ἐστὶ τοῦ Θεοφράστου (Ἱστ. φυτ. 9, 8, 10): «ἐνιαχοῦ φασι τὸ ὕδωρ παιδογόνον εἶναι γυναιξίν, ὥσπερ καὶ *ἐν Θεσπιαῖς*». Ἡ αὐτὴ πρόληψις εὑρίσκεται σήμερον ἔτι ἐν Ἀρκαδίᾳ (Pückler, südöstlicher Bildersaal, τ. B', σ. 185-6) καὶ περὶ τῆς κρήνης τῆς ἐν τῇ ἐπὶ τοῦ Ὑμηττοῦ Καισαριανῇ μονῇ, ἧςπερ τὸ ὕδωρ πρὸ πεντήκοντα ἐτῶν αἱ τῶν Ἀθηναίων ἄτοκοι γυναῖκες ἔπινον καὶ μετεχειρίζοντο εἰς λουτρόν (Ow, Aufzeichnungen A', σ. 93). Ταὐτοῦ ἕνεκα ἀναμφισβητήτως εὐσεβής τις κατὰ τοὺς παλαιοὺς χρόνους βωμὸν ἔκτισεν «εὐεργέτιδι πηγῇ» (Corpus Inscriptionum 4316 f σ. 1151 τῶν προσθηκῶν = Waddington, Asie Mineure, ἀρ. 1323). Ὅθεν ἡ πρὸς τὰ παιδία ἀγάπη τῶν καθ' ἡμᾶς Νεραΐδων εὔληπτος ἂν εἴη.

347. Ἀπόλλων ἐν ἁπάσῃ μὲν τῇ Ἑλλάδι ἐλατρεύετο, νέος ὢν θεός, ὡς προστάτης τῶν νέων (Κουρίδιος ἢ Γενέτωρ, ἐπὶ τῆς Δήλου, ἢ Κούρεος ἐπὶ Τέῳ), διὸ Πηνελόπη εὐγνωμόνως λέγει

καὶ Ποταμοῖς, ταύτην δὲ Διὸς πάρα μοῖραν ἔχουσι,
Πειθώ τ' Ἀδμήτη τε Ἰάνθη τ' Ἠλέκτρη τε

(Ὀδ. τ 86): «ἤδη παῖς τοῖος Ἀπόλλωνός γε ἕκητι Τηλέμαχος». Μετὰ τῶν ὑδροχαρῶν ὅμως θεῶν οὐ μετεῖχε τῶν ἱερῶν εἰ μὴ ἐν ὀλίγαις πόλεσι (π. χ. μετὰ Στρυμόνος ἐν Ἀμφιπόλει, Corpus Inscriptionum 2008 καὶ μετὰ Ἀχελῴου ἐπὶ Μυκώνου, Ἀθήναιον Β', σ. 237), μάλιστα δὲ ἐν τῇ τοῦ ποιητοῦ πατρίδι Ἀπόλλων πρὸς τὸ ὕδωρ σχέσεις εἶχεν, ὥστε ὑπὸ μὲν Θηβαίων Ἰσμήνιος ἀπὸ τοῦ ποταμοῦ Ἰσμηνοῦ ἐπωνομάσθη, ἐν δὲ Ὑσιαῖς οἱ χρησμοὶ διὰ τοῦ ὕδατος ἐδίδοντο (Παυσαν. 9, 2, 1).

*ἄνακτι*] *Ἄναξ* ἐν τοῖς Ἡσιόδου ποιήμασι τοῖς θεοῖς καὶ τῷ ἡμιθέῳ Ἠμαθίωνι (Θ. 985) ἐπιφυλάττεται.

348. Ἡ δύναμις αὕτη ἐπιτέτραπται παρὰ Διός, ὥστε βεβαία καὶ διαρκής ἐστι· *μοῖραν* πάλιν ἀφορᾷ εἰς τὴν τῶν θείων τιμῶν διανομήν.

349-361. Τὰ τῶν Ὠκεανίδων ὀνόματα ὡς ἐπὶ τὸ πλεῖστον ἀφωμοίωνται τοῖς τῶν Νηρεΐδων, πλὴν *Καλυψώ* (τῇ Ὁμηρικῇ ἐποποιίᾳ διαδεδομένον), *Στύξ* (ἴδε 779), *Διώνη* (ἣ ἐν Δωδώνῃ ὑπελαμβάνετο σύζυγος Διὸς Ναΐου ἤτοι τοῦ θεοῦ τῶν πηγῶν καὶ ὑετῶν). Ἀπὸ τοῦ πατρὸς ἔλαβον τὸ ὄνομα *Καλλιρρόη*, *Ἀμφιρώ*, *Τελεστώ* (θυγάτηρ τοῦ τελήεντος ποταμοῖο), *Οὐρανίη* (τοῦ Οὐρανίδου), ***Εὐρυνόμη*** (τοῦ ἄνακτος), ***Εὐρώπη*** καὶ *Ἀσίη* (ἃς περικλείει ὁ Ὠκεανός), εἴγε αὗται αἱ λέξεις τότε ἤδη εἶχον τὴν ὕστερον σημασίαν· διὸ ἐνδεχομένως παραβάλλομεν πρὸς τὸ ἕτερον· «*εὐρωποῖσιν* ἁλὸς λαγόνεσσι» (Ὀππιαν. Ἁλιευτ. 4, 526). Βοιωτικὸν δέ τι ἔνεστι τοῖς ἑπομένοις· *Ἱππὼ* καὶ *Περσηΐς* χάριν τῆς Ἱππουκρήνης, ἔτι δὲ ***Γαλαξαύρη*** ὅτι τὸν Γαλάξιον Ἀπόλλωνα πρὸς κρήνῃ προσεκύνουν (Πλούταρχ. Πυθ. χρηστ. 29. Πρόκλος ἐν Φωτίου Μυριοβίβλῳ σ. 321 b 31 Bekker). Ἄλλαι Ναϊάδες καλοῦνται ἀπὸ τῶν ὀρῶν (*Πετραίη*, *Πρυμνὼ* παρὰ τὸ πρυμνώρεια ἢ ῥίζα ὄρους, *Πληξαύρη*, πρβλ. Ὀρφ. Ὕμν. 51 (50), 10: Νύμφαι . . . . εὔπνοοι αὔραις) ἢ ἀπὸ τῶν τοῦ ὕδατος χρωμάτων (*Ἰάνθη* διὰ «κρήνην ἰοειδέα» στ. 2, *Ῥόδεια* ὡς ἡ Ῥοδία τῆς Τρωάδος Corpus Inscriptionum τ. Δ', ἀρ. 8185 e, *Ἠλέκτρη* διὰ τὸ ἀλέκτρινον ὕδωρ Καλλιμάχ. Ὕμν. 6, 29, electo purior amnis παρὰ τῷ Ἑλληνίζοντι Βιργιλίῳ Γεωργ. 3, 522, οἷον καὶ ἐν τῇ Μεσσηνίᾳ ἔρρει ποτάμιον Ἠλέκτρα ὀνομαζόμενον, Παυσαν. 4, 33, 6, ὁμοίως δὲ ἐπὶ Κρήτης, Πτολεμ. Γεωγρ. 3, 16 (17), 4). Τὴν εὐτυχίαν, ἣν χορηγοῦσι τοῖς γεωργοῖς καὶ ποιμέσιν αἱ πηγαί, δηλοῦσι *Πλουτώ*, *Δωρίς*, *Πολυδώρη*, *Εὐδώρη*, *Μηλόβοσις*, τὴν δὲ τῶν διψώντων ἀνάψυξιν καὶ ἐπίρρωσιν ἢ τὴν ἀνωτέρω κουροτροφίαν *Μενεσθὼ* (παρὰ τὸ μένω καὶ σθένος) καὶ *Ἰάνειρα* (παρὰ τὸ ἲς ἢ βία καὶ ἀνήρ), εἰς δὲ τὸν γάμον ἀφορῶσιν ***Ἀδμήτη***, *Πειθώ*, *Ζευξώ*. Ἄλλα ὀνόματα καθόλου ἐπίτιμα (*Πασιθέη*, *Κλυμένη*, *Κλυτίη*, *Ἀκάστη*), ἐγκωμιάζουσι δὲ καὶ ἰδιαίτερα προτερήματα, τὴν ξανθὴν δηλαδὴ κόμην (*Ξάνθη*), τὴν ταχύτητα (*Θόη*, περὶ ἧς οὐ χρὴ ἐπαναλαβεῖν ὅσα εἴπομεν εἰς στ. 245), τὴν φρόνησιν (*Ἰδυῖα* καὶ *Μῆτις*), τὴν φιλεργίαν (*Κερκηΐς* παρὰ τὸ κερκὶς ἢ σπάθη, πρβλ. 264)· Ἀκριβεστέρας ἐρεύνης δεῖται τὸ *Τύχης* ὄνομα· τί γὰρ ἡ τύχη (ἧς Ἀρχίλοχος Ἀπόσπ. 16 πρῶτος μνείαν ποιεῖται) πρὸς τὰς Ὠκεανίδας; Ἀλλ' ὅμως ἡ ῥίζα ΤΥΧ οὐ μόνον ἀποτελεῖ τὸ ῥῆμα *τυγχάνω*, ἀλλὰ καὶ τὸ *τεύχω* (κατασκευάζω), ἀφ' οὗ καὶ *Τύχων* (δαίμων τις) καὶ Τυχίος (ὁ παρ' Ὁμήρῳ τεχνίτης) καὶ

Δωρίς τε Πρυμνώ τε καὶ Οὐρανίη θεοειδὴς
Ἱππώ τε Κλυμένη τε Ῥόδειά τε Καλλιρόη τε
Ζευξώ τε Κλυτίη τε Ἰδυῖά τε Πασιθέη τε
Πληξαύρη τε Γαλαξαύρη τ', ἐρατή τε Διώνη
Μηλόβοσίς τε Θόη τε καὶ εὐειδὴς Πολυδώρη
Κερκηΐς τε φυὴν ἐρατή, Πλουτώ τε βοῶπις
Περσηΐς τ' Ἰάνειρά τ' Ἀκάστη τε Ξάνθη τε
Πετραίη τ' ἐρόεσσα Μενεσθώ τ' Εὐρώπη τε
Μῆτίς τ' Εὐρυνόμη τε Τελεστώ τε κροκόπεπλος
Κρισηΐς τ' Ἀσίη τε καὶ ἱμερόεσσα Καλυψὼ
Εὐδώρη τε Τύχη τε καὶ Ἀμφιρὼ Ὠκυρόη τε
καὶ Στύξ, ἣ δή σφεων προφερεστάτη ἐστὶν ἁπασέων.
Αὗται δ' Ὠκεανοῦ καὶ Τηθύος ἐξεγένοντο
πρεσβύταται κοῦραι· πολλαί γε μέν εἰσι καὶ ἄλλαι.
Τρὶς γὰρ χίλιαί εἰσι τανύσφυραι Ὠκεανῖναι,

*τύχοι* (λιθοξοϊκὰ ἐργαλεῖα, σφῆνες Ἡσύχ.) παράγονται. Ἡ Τύχη λοιπὸν ἀντιστοιχεῖ τῷ περὶ τὴν Ἀφροδίτην Τύχωνι καὶ τῶν γαμηλίων ἐστὶν Ὠκεανίδων. Περὶ * Κρισηΐδος ἐπέχω.

350. *θεοειδής*] Ἐξαισίως εὐειδής· αἱ Ὠκεανίδες ὁμοίως ταῖς Νηρεΐσιν εὔμορφοι ἐνομίζοντο, ὅθεν τὰ ἐπίθετα ἐρατή, εὐειδής, ἐρόεσσα, ἱμερόεσσα.

355. *βοῶπις*] Λιβάνιος ἐν προγυμνάσμασι γράφει· «Ὅμηρος ἐνδείξασθαι βουλόμενος ὡς εἴησαν ὀφθαλμοὶ «καλοί τε μεγάλοι τε», βοῶπιν αὐτὴν ἐκάλεσε». Μεγάλοι ὀφθαλμοὶ τότε ὥσπερ νῦν «μαῦρα μάτια καὶ μεγάλα» καὶ παρὰ τοῖς Βυζαντίνοις (Διγεν. Ἀκρίτ. Β, 972) «ὄμματα μεγάλα» σπουδαῖον μέρος τῆς καλλονῆς ἀπετέλεσαν. Ὁ πρῶτος τῶν νεωτέρων περιηγητῶν, ὁ Γάλλος Belon (Observations de plusieures singularités trouvées en Grèce, Paris 1854) ἀναφέρει τὸ ἄξιον παρατηρήσεως ἐπίθετον «πλατυόφθαλμος». Ἔτι δὲ τὰ ἀρχαῖα ἀγάλματά τε καὶ νομίσματα ἀναρίθμητα προξενοῦσι παραδείγματα τῆς καλλονῆς ταύτης. Ὡς δὲ πρὸς τὰς Ὠκεανίδας ἰδίως, ἐν Ἀραχώβῃ ἐγκωμιαστικῶς λέγουσιν· «ἔχει μάτια Νεραΐδας» (Schmidt, Volksleben, Α', σ. 103).

358. *κροκόπεπλος*] Ἴδε 273. Οἱ Ἕλληνες τὰς Νύμφας ἐφαντάζοντο «λευχείμονας» (Ὀρφ. Ὕμν. 50 (51), 10), ὅπερ διέμεινε πολλαχοῦ τῆς χώρας μέχρι τοῦ νῦν, π.χ. ἐπὶ Κυθήρων (:ἀσπροφορεμένη 'σὰν τὴν Νεράϊδα, Πανδώρα ΙΔ', 334 φ. σ. 366) καὶ ἐπὶ Κρήτης (:μὲ τὴν ἄσπρη φορεσιά, Βρετοῦ Ἐθν. Ἡμερολ. 1865, σ. 41). Κατὰ τοὺς Ζακυνθίους, ἀγαπῶσι τὰ ἐρυθρὰ καὶ λευκὰ χρώματα (Schmidt, Volksleben, σ. 104), οἱ δὲ Ἀραχωβῖται αὐταῖς ἀποδιδόασιν ἐν γένει ἑορταίαν ἐσθῆτα (Αὐτόθι).

363. Ἡ ἡλικία ἀείποτε διώρισε τὴν τάξιν, πρβλ. 234.

*γε μέν*] = γε μήν, μέντοι.

364. *τανύσφυραι*] Τὰ σφυρὰ τεί-

αἵ ῥα πολυσπερέες γαῖαν καὶ βένθεα λίμνης
πάντῃ ὁμῶς ἐφέπουσι, θεάων ἀγλαὰ τέκνα·
τόσσοι δ᾽ αὖθ᾽ ἕτεροι ποταμοὶ καναχηδὰ ῥέοντες
υἱέες Ὠκεανοῦ, τοὺς γείνατο πότνια Τηθύς·
τῶν ὄνομ᾽ ἀργαλέον πάντων βροτῷ ἀνδρὶ ἐνίσπειν,
οἳ δὲ ἕκαστα ἴσασιν, ὅσοι περναιετάωσι.
Θεία δ᾽ Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην

νουσαι, ἀπὸ τῆς ἐλαφρᾶς βαδίσεως, ἣν προσωποποιεῖ τρόπον τινὰ ἡ Ὠκεανὶς Θόη.

*Ὠκεανῖναι*] Χάριν τοῦ μέτρου ἐξέλεξε τὴν κατάληξιν -ίνη, ἧς Ὅμηρος σπανίαν χρῆσιν ποιεῖται (Ἰλ. Ε 412: Ἀδρηστίνη, Ι 557: Εὐηνίνη).

*πολυσπερέες*] Ἐπειδὴ τὴν τῆς φύσεως ἀπάσης γέννησιν ἐπισπεύδουσιν (ὅπερ ὑπεσημειωσάμεθα εἰς 254).

*βένθεα λίμνης*] Ναὶ μὲν τὴν φράσιν ἠρύσατο ἐκ τῆς Ἰλιάδος (Ν 21, 32), ἀλλ᾽ ἀπὸ τῆς θαλάσσης αὐτὴν μετήνεγκε πρὸς τὴν «περικαλλέα λίμνην» τοῦ Ὠκεανοῦ (Ὀδ. γ 1).

366. *πάντῃ ὁμῶς*] Ἀνάλογον τῷ Ὁμηρικῷ «πάντες ὁμοίως» (ὅλοι (ὁ)μαζῆ)· οἱ δὲ Ἀττικοὶ εἴποιεν ἄν: «πανταχοῦ ὁμοίως».

*ἐφέπουσι*] Μετ᾽ ἀντικειμένου τοπικοῦ ὥσπερ Ὀδ. ι 121: κορυφὰς ὀρέων, Ἰλ. Λ 496: πεδίον, συμπεριλαμβάνει τὰς σημασίας «οἰκέω» καὶ «διοικέω».

*θεάων ἀγλαὰ τέκνα* (=Ἰλ. Β 871 κά.)] Πρβλ. 240: τέκνα θεάων· ἐφ᾽ ᾧ τινί τις «ἀγάλλεται» ἀγλαός ἐστι, μάλιστα δὲ παῖς, τὸ «ἄγαλμα» τῶν γονέων (Σοφοκλ. Ἀντιγ. 1116. Εὐριπ. Ἱκέτ. 370. Ἰφ. Ταύρ. 273).

367. *ἕτεροι*] Κατὰ τὸν Ἑλληνικὸν πλεονασμὸν τοῦ *ἄλλος*.

*καναχηδά*] Πληθυντικὸς τοῦ συνηθεστέρου *καναχηδόν*, ὃ παράγεται ἀπὸ καναχή (ἦχος)· ὀρθῶς ἄρα μεταφράζουσι τὸ ἐν χειρογράφοις γλώσσημα καὶ Ἡσύχιος «ἠχητικῶς».

367-69. Ὅστις ἂν ἐξετάσαι θέλῃ τὴν διαφορὰν τῆς ἀρχαίας ἀφελείας καὶ τῆς τῶν Ἀλεξανδρέων ὑπερμετρίας, ἀντιπαραβαλέτω τὸ προκείμενον χωρίον πρὸς τὰ ἐξωγκωμένα ὑπὸ Διονυσίου τοῦ Περιηγητοῦ (644-49).

369. *ὄνομ᾽*] Τοῦ μέτρου ἕνεκα εἶπεν ἀντὶ τοῦ πληθυντικοῦ.

*βροτῷ ἀνδρί*] Παθητικῶς ἀντίκειται ἡ τῶν «θνητῶν» ἐπιστήμη τῇ παντελεῖ σοφίᾳ τῶν τε ἄλλων θεῶν καὶ μάλιστα τῶν Μουσῶν.

*ἐνίσπειν*] Τὸ *ἴσπω* κατ᾽ ἀναδιπλασιασμὸν ἐνεστὼς τοῦ θέματος ΣΕΠ (ἐπ), ὥσπερ *ἴσχω* τοῦ ΣΕΧ (ἐχ).

370. Ὁ ἀοιδὸς προφυλακτικῶς ἀποσοβεῖ δυσαρεσκείας, ἂν τυχόν τις μὴ εὕρῃ ἐν τῷ καταλόγῳ αὐτοῦ τὸν τῆς ἑαυτοῦ πατρίδος ῥύακα.

*περναιετάωσι*] Βοιωτιστὶ ἀντὶ περιναιετάωσι. Ἡ ὑποτακτικὴ παρὰ τοῖς ποιηταῖς οὐ χρῄζει τοῦ *ἄν* μορίου.

371. * *Θεία* ὁμοιάζει τῷ *θαύμας*, ἐπεὶ Πίνδαρός γε (Ἰσθμ. 5 [4], 6) τὴν ἀπὸ *θέα* ἐτυμολογίαν παραδέχεται, ᾄδων· «διὰ τὰν τιμὰν . . . . *θαυμασταὶ* πέλονται».

*Ἠέλιον*] Πρβλ. 18.

*Σελήνη*] Ὡς ἀδελφὴ παρέρχεται τοῦ Ἡλίου, ὥστε τότε εὔδηλον, ὅτι αὐτὴν ὑπελάμβανον ἰσοδύναμον τῷ Ἡλίῳ· ὕστερον δὲ ὁ τῆς ἀστρονομίας ἐμπειρότερος Εὐριπίδης εἶπεν εὐστοχώτατον ὅτι εἴη θυγάτηρ τοῦ Ἡλίου (Φοίν. 175).

Τὸ περισσότερον τοῦ στίχου ἐπανείληπται ἐκ στ. 18.

Ἠῶ θ', ἣ πάντεσσιν ἐπιχθονίοισι φαείνει
ἀθανάτοις τε θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
γείναθ' ὑπευνηθεῖσ' *Ὑπερίονος* ἐν φιλότητι.
*Κρίῳ* δ' Εὐρυβίη τέκεν ἐν φιλότητι μιγεῖσα
Ἀστραῖόν τε μέγαν Πάλλαντά τε, δῖα θεάων,
Πέρσην θ', ὃς καὶ πᾶσι μετέπρεπεν ἰδμοσύνῃσι.
Ἀστραίῳ δ' Ἠὼς ἀνέμους τέκε καρτεροθύμος,

372. Ἡ Ἕως εὖ διακρίνεται τῆς Ἡμέρας (124), τῶν μεταγενεστέρων συγχεόντων ἀμφοτέρας. Πρβλ. καὶ τὴν εἰς 18 σημείωσιν.

*φαείνει*] Κατὰ βραχυλογίαν ταὐτὸ βούλεται, ὃ Ὅμηρος ἐμφαίνει (Ἰλ. Λ 2=Τ 2=Ὀδ. ε 2: «ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσι».

373. =Ὀδ. δ 479. λ 133. ψ 179 (ἐκτὸς τοῦ *τε* μορίου).

374. *Ὑπερίονος*] Ἴδε 134. Ὅμηρος τὸν Ἥλιον αὐτὸν ὀνομάζει Ὑπερίονα (ὡσαύτως Ὕμν. Ὁμηρ. 1, 369 =2, 191), ἅπαξ δὲ μόνον (Ὀδ. μ 176) πατρωνυμικῶς Ὑπεριονίδην (ὥσπερ Θ. 1011. Ὕμν. Ὁμηρ. 5, 74. Στησίχ. Ἀπόσπ. 8, 1). Ἡ ἐτυμολογία οὐκ ἀποκέκρυπται τῷ ἐπισταμένῳ τὴν *ὕπερος* λέξιν.

375. *Κρεῖος*] Ἴδε 134.

*Εὐρυβίη*] Ἧς μνεία ἐγένετο εἰς 239.

376. *Ἀστραῖος*] Τὸ ὄνομα συγγένειαν ἔχει πρὸς τὸ *ἄστρον*.

*Πάλλας*] Δαίμων τοῦ θυελλώδους οὐρανοῦ ἀπὸ τοῦ «πάλλεσθαι» τοὺς κεραυνοὺς ὑπὸ τοῦ Διός (Ἀριστοφ. Ὀρνιθ. 1714: πάλλων κεραυνόν, πτεροφόρον Διὸς βέλος), ὅθεν καὶ τῷ Διὶ ἐπωνυμία ἦν Παλλάντιος καὶ τῷ τῆς Γιγαντομαχίας θεάτρῳ Παλλήνη.

*δῖα θεάων*] Ἡ Ὁμηρικὴ φράσις ἀναπληροῖ τὸν στίχον.

377. *Πέρσης*] Ὁ ἐν τῷ Δήμητρος ὕμνῳ στ. 24 καλούμενος Περσαῖος. Ὅμηρος δὲ μνημονεύει γυναῖκα Πέρσην ὡς σύζυγον τοῦ Ἡλίου (Ὀδ. κ 139).

*καί*] Πλεοναστικῶς κεῖται, ὥσπερ καὶ μέχρι τοῦ καθ' ἡμᾶς Ἑλληνισμοῦ.

378. *καρτεροθύμος* (ὁ τύπος Βοιωτικός)] Σκληροκαρδίους, καθότι πολλοὺς διαφθείρουσιν ἐπὶ τῆς θαλάσσης. Ὑπὸ φόβου λοιπὸν οἱ Ἕλληνες ἐτίμων αὐτοὺς θυσίαις, μάλιστα δὲ τὸν Βορέαν (Ἡρόδοτ. 7, 189 κά.). Οἱ Βυζαντῖνοι διεφύλαξαν τὴν προσωποποίησιν ἐν ζωγραφίαις (Unger αὐτ. σ. 459). Καθ' ἡμᾶς δὲ «ὁ κὺρ Βορεᾶς» ζῇ ἐν τῇ τῶν ναυτῶν φαντασίᾳ, οἵτινες αὐτῷ εὔχονται ἢ «κερατᾶν» (Κερατοβορειᾶ!) ἀποκαλοῦσιν ἢ καὶ φωνάζουσιν «ἔλα», τῶν ἀδελφῶν αὐτοῦ τρόπον τινὰ σκιῶν ἀμφιπελομένων ἐν παραμυθίοις (Πολίτης, Μετεωρολογ. Μῦθοι σ. 33) καὶ τῇ παροιμίᾳ «Γέρο Βορεᾶ ἀρμένιζε καὶ **Νότο** παλληκάρι». Ἀλλὰ τί ἀνέμοις καὶ τῇ Ἕῳ; «Ἡ τῶν πνευμάτων περίστασις κατὰ τὴν τοῦ ἡλίου φορὰν γίνεται» (Ἀριστοτέλ. Προβλήμ. 26, 26, σ. 942 b), ἰδίᾳ δὲ περὶ τὴν ἕω ὁ ἄνεμος ἐγείρεται (Ἀπολλ. Ῥόδ. 1, 519 κέ. 4, 883-4) καὶ καθόλου ὁ «ἐμβάτης» καὶ ἡ ἀπογεία ἔχουσι συνάφειαν πρὸς τὴν ἀνατολὴν καὶ δύσιν τοῦ ἡλίου. Ἐπὶ θαλάσσης δὲ ὀλίγον μετὰ τὴν ἀνατολὴν ὁ βορέας πνεῖ σφοδρός. Ἀλλὰ τί τοῖς ἀνέμοις καὶ τοῖς ἄστροις; Καὶ ταῦτα κατὰ τοὺς μετεωρολόγους ἐπιρροὴν εἶχον εἰς ἐκεῖνα, λ. χ. «περὶ Ὠρίωνος ἀνατολὴν γίνεται νηνεμία» (Ἀριστοτέλ. Μετεωρ. 2, 5, σ. 361 b). Πρὸς τὴν γε-

ἀργέστην Ζέφυρον Βορέην τ' αἰψηροκέλευθον
καὶ Νότον, ἐν φιλότητι θεὰ θεῷ εὐνηθεῖσα.
τοὺς δὲ μέτ' ἀστέρα τίκτ' Ἠοσφόρον Ἠριγένεια
ἄστρα τε λαμπετόωντα, τά τ' οὐρανὸς ἐστεφάνωται.

νεαλογίαν ἅπασαν παράξενον παραλληλισμὸν χορηγεῖ τραγούδιον μυθικὸν τῶν Χίων (Passow 284). Ἐν τούτῳ ἡ τοῦ Βορέα μήτηρ (!) ἐρωτᾷ αὐτόν· «Μήνα μὲ *τἄστρη* μάλωνες, μήνα μὲ τὸ φεγγάρι, μήνα μὲ τὸν ***αὐγερινὸ*** ποῦμεστ' ἀγαπημένοι;»

* *ἀργέστην*] Καλεῖ τὸν Ζέφυρον, ὥσπερ ὁ Ὅμηρος τὸν Νότον (Ἰλ. Λ 306), διότι ἀμφότεροι ἐπὶ τὴν Ἑλλάδα ἐπάγουσι *λευκὰς καὶ πολιὰς* νεφέλας.

379. *αἰψηροκέλευθος* = κραιπνὸς Ὀδ. ε 385· ὁ Βορέας ἐφαίνετο ἀπαραμίλλου ταχύτητος (Τυρταῖος ἐν Στοβαίου Ἀνθολ. 51, 1 στ. 4: νικῴη δὲ θέων Θρηΐκιον Βορέην). Ἆρά γε ἡ φράσις συγγενής ἐστι πρὸς ἣν μεταχειρίζονται οἱ Κερασούντιοι «*ἀψὺς* Βορεᾶς;»

Ἡσίοδος γινώσκει μόνον τρεῖς ἀνέμους κανονικούς· ὁ γὰρ καθαρὸς Ἀπηλιώτης ἔξω τῶν Ἰωνικῶν νήσων οὐ ῥᾳδίως παρατηρεῖται.

*θεὰ θεῷ εὐνηθεῖσα*] Τοῦτο ἐνταῦθα κεῖται πρὸς ἐναντίωσιν τῶν ἄλλων ἀνέμων, ὧν κατωτέρω (983 κἑ.) εὑρήσομεν τὴν γενεαλογίαν.

381. Ὁ *Ἑωσφόρος* ἡγέτης τῶν ἀστέρων ἐστὶν ὥσπερ ἐν τῷ εὐμούσῳ χωρίῳ τοῦ προφήτου Ἡσαΐα (14, 13): «σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· εἰς τὸν οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἀστέρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου» κτλ. Διὰ τίνα αἰτίαν ὁ «Αὐγερινὸς» προηγεῖται ὡς «ἀστράρχης» (Νικήτ. Εὐγενιαν. 1, 1), οὐκ ἄδηλον· κάλλιστος γὰρ τῶν ἀστέρων φαίνεται (Ἰλ. Χ 318: Ἕσπερος ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ. Ἀπολλ. Ῥόδ. 2, 40, Ἀριστοτ. Ἠθ. Νικομ. 5, 1. Πλωτῖν. Περὶ τοῦ καλοῦ σ. 53 (23 d) Ἀνθολογ. 7, 670. Φιλόστρατ. Ἐπιστ. 10. Ἐρωτόκριτος Β', σ. 92: ἔλαμπε σὰν αὐγερινός, 96: ἔλαμπ' ὡς λάμπ' ὁ αὐγερινός, καὶ ὡς φέγγ' ὁ ἀποσπερίτης· δίστιχον Λεριακὸν ἐν τοῖς Τσιγαδᾶ Λεριακοῖς σ. 82: εὔμορφη ποῦν' ἡ νύφη μας σὰν τοῦ πουνέντη τἆστρο) καὶ ἐν τῷ Αἰγαίῳ λάμπει «ἀστὴρ φαάντατος» (Ὀδ. ν 94) ὁμοίως τῇ σελήνῃ.

*Ἠριγένεια*] Κυρίως ἐπίθετον τῆς Ἠοῦς, ὃ ἐν τῇ Ὀδυσσείᾳ ἤδη (χ 197. ψ 347) ἐνίοτε ἀντικατέστησε τὸ κύριον ὄνομα· σημαίνει δὲ τὸ πρωῒ γενέσθαι.

382. Τὰ ἄλλα ἄστρα προσάπτει τῷ *τε* μορίῳ κατὰ τὴν ποιητικὴν ἄδειαν, ἧς πασίγνωστον παράδειγμα: «Ζεὺς καὶ θεοὶ» (λείποντος τοῦ «ἄλλοι»). Ὁ ἄνθρωπος ἀνέκαθεν τὰ ἄστρα, ἃ ἑώρα καθ' ἡμέραν κανονικῶς περιπατοῦντα ἐν τῷ οὐρανῷ, οὐκ ἤθελεν εἶναι ἄψυχα. Ἀφίεμεν τὴν παναρχαίαν ἀστρολογικὴν πρόληψιν, ἀλλὰ καὶ παρὰ τοῖς ἀρχαίοις Ἡσιόδῳ συντίθεται ὁ μεγαλεῖος Αἰσχύλος, εἰς τὴν τοῦ Ἀγαμέμνονος ἀρχὴν (στ. 5-7) καταχωρίσας «τοὺς . . . . λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι, ἀστέρας». Κατὰ τὸν Ὠριγένη (κατὰ Κέλσου Ε', σ. 238) «οἱ ἐν οὐρανῷ ἀστέρες ζῷά εἰσι λογικὰ καὶ σπουδαῖα». Ὁ ἀληθῶς Χρυσόστομος τὸ ἄστρον, ὃ τοὺς μάγους ὡδήγησεν, ἐν ἀγγέλων ἀριθμῷ κατατάσσει. Ἀλλὰ ὅπως μὴ φερώμεθα ἔξω δρόμου εἰς τὰ γάργαρα τῶν παμπληθῶν μαρτυριῶν, σπεύδομεν ἐπὶ τὰ νεώτερα. Λέγομεν λέξεσι μὲν καιναῖς, ἐννοίαις δὲ παλαιαῖς «τἆστρα βασιλεύουν», «τὰ ἑφτὰ ἀδέρφια» (ἀρχαίως «ἡ μεγάλη Ἄρκτος»), ὅσο' νὰ 'πά(γ)ῃ ἡ Πούλια γιόμμα (Passow 70, 5. 107,

Στὺξ δ' ἔτεκεν παῖς Ὠκεανοῦ Πάλλαντι μιγεῖσα
Ζῆλον καὶ Νίκην καλλίσφυρον ἐν μεγάροισι,
καὶ Κράτος ἠδὲ Βίην ἀριδείκετα γείνατο τέκνα·
τῶν οὐκ ἔστ' ἀπάνευθε Διὸς δόμος οὐδέ τις ἕδρη,
οὐδ' ὁδὸς ὅππῃ μὴ κείνοις θεὸς ἡγεμονεύῃ,
ἀλλ' αἰεὶ πὰρ Ζηνὶ βαρυκτύπῳ ἑδριόωνται.
Ὣς γὰρ ἐβούλευσε Στὺξ ἄφθιτος Ὠκεανίνη

4). Οὐκ ἔξαλλον ἄρα ἐν ᾄσματι (Passow 103) ἀστέρα καὶ διαλέγεσθαι.

*τά τ' οὐρανὸς ἐστεφάνωται*] =Ἰλ. Σ 485. Τὸ παθητικὸν συντάσσεται τῇ αἰτιατικῇ, ἀντὶ τῆς δοτικῆς καθότι τοῦ οὐδετέρου γένους ἐστίν. Ὡς δὲ πρὸς τὴν γραφικὴν μεταφορὰν *ἐστεφάνωται*, διαφωτίζεται τρόπον τινὰ ἐκ τῆς διὰ μακροτέρων ἐξηγήσεως Ὀρφικοῦ τινος (ἐν τῇ Εὐσεβίου Εὐαγγελικῇ Παρασκευῇ 3, 9, 4): «οὐρανὸς αἰγλήεις, ὃν χρύσεαι ἀμφὶς ἔθειραι ἄστρων μαρμαρέων περικαλλέες ἠτρέθονται». Τὸ στερέωμα λοιπὸν φαντάζονται κεφαλὴν τοῦ οὐρανοῦ, ἥτις διακεκόσμηται τοῖς ἄστροις.

384. Ἡ ἀλληγορία: Διὰ ζήλου καὶ σπουδῆς κατορθοῖ τις τὴν νίκην· ὥστε ἐνταῦθα ἡ διάνοια τῶν στ. 20 κἑ. τῶν Ἔργων, ὡς εἰπεῖν, ἔσπαρται. Τὸν μὲν Ζῆλον ἔπλασεν ὁ φιλόπονος ποιητὴς αὐτομάτως, τὴν δὲ Νίκην οἱ ἄνθρωποι σύμπαντες ποθοῦσιν, ὅθεν ἐν πολλοῖς τόποις ἱερὰ αὐτῇ ἀνήγειρον.

*καλλίσφυρον*] Περὶ τῆς λέξεως εἴπομεν εἰς στ. 364.

*μεγάροισι*] Ὁμηρικῶς μὲν δηλοῖ τὴν μεγάλην αἴθουσαν, παρὰ δὲ τοῖς μεταγενεστέροις, καὶ δὴ καὶ παρ' Ἡσιόδῳ, τὴν μεγάλην οἰκίαν καὶ τὰ ἀνάκτορα, ἥνπερ σημασίαν παρέλαβεν ἡ νῦν γραφομένη γλῶσσα· πλὴν ὁ Χριστιανισμὸς ἠφάνισε τὴν θρησκευτικὴν χρῆσιν ἐπὶ τῆς θεοῦ κατοικίας (Πινδάρ. Πυθ. 9, 29. Πλουτάρχ. π. δεισιδαιμ. 9: τοῖς τῶν θεῶν μεγάροις ἢ ἀνακτόροις προσιόντες, Παυσαν. 3, 25, 9. 4, 31, 9. 9, 8, 1, οὐχ ἅπαξ παρ' Ἡροδότῳ).

385. Τὴν ἀλληγορίαν ἑρμηνεύουσιν αἱ φράσεις «*νικήσας* δὲ *βίῃ* καὶ *κάρτεϊ*» (Θ. 437) καὶ «νίκης κράτει» (Σιμωνίδ. Ἀνθολ. 6, 50, 1).

*ἀριδείκετα*] Πολλάκις δακτυλόδεικτα, ὅ,τι συνέβαινε τοῖς ἐνδόξοις ἀνθρώποις ὑπὸ τῶν ἀνυποστόλων συμπολιτῶν.

386. *ἀπάνευθε Διός*] Πόρρω Διός.

*δόμος*] Τοῦτο ἔκτακτον, ὅτι οἱ ἄλλοι θεοὶ ἰδιαιτέρας οἰκίας ἔχουσιν. Ἴδε στ. 64.

*ἕδρη*] Ἐν τῇ τῶν θεῶν βουλῇ, πρβλ. 802.

387. Συνοδεύουσιν, ὅταν περιπατήσῃ ὁ Ζεύς. Οἱ καλλιτέχναι, μάλιστα δὲ οἱ ἀρχαΐζοντες, πολλάκις πομπὰς θεῶν ἀπεικονίζουσιν· ἐννοεῖται δὲ ὅτι Ζεὺς «ἡγεμονεύει» ἢ προηγεῖται.

388. *βαρύκτυπος*] Ὁ βαρέως κτυπῶν.

*ἑδριόωνται*] Περιλαμβάνει τὸ κατοικεῖν, καθῆσθαι, ἀκολουθεῖν, καθὼς τὸ «κάθομαι» καὶ τὸ κατοικεῖν σημαίνει. Ἡ ἀλληγορία εὔδηλος· Ζεὺς δηλαδὴ χωρὶς νίκης καὶ κράτους καὶ βίας ἐστὶ τῶν ἀδυνάτων ἀδύνατον. Διὸ Φειδίας τὴν Νίκην ἐπὶ τῆς χειρὸς αὐτοῦ ἔθηκεν.

389. *ἐβούλευσε*] Συνεβούλευσε· λείπει ἡ δοτικὴ «αὐτοῖς», πρβλ. Ἰλ. Ι 99: ἵνα σφίσι βουλεύησθα.

*ἄφθιτος*] Ἤτοι ἀθάνατος.

*Ὠκεανίνη*] Ἴδε 364.

ἤματι τῷ, ὅτε πάντας Ὀλύμπιος ἀστεροπητὴς
ἀθανάτους ἐκάλεσσε θεοὺς ἐς μακρὸν Ὄλυμπον,
εἶπε δ', ὃς ἂν μετὰ εἷο θεῶν Τιτῆσι μάχοιτο,
μή τιν' ἀπορραίσειν γεράων, τιμὴν δὲ ἕκαστον
ἑξέμεν, ἣν τὸ πάρος γε, μετ' ἀθανάτοισι θεοῖσι·
τὸν δ' ἔφαθ', ὅστις ἄτιμος ὑπὸ Κρόνου ἠδ' ἀγέραστος,
τιμῆς καὶ γεράων ἐπιβησέμεν, ἣ θέμις ἐστί.
Ἦλθε θ' ἄρα πρώτη Στὺξ ἄφθιτος Οὔλυμπόνδε
σὺν σφοῖσιν παίδεσσι φίλου διὰ μήδεα πατρός.
Τὴν δὲ Ζεὺς τίμησε, περισσὰ δὲ δῶρα ἔδωκε.
Αὐτὴν μὲν γὰρ ἔθηκε θεῶν μέγαν ἔμμεναι ὅρκον,
παῖδας δ' ἤματα πάντα ἕο μέτα ναιέτας εἶναι.

390. *Ὀλύμπιος*] Κατ' ἐξοχὴν καλεῖται ὁ Ζεύς, ὃν πρὸς τούτοις ἐμφαίνει τὸ *ἀστεροπητὴς* ἢ ἀστράπτων. Ὁ Ἡσίοδος προλαμβάνει τὴν τῆς Τιτανομαχίας διήγησιν.

392. *μετὰ εἷο*] Τὸ πρῶτον παράδειγμα τῆς ἐν τῷ πεζῷ λόγῳ σημασίας τῆς προθέσεως· ἀλλ' ὅμως ἡ τοπικὴ ἐπενεργεῖ πως, καθόσον ὁ Ζεὺς *πρόμαχος* τῶν θεῶν ἐστιν.

393. *τιν'*] Κατὰ τὸν κανόνα εἶπεν ἄν· «ὅστις ἂν μάχοιτο — τοῦτον —.

*ἀπορραίσειν*] Κυρίως μὲν σημαίνει τὸ ἀποσπᾶν· δραστικῶς δὲ ἐκφράζει τὸ ἀφαιρεῖσθαι (πρβλ. Ὀδ. α 404: σε... κτήματ' ἀπορραίσει).

*γεράων*] Κυρίως, τῶν προνομίων, ὅσα ἔχουσιν οἱ γέροντες ἐπὶ τῆς γῆς, ἐντεῦθεν δὲ ἡ λέξις ἐπὶ τοὺς θεοὺς μεταφέρεται. Ἑρμηνεύει πως τὴν λέξιν παράλληλον χωρίον τοῦ εἰς Δήμητρα Ὕμνου (312-3): «γεράων τ' ἐρικυδέα τιμὴν καὶ *θυσιῶν*».

*δὲ*] Συχνότερον λέγουσιν *ἀλλά*.

394. *τὸ πάρος*] Τὸ πρίν.

395. Ἐν τῇ ἀναφορικῇ περικοπῇ ὑπεννοητέον τὸ ῥῆμα «εἴη», ὥστε ὁ νοῦς· «ὅστις μὴ λάβοι τιμὴν μηδὲ γέρας παρὰ Κρόνου».

396. *ἐπιβησέμεν*] Κοινωνὸν ποιήσειν, κατὰ τὴν Ὁμηρικὴν μεταφοράν (Ἰλ. Θ 285: εὐκλείης, κά.).

* *ἣ θέμις ἐστίν*] Καθὼς πρέπει, πεπατημένη τῶν Ὁμηρικῶν ποιημάτων φράσις.

397. Πρβλ. 388.

398. *μήδεα πατρός*] Συμβουλὴν Ὠκεανοῦ· ὅθεν βεβαιούμεθα ὅτι οὗτος οὐκ ἦν τῶν Τιτάνων.

399. Ἡ πρώτη περικοπὴ σαφέστερον ἐκφράζεται ἐν τῇ δευτέρᾳ.

*περισσά*] Τὸ ἀπόλυτον τοῦ ἡμετέρου συγκριτικοῦ *περισσότεροι*, καίτοι ἡ παρὰ τοῖς Ἀττικοῖς σημασία ψόγον περιέχει.

400. Ἐν τοῖς ἑπομένοις (στ. 775 κέ.) διασαφεῖται.

*μέγαν*] Ὡσαύτως ὁ λαὸς λέγει· «Βάλ' τα 'σὲ μεγάλον ὅρκο» (Ἀραβαντ. δίστιχ. 885, σ. 356).

*ὅρκον*] Καθ' οὗτινος ὅρκον ὀμνύει τις (πρβλ. 784, 805). Ταὐτὸ εἴρηται ἐπὶ τῆς Στυγός (Ἰλ. Β 755. Ο 38 = Ὀδ. ε 185).

401. *ἤματα πάντα*] Ἐν τῷ αὐτῷ τόπῳ τοῦ ἑξαμέτρου Ἰλ. Ν 826. Π 499. Ὀδ. θ 468. κ 467. Ὕμν. Ὁμηρ. 3, 170.

*μέτα*] Πρβλ. 392.

Ὣς δ' αὔτως πάντεσσι διαμπερές, ὥσπερ ὑπέστη,
ἐξετέλεσσ'· αὐτὸς δὲ μέγα κρατεῖ ἠδὲ ἀνάσσει.
Φοίβη δ' αὖ *Κοίου* πολυέρατον ἦλθεν ἐς εὐνήν·
κυσαμένη δὴ ἔπειτα θεὰ θεοῦ ἐν φιλότητι
Λητὼ κυανόπεπλον ἐγείνατο, μείλιχον αἰεί,
ἤπιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι,
μείλιχον ἐξ ἀρχῆς, ἀγανώτατον ἐντὸς Ὀλύμπου.
Γείνατο δ' Ἀστερίην εὐώνυμον, ἥν ποτε Πέρσης

*ναιέτας εἶναι*] Ναίειν καὶ οἰκεῖν· περὶ τῆς βραχύτητος τῆς ληγούσης ζήτει τὴν εἰσαγωγήν (σ. 37).

402. *πάντεσσι*] Πᾶσι τοῖς συμμαχήσασιν ἐν τῇ Τιτανομαχίᾳ.

*διαμπερές*] Τὰ τῆς λέξεως στοιχεῖα διά, ἀνά, πέρας· διὸ αὐτὴν ἐκδεχόμεθα *διαρκῶς*.

*ὑπέστη*] Ὑπέσχετο.

403. Αὐτὸς δὲ ἑαυτῷ ἐπεφύλαξε τὴν βασιλείαν.

*κρατεῖ*] Ὑπαινίττεται τὸ Κράτος (385).

404. *Φοίβη*] Μάμμη τοῦ Φοίβου Ἀπόλλωνος ἐγένετο, ἐπειδὴ οἱ Ἕλληνες πολλάκις τὰ παιδία ὠνόμασαν ἀπὸ τοῦ πάππου.

*Κοίου*] Ἴδε 134.

*πολυέρατον ἦλθεν ἐς εὐνήν*] Τὸ πρωτότυπον Ὀδ. ψ 354: «πολυήρατον ἱκόμεθ' εὐνήν», ὅπου τὸ ἐπίθετον δικαιολογεῖται ἐκ τῶν περιστάσεων.

405. Πρβλ. 380.

406. Ἡ Ἀπόλλωνος μήτηρ ἐπονομάζεται *κυανόπεπλος* (ὡς Ὕμν. Ὀρφ. 35, 1), ὅπερ κατὰ πᾶσαν πιθανότητα οὐ σημαντικώτερόν ἐστι τοῦ *κροκόπεπλος*, ὃ ἀπηντήσαμεν 273 καὶ 358. Τὸ χρῶμα ἤρεσκε ταῖς Ἑλληνίσι, διὸ π. χ. Ἀττικὴ ζωγραφία, πρότερον εἰς τὸ Βαρβάκειον ἀποθησαυρισθεῖσα, δεικνύει πέπλον κυανοῦν.

*μείλιχον αἰεί*] = Ἰλ. Τ 300, ἢ οὐδέποτε κακὸν ποιεῖ.

407. Ἀσυνδέτως συνάπτεται ὡς ἐξηγούμενος τὸ προηγούμενον ἐπίθετον.

408. Οὐ μόνον πρὸς ἅπαντας εὐνοϊκῶς προσφέρεται, ἀλλὰ καὶ ἀνέκαθεν τοῦτο ἐποίησεν, ὃ δὲ μέγιστον ἀριστεύει τῶν θεῶν συμπάντων. Οὕτως σκεπτομένοις τοὺς στίχους, οὐδὲν περιττὸν ἢ ἄσκοπον φαίνεται. Ἐπαναλαμβάνει δὲ ἐμφαντικῶς τὴν αὐτὴν λέξιν, καθότι Λητὼ ἐν Θεσπιαῖς ὡς «Μιλίχη» ἀπολύτως ἐλατρεύετο. (Τοῦτο μαρτυρεῖ ἐπιγραφὴ δεδημοσιευμένη ἐν τῷ τῶν Γάλλων Δελτίῳ τῆς Ἑλληνικῆς Ἀνταποκρίσεως 1885, σ. 404).

*ἀγανώτατον*] Εὐμενεστάτην· τὸ ἀρσενικὸν γένος ἐπὶ θηλυκῶν εὐχρηστεῖ παρ' Ἡσιόδῳ (610, 657, 696, 956. Ἔ. 466, πρβλ. Ἀσπ. 395), ὁ δὲ ὑπερθετικὸς τριγενής ἐστι πλὴν Ὕμν. Ὁμηρ. 5, 157 (κατὰ πρώτιστον ὀπωπήν) καὶ Διονύσ. Ἁλικ. Ἀρχ. Ῥωμ. 6, 1 (: τὴν ὕπατον ἀρχήν).

*ἐντὸς Ὀλύμπου*] Ἴδε 37.

409. Ἐνταῦθα ὑποκείμενον πάλιν ἡ Φοίβη, ὃ οὐδένα τῶν ἀρχαίων ἔλαθεν.

*Ἀστερίην*] Τὸ ἀστρονομικὸν ὄνομα ἐντεῦθεν ἐπλάσθη, ὅτι τῷ Πέρσῃ (377) ἐγήματο, ἀδελφὴ δὲ Λητοῦς δοξάζεται, ἐπειδὴ τὴν ἱερὰν Δῆλον οὕτως ἐπωνόμασαν (Καλλιμάχ. Ὕμν. 4, 36 κἑ.).

*εὐώνυμον*] Ἐναντίον ἐστὶ τῇ λέξει *δυσώνυμος* καὶ ταῖς τοιουτοτρόποις, περὶ ὧν εἰς 148 καὶ 171 λόγος ἐγένετο.

409. *Πέρσης*] Ἴδε 377.

ἠγάγετ' ἐς μέγα δῶμα, φίλην κεκλῆσθαι ἄκοιτιν.
Ἡ δ' ὑποκυσαμένη Ἑκάτην τέκε, τὴν πέρι πάντων
Ζεὺς Κρονίδης τίμησε· πόρεν δέ οἱ ἀγλαὰ δῶρα,
μοῖραν ἔχειν γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης.

410. Πέρσης καὶ πλούσιός ἐστι (ὅθεν τὸ δῶμα μέγα) καὶ τὴν γυναῖκα ἐκτιμᾷ, καθάπερ πρέπει τῇ μητρὶ τῆς μεγαλοδυνάμου Ἑκάτης.

*φίλην κεκλῆσθαι ἄκοιτιν*] Ἀπήχησις τοῦ Ὁμηρικοῦ: «φίλη κεκλήσῃ ἄκοιτις» (Ἰλ. Γ 138). Τὸ ἀπαρέμφατον δηλοῖ τὸν σκοπόν.

*ἄ-κοιτις*] = παρά-κοιτις (228) καὶ ἄ-λοχος.

411. *Ἑκάτην* δεῖ εἶναι συγγενῆ τῷ *Ἑκάτῳ* Ἀπόλλωνι (Ὕμν. Ὁμηρ. 1, 1) καὶ τῇ *Ἑκάτῃ* Ἀρτέμιδι.

Τίνος ἕνεκα τῇ Ἑκάτῃ ὁλόκληρός πως *ὕμνος* (411-452) ἀφιέρωται, τῶν ἄλλων θεῶν ἀμοιρούντων τῆς τιμῆς ταύτης; Ἂν αὐτὸν ὀβελίσωμεν ὡς νόθον, τὴν ἀπορίαν οὐ λύομεν, ἀλλὰ τὴν λύσιν ἀναβάλλομεν· τίς γὰρ διὰ τί τὸν ὕμνον ἐνταῦθα εἰσήγαγεν; Ἡ ἀπορία ἐκείνη συνδέδεται μετ' ἄλλης, πῶς Ἑκάτη, ἣν ἄλλως γινώσκομεν δαίμονα φοβεράν, ἐν ταῖς τριόδοις νυκτὸς περιερχομένην, ὑπὸ τοῦ ποιητοῦ ἐγκωμιάζεται δίκην παντοδυνάμου θεοῦ; Ἡ Ὀρφικὴ θεολογία τοὺς πρὸς τὰ μυστήρια κλίνοντας σοφοὺς ἐξήγαγεν ἐξ ἄλλων τε ἀποριῶν καὶ ἐκ ταύτης. Ἀλλὰ τῶν Ὀρφικῶν οὐδὲ ἀμυδρὸν ἴχνος ἀπαντᾷ ἐν τῷ ὕμνῳ, τοὐναντίον δὲ γινώσκομεν ὅτι οἱ Ὀρφικοὶ διάφορα περὶ τῆς Ἑκάτης παρεδίδοσαν (Σχόλ. Ἀπολλ. Ῥοδ. 3, 467. Ὀρφ. Ἀργον. 980) καὶ δὴ ηὐτυχήσαμεν ὕμνον εἰς τὴν Ἑκάτην ἀληθῶς Ὀρφικήν. Ὁ βουλόμενος ἀναζητῆσαι αὐτὸν ἐν τοῖς Ἀναμίκτοις (Mélanges de littérature grecque, σ. 437 κέ.) τοῦ E. Miller ἢ ἐν τῇ Γερμανικῇ ἐφημερίδι Ἑρμῇ (τ. Δ', σ. 56 κέ.) οὐχ εὑρήσει παραλληλισμούς. Ἄλλοι δὲ ἐνεθυμήθησαν τὰ ἐν Αἰγίνῃ ὄργια καὶ τελετάς, κατὰ τὸν μῦθον καθιδρυθείσας ὑπ' Ὀρφέως· αὗται ὅμως οὐκ ὠφέλησαν εἰ μὴ τοὺς φρενοβλαβεῖς (Ἀριστοφάν. Σφῆκ. 122). Ηὐστόχησε τοῦ πράγματος μόνος ὁ παλαιὸς σχολιαστής, σημειωσάμενος ἐν βραχεῖ· «Ἐπαινεῖ τὴν Ἑκάτην Ἡσίοδος ὡς Βοιωτός· ἐκεῖ γὰρ τιμᾶται ἡ Ἑκάτη». Ἐν τῷ μέλλοντι μὲν ἐπιγραφή, ὡς πεποίθαμεν ἐξ ἄλλων τε καὶ τῶν ἐν τοῖς ἔμπροσθεν (408) σεσημειωμένων, βεβαιώσει τὸ σπουδαῖον σχόλιον, τό γε νῦν δὲ παραπέμπομεν τὸν ἀναγνώστην εἰς ἐπιγραφὰς ἄλλων πόλεων. Ἐν μὲν οὖν Σιδύμοις τῆς Λυκίας ἡ Ἑκάτη ἀξιοῦται τοῦ ἐπιθέτου «τῆς ἐπιφανεστάτης θεοῦ» (Benndorf, Reisen in Lykien ἀρ. 43 καὶ 45), ἐν δὲ Κοτυαίῳ τῆς Φρυγίας «σωτείρας» (Corpus Inscriptionum 3827 q. Le Bas-Waddington, Asie Mineure 805, Mittheilungen des deutschen Instituts 1885, σ. 16, πρβλ. Ὀρφ. Ὕμν. 1, 14), ἐπὶ δὲ Θήρας «πολυωνύμου» (Corpus 2465 b = Kaibel, Ἐπιγράμματα, 807)· ἐν δὲ Στρατονικείᾳ, τῇ τῆς Καρίας μητροπόλει, Ἑκάτη τε καὶ Ζεὺς συνάμα προστάται τῆς πόλεως ὑπελαμβάνοντο (Corpus 2715, 2. 2720). Νῦν δὲ λείπεται ἐλάττων τις ἀπορία, διὰ τί ἀμνημονεῖ τῶν κακῶν ὅσα προξενεῖ ἡ θεός; Φοβεῖται ἀμήχανον ὅσον τὴν Ἑκάτην, ὥστε πάντα μὲν τὰ ἀηδῆ ἀποσιωπᾷ, τὰ δὲ καλὰ καὶ ἀγαθὰ ὑπερμέτρως ἐξαίρει, ὅπως τὴν φοβερὰν θεὸν ὑποθωπεύσῃ. Τὰ δὲ καθ' ἕκαστον ἐν καιρῷ δικαιολογήσομεν.

*πέρι πάντων*] Φράσις ἀρχαία, ἧς λείψανον τὸ ῥῆμα «περίειμι (τινός)».

413. Διακριβοῖ τὸ *δῶρα*· οἱ Ἀττι-

Ἡ δὲ καὶ ἀστερόεντος ἀπ' Οὐρανοῦ ἔμμορε τιμῆς,
ἀθανάτοις τε θεοῖσι τετειμένη ἐστὶ μάλιστα.
Καὶ γὰρ νῦν ὅτε πού τις ἐπιχθονίων ἀνθρώπων
ἔρδων ἱερὰ καλὰ κατὰ νόμον ἱλάσκηται,
κικλήσκει Ἑκάτην· πολλή τέ οἱ ἕσπετο τιμὴ
ῥεῖα μάλ', ᾧ πρόφρων γε θεὰ ὑποδέξεται εὐχάς,
καί τέ οἱ ὄλβον ὀπάζει, ἐπεὶ δύναμίς γε πάρεστι.
Ὅσσοι γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἐξεγένοντο
καὶ τιμὴν ἔλαχον, τούτων ἔχει αἶσαν ἁπάντων

καὶ τὸ ὥστε μόριον προσάπτουσιν εἰς τοιαῦτα ἀπαρέμφατα.

414. *ἀστερόεντος*] Πρβλ. 106, 127.

*ἔμμορε τιμῆς*] = Ἰλ. Α 278. Ο 189. Ὀδ. ε 335 (: θεῶν ἒξ ἔμμορε τιμῆς). λ 338. Τοῦ ῥήματος (σ)*μείρομαι* (μοῖραν ἢ μερίδα λαμβάνω) ἐσχημάτισται ὁ συντελικὸς «ἔμμορε» (=ἔ-σμορ-ε).

415. *τετειμένη*] Σεβαστή.

416. *καὶ γὰρ νῦν*] Ὁ ἀνθρωπομορφισμὸς ἀποτελεῖ τὴν ἁπλοϊκὴν ὑπόθεσιν, ὡς οἱ θεοὶ τοσοῦτο μείζονος ὑπολήψεως τυγχάνουσιν ἐν τῷ Ὀλύμπῳ, ὅσῳ δαψιλεστέρας θυσίας ἀπολαμβάνουσι παρὰ τῶν προσκυνητῶν.

*που*] Οὐ περιττόν· ὑποδηλοῦται γὰρ πανταχοῦ τῆς γῆς.

417. *ἱερὰ καλὰ*] Ἀναγκαῖον ἄρα τὸ «καλλιερεῖν».

*κατὰ νόμον*] Οὐκ ἐνδέχεται πταίειν περὶ τὰ θρησκευτικὰ παραγγέλματα, ἃ οἱ παλαιοὶ συμπεριέλαβον εἰς τὴν λέξιν *νόμος*.

*ἱλάσκηται*] Λείπει *θεούς*· ἐννοεῖ τὰ «ἱλαστήρια».

418. *κικλήσκει*] Ἐπικαλεῖ, οἷον Ἰλ. 569: κικλήσκουσ' Ἀΐδην.

*τιμὴ*] Ἀμοιβή, ἀντίτιμον.

*ἕσπετο*] Κατὰ τὸ Ὁμήρου «ἐκ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ» (Ἰλ. Ρ 251) καὶ «τοι ἐκ Διὸς οὐχ ἕπετ' ἀλκή» (Θ 140). Ὁ ἀόριστος ὁ καλούμενος γνωμικός.

419. *ῥεῖα*] Πρβλ. 254.

Ὁ περιορισμὸς δίκαιος φαίνεται, διότι ἡ θεία χάρις οὐχ ἅπαντας περιέρχεται, ἐπειδὴ ἄλλως πως οὐκ ἂν ἦν ἀληθῶς χάρις.

*ὑποδέξεται*] Ὑποτακτικὴ τοῦ ἀορίστου κατὰ τὸν κανόνα τῆς Ὁμηρικῆς, μᾶλλον δὲ τῆς ἀρχαιοτάτης διαλέκτου. Ἡ μεταφορά, ἣ εἰς πολλὰ ἀναθήματα ἀνεγράφη, ἐν χρήσει ἐγένετο ἐκ τοῦ ὅτι κατὰ τὴν παλαιὰν πρόληψιν οἱ θεοὶ αὐτόχρημα προύτεινον τὴν χεῖρα ὅπως ἀποδέχωνται τὴν θυσίαν· τούτου ἕνεκα πολλὰ ἀγάλματα ἔχουσι τὴν χεῖρα προτεταμένην.

* *ᾧ*] Ἡ διάλεκτος τῶν ποιητῶν προτιμᾷ τὴν αὐτὴν σύνταξιν τῆς Ἀττικῆς καὶ κοινῆς «παρ' οὗ». Τὴν ἀναφορικὴν ἀντωνυμίαν εὑρίσκομεν καὶ ἄλλοθι (π.χ. Ἔ. 327. Ἰλ. Ξ 81: βέλτερον ὃς φεύγων προφύγῃ κακόν), ὅπου ἡ λογικὴ ἀποζητεῖ μᾶλλον εἴ τις, εἴ τινι κέ.

422. Οὐχ ἅπαντες οἱ Γῆς παῖδες «τιμὴν ἔλαχον», ἐν οἷς αἱ Ἐρινύες, πρὸς ἃς ἐν Αἰσχύλου Εὐμενίσι (στ. 711-2) λέγεται· «ἔν τε τοῖς νέοισι καὶ παλαιοτέροις θεοῖς ἄτιμος εἶ σύ».

*τούτων ἁπάντων*] Κατὰ βραχυλογίαν εἶπεν ἀντὶ τοῦ πλήρους «τιμῆς τούτων ἁπάντων», οἷον ἔχει μέρος τῆς τιμῆς τοῦ Ποσειδῶνος (441) καὶ τοῦ Ἑρμοῦ (444).

οὐδέ τί μιν Κρονίδης ἐβιήσατο οὐδέ τ' ἀπεύρα,
ὅσσ' ἔλαχεν Τιτῆσι μέτα προτέροισι θεοῖσι,
ἀλλ' ἔχει, ὡς τὸ πρῶτον ἀπ' ἀρχῆς ἔπλετο δασμός.
Οὐδ', ὅτι μουνογενής, ἧσσον θεὰ ἔμμορε τιμῆς
καὶ γέρας ἐν γαίῃ τε καὶ οὐρανῷ ἠδὲ θαλάσσῃ,
ἀλλ' ἔτι καὶ πολὺ μᾶλλον, ἐπεὶ Ζεὺς τείεται αὐτήν.
Ὧι δ' ἐθέλῃ, μεγάλως παραγίγνεται ἠδ' ὀνίνησιν·
ἔν τ' ἀγορῇ λαοῖσι μεταπρέπει, ὅν κ' ἐθέλῃσι·
ἠδ', ὁπότ' ἐς πόλεμον φθεισήνορα θωρήσσωνται

423. Ὁ στίχος διασαφεῖται ἐκ στ. 392 κέ.

*ἐβιήσατο οὐδέ τ' ἀπεύρα*] Κατὰ μετάπλασιν τῆς Ὁμηρικῆς φράσεως «βίῃ ἀέκοντος ἀπεύρα». Ὁ ἀόριστος οὗτος, ὃς κατ' ἀρχὰς ἦν «ἀπ-έ-Fρα», παρῆκται ἀπὸ τῆς ῥίζης FEP καθὼς ὁ δεύτερος ἀόριστος «ἔκτα».

424. *προτέροισι θεοῖσι*] Προτέροις δηλαδὴ τοῦ Διός καὶ τῶν ἄλλων Κρονιδῶν.

425. *τὸ πρῶτον ἀπ' ἀρχῆς*] Ὡς φαίνεται, ὅτε ὁ Οὐρανὸς ἐβασίλευεν (πρβλ. 414), ἢ τοὐλάχιστον ὑπὸ Κρόνῳ (ἴδε 394-5), ὅπερ Αἰσχύλος παρεδέξατο ἐν ταῖς Εὐμενίσιν (697 κἑ.).

426. *μουνογενής*] Καὶ τοῦτο ἀνθρώπινον· ἡ κόρη, ἀμοιροῦσα ἀδελφῆς, μᾶλλον περιβέβληται ὕβρεσιν, οἷον ἡ «μουνογενὴς» Περσεφόνη (Ὕμν. Ὀρφ. 29 (28), 2. Ὀρφεὺς παρὰ Πρόκλῳ ἐν τῷ εἰς Τίμαιον σ. 139, ἔκδ. Βασιλ., ἐπιγραφὴ Θεσσαλικὴ ἔκδ. Ussing, Inscriptiones ineditae σ. 1) ἡρπάσθη. Τὸ Ἡσιόδειον ἐπίθετον παρέλαβεν Ἀπολλώνιος ὁ Ῥόδιος (3, 1034, πρβλ. 846), οὐδὲν Ὀρφικὸν ἐν αὐτῷ ἐνιδών.

427. *ἧσσον*] Τὸ μὲν συνάπτεται τῇ γενικῇ *τιμῆς*, τὸ δὲ ἐπιτίθεται τῷ ἐπίσης ἀντικειμένῳ *γέρας*· *ἔμμορε* γὰρ ἄρχει οὐ μόνον τῆς γενικῆς, ἣν φιλεῖ Ὅμηρος, ἀλλὰ καὶ τῆς αἰτιατικῆς (Ἀπολλών. Ῥόδ. 3, 3. 208, 4, 1747).

428. *ἔτι καὶ πολὺ μᾶλλον*] Καθάπερ ζωηρῶς διαλεγόμενοι ἐκφωνοῦσι· «τοὐναντίον», ἂν καὶ κατακρίνῃ τὴν ὑπερβολὴν ἡ ψυχρὰ λογική.

*τ(ε)ίεται*] = Τ(ε)ίει ἢ τιμᾷ, ὥσπερ Ὀρφ. Ἀργον. 807 ἡ παράδοσις ἔχει.

411-428. Τὰς ἐν τῷ Ὀλύμπῳ μάλιστα τιμὰς τῆς θεοῦ ἀπαριθμοῦσιν· ἐν δὲ τοῖς ἑξῆς ἡ περὶ τοὺς ἀνθρώπους ἐπικράτεια ἐξακριβοῦται.

429. *παραγίγνεται*] Πάρεστι, παρίσταται. Καὶ αὗται αἱ λέξεις ἐξέρχονται ἐκ πλαστικῆς ἰδέας. Οἱ θεοὶ οὐ βοηθοῦσι πόρρωθεν ἐκ τοῦ Ὀλύμπου, ἀλλὰ καταβαίνουσιν ἐφ' οὓς ἂν ἀγαπῶσιν. Ἀθηνᾶ ἀναβαίνει τὸ Διομήδους ἅρμα καὶ τὸ τοῦ Ἡρακλέους, καὶ καθόλου οἱ θεοὶ ἐν ταῖς ἐποποιίαις ἀληθῶς «παραγίγνονται» τοῖς ἥρωσιν. Ὃ δὲ περιεργότερον, οἱ παλαιότατοι πλάσται καὶ ζωγράφοι, ὅταν ἀπεικονίζωσι μύθους, τοῖς ἥρωσι παριστᾶσιν αὐτόχρημα θεούς. Διαφέρει ἆρά γε τούτων ἡ εὐχή· «Ὅλ' οἱ ἅγιοι *κοντά* σου» (Passow 323,10).

430. Πρβλ. στ. 84 κἑ. *ὅν*] Ὑπενοητέον· «μεταπρέπειν». Τὸ τέλος ἀπηχεῖ τὰ Ὁμηρικὰ «ὅς κ' ἐθέλῃσι» (Ὀδ. ρ 559) καὶ «ᾧ κ' ἐθέλῃσι» (Ὀδ. ζ 128. φ 280). Τὸν δὲ Ἡσίοδον τὸ καθ' αὑτὸν ἐμιμήσατο Θέογνις (139: οὐδέ τῳ ἀνθρώπων παραγίγνεται ὅσσ' ἐθέλῃσιν).

431. Πρβλ. Ἰλ. Κ 78: ζώννυθ' ὅτ'

ἀνέρες, ἔνθα θεὰ παραγίγνεται, οἷς κ' ἐθέλῃσι
νίκην προφρονέως ὀπάσαι καὶ κῦδος ὀρέξαι·
ἔν τε δίκῃ βασιλεῦσι παρ' αἰδοίοισι καθίζει·
ἐσθλὴ δ' αὖθ', ὁπότ' ἄνδρες ἀγῶνι ἀεθλεύωσι·
ἔνθα θεὰ καὶ τοῖς παραγίγνεται ἠδ' ὀνίνησι,
νικήσας δὲ βίῃ καὶ κάρτεϊ καλὸν ἄεθλον
ῥεῖα φέρει χαίρων τε, τοκεῦσι δὲ κῦδος ὀπάζει·
ἐσθλὴ δ' ἱππήεσσι παρεστάμεν, οἷς κ' ἐθέλῃσι.

ἐς πόλεμον φθεισήνορα θωρήσσωνται. "Οτι ὁ στίχος πολὺ ἁρμοδιώτερον καὶ ἧττον ἐπιτηδευτῶς κεῖται ἐν τῇ Ἰλιάδι, οὐδεὶς ἂν διστάσειεν.

*πόλεμον*] Ἔχει τὴν αὐτὴν σημασίαν, ἣν καὶ νῦν, οὐχὶ τὴν Ἀττικήν.

*φθεισήνορα*] Ἐξολοθρεύοντα ἄνδρας, Ὁμηρικὸν ἐπίθετον.

432. Τῷ ὄντι Ἑκάτη λέγουσιν ὅτε τοῖς Ἀθηναίοις ἐβοήθησεν ἐν τῇ ἐν Μαραθῶνι μάχῃ (Πλουτάρχ. π. Ἡροδότ. κακοηθείας 26).

*ἔνθα*] Τότε. Ὁ λαὸς λέγει ὁμοίως· «ἐκεῖ πού . . . . . .».

433. *κῦδος ὀρέξαι*] Καὶ αὕτη ἡ φράσις γραφική· πολλὰ θεῶν ἀγάλματα εἶχον Νίκην ἐν τῇ προτεταμένῃ χειρί.

*δίκῃ*] Διαδικασίᾳ.

434. Τοῦτο προσάπτει τῷ πολέμῳ, ἐπειδὴ καὶ ἐν τῇ δίκῃ ἐρίζουσι περὶ τῆς *νίκης* (ὥσπερ δείξομεν εἰς "Ε. 211)· ὅτι δὲ ἐν τοῖς ἀγῶσιν (435-39) ἐπιτυγχάνεται *νίκη*, καὶ αὐτόδηλόν ἐστι καὶ Ἡσίοδος αὐτὸς στ. 437 αἰνίττεται. Ἑκάτη παρίσταται τοῖς δικαίοις, καθότι «μισοπόνηρός» ἐστιν (Corpus Inscriptionum 5950. Ὀρφ. Ὕμν. 1, 4).

435. *ἐσθλή*] Παράθες 439, 444. "Ε. 312· εὐδηλότερον ὁ Μαιονίδης εἴρηκεν: *ἐσθλῷ ἐπαμύντορε* (Ὀδ. π 263).

*ἀγῶνι*] Ἐν ἀγῶνι ἤτοι ἀγορᾷ, περὶ ἧς εἴρηται ἐν τοῖς ἔμπροσθεν (στ. 91).

436. *ἔνθα*] Πρβλ. 432. Οἱ Ἐλευσίνιοι ἐλάτρευον τὴν θεὸν ἅμα τῷ *ἐναγωνίῳ* Ἑρμῇ (Corpus Inscriptionum Atticarum τ. Α', ἀρ. 5).

437. Πρβλ. 73.

Ὁ ἀδιόριστος ἑνικός, ᾧ οἱ μὲν μεταγενέστεροι ἐπισυνάπτουσι τὴν *τις* ἀντωνυμίαν, οἱ δὲ ἐπικοὶ ἐνίοτε *ἀνήρ* (π. χ. Ἰλ. Δ 539: ἀνὴρ ὀνόσαιτο μετελθών), εὑρίσκεται τὰ μάλιστα ἐπὶ μετοχῶν, οἷον ἐν τῇ Ὁμηρικῇ φράσει «ὅσσον τε γέγωνε βοήσας» (Ὀδ. ε 400 κἑ.). Αἰτία δὲ τῆς ἀσαφείας οὐχὶ ποιητικὴ ἄδεια, ἀλλὰ μᾶλλον ἀμέλεια τῆς καθωμιλημένης γλώσσης (ὡς ἐξάγεται ἐκ τῶν χωρίων, ὅσα συνέλεξεν ὁ Ματθίας ἐν § 271 τῆς Ἑλληνικῆς γραμματικῆς).

*βίῃ καὶ κάρτεϊ*] (οἷς παράθες 385) Τείνει πρὸς τὰ γυμναστικὰ ἆθλα.

438. *ῥεῖα*] Ἴδε 419.

Ἡ τοῦ νικητοῦ εὐδοξία ἐπαναφέρεται καὶ εἰς τοὺς γονεῖς, ὧν τινων τοῦ ἐπαίνου αἱ Πινδάρου ᾠδαὶ μεσταί εἰσιν. Ἀλλὰ ἡ ὑπὸ Πινδάρου τῶν γονέων προτιθεμένη πατρίς, ἐνταῦθα ἀποσιωπᾶται, ὅτι κατὰ τοὺς τότε καιροὺς οἱ ἐντελέστεροι ἀγῶνες πολὺ ἧσσον ἀθλητὰς ἐκ πασῶν Ἑλληνικῶν χωρῶν συνῆγον.— Τὸ ἀκροτελεύτιον εὐχρηστεῖ ἐν τοῖς Ὁμήρου ποιήμασιν (:κῦδος ὀπάζει, ὄπαζε, ὄπασσον Ἰλ. Θ 141. Μ 255. Ο 327. Π 730. Ρ 566. Φ 570. Ὀδ. γ 57. τ 161).

439. Εἰσάγει τὸ δεύτερον γένος τῶν ἀγώνων, ἤγουν τοὺς ἱππικούς. Ὁ Ὁ-

Καὶ τοῖς, οἳ γλαυκὴν δυσπέμφελον ἐργάζονται,
εὔχονται δ' Ἑκάτῃ καὶ ἐρικτύπῳ Ἐννοσιγαίῳ
ῥηϊδίως δ' ἄγρην κυδνὴ θεὸς ὤπασε πολλήν,
ῥεῖα δ' ἀφείλετο φαινομένην, ἐθέλουσά γε θυμῷ.
Ἐσθλὴ δ' ἐν σταθμοῖσι σὺν Ἑρμῇ ληΐδ' ἀέξειν,
βουκολίας ἀγέλας τε καὶ αἰπόλια πλατέ' αἰγῶν

μήρου ἀναγνώστης γινώσκει, ὅτι *ἱππεὺς* τότε ἐσήμαινε τοὺς ἁμαξηλάτας.

440. Αἰνίττεται τοὺς ἁλιεῖς.

*γλαυκὴν* (Ὀρφ. Ἀργον. 340 [336])] Πληρέστερον εἶπεν Ὅμηρος «γλαυκὴν θάλασσαν» (Ἰλ. Π 34), ἤτοι κυανοειδῆ.

*δυσπέμφελον*] Ἡ λέξις παρ' Ὁμήρῳ ἅπαξ ηὕρηται (Ἰλ. Π 747-8): «Πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν νηὸς ἀποθρώσκων, εἰ καὶ δυσπέμφελος εἴη», ὁ δὲ Ἡσίοδος δεύτερον αὐτὴν ἐπιτίθησι τῷ ὀνόματι «ναυτιλίῃ». Ἔχει λοιπὸν κατὰ πᾶσαν πιθανότητα σχέσιν πρὸς τὸ *πεμφὶς* ἢ *πέμφιξ*, ὅπερ ἰσοδυναμεῖ τῷ *πνοή*, ὥστε μεταφράσαιμεν ἂν κάλλιστα *θυελλώδης*.

*ἐργάζονται*] Τὸ πρωτότυπον ἦν ἡ φράσις «ἐργάζομαι γῆν» (Ἔ. 623), ἤτοι καλλιεργῶ.

441. *ἐρικτύπῳ Ἐννοσιγαίῳ*] Ἴδε 15.

442. Ἡ ἀπόδοσις παρατακτικῶς συνάπτεται διὰ τοῦ *δὲ* μορίου, ὅπερ συχνάκις ἐν ταῖς ἐποποιίαις ἀπαντῶμεν, μάλιστα δὲ ἂν προηγῆται ταὐτὸ μόριον (οἷον 441). Ἀνακολουθία οὐχ ὑπάρχει, ἀλλὰ τὸ *τοῖς* (440) συντάσσεται τῷ ῥήματι *ὤπασε*.

*ῥηϊδίως*] Ἔπιθι 254.

*ἄγρην*] Ὄνομα σχετιζόμενον πρὸς τὸ ῥῆμα *ἀγρέω* = αἱρέω· ἐπειδὴ συνήθως ἀναφέρεται εἰς τὴν κυνηγεσίαν (ἐκτὸς Ὀδ. μ 330), ἐν τῇ νῦν γραφομένῃ γλώσσῃ εἰσεποιήθη ἡ σύνθετος λέξις *ἰχθυάγρα*.

*ὤπασε*] Πάλιν ἀόριστος γνωμικός, ὅστις τὴν περιγραφὴν ποιεῖ ζωηροτέραν.

443. *φαινομένην*] Ὑποδηλοῖ τὰς πολυπληθεῖς θύννων ἀγέλας, ἃς τότε, καθάπερ νῦν σκοποὶ τῶν ἁλιέων, κατώπτευον προσερχομένας.

*ἐθέλουσά γε θυμῷ*] Εἴγε πρόθυμός ἐστι· συνᾴδει ὁ Πίνδαρος εἰς τὸν πλεονασμόν (Ἴ. 5 (6), 43: θυμῷ θέλων).

Ἡ Ἑκάτη τῶν ἁλιέων προστάτις ἦν (Σχολ. Ὀππιαν. Ἁλιευτ. 3, 28) καὶ ὑπὸ τῶν ἐν Σαμοθράκῃ μυηθέντων προσεκαλεῖτο ἐν τρικυμίαις (Σχόλ. Ἀριστοφ. Εἰρήν. 277 = Σουΐδ. λ. Σαμοθράκη), ὅθεν Μελάνθιος «θαλάσσιον θεὸν» αὐτὴν ὀνομάζει.

444. *Ἐσθλή*] Ἐνταῦθα τὸ ῥῆμα οὐ λείπει, ἀλλὰ συντακτέον μετὰ τοῦ *βριάει* 447.

*σταθμοῖσι*] Μάνδραις.

*Ἑρμῇ*] Οἱ πολύμηλοι προσεκύνουν τὸν νόμιον ἢ προστατεύοντα τῶν νομῶν Ἑρμῆν ἄλλοθί τε καὶ ἐν Βοιωτίᾳ αὐτὸν προσηγοροῦντες *κριοφόρον* καὶ *ἐπιμήλιον* (Παυσαν. 9, 22, 1. 34, 3) καὶ παριστάντες αὐτὸν εἰς νομίσματα τῆς Τανάγρας. Ὡς δὲ πρὸς τὴν μετὰ τῆς Ἑκάτης σύνδεσιν, ὁ εὐσεβὴς Ἀρκὰς Κλέαρχος ὑπὸ Πορφυρίου (π. ἀποχῆς ἐμψύχων 2, 16) εἰσάγεται διηγούμενος ὅτι κατὰ μῆνα ἕκαστον ταῖς νουμηνίαις στεφανοῖ τὸν Ἑρμῆν καὶ τὴν Ἑκάτην».

*ληΐδα*] τὰ ποίμνια καθότι νέμονται τὰ «λήϊα» καὶ τοὺς λειμῶνας (Ἰλ. Λ 677. Θεόκριτ. 25, 97 κά.).

445. *βουκολίας ἀγέλας*] «Βουκολογελάδια» (Passow 91, 22), ὅθεν *ἀγελάδα* τὴν ἐν τῇ συνηθείᾳ σημασίαν ἔλαβεν. Παρὰ δὲ τοῖς ἀρχαίοις ἡ πρόσθεσις ἐπιθέτου καὶ γενικῆς ἀναγκαία ἦν,

ποίμνας τ᾽ εἰροπόκων οἴων, θυμῷ ἐθέλουσα,
ἐξ ὀλίγων βριάει κὰκ πολλῶν μείονα θῆκε.
Οὕτω τοι, καὶ μουνογενὴς ἐκ μητρὸς ἐοῦσα,
πᾶσι μετ᾽ ἀθανάτοισι τετίμηται γεράεσσι.
Θῆκε δέ μιν Κρονίδης κουροτρόφον, οἳ μετ᾽ ἐκείνην
ὀφθαλμοῖσιν ἴδοιντο φάος πολυδερκέος Ἠοῦς.
Οὕτως ἐξ ἀρχῆς κουροτρόφος, αἵδε τε τιμαί.
Ῥεῖα δὲ δμηθεῖσα *Κρόνῳ* τέκε φαίδιμα τέκνα,
Ἱστίην, Δήμητρα καὶ Ἥρην χρυσοπέδιλον

ὅτι *ἀγέλη* καὶ ἐπὶ ἵππων (Ἰλ. Τ 281) καὶ θηρίων (Ἀσπ. 168) ἔκειτο.

*αἰπόλια πλατέ᾽ αἰγῶν*] = Ἰλ. Β 474. Λ 678 = Ὀδ. ξ 101, 103. Τὸ ἐπίθετον ἐμπείρου ἀνδρὸς εὕρημα, διότι αἱ αἶγες πλείστῃ εὐρυχωρίᾳ ἥδονται.

446. *εἰροπόκων*] = Ὀδ. ι 443, ὧν τὸ (τότε πολυτιμότατον) ἔριον ἀποκείρεται.

447. *βριάει*] = ἀέξει (444) ἢ αὐξάνει.

448. *τοι*] Ἄρα.

*καί*] Καίπερ, καίτοι.

*μουνογενής*] Πρβλ. 426.

449. Ταὐτὸ βούλεται τῷ στ. 422.

450. *κουροτρόφον*] Λέξις εὔχρηστος ἐν τῇ παλαιᾷ Ἑλλάδι· ἤλπιζον γὰρ διακαῶς παρὰ τῶν θεῶν τὸν ὑπερασπισμὸν τῆς αὐξανομένης νεολαίας. Αἱ Σάμιαι τῇ Κουροτρόφῳ *ἐν ταῖς τριόδοις*, ὅπου ἡ Ἑκάτη φιλεῖ διάγειν, θυσίας προσέφερον (Ψευδοηρόδοτ. ἐν βίῳ Ὁμήρου 30. Ἐν Ἄργει δὲ ἡ Ἑκάτη διηυκόλυνε τὰς γεννήσεις (Πλουτάρχ. Ζητ. Ῥωμ. 52), ἐπωνομάζετο δὲ τούτου ἕνεκα οὐκ οἶδ᾽ ὅπου Γενετυλλίς (Ἡσύχ. ἐν λέξει). Πρβλ. Εὐριπίδ. Τρωάδ. 323. Ὀρφ. Ὕμν. 22 κἑ. 8 κἑ.

*οἵ*] Εἴ τινες, πρβλ. 419.

*μετ᾽ ἐκείνην*] Πρῶτον μὲν βούλοιτο ἄν τις ἑρμηνεῦσαι ἄντικρυς: μετὰ τὴν γένεσιν ἐκείνης. Ἀλλὰ τοῦτο οἴκοθεν ἐνενοήθη — εἴπερ ἡ θεὸς ἐπροστάτησε τῶν παιδίων ἁπάντων. Διὸ μᾶλλον κλίνομεν πρὸς τὴν ἐξήγησιν ὅτι, Ἑκάτης κρατούσης κατὰ τὴν νύκτα, τὸ *μετ᾽ ἐκείνης* οὐ διαφέρει τοῦ Πινδαρικοῦ *μετὰ νύκτας* (Νεμ. 6, 6), ὃ ἀντιστοιχεῖ τῇ συχνῇ φράσει *μεθ᾽ ἡμέραν* (ἡμέρας).

450. *πολυδερκέος*] Περὶ τὴν ἕω οὐ τοσαῦτα ὁρῶμεν, ὅσα τοῦ «*παν*δερκοῦς» ἡλίου (Ὀρφ. Ὕμν. 7, 1) φαίνοντος, «ὃς *πάντ᾽* ἐφορᾷ» (Ἰλ. Γ 277. Ὀδ. λ 109. μ 323).

451. *οὕτως*] Κατὰ τοῦτο.

452. *αἵδε τε τιμαί*] Δηλοῖ τὸ πέρας τοῦ κεφαλαίου.

Οὐ τυχόντως, οἶμαι, ὁ ὕμνος ἐγκατακεχώρισται ἀμέσως πρὸ τῆς περιπετείας, ὡς εἰπεῖν, τοῦ ποιήματος. Ὁ ποιητής, τρόπον τινά, ἀναπαύεται ὀλίγον, πρὶν ἄρξηται τῆς διηγήσεως τῶν σπουδαιοτάτων πραγμάτων. Πρὸς τούτοις, ἡ Ἑκάτη τῷ γένει τῶν «παλαιοτέρων θεῶν κολοφῶνα ἐπιτίθησιν, ὥστε καὶ χάριν τῆς τοῦ ἔργου διαθέσεως ἀκριβεστέρου λόγου τυγχάνει.

453. *φαίδιμα*] Πρβλ. *φαιδρός*.

454. *Ἱστίην*] Ἡ θεός, ἐν Ἀθήναις καλουμένη Ἑστία, προσωποποιεῖ τὸ ἱερὸν κέντρον τῆς Ἑλληνικῆς οἰκίας, τὴν ἑστίαν. Ταῖς θυγατράσι συγκεχώρηται ἡ προεδρία, τούτων δὲ ἡγεῖται ἡ πρεσβυτάτη (Ὕμν. Ὁμ. 4, 22: Ἱστίη, ἣν *πρώτην* τέκετο Κρόνος ἀγκυλομή-

ἴφθιμόν τ' Ἀΐδην, ὃς ὑπὸ χθονὶ δώματα ναίει
νηλεὲς ἦτορ ἔχων, καὶ ἐρίκτυπον Ἐννοσίγαιον
Ζῆνά τε μητιόεντα, θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν,
τοῦ καὶ ὑπὸ βροντῆς πελεμίζεται εὐρεῖα χθών.
Καὶ τοὺς μὲν κατέπινε Κρόνος μέγας, ὥςτις ἕκαστος
νηδύος ἐξ ἱερῆς μητρὸς πρὸς γούναθ' ἵκοιτο,
τὰ φρονέων, ἵνα μή τις ἀγαυῶν Οὐρανιώνων
ἄλλος ἐν ἀθανάτοισιν ἔχοι βασιληΐδα τιμήν.

της, 29 (28), 3. Πινδάρ. Νεμ. 11,9. Ἀπολλόδ. (1, 1, 5), ὅθεν «ἐν ταῖς θυσίαις οἱ Ἕλληνες ἀπὸ πρώτης τε αὐτῆς ἤρχοντο καὶ εἰς ἐσχάτην αὐτὴν κατέπαυον» (Κορνοῦτ. Ἐπιδρ. 28 σ. 53, 14, πρβλ. Παυσαν. 5, 14, 4. Ζηνόβ. παροιμ. 1, 40 μετὰ τοῦ σχολίου τοῦ ἐκδότου. Ὀβίδ. fasti 6, 303).

*χρυσοπέδιλον*] Περὶ ταύτης εἰς στ. 12 σημείωσις γέγραπται.

455. *ἴφθιμον*] Ἐπίτιμον ἐπίθετον, ἧς ἡ ἐτυμολογία εἰς μάτην ζητεῖται.

*Ἀΐδην*] Πρβλ. 311. Ἡσιόδῳ ἐπῆλθε τὸ Ὀδ. κ 534: ἰφθίμῳ τ' Ἀΐδῃ.

456. *νηλεὲς ἦτορ ἔχων*] Τοῦτο περιγράφουσι ταραξικαρδίως τὰ «μυρολόγια»: ὁ Χάρων οὔτε δακρύοις οὔτε αἰτήσεσιν οὔτε δώροις κινεῖται, ὅπως καὶ μόνον ἀναβολὴν παράσχῃ τῆς ἀναποφεύκτου μοίρας.

Πρὸς τὰ λοιπὰ παράθες 441.

457. *μητιόεντα*] Ἴδε 286.

*θεῶν — ἀνδρῶν* = 47. Ζεὺς ἦν ὁ νεώτατος τῶν παίδων, ὥσπερ ὁ πατὴρ αὐτοῦ.

458. *τοῦ καὶ*] Ἡ περίοδος συνείρεται κατὰ τὴν κοινὴν διάλεκτον, καθάπερ 377.

*πελεμίζεται*] Ἡ ἐκφοβηθεῖσα τῷ βρέμοντι κεραυνῷ ψυχὴ φαντάζεται, ὡς ἡ γῆ συνάμα σείεται.

*εὐρεῖα χθών*] Καὶ αὐτὴ τῶν Ὁμηρικῶν φράσεων.

459. *μὲν*] = Μήν, λοιπόν.

*μέγας*] Πρβλ. 168.

*ὥς τις ἕκαστος*] Ὁ νοῦς· Κρόνος αὐτοὺς κατέπινε καθ' ἕκαστον, ὅτε πρῶτόν τις γεννηθείη. Ἐξεπίτηδες μιμεῖται, ὅσα πρότερον εἴρηκε περὶ τοῦ Οὐρανοῦ, (156), ὅπως ἐκφαίνηται ὁ τῶν πράξεων παραλληλισμός. Ἐκ τοιουτοτρόπων προτάσεων ἡ Ἀττικὴ ἔλλειψις «ὡς ἕκαστος» προῆλθεν, ἣ ἐμφαίνει τὸ καθ' ἕνα.

460. *νηδύος*] μητρικῆς κοιλίας.

*πρὸς γούναθ'*] Τῶν Αἰγυπτίων ἱερογλυφικόν τι γράμμα, σημαῖνον τὸ γεννᾶν, δεικνύει, ὅτι κατὰ τοὺς παλαιοτάτους χρόνους αἱ γυναῖκες ἐγέννων ὀκλάζουσαι.

461. *τὰ*] Ἑρμηνεύεται διὰ τοῦ *ἵνα* κτλ.

*ἀγαυῶν*] Θαυμαστῶν, ᾧπερ Ὅμηρος ἀνθρώπους ἐπαινεῖ, πλὴν ἐν τῇ Νεκυίᾳ (Ὀδ. λ 213. 226. 635) Περσεφόνῃ ἀπονέμεται.

*Οὐρανιώνων*] Οὕτω καλοῦνται καὶ οἱ παῖδες καὶ οἱ ἔγγονοι τοῦ Οὐρανοῦ.

462. Ὅτι Κρόνος παρεδέξατο τὴν βασιλείαν, οὐδένα Ἕλληνα ἔλαθε, καίτοι Ἡσίοδος πρὸ τοῦ ἐσιώπησεν.

*ἔχοι βασιληΐδα τιμήν*] Πότερον οἱ χρησμολόγοι ἠρύσαντο «ἕξεις β. τ.» (Διόδωρ. Σικ. 34, 13) καὶ «ἔχων β. τ.» (Χρησμ. Σιβυλλ. 3, 120) ἐκ τούτου τοῦ χωρίου, ἢ ἐκ κοινοῦ πρωτοτύπου, οὐ τολμῶμεν διακρῖναι.

Πεύθετο γὰρ Γαίης τε καὶ Οὐρανοῦ ἀστερόεντος,
οὕνεκά οἱ πέπρωτο ἑῷ ὑπὸ παιδὶ δαμῆναι,
καὶ κρατερῷ περ ἐόντι, Διὸς μεγάλου διὰ βουλάς·
τῷ, ὅγε οὐκ ἀλαοσκοπιὴν ἔχεν, ἀλλὰ δοκεύων
παῖδας ἑοὺς κατέπινε· Ῥέην δ' ἔχε πένθος ἄλαστον.
Ἀλλ' ὅτε δὴ Δί' ἔμελλε θεῶν πατέρ' ἠδὲ καὶ ἀνδρῶν
τέξεσθαι, τότ' ἔπειτα φίλους λιτάνευε τοκῆας
τοὺς αὐτῆς, Γαῖάν τε καὶ Οὐρανὸν ἀστερόεντα,
μῆτίν οἱ φράσσασθαι, ὅπως λελάθοιτο τεκοῦσα
παῖδα φίλον, τείσαιτο δ' ἐρινῦς πατρὸς ἑοῖο
παίδων, οὓς κατέπινε μέγας Κρόνος ἀγκυλομήτης.

463. *πεύθετο*] Ἀττικῶς λέγεται: ἐπύθετο παρὰ Γῆς.

464. *οὕνεκα*] Συναλειφθὲν ἐξ «οὗ ἕνεκα» (διότι), ἤδη ἐν τῇ Ὀδυσσείᾳ ἰσοδυναμεῖ τῷ *ὅτι*.

*πέπρωτο*] Ζεὺς λοιπὸν οὐκ αὐθαιρέτως ἐπανίσταται κατὰ τοῦ ἑαυτοῦ πατρός, ἀλλὰ ἐκτελεῖ τὴν πεπρωμένην μοῖραν.

*παιδί*] Οἱ ἀκριβέστεροι πεζογράφοι προσέθεσαν ἂν «τινί».

*ὑπὸ — δαμῆναι*] Μεταφορὰ ληφθεῖσα ἀπὸ τῆς πάλης καὶ συμπλοκῆς.

465. *καὶ — ἐόντι*] Συντακτέον μετὰ τῆς *οἱ* ἀντωνυμίας.

*Διὸς μεγάλου διὰ βουλάς*] Τὸ ὄνομα αὐτοῦ, ἐννοεῖται, οὐκ ἔμαθεν ὁ Κρόνος. Ὁ ποιητὴς αὐτὸς προκαταλαμβάνει τὰ μεθ' ὕστερον γεγονότα, ὥσπερ 486 (θεῶν *προτέρῳ* βασιλῆϊ).

466. *Οὐκ ἀλαοσκοπιὴν ἔχεν*] Τὴν φράσιν ἐξ Ὁμήρου ἠρύσατο (Ἰλ. Κ 515 κἀ.), μεταφέρων αὐτὴν ἀπὸ τῆς ἀληθῶς κατασκοπῆς πρὸς προσοχὴν ἢ προφύλαξιν.

*δοκεύων*] Καρα-*δοκῶν*, ἀπὸ τῆς αὐτῆς ῥίζης, ἧς τὸ *δέχομαι*.

467. Ἀμυδρά τις μνήμη τοῦ μύθου διὰ τῶν αἰώνων περιῆλθε μέχρις ἡμῶν. Ἐν Ἅδου, μυθολογοῦσιν, ἐσχατογήρως, κρατῶν δρέπανον ἐν τῇ δεξιᾷ, ἀπαύστως παιδία καταπίνει τε καὶ ἀναπέμπει (Schmidt, Märchen σ. 132).

*ἄλαστον*] Κυρίως ἀνεπίληστον, πρβλ. Ὀδ. α 342: με . . . καθίκετο πένθος ἄλαστον.

468. Αἱ ἐν τέλει λέξεις παρέλκουσι καὶ μάλιστα προηγουμένον τοῦ 457 στ.

469. *λιτάνευε*] Παρὰ τὸ *λιτή*, ἤτοι αἴτησις. Ὁ παρατατικὸς τούτου τοῦ ῥήματος ἐξέβαλε σχεδὸν τὸν ἀόριστον.

470. *μῆτίν* (— — χάριν τοῦ διγάμματος) *οἱ φράσσασθαι*] Συμβουλὴν ἐπινοῆσαι.

*λελάθοιτο*] Αὐτὸ βούλεται, ὅπερ τὸ Ἀττικὸν *λάθοι*, ἐπειδὴ ὁ ἐνεργητικὸς *λελάθοι* αἰτιατικῶς κεῖται.

472. *τείσαιτο*] Βραχυλογικῶς εἴρηται ἀντὶ τοῦ «θρέψειεν ἐκδικητὴν τοῦ πατρὸς καὶ τῶν παίδων».

*ἐρινῦς*] Ἀράς, κατὰ τὰ Ὁμηρικὰ «μητρὸς ἐρινύες» (Ὀδ. λ 280) καὶ μάλιστα «οὕτω κεν τῆς *μητρὸς ἐρινύας ἐξαποτίνοις*» (Ἰλ. Φ 412 περὶ τοῦ ἁμαρτωλοῦ). Ὅθεν αἱ Ἐρινύες ἔστιν ὅτε ὀνομάζονται Ἀραί (Αἰσχύλ. Εὐμεν. 413, πρβλ. Ἑπτὰ ἐπὶ Θήβ. 70: Ἀρά τ' Ἐρινὺς πατρὸς ἡ μεγασθενής).

473. *παίδων*] Ἡ γενικὴ ἐκφράζει

Οἱ δὲ θυγατρὶ φίλῃ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο
καί οἱ πεφραδέτην, ὅσαπερ πέπρωτο γενέσθαι
ἀμφὶ Κρόνῳ βασιλῆϊ καὶ υἱέϊ καρτεροθύμῳ,
πέμψαν δ' ἐς Λύκτον, Κρήτης ἐς πίονα δῆμον.
Ὁππότ' ἄρ' ὁπλότατον παίδων ἤμελλε τεκέσθαι,
Ζῆνα μέγαν, τὸν μέν οἱ ἐδέξατο Γαῖα πελώρη,
Κρήτῃ ἐν εὐρείῃ τραφέμεν ἀτιταλλέμεναί τε·

τὴν αἰτίαν· ἡ Ῥέα βουλεύεται τιμωρίαν ἕνεκα τῶν ἑαυτῆς παίδων.

*ἀγκυλομήτης*] Τὸ ἐπίθετον ἑρμηνεύεται εἰς 19.

474. *μάλα — ἐπίθοντο*] = Ἰλ. Η 379 κἑ.

475. Ὁ δυϊκὸς καὶ πληθυντικὸς παρὰ τοῖς ποιηταῖς ἀνταλλάσσονται κατὰ τὸ δοκοῦν, μᾶλλον δὲ κατὰ τὸ μέτρον.

*πεφραδέτην*] Δεύτερος ἀόριστος ἀναδεδιπλασιασμένος ἀντὶ τοῦ Ἀττικοῦ «ἔφρασαν».

Καὶ πάλιν (ἴδε 464) ὁ Διὸς προορισμὸς ἐξαίρεται.

476. *ἀμφὶ Κρόνῳ*] Περὶ Κρόνον.

477. *πέμψαν*] Ῥέαν.

*Λύκτον*] Λύκτος, ἣν οἱ ἐπιχώριοι ὠνόμαζον Λύττον, ἦν ἡ μεγίστη πόλις τῆς πρὸς ἀνατολὰς Κρήτης, κειμένη ἐπὶ παρασπάδος τῆς Δικταίας Ἴδης πλησίον τοῦ χωρίου Ξυδίων.

*πίονα δῆμον*] Ἡ μεταφορὰ Ὁμηρική (π. χ. Ἰλ. Π 514: Λυκίης ἐν πίονι δήμῳ)· καὶ δὴ καὶ ἐν τῇ Ὀδυσσείᾳ (ι 135) εὑρίσκομεν: «ἐπεὶ μάλα πῖαρ ὑπ' οὖδας». Κατ' ἐκείνους τοὺς αἰῶνας ἡ Κρήτη εὐδαιμονίζετο ὑπὸ τῶν ποιητῶν, οἷον Ὅμηρος διὰ τοῦ προσώπου τοῦ Ὀδυσσέως: (Ὀδ. τ 173-4) ᾄδει· «Καλὴ καὶ πίειρα, περίρρυτος· ἐν δ' ἄνθρωποι πολλοί, ἀπειρέσιοι, καὶ ἐννήκοντα πόληες». Ἀλλὰ ὅτε Θεόφραστος τὸ περὶ ἀνέμων βιβλίον ἔγραφεν (κεφ. 13), οἱ Κρῆτες ἤδη ἐδεινολογοῦντο τὴν ἐπὶ τὰ χείρω μετατροπὴν τοῦ κλίματος. Οὐδὲν ἧττον πρὸ τριακοσίων ἐτῶν ὁ Γάλλος Belon εἰσέτι ἐγκώμιον τοῦ φυσικοῦ πλούτου ἐποίησεν. Νῦν δὲ οὐδὲν σχεδὸν εἰ μὴ αἱ σταφυλαὶ ἐπιδεικνύουσι τὴν θαυμασίαν γονιμότητα τῆς ἐκεῖ φύσεως.

478. *ἤμελλε*] Ἡ αὔξησις παρὰ τοὺς κανόνας ἐγένετο, ἀλλὰ τύποι τοιουτότροποι ἐν τῇ χυδαίᾳ διαλέκτῳ πολὺ ἐπληθύνθησαν. Ἐν τῷ προκειμένῳ ῥήματι καὶ ὁ Ζηνόδοτος Ἰλ. Μ 34 τὴν ἀκανόνιστον αὔξησιν ἤτοι εἰσήγαγεν ἢ προσεδέξατο παρ' ἀρχαιοτέρων γραφέων.

*τεκέσθαι*] Τὸν ἀόριστον εὐκολώτατον οἱ Γάλλοι ἐκφράσειαν «venir *de*», ἐνῷ ὁ μέλλων (888. 892) συνωνυμεῖ τῷ *venir à*.

479. *τὸν μέν* (_ πρὸ τοῦ διγάμματος)] Τοῦτον λοιπόν.

*οἱ*] Ἴδε 419.

*Γαῖα πελώρη*] Πρβλ. 159.

480. *Κρήτῃ ἐν εὐρείῃ*] = Ὀδυσσ. ν 260. Τὰ λοιπὰ ἀναπαραβάλλομεν πρὸς Ὀδ. λ 250 : κομέειν ἀτιταλλέμεναί τε.

*τραφέμεν*] Περὶ τούτου τοῦ μὴ Ἀττικοῦ τύπου εἴπομεν ἐν τῇ εἰσαγωγῇ. Οὐ συγχυτέον αὐτὸν μετὰ τοῦ Ὁμηρικοῦ ἀορίστου *ἔτραφον*, ὃς ἀμετάβατός ἐστιν. Τὸ ἀπαρέμφατον ἐκφράζει τὸν σκοπόν.

*ἀτιταλλέμεναι*] Συνωνυμεῖ τῷ «τρέφω».

ἔνθα μιν ἷκτο φέρουσα θοὴν διὰ νύκτα μέλαιναν
πρώτην ἐς Δίκτον· κρύψεν δέ ἑ χερσὶ λαβοῦσα
ἄντρῳ ἐν ἠλιβάτῳ, ζαθέης ὑπὸ κεύθεσι γαίης,
Αἰγαίῳ ἐν ὄρει πεπυκασμένῳ ὑλήεντι.
Τῷ δὲ σπαργανίσασα μέγαν λίθον ἐγγυάλιξε,
Οὐρανίδῃ μέγ' ἄνακτι, θεῶν προτέρῳ βασιλῆϊ.

481. *ἔνθα*] Τότε, ὥσπερ ἐν 432. *θοήν*] Ὅμηρος ἤδη προεῖπε τὴν νύκτα, ὅτι ἐν τῇ Ἑλλάδι τοῦ ἡλίου δύοντος, τὸ λαμπρὸν φῶς τῆς αἰθρίας ἡμέρας τοσοῦτο διαφέρει τοῦ σκιόφωτος, ὥστε ἡ νὺξ ἐξαίφνης ἐπέρχεσθαι δοκεῖ. *διὰ νύκτα*] Τὸ σκότος ἐννοεῖται τοπικῶς.

Ὁ Κρόνος λοιπὸν ὁμοίως τοῖς ἀνθρώποις κατὰ τὴν νύκτα οὐχ ὁρᾷ.

482. *Δίκτον*] Μέρος τῆς Ἴδης οἱ ἄλλοι ἐκτὸς τοῦ Ἀράτου (Φαινομ. 33) καλοῦσι *Δίκτην*, καθ' ἡμᾶς δὲ λέγεται Λασίθι ἢ Λασιώτικα.

*χερσὶ λαβοῦσα*] Αὐτοχειρί.

483. *ἠλιβάτῳ*] Τὸ πρῶτον μέρος τοῦ συνθέτου, γνωρίζομεν ἐκ τοῦ Ἡσυχίου λεξικοῦ *ἄλιν*] ἠλίθιον, μάταιον, κενόν. Μάτην λοιπὸν πειρᾶταί τις ἀναβαίνειν, ὥστε μεταφραστέον «*ἀβάτῳ*». Ἐπὶ τὸ ἄντρον τοῦτο, ὃ προσηγορεύετο «Δικταῖον ἢ καὶ Ἰδαῖον», πάλαι ποτὲ ἐφοίτων πολυπληθεῖς προσκυνηταί.

Πρὸ τεσσάρων ἐτῶν δὲ ἀνευρέθη πάλιν ἐν τῷ ὀροπεδίῳ τῷ ἐκτεινομένῳ πρὸς ἀνατολὰς τῆς ὑψηλοτάτης ἄκρας τῆς Ἴδης ἤτοι τοῦ Ψηλορίτη· ἀκριβεστέρα περὶ τούτου ἔκθεσις κατακεχώρισται εἰς τὰ τῆς Γερμανικῆς Ἀθήνησι Σχολῆς Πρακτικὰ (1885, τ. Ι', σ. 59 κἑ. 280-1), Ἡσίοδος γοῦν οὐδέποτε ἀνέβη εἰς τὸν ὑψηλὸν ἐκεῖνον τόπον, ὃς 1300 ἢ 1400 μέτρα ὑπὲρ τῆς θαλάσσης κεῖται, διὸ μυθικῶς τὸ ἄντρον περιγράφει ὡς ἀπρόσιτον τοῖς ἀνθρώποις καὶ ὑπόγειον (: ζαθέης ὑπὸ κεύθεσι γαίης, πρβλ. 300).

484. *Αἰγαίῳ ἐν ὄρει*] «Ἐν Κρήτῃ καὶ Αἰγὸς ὄρος καλεῖται καὶ Αἰγαῖον τὸ ὑπ' ἐνίων Αἰγιδόκον καλούμενον» (Σχόλιον, πρβλ. Σχόλ. Ἰλ. Β 157). Τὸ ὄνομα ἔλαβον ἀπὸ τῶν ἀγρίων αἰγῶν ἢ «στρηφοκέρων», αἵτινες κατοικοῦσι τὰ Κρητικὰ ὄρη. Αὐτόθι δὲ ἐν ἐκείνῳ τῷ ὄρει περιωρίσθη ὁ μῦθος, καθότι ἡ αἲξ Ἀμάλθεια ἐθήλασε τὸ θεῖον βρέφος. Ὅθεν ὁ Ζεὺς ἐπεκαλέσθη Ὑνναρεὺς παρὰ τὸ ὑννάς (ἀγρία αἴξ).

*πεπυκασμένῳ*] Ἑρμηνεύεται τῷ ἑπομένῳ ἐπιθέτῳ. Ἐκεῖνος ὁ τόπος εἰσέτι, καίπερ τῶν ὑλῶν πανταχοῦ λελυμασμένων, ἐκ τῶν δρυμωδεστάτων τῆς Κρήτης μερῶν ἐστιν. Ταῦτα ἅπαντα ὁ ποιητὴς ἀπαριθμεῖ, ὅπως περιγράψῃ τὴν ἀσφαλῆ θέσιν τοῦ παιδίου. Τὸ ὑπόγειον, ἀπρόσιτον, κατάδρυμον αὐτὸν ἀποκρύπτει ἀπὸ τῶν τοῦ τυράννου ὀμμάτων.

485. *Τῷ*] Προλαμβάνει τὸν 486 στ. *ἐγγυάλιξε*] Ὤρεξε τὸν λίθον ὥστε *ἐγγύτερον* εἶναι αὐτῷ. Οἱ Βοιωτοὶ ἐμυθολόγουν, ὅτι τοῦτο ἐν Χαιρωνείᾳ ἐγένετο (Παυσαν. 9, 41, 6).

486. *μέγ' ἄνακτι*] Ἐπιρρήματα συνηθέστερον συντασσόμενα μετὰ ὀνομάτων ἀπαντῶσι κάρτα, πάνυ, σφόδρα, μάλα, μᾶλλον, μάλιστα· ἀλλὰ καὶ *μεγάλως* ἅπαξ γε εὑρίσκεται μετὰ τοῦ «εὐεργέτης» (Ἡρόδοτ. 6, 30). Τὴν ἀφορμὴν ἔδωκεν ἡ φράσις «μέγ' ἀνάσσω» (Ἰλ. Κ 33. Ὕμν. Ὁμηρ. 1, 181, πρβλ. Θ. 403). Ἂν δέ τις θέλῃ ἀναγνῶναι «μεγάνακτι», οὐκ ἐναντιούμεθα, ἐνθυμούμενοι τὰς λέξεις *παντά-*

τὸν τόθ' ἑλὼν χείρεσσιν ἑὴν ἐγκάτθετο νηδύν,
σχέτλιος, οὐδ' ἐνόησε μετὰ φρεσίν, ὥς οἱ ὀπίσσω
ἀντὶ λίθου ἑὸς υἱὸς ἀνίκητος καὶ ἀκηδὴς
λείπεθ', ὅ μιν τάχ' ἔμελλε, βίῃ καὶ χερσὶ δαμάσσας,
τιμῆς ἐξελάαν, ὁ δ' ἐν ἀθανάτοισιν ἀνάξειν.
Καρπαλίμως δ' ἄρ' ἔπειτα μένος καὶ φαίδιμα γυῖα
ηὔξετο τοῖο ἄνακτος· ἐπιπλομένου δ' ἐνιαυτοῦ,
Γαίης ἐννεσίῃσι πολυφραδέεσσι δολωθείς,
ὃν γόνον ἂψ ἀνέηκε μέγας Κρόνος ἀγκυλομήτης,

*ναξ* καὶ *παντάνασσα* (Γρηγόρ. Ναζιανζ. τ. Β', σ. 298).

Πρὸς τὰ λοιπὰ ἀρκεῖ τὸ εἰς 465 σχόλιον.

487. *ἐγκάτθετο*] Περὶ τῆς συντάξεως ἀνωτέρω (71) σεσημείωται.

488. Τὸ παράδειγμα παρεῖχεν Ὅμηρος τῷ ἐκφωνήματι· *νήπιος οὐδ' ἐνόησε*, ὅπερ Ἡσίοδος ἐπιτηδείως ἤλλαξεν.

*ἐνόησε*] Διὰ τῆς προσθήκης «μετὰ φρεσὶν» τὸ νοεῖν περιορίζεται εἰς τὸν ψυχικὸν στοχασμόν.

*οἱ*] Ἡ ἐπικὴ διάλεκτος πολλάκις ἀντὶ τῆς κτητικῆς ἀνωνυμίας τὴν δοτικὴν τῆς προσωπικῆς μεταφέρει πρὸς τὸ ῥῆμα· ἐνταῦθα ὁ ποιητὴς ἀμφοτέρων χρῆσιν ποιεῖται.

*ὀπίσσω*] Συνάφειαν ἔχει μετὰ τοῦ ῥήματος.

489. *ἀκηδής*] Ἡ λέξις ἀπροσδιόνυσος· οἱ θεοὶ ἅπαντες «ἀκηδέες εἰσί» (Ἰλ. Ω 726).

490. *ὅ*] Ἀντωνυμία ἀναφορικὴ τῆς ἐπικῆς διαλέκτου.

*βίῃ καὶ χερσί*] Ἀφορᾷ εἰς τὸν Κρόνον, ὃς τοὐναντίον δόλῳ τὸν πατέρα καθεῖλεν.

491. *τιμῆς*] Δηλαδὴ βασιληΐδος (462).

*ἐξελάαν*] = ἐξ-ελά-εν, ἀπαρέμφατον τοῦ μέλλοντος τοῦ *ἐξελαύνω*· ἡ βραχεῖα κατάληξις *εν* (=ειν) ἀφωμοίωται τῷ προηγουμένῳ φωνήεντι.

*ὁ*] Αὐτός.

492. *Καρπαλίμως*] Ἐπειδὴ ἡ βραδεῖα τοῦ ἀνθρώπου ἀνάπτυξις ἀναξία φαίνεται θεοῦ.

*μένος*] Νοῦς.

*φαίδιμα*] Ἴδε 453.

493. *τοῖο*] Τούτου· καὶ γὰρ Κρόνος ἄναξ. Ἐν γένει οἱ θεοὶ ἐν Ὕμνοις (Ὕμν. Ὁμηρ. 19, 48. 21, 5. 31, 17 κά. Θεόκριτ. 1, 128. 22, 218 πρβλ. 25, 78, ὧπερ ἀντιστοιχεῖ *ἄνασσα* Ἰλ. Ξ 326 κά.) τῆς ἐπωνυμίας ταύτης τυγχάνουσιν.

*ἐπιπλομένου*] Παράθες (Ὀδυσσ. η 261 = ξ 287) = περιπλομένου. Τὰ μέλλοντα ἔτη πλησιάζουσί πως.

494. *ἐννεσίῃσι*] (Ἰλ. Ε 894) παρὰ τὸ ἐν-ίημι, ὅπως παρ' ἡμῖν «εἰσηγήσει».

*πολυφραδέεσσι*] Ἀπὸ τοῦ *φράζω* ῥήματος. Ὁ δόλος λοιπὸν οὐχὶ τῶν τυχόντων ἦν, ἀλλὰ πολύπλοκος. Ὁ ὕψιστος θεὸς ὅμως διαμένει καθαρὸς ἀπάτης, καὶ ἀντὶ αὐτοῦ πράττει ἡ Γῆ ἡ δολία, ἣ πολλάκις ἀπατᾷ τὸν εὐέλπιδα γεωργόν.

495. *ὃν γόνον*] Τοὺς παῖδας, οὓς κατέπιεν.

*ἂψ ἀνέηκε*] ἀνέπεμψεν ἤ, χυδαιότερον εἰπεῖν (497), ἐξήμεσεν. Ὅτι ἀθάνατοι ἦσαν, οὐ μᾶλλον διεφθάρησαν ἐν τῇ

νικηθεὶς τέχνῃσι βίηφί τε παιδὸς ἑοῖο.
Πρῶτον δ' ἐξήμεσσε λίθον, πύματον καταπιών·
τὸν μὲν Ζεὺς στήριξε κατὰ χθονὸς εὐρυοδείης
Πυθοῖ ἐν ἠγαθέῃ γυάλοις ὕπο Παρνησσοῖο
σῆμ' ἔμεν ἐξοπίσω, θαῦμα θνητοῖσι βροτοῖσι.
Λῦσε δὲ πατροκασιγνήτους ὀλοῶν ὑπὸ δεσμῶν
Οὐρανίδας, οὓς δῆσε πατὴρ ἀεσιφροσύνῃσι·
οἵ οἱ ἀπεμνήσαντο χάριν εὐεργεσιάων,
δῶκαν δὲ βροντὴν ἠδ' αἰθαλόεντα κεραυνὸν

Κρόνου γαστρὶ ἢ οἱ Οὐρανίδαι ἐν τῇ τῆς Γῆς κοιλίᾳ. Ἀλλὰ καὶ οἱ μῦθοι ἡμῶν τοῖς ἀνδρείοις ἀπονέμουσι τὴν αὐτὴν καρτερίαν.

496. *νικηθείς*] Ὅτε ἐμονομάχησε πρὸς τὸν υἱόν. Ὁ δὲ ἐνίκησεν οὐ μόνον βίᾳ μαχόμενος, ἀλλὰ καὶ τεχνικῶς. Ἡ γὰρ καθαρὰ χειροκρατία οὐκ εὐαρεστεῖ τοῖς Ἕλλησιν· ὁμοίως Ὕμν. Ὁμ. 4, 23 περὶ τῆς μάχης εἴρηται: «**βουλῇ** Διὸς αἰγιόχοιο».

*βίηφι*] Κατὰ πτῶσιν ἀπολωλυῖαν, ἥτις τὸ ὄργανον ἐδήλου.

497. *πύματον*] Ἅτε αὐτὸν καταπιὼν τελευταῖον.

498. *στήριξε*] Καθίδρυσε, πρβλ. 779.

*χθονὸς εὐρυοδείης*] Ὁμηρικὴ φράσις, ἣ τὴν εὐρύτητα τῆς γῆς σαφηνίζει ἐκ τῶν μακρῶν κατ' αὐτὴν ὁδῶν.

499. *Πυθοῖ*] ἐν τῇ καὶ Πυθῶνι καὶ Δελφοῖς ὕστερον κληθείσῃ πόλει.

*ἠγαθέῃ*] Τῇ ἄγαν θείᾳ ὡς τῷ Ἀπόλλωνι ἀνακειμένῃ.

*γυάλοις*] Σημαίνει παρ' Ὁμήρῳ τὰ τοῦ θώρακος κοιλώματα, ἐνταῦθα δὲ καὶ παρὰ τοῖς μεταγενεστέροις (οἷον ἐν τῷ ὁμοίῳ χωρίῳ Ὕμν. Ὁμηρ. 2, 215: γυάλων ὕπο Παρνησσοῖο) τὰς κοιλάδας.

500. *σῆμα*] Ἀληθῶς ὁ λίθος μεθύστερον ὑπὸ τῶν ἱερέων ἐδεικνύετο ὀλίγον ἐπάνω τοῦ Δελφικοῦ ναοῦ καὶ τοῖς περιηγηταῖς οὐ μόνον «θαῦμα», ἀλλὰ ἱερόν τι ἦν (Παυσαν. 10, 24, 6 [5]). Παράθες Ὀδυσσ. λ 287, ὅπου «θαῦμα βροτοῖσι» ἐπίσης πρόσθεσίς ἐστιν.

501. Νῦν Ζεὺς βασιλεὺς γέγονεν, ἀλλ' ἀμοιρεῖ ἔτι τῆς «τιμῆς», ᾗ διαφέρει τῶν ἄλλων θεῶν· τοῦτο οὖν τὸ ἔρεισμα τῆς αὐτοῦ βασιλείας λαμβάνει ὡς αὐτόματον δῶρον χάριν εὐεργεσίας. Τὸ ἐπεισόδιον προπαρεσκεύασται ἐν τῷ 458 στ.

*πατροκασιγνήτους*] Τοὺς ἀδελφοὺς τῶν Τιτάνων, τοὺς Κύκλωπας δηλαδή, ὥσπερ γιγνώσκομεν ἀντιπαραβάλλοντες τὸν 504 στ. πρὸς 141.

502. *πατήρ*] Κρόνος· Οὐρανὸς γὰρ οὐκ ἐννοεῖται, ἐπειδὴ οὗτός γε τὰ παιδία οὐδὲν ἔβλαψεν, ἀλλ' αὐτοὺς οὐκ ἀφῆκε μόνον εἰς τὸ φῶς. Οἱ κεραυνοποιοὶ οὖν Κύκλωπες κατὰ τοὺς μύθους ἅπαντας **ὑπὸ** τῇ γῇ ἐν Λήμνῳ ἢ ὁπουδήποτε διατελοῦσιν, ἀλλ' ἐλεύθεροι.

*ἀεσιφροσύνῃσι* (Ὀδ. ο 470)] Παρὰ τὸ ἀεσίφρων, ὅπερ ἀντίκειται τῷ «ἐμπέδῳ» καὶ βεβαίῳ νῷ. Κρόνος τῇ κουφονοίᾳ ἔνοχός ἐστιν.

503. Πρβλ. Ἰλ. Ω 428: τῷ οἱ ἀπεμνήσαντο . . .

504. Περὶ τῆς βροντικῆς τριάδος ἐσημειωσάμεθα εἰς 140.

*αἰθαλόεντα κεραυνόν*] = 72.

καὶ στεροπήν (τὸ πρὶν δὲ πελώρη Γαῖα κεκεύθει)·
τοῖς πίσυνος θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει.
Κούρην δ' *Ἰαπετὸς* καλλίσφυρον Ὠκεανίνην
ἠγάγετο Κλυμένην καὶ ὁμὸν λέχος εἰσανέβαινε.
Ἡ δέ οἱ Ἄτλαντα κρατερόφρονα γείνατο παῖδα·
τίκτε δ' ὑπερκύδαντα Μενοίτιον ἠδὲ Προμηθέα
ποικίλον αἰολόμητιν, ἁμαρτίνοόν τ' Ἐπιμηθέα,

505. *πελώρη Γαῖα*] = 159. Ὅθεν Κρόνος κουφονοώτατα αὐτὸς ἑαυτὸν ἐστέρησε τῶν ἀπαραμίλλων ὅπλων.

506. *πίσυνος*] = πι(θ)-συνος, ἤτοι, κατὰ τὴν Ἀττικὴν διάλεκτον, πεποιθώς.

507—616. Προσμένοντες τὴν Τιτανομαχίαν, ἀκούομεν τὴν τῶν Ἰαπετιδῶν γενεαλογίαν. Ἐπειδὴ τὸ ἀσυνάρμοστον τοῦ ποιήματος ἱκανῶς διασέσυρται ὑπ' ἄλλων, ἡμεῖς γε ἀναζητοῦμεν, διὰ τίνας αἰτίας Ἡσίοδος ἤ, ἂν κριτικώτερόν τις τοῦτο προαιρῆται, Ἡσιόδειος ῥαψῳδὸς τῷ ἐπεισοδίῳ τοῦτον τὸν τόπον ἐξέλεξεν. Ἐν τῇ οὐρανοδρόμῳ τραγῳδίᾳ τοῦ Αἰσχύλου ὁ Ζεὺς τραχύτερον, νέος ὤν, πρὸς τὸν ἀνήκοντα εἰς τὸ παλαιὸν γένος θεὸν φέρεται. Ἡσίοδος ἄρα, τά τε ἄλλα ἅπαντα μεταπλάσσει ἠθικῶς καὶ ταύτην τὴν κηλῖδα ἐξαλείφει διὰ τοῦ ποιεῖν τοὺς Ἰαπετίδας νεωτέρους τοῦ Διός. Τὸ δὲ μεῖζον, μετέχουσι τῆς Τιτανομαχίας (πρβλ. 514), ὥστε ἐπάναγκες πρὸ ταύτης γεννηθῆναι. Κατάλληλος λοιπὸν φαίνεται ὁ τόπος. Ὅτι δὲ ὁ Ἡσίοδος τὰς μεταβάσεις οὐ καλλιεργεῖ, τούτου ἤλθομεν ἤδη εἰς ἱκανὴν πεῖραν.

507. *Ἰαπετός*], Περὶ οὗ εἰς 135 Ὁμηρικὸν χωρίον ἀναφέρομεν, ἔλαβε τὸ ἑαυτοῦ ὄνομα ἀπὸ τοῦ ἰάπ-τω (= ἵημι) — εἰ μὴ θέλομεν εἰσαγαγεῖν τὸν Νῶε υἱὸν εἰς τὴν Ἑλλάδα.

*καλλίσφυρον*] Ἴδε 384. Ὠκεανίδα νυμφεύεται διότι Ἄτλας φέρει τὴν σφαῖραν πλησίον τοῦ Ὠκεανοῦ καὶ αὐτόθι Προμηθεὺς ἐδεδέσμευτο.

508. *Κλυμένην*] 351.

*καὶ ὁμὸν λέχος εἰσανέβαινε*] Ἐξακριβοῖ τὴν λέξιν *ἄκοιτις* (410).

509. *κρατερόφρονα*] Μικρὸν παραλλάσσει τοῦ Ὁμηρικοῦ *ὀλοόφρον* (Ὀδ. α 52).

510. *ὑπερκύδαντα*] Μετ' ὀλίγον (514) παραφράζεται «ὑβριστήν»· ἐσχημάτισται δὲ μετοχικῶς, καθὼς τὸ Ἀφεί-δας καὶ ἀ-κάμ-ας καὶ σχέσιν ἔχει πρὸς τὸ *κυδάνω* (Ἰλ. Υ 42) = καυχῶμαι.

511. *ποικίλον*] Σαφέστερον Ὅμηρος λέγει «ποικιλομήτης», ἀλλὰ τὸ ἐπιφερόμενον «αἰολόμητις» ἐπανορθοῖ τὸ εἴπερ ἔστιν ἁμάρτημα.

*ἁμαρτίνοον*] Καὶ τοῦτο Ὅμηρος προυτύπωσε (Ὀδ η 292: οὔ τι νοήματος ἤμβροτεν ἐσθλοῦ). Ὁ ποιητὴς δηλονότι ἐτυμολογεῖ τὸ πρῶτον ὄνομα ἀπὸ τοῦ προμήθεια καὶ αὐτῷ ἐναντιοῖ τὸν Ἐπιμηθέα ἤγουν ὀψίνουν (Πινδάρ. Πυθ. 5, 28). Τῷ ὄντι δὲ ἐκεῖνος πρότερον ἐκαλεῖτο *Προμανθεύς*, ὥσπερ ὕστερον οἱ Θούριοι τὸν Δία προσηγόρευον (Λυκόφρ. Κασσανδρ. 537)· οὗ τὴν ἐτυμολογίαν χορηγεῖ ἡ συγκριτικὴ γλωσσολογία, ἀφ' ἧς μανθάνομεν, ὅτι οἱ παλαιοὶ Ἰνδοὶ prâmantha ὠνόμαζον τὸν τριπτῆρα, ᾧ ἐχρῶντο κατὰ τὸν τῶν βαρβάρων τρόπον πρὸς ἄναψιν. Πρὸς τούτοις pramâtha ἐσήμαινε τὸν κλέπτην. Ὥστε κατὰ τὸν «προεθνικὸν»

ὃς κακὸν ἐξ ἀρχῆς γένετ' ἀνδράσιν ἀλφεστῇσι·
πρῶτος γάρ ῥα Διὸς πλαστὴν ὑπέδεκτο γυναῖκα
παρθένον. Ὑβριστὴν δὲ Μενοίτιον εὐρύοπα Ζεὺς
εἰς Ἔρεβος κατέπεμψε, βαλὼν ψολόεντι κεραυνῷ,
εἵνεκ' ἀτασθαλίης τε καὶ ἠνορέης ὑπερόπλου.
Ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης,
πείρασιν ἐν γαίης, πρόπαρ' Ἑσπερίδων λιγυφώνων,

αἰῶνα ἤδη ὁ λαὸς καὶ πυροφόρον καὶ πυροκλόπον δαίμονα ἐδόξαζεν.

512. *ἐξ ἀρχῆς*] Δι' οὗ ἡ τοῦ κακοῦ ἀρχὴ ἐγένετο.

*ἀλφεστῇσι*] Παρὰ τὸ ῥῆμα *ἀλφαίνω* (πορίζομαι, κερδαίνω)· κατάλληλον λοιπὸν μεταφράσαι «βιομηχάνοις». Ὁ ποιητὴς ἐννοεῖ ὅσα ἐπιφέρειν θέλει στ. 590—602.

513. *πρῶτος*] Λογικώτερον ἂν εἶπε «πρώτην» (γυναῖκα).

*Διός*] Ἐνταῦθα εὑρίσκομεν παράδειγμα ἄλλης συντάξεως τοῦ «δέχομαι».

*πλαστὴν γυναῖκα*] Τὴν ἡμῖν ἀναγκαίαν ἐξήγησιν ὁ ποιητὴς παρέχει ἐν στ. 570 κἑ.

514. Περὶ τοῦ Μενοιτίου ἡ παράδοσις σιωπᾷ, εἰ μὴ Ἀπολλόδωρος (1, 2, 3) ἐξηγεῖται τὴν Ἡσιόδου βραχυλογίαν· «Μενοίτιος, ὃν κεραυνώσας **ἐν τῇ Τιτανομαχίᾳ** Ζεὺς κατεταρτάρωσε». Ἐπολέμησε λοιπὸν τῷ Διὶ μετὰ τῶν Τιτάνων.

*εὐρύοπα*] Ἡ ἑρμηνεία διευκολύνεται τῷ παραλλήλῳ «Κρονίδαν *βαρυόπαν* στεροπᾶν κεραυνῶν τε πρύτανιν» (Πινδάρ. Πυθ. 6. 24). Ἡ βροντὴ ὑπολαμβάνεται **φωνὴ** τοῦ ὑψίστου θεοῦ, ἥτις **ἐπὶ πολὺ** καὶ βαρέως ἠχεῖ. Περὶ τῆς καταλήξεως οἱ γραμματικοὶ διχογνωμοῦσι, πότερον οἱ ἐπικοὶ καταχρηστικῶς μετεχειρίζοντο τὴν αἰτιατικὴν «εὐρύοπα Ζῆν'» (παρὰ τὸ εὐρύοψ) ἢ ὁ τύπος ἀνήκει εἰς τὰς δυσεξηγήτους ὀνομαστικὰς μητιέτα, ἱππότα κτλ.

515. *Ἔρεβος*] Ἴδε 123.

*ψολόεντι*] Ἡσίοδος ἠρύσατο τὴν φράσιν ἐξ Ὀδ. ψ 330: ἔβαλε ψολόεντι κεραυνῷ. Πρωτότυπος λέξις ἦν ψόλος («καπνός, αἰθάλη» Ἡσύχ.).

516. *ἠνορέης*(ἀνδρεία)] Κακὴν ἔννοιαν οὐκ ἔχει εἰ μὴ τῷ προσλαβεῖν τὸ *ὑπέροπλον* ἢ «ὑπερνεανικόν» (πρβλ. ὁπλότατος = νεώτατος).

517. *οὐρανὸν εὐρύν*] Οὐχ ὁμολογεῖ τοὺς στύλους, οὓς μνημονεύει Ὀδ. α 53 (πρβλ. Αἰσχύλ. Προμ. 349. Ἴβυκον παρὰ Σχολ. Ἀπολλων. 3, 106), καὶ αὐτῷ συνήνεσαν ὅτε χορὸς τῶν καλλιτεχνῶν (ἀπὸ τῆς Κυψέλου λάρνακος Παυσαν. 5, 18, 4) καὶ οἱ πλεῖστοι τῶν συγγραφέων, καίτοι ἡ Ὁμήρου γνώμη συμφωνεῖ ταῖς λαϊκαῖς δόξαις, δι' ἃς ὁ δῆμος τραγῳδεῖ «θαυμάζομαι (θιαμαίνομαι) τὸν οὐρανό, πῶς (ποὺ) στέκει δίχως (χωρὶς) στύλο» (Ἀραβ. συλλ. σ. 308, 109. Νεοελλ. Ἀνάλ. Α', σ. 268, ἀρ. 149) καὶ οἱ Ἰουδαῖοι ὅμοια ἐξεφώνησαν (Β' Σαμουὴλ 22, 8. Ἰὼβ 26, 11).

*κρατερῆς ὑπ' ἀνάγκης*] φράσις ἐπική, ἣ ἀπαντᾷ καὶ ἐν τοῖς Κυπρίοις (Ἀπόσπ. 5), ἐν χρησμῷ, ὑφ' Ἡροδότου παραδοθέντι (1, 67, στ. 2), παρὰ Θεόγνιδι (387).

518. *πείρασιν ἐν γαίης*] Αὐτόθι γὰρ ὁ οὐρανὸς τῇ γῇ πλησιάζειν δοκεῖ.

*πρόπαρ'*] = προπάροιθεν. Οὐ πολὺ παραλλάσσει τὸ χυδαῖον «παραπάνω».

*Ἑσπερίδων λιγυφώνων*] Πρβλ. 275.

ἑστηώς, κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσι·
ταύτην γάρ οἱ μοῖραν ἐδάσσατο μητίετα Ζεύς.
Δῆσε δ' ἀλυκτοπέδῃσι Προμηθέα ποικιλόβουλον
δεσμοῖς ἀργαλέοισι, μέσον διὰ κίον' ἐλάσσας.
Καί οἱ ἐπ' αἰετὸν ὦρσε τανύπτερον· αὐτὰρ ὅγ' ἧπαρ

519. *ἑστηώς*] Ἔχει πρὸς τὸ κοινῶς *ἑστεώς* (ἑστώς), ὥσπερ τὸ Ὁμηρικὸν *πεπτηὼς* πρὸς τὸ πεπτεώς. Ἡ διέκτασις ἀναγκαία ἦν ἕνεκα τοῦ μέτρου, ὥστε ὀρθότερον τάχ' ἂν ἐγράψαμεν : ἑστεώς. Ῥητῶς μνημονεύει τὸ ἑστηκέναι, ὅτι τοῦτο αὐξάνει τὴν ζημίαν.

520. *μοῖραν ἐδάσσατο*] Εἰρωνικῶς· οἱ γὰρ ἄλλοι θεοὶ ἐν τῷ δασμῷ ὡς μοῖραν ἐδέξαντο τιμάς (πρβλ. 204, 348, 413). Ἀλλὰ διὰ τί Ἄτλας τοσοῦτο ἐζημιώθη; Καὶ Αἰσχύλος (Προμ. 347, 425) καὶ Πίνδαρος (Πυθ. 4, 288) περὶ τούτου σιωπῶσιν. Μόνον οἱ Ὀρφικοί, (ἴδε Πρόκλον εἰς Τίμαιον Α', σ. 53 CD, ὃς συγχέει τὸν Ἡσίοδον καὶ ἐκείνους ἐν τῇ λέξει « θεολόγοι ») διασάφησίν τινα παρέχουσι, συγκαταριθμοῦντες τὸν Ἄτλαντα τοῖς Τιτᾶσι καὶ ἀναδεικνύοντες αὐτὸν συναίτιον τοῦ Διονύσου διασπασμοῦ. Ἐκεῖνο μὲν χωρὶς δισταγμοῦ καρπούμεθα εἰς τὸ προκείμενον χωρίον, τοῦτο δὲ ἐπίσης οὐκ ἀπρόσδεκτον θεωροῦμεν, ἐπειδὴ ἐν τῷ Δελφικῷ χρηστηρίῳ οἱ ἱερεῖς τοῖς προσκυνηταῖς — ἆρά γε καὶ Ἡσιόδῳ; — ἐπεδείκνυον τὸν τάφον τοῦ διασπασθέντος Διονύσου.

521. *ἀλυκτοπέδῃσι*] « Ἀλυκτοπέδη] δεσμοῦ εἶδος ἀνεκφεύκτου » (Ἡσύχιος). Οὐκ ἀπᾴδουσι τὰ Αἰσχύλου « ἀδαμαντίνων δεσμῶν ἐν ἀρρήκτοις πέδαις » (Προμ. 6) καὶ « διστύλοις χαλκεύμασι » (18).

*ποικιλόβουλον*] Πρβλ. 511.

522. *ἀργαλέοισι*] Θλιβεροῖς.

*διὰ κίον' ἐλάσσας*] Διὰ κίονος ἐλάσας τοὺς δεσμοὺς σφυροκοπίᾳ, ὅπερ τῷ Αἰσχύλῳ ἔδωκεν ἀφορμὴν τῆς πραγματικῆς τοῦ « Προμηθέως » ἀρχῆς. Ἔτι δὲ τὸ χωρίον ἐγένετο αἴτιον οὐκ ὀλίγων ἀρχαϊκῶν ζωγραφιῶν, ἅστινας ἀπαριθμεῖ Preller-Robert ἐν τῇ « Ἑλληνικῇ Μυθολογίᾳ » (Α', 1887, σ. 99 ὑποσημ. 3). Ἄλλοι ὅμως τὰς τοῦ ποιητοῦ λέξεις ἄλλως, καὶ πολὺ ὠμότερον, ἐξέλαβον, ὥσπερ ἂν εἰ ἐβούλετο « κίονα μέσον διὰ τοῦ Προμηθέως ἐλάσας ». Ὅθεν τρία ἀρχαϊκὰ ἀγγεῖα τὸν δύσμορον παριστᾶσιν ἀνεσκολοπισμένον (πρβλ. τὴν Ἀρχαιολογικὴν ἐν Βερολίνῳ Ἐφημερίδα 1885, στήλ. 225, ὑποσ. 3). Τὸν τῆς φυλακῆς τόπον Ἡσίοδος οὐ μνημονεύει· πιθανῶς μέντοι τοὺς ἀδελφοὺς ὑπέλαβε πλησίον ἀλλήλων ἑστῶτας, ὡς καὶ παλαιός τις Ἀττικὸς ζωγράφος, οὗτινος τὸ πόνημα ἀπεικόνισται ἐν τῇ αὐτῇ Ἀρχαιολογικῇ Ἐφημερίδι 1858, πίν. 114.

523. *Ἐπ'*] Συνδετέον μετὰ τοῦ ῥήματος.

*αἰετόν*] Ἐπειδὴ ὁ ἀετὸς ἀφιέρωται τῷ Διί.

*τανύπτερον*] Πρβλ. 525. Ἡ εὔμουσος εἰκὼν τοῦ πετομένου πτηνοῦ παράγεται ἀπὸ τῶν Ὁμηρικῶν ποιημάτων (ὄρνιθες τανυσίπτεροι Ὀδ. ε 65, τανυσιπτέρυγες οἰωνοὶ Ἰλ. Μ 237).

*ἧπαρ*] Τοῦτο ἐδόξαζον τῶν καιρίων τοῦ σώματος μερῶν, διὸ Ὀδυσσεὺς (Ὀδυσσ. ι 301) διανοεῖται « οὐτάμεναι πρὸς στῆθος ὅθι φρένες ἧπαρ ἔχουσι »· πρβλ. Παροιμ. Σολομ. 7, 23: ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ. Ὃ δὲ περιεργότατον, κατὰ τὸν λεγόμενον Ἰωάννην Δαμασκηνὸν τὸν γράψαντα « περὶ στριγγῶν », ἡ στρὶξ « κατεσθίει τὸ

ἤσθιεν ἀθάνατον, τὸ δ' ἀέξετο ἶσον ἁπάντῃ
νυκτός, ὅσον πρόπαν ἦμαρ ἔδοι τανυσίπτερος ὄρνις.
Τὸν μὲν ἄρ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱὸς
Ἡρακλέης ἔκτεινε, κακὴν δ' ἄπο νοῦσον ἄλαλκε
Ἰαπετιονίδῃ καὶ ἐλύσατο δυσφροσυνάων
οὐκ ἀέκητι Ζηνὸς Ὀλυμπίου ὑψιμέδοντος,
ὄφρ' Ἡρακλῆος Θηβαιγενέος κλέος εἴη
πλεῖον ἔτ' ἢ τὸ πάροιθεν ἐπὶ χθόνα πουλυβότειραν.
Ταῦτ' ἄρα ἀζόμενος τίμα ἀριδείκετον υἱὸν
καί περ χωόμενος παύθη χόλου, ὃν πρὶν ἔχεσκε,
οὕνεκ' ἐρίζετο βουλὰς ὑπερμενέϊ Κρονίωνι.

ἧπαρ καὶ πᾶσαν αὐτῶν (τῶν βρεφῶν) τὴν οἰκονομίαν». Καὶ δὴ καὶ περὶ τῶν βρυκολάκων τῶν καθ' ἡμᾶς τινες ταὐτὰ μυθολογεύουσιν (Schmidt, Volksleben Α', σ. 164-5).

524. Προμηθεύς, ἀθάνατος καθόλου ὤν, καὶ τὰ ἰδιαίτερα μέρη ἔχει ἄφθιτα.

525. *πρόπαν ἦμαρ*] Ὁμηρικῶς. Ἐν τῇ προθέσει ἡ ἔννοια ὑπόκειται: *προϊόντος* τοῦ χρόνου.

526. *καλλισφύρου*] Ἴδε 384.

527. *νοῦσον*] Τὴν τοῦ ἥπατος φθοράν.

*ἄλαλκε*] Ὁ ἥρως ὑπὸ πολλῶν εὐσεβῶν ἐπωνομάζετο «ἀλεξίκακος», ὅπερ αἰνίττεται ὁ ποιητής. Πρβλ. Θέογν. 13: κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε.

528. *Ἰαπετιονίδης*] Τὸ κανονικὸν «Ἰαπετίδης» οὐχ ἁρμόζει τῷ ἑξαμέτρῳ· πόρον δὲ Ὅμηρος κατέδειξε σχηματίσας παρὰ τὸ Ταλαὸς Ταλα-ιον-ίδης (Ἰλ. Β 566. Ψ 678).

*δυσφροσυνάων*] Ἐναντίως κεῖται τῇ εὐφροσύνῃ καὶ τὰ Προμηθέως παθήματα ἠθικῶς δηλοῖ.

529. *Οὐκ ἀέκητι*] Οὐκ ἄκοντος. Καὶ ταύτην τὴν λιτότητα Ὅμηρος ὑπετύπωσεν (Ὀδ. ζ 240: οὐ πάντων ἀέκητι θεῶν, πρβλ. γ 28. ω 444). Ὁ στίχος δικαιολογεῖ τὴν Ἡρακλέους πρᾶξιν.

530. Τῆς Αἰσχυλείου βαθυνοίας Ἡσίοδος ἀμοιρεῖ. Κατ' αὐτόν, οὐχὶ λύονται ἀπορίαι θεολογικαὶ καὶ ἠθικαί, ἀλλ' ἡ τοῦ παιδὸς ἀγάπη ἐφορμᾷ τὸν Δία.

*Θηβαι-γενέος*] Θήβῃσι (κατὰ τὴν αὐτὴν πτῶσιν, ἤγουν τὴν τοπικήν) γεννηθέντος.

531. *ἐπὶ χθόνα πουλυβότειραν*] (Πολλοὺς βόσκουσαν καὶ τρέφουσαν)— Ἰλ. Γ 265. Λ 649.

532. *ἀζόμενος*] Καὶ νῦν σεβασμὸς καὶ εὐσέβαστος ἐν ὁμοίᾳ σημασίᾳ εὐχρηστοῦσιν. Πρβλ. Κοΐντ. Σμυρν. 1, 189.

*ἀριδείκετον*] Πρβλ. 385.

533. *περ*] = Καίπερ, οἷον Εὐστάθιος ὁ Θεσσ. (Opuscula, σ. 293, 62, ἔκδ. Tafel): ὅτι, περ ὑετοῦ καταρραγέντες.

*ἔχεσκε*] Περὶ τοῦ τύπου σεσημείωται εἰς 157.

534. Νυνδὴ μεταβαίνει εἰς τὰς αἰτίας τῆς θείας ὀργῆς, ἃς ἀνέβαλε χάριν τῆς γενεαλογίας.

*ἐρίζετο βουλὰς*] Ἐξισοῦτο πρὸς Δία εἰς τὴν ἀγχίνοιαν, ὥσπερ Θάμυρις πρὸς τὰς Μούσας εἰς ᾠδὴν καὶ Εὔρυτος εἰς τὸν Ἀπόλλωνα εἰς τοξικήν. Περὶ τῆς βραχείας ληγούσης-ας ἔπιθι τὴν εἰσαγωγήν.

*ὑπερμενέϊ*] Ὁ ἀνώτατος θεὸς φυ-

Καὶ γὰρ ὅτ' ἐκρίνοντο θεοὶ θνητοί τ' ἄνθρωποι
Μηκώνῃ, τότ' ἔπειτα μέγαν βοῦν πρόφρονι θυμῷ
δασσάμενος προύθηκε, Διὸς νόον ἐξαπαφίσκων.
Τοῖς μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πίονι δημῷ
ἐν ῥινῷ κατέθηκε, καλύψας γαστρὶ βοείῃ,
τῷ δ' αὖτ' ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
εὐθετίσας κατέθηκε, καλύψας ἀργέτι δημῷ.

σικῶς περισσότερον «μένος» καὶ πνεῦμα ἔχει ἢ οἱ ἄλλοι.

535. *Καὶ γὰρ*] Δηλαδή.

*ἐκρίνοντο*] Διεπραγματεύοντο. Ὅτε οἱ θεοὶ διεμοιράζοντο τὰς «τιμάς», ταύτας πρότερον ἔδει διορίσαι· διὸ μετὰ τῶν ἀνθρώπων τὰς θυσίας καὶ τὰ λοιπὰ προσδιώρισαν πατριαρχικῶς καθὼς γεωμόρος μετὰ γεωργῶν περὶ «σεμπριακῶν» πραγματεύεται. Οἱ εὐσυνείδητοι ἠπόρουν διὰ τί οἱ ἄνθρωποι τὰ μὲν ἄβρωτα τοῖς θεοῖς ἀπένεμον, τὰ δὲ ἄριστα μέρη τῶν ζῴων αὐτοὶ ἤσθιον. Ἐπειδὴ τοὺς ἑαυτῶν προγόνους οὐκ ἐνόμιζον πλεονεξίᾳ ἐνόχους, ἄλλη λύσις τοῦ ζητήματος οὐχ ὑπῆρχεν, εἰ μὴ ὅτι οἱ θεοὶ αὐτοὶ οὕτως ἀπεφάσισαν. Ἀλλὰ πῶς τοῦτο ἐγένετο, τῶν θεῶν, κατὰ τοὺς δεισιδαίμονας, τρεφομένων ἀπὸ τῶν θυσιῶν; Ἡ ἀπόφασις αὕτη ἄρα διὰ πανουργίας ἀπεκτήθη. Τίς δὲ ὁ ἐξαπατήσας τὸν θεόν; Τίς ἄλλος ἢ ὁ φιλάνθρωπος Ἰαπετίδης; Πρὸς τούτοις παρατηροῦμεν ὅτι ἐν τῇ ἀρχαιοτρόπῳ Ἀρκαδίᾳ Ἰαπετοῦ τις υἱὸς ἐκαλεῖτο Βουφάγος (Παυσαν. 8, 27, 17).

536. *Μηκώνῃ*] Οὕτως ὠνόμαζον οἱ παλαιότατοι Ἕλληνες τὴν Σικυῶνα, εἴπερ πιστεύειν χρὴ Στράβωνι 8, 6, 25 σ. 382 καὶ Στεφάνῳ τῷ Βυζαντίῳ (λ. Σικυών), πρβλ. Ἡρακλείτου Ἀλληγορίας Ὁμηρ. 41, σ. 139 καὶ Σχόλ. Ἰλ. Ο 21· ἄλλοι γὰρ λέγουσιν, ὅτι «ἐπ' αὐτῆς» ἔκειτο (Σχόλ. Πινδάρ. Νεμ. 9, 123). Καὶ δὴ χωρίον τῆς Σικυωνίας ἐκαλεῖτο Τίτανα (Στέφ. Βυζ. ἐν λ.) Οὐκ ἀπιθάνως ὁ Μέγας Ἐτυμολόγος ἐξηγεῖται τὸ ὄνομα «ὅτι ἐνταῦθα πρῶτον εὗρε τὸν τῆς μήκωνος καρπὸν ἡ Δημήτηρ» (σ. 583, 56).

*βοῦν*] Τὸ πολυτιμότατον ζῷον ἀναφέρει ὡς παράδειγμα τῶν ὁλοκαυτωμάτων.

*πρόφρονι θυμῷ*] Ἡ Ὁμηρικὴ φράσις οὔτε πλεοναστικῶς οὔτε ἀσημάντως κεῖται· ὡς ἀληθῶς γὰρ *πρόθυμος* ἦν πρὸς τοὺς ἀνθρώπους.

*προύθηκε*] Ἕνεκα ἐκλογῆς.

*Διός*] Τοῦ ἀντιπροσώπου τοῦ θεῶν.

*ἐξαπαφ-ίσκων*] Ἡ κατάληξις σημαίνει τὴν προαίρεσιν. Ὁ στίχος ἀπήχησις φαίνεται Ἰλ. Ξ 160: ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο.

538. *τοῖς*] Ἀνθρώποις.

*ἔγκατα*] (Λέξις τῆς τρίτης κλίσεως) τὰ σπλάγχνα.

**πίονι δημῷ*] Ἡ δοτικὴ παρὰ τοῖς ἐπικοῖς ἔχει καὶ τὴν τῆς *μετὰ* προθέσεως δύναμιν· εἰς ταυτολογίαν δὲ Ἡσίοδος, οὕτως λέγων, οὐκ ἐνέπεσεν, ἐπειδὴ δύο Ὁμηρικὰ *χωρία* (Ἰλ. Χ 501. Ὀδυσσ. ξ 428) σαφῶς δεικνύουσιν, ὅτι ἥτισοῦν διαφορὰ τῶν σημασιῶν ὑπῆρχεν.

539. *ῥινῷ*] Ὥστε αἱ σάρκες πρὸς τὰ πλάγια παρεκαλύφθησαν.

*γαστρὶ βοείῃ*] Τοῦτο τὸ μέρος περὶ οὐδενὸς ἐποιοῦντο, διὸ ὁ ἐπαίτης (Ὀδ. σ 44) αὐτὸ λαμβάνει.

540. *τῷ*] Διί.

541. *εὐθετίσας*] Διευθετήσας, ὥστε ἀόρατα ἦσαν.

*ἀργέτι δημῷ*] Ὁμήρου ἡ φράσις,

Δὴ τότε μιν προσέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
«Ἰαπετιονίδη, πάντων ἀριδείκετ' ἀνάκτων,
ὦ πέπον, ὡς ἑτεροζήλως διεδάσσαο μοίρας».
Ὣς φάτο κερτομέων Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
Τὸν δ' αὖτε προσέειπε Προμηθεὺς ἀγκυλομήτης,
ἦκ' ἐπιμειδήσας, δολίης δ' οὐ λήθετο τέχνης·
«Ζεῦ κύδιστε, μέγιστε θεῶν αἰειγενετάων,
τῶν ἕλευ ὁπποτέρην σε ἐνὶ φρεσὶ θυμὸς ἀνώγει».
Φῆ ῥα δολοφρονέων· Ζεὺς δ' ἄφθιτα μήδεα εἰδὼς
γνῶ ῥ' οὐδ' ἠγνόησε δόλον· κακὰ δ' ὄσσετο θυμῷ
θνητοῖς ἀνθρώποισι, τὰ καὶ τελέεσθαι ἔμελλε.

δηλοῖ δὲ τὸ στιλπνόν (ἀπὸ τῆς ῥίζης ΑΡΓ) τοῦ στέατος.

543. *ἀνάκτων*], Πρβλ. 385. Ἔτι δὲ ἀξιομνημόνευτόν μοι δοκεῖ, ὅτι Προμηθεὺς ἐν τῇ Ἀκαδημείᾳ ἀπεικόνιστο «ἐν δεξιᾷ σκῆπτρον ἔχων» (Σχόλ. Σοφ. Οἰδ. Κολ. 56).

544. *ὦ πέπον*] Ἐν τοῖς Ὁμηρικοῖς ποιήμασι τοτὲ μὲν θωπευτικῶς (π. χ. Ἰλ. Ι 252), τοτὲ δὲ μεμπτικῶς εὑρίσκεται· ὅθεν συντάσσομεν αὐτὸ μετὰ τῆς ἐν τῇ συνηθείᾳ ἀμφιλόγου προσηγορίας· «φίλε μου».

*ἑτεροζήλως*] Μεροληπτικῶς.

545. *κερτομέων*] Ζεὺς μεμψιμοιρεῖ τὴν ἄνισον διανομήν, ἅτε οὐχὶ φίλαυτος ἄνθρωπος, ἀλλὰ θεὸς (ἄφθιτα μήδεα εἰδὼς) ὤν. Οὕτω τὸ τοῦ στίχου τέρμα καθ' ὅλην τὴν σημασίαν μεταχειρίζεται, καίτοι Ἡσίοδος αὐτὸ ἐδέξατο παρ' Ὁμήρου (Ἰλ. Ω 88).

546. *ἀγκυλομήτης*] Πρβλ. 19.

547. *ἧκα*] Ὁ θετικὸς βαθμὸς τοῦ *ἥκιστα*.

Πρὸς τὰ λοιπὰ παράθες Ὀδ. δ 455: οὐδ' ὁ γέρων δολίης ἐπελήθετο τέχνης, Ὕμν. Ὁμηρ. 3,76: δολίης δ' οὐ λήθετο τέχνης.

548. *Ζεῦ κύδιστε μέγιστε*] = Ἰλ. Β 412. Γ 298.

*θεῶν αἰειγενετάων*] (Οἳ εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἐγεννήθησαν) = Ἰλ. Β 400 κἀ.

549. *τῶν*] Λείπει ἡ ἀντωνυμία *ἐκείνην* ἢ *ταύτην* (μοῖραν).

*θυμὸς ἀνώγει*] Ἐν τοῖς Ὁμηρικοῖς ποιήμασιν εὐχρηστεῖ *θυμὸς ἄνωγε, ἀνώγειν* (Ἰλ. Θ 322. Σ 90 κἀ.).

550. Ἐνταῦθα οὐχ ἧττον σημαντικῶς ἢ στ. 545 τῇ μετοχῇ χρῆται, ἐκφράζων τὴν αἰτίαν τοῦ μὴ ἀγνοεῖν.

551. Τὸ αὐτὸ θετικῶς τε καὶ κατὰ λιτότητα δηλοῦται, ὡς καὶ 157. Ἔ. 637—8. Ὕμν. Ὁμηρ. 3,243· τοιαῦτα παρ' Ὁμήρῳ ἀθρόως εὑρίσκονται, π. χ. Ἰλ. Κ 113: ἑκαστάτω οὐδὲ μάλ' ἐγγύς.

*ὄσσετο*] Κυρίως ταὐτὸ βούλεται, ὃ «ἑώρα», καθότι ἡ πρωτότυπος λέξις *ὄσσε* (ὀφθαλμοί)· ἐνταῦθα δὲ μεταφορικῶς κεῖται ἐπὶ τῆς διανοίας. Μὴ παρίδωμεν, ὅτι ὁ Ζεὺς οὐ βούλεται κακά, ἀλλὰ προορᾷ τὰ **ἐκ μοίρας** ἐπερχόμενα. Οἱ ἄνθρωποι ἀναίτιοι, ὡς Λουκιανὸς ἐν τῷ «Προμηθεῖ» δικαίως λέγει, ἀδίκως πως αἰτιώμενος τὸν τυραννικὸν θεόν.

552. Αἱ μὲν δύο δοτικαί, ὡς ἐμάθομεν (296), Ὁμήρου ἦσαν, ὅσα δὲ νῦν προστίθενται οὐχ ἧττον (Ἰλ. Β 36: τά ῥ' οὐ τελέεσθαι ἔμελλον, Ὀδ. 6 156: ἅπερ τ. ἑ.).

Χερσὶ δ' ὅγ' ἀμφοτέρῃσιν ἀνείλετο λευκὸν ἄλειφα.
Χώσατο δὲ φρένας ἀμφί, χόλος δέ μιν ἵκετο θυμόν,
ὡς ἴδεν ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ.
(Ἐκ τοῦ δ' ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
καίουσ' ὀστέα λευκὰ θυηέντων ἐπὶ βωμῶν).
Τὸν δέ, μέγ' ὀχθήσας, προσέφη νεφεληγερέτα Ζεύς·
«Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
ὦ πέπον, οὐκ ἄρα πω δολίης ἐπελήθεο τέχνης».
Ὣς φάτο χωόμενος Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
Ἐκ τούτου δὴ ἔπειτα, δόλου μεμνημένος αἰεί,
οὐκ ἐδίδου μελέοισι πυρὸς μένος ἀκαμάτοιο

553. *ἄλειφα(ρ)* = στέαρ. Τοῦτο ἐγείρει τὴν ὄρεξιν Διὸς ὡς ἀληθινοῦ Ἕλληνος.

*554. Περὶ τῆς ἐν τῷ σώματι θέσεως τῆς ὀργῆς οἱ παλαιοὶ οὐ συνεφώνουν. Ἡσίοδος δὲ δηλονότι τὴν ὀργὴν καθιστᾷ ἐν τῷ διαφράγματι (ταῖς φρεσίν), ἐξ οὗ προέρχεται αὐξανόμενος εἰς τὸν «θυμόν», ὅντινα ἀγνοοῦμεν ποῦ ἔστιν. Τῆς *ἀμφὶ* προθέσεως χρῆσιν ποιεῖται, καθότι αἱ φρένες ὑπ' ἀμφότερα τὰ μέρη τοῦ θώρακος ἐκτείνονται.

556-7. Περιέχουσιν, ὥσπερ προείπομεν, τὴν ἀφορμὴν τοῦ μύθου.

556. *ἐπὶ - ἀνθρώπων*] Ὁμηρικὰ φαίνονται.

557. Ἀποσπᾷ τὸ λίπος, ἵνα φανῇ ἡ θυσία ὡς εὐτελεστάτη. Τὸ καίεσθαι τὰ ὀστᾶ διαβεβαιοῖ Κλήμης ὁ Ἀλεξανδρεὺς (Στρωματ. Η', σ. 304, πρβλ. Κυρίλλ. κατὰ Ἰουλιανοῦ Θ', σ. 306, Πορφυρ. Ἀποχ. 2,58) διὰ χωρίων ἄλλων ποιητῶν. Ὅθεν οἱ σχολιασταὶ καὶ λεξικογράφοι τὸ Ὁμήρου *μηρία* ἐξηγοῦνται τὰ «μηριαῖα ὀστᾶ» ἢ «τὰ ἐκ τῶν μηρῶν ἐξαιρούμενα καὶ ἱεροθυτούμενα ὀστᾶ.»

*θυηέντων*] «εὐόδμων» (Ἡσύχ.) παρὰ τὸ θύος (θυμίαμα).

558. = Ἰλ. Α 517. Δ 30. Η 454.

*νεφεληγερέτα*] Χάριν τοῦ τύπου, ἔπιθι τὴν εἰς 56 σημείωσιν· τὸ δὲ πρᾶγμα καὶ ὁ Χριστιανικὸς λαὸς τῷ Θεῷ ἀπονέμει, π. χ. ᾄδουσιν ἐν Κρήτῃ «ἐκεῖνος ἀποῦ συννεφιᾷ» Passow δίστ. 242) καὶ ἐν πολλοῖς χωρίοις «Χριστέ, καὶ κάμε συννεφιά».

559. *πάντων πέρι*] = 411.

*μήδεα εἰδώς*] (ἀγχίνους) Ὁμηρικὸν ἀκροτελεύτιον.

560. *ὦ πέπον*] = 544.

*οὐκ ἄρα πω*] Δηλοῖ ὅτι παρ' ἐλπίδα ὅτιοῦν γίνεται· ἀλλὰ περὶ τούτων εἰς Ἔ. 10 εὐκαιρία ἔσται τοῦ ἀκριβέστερον διελθεῖν.

561. *ἄφθιτά μ' εἰδώς*] Ἀπαντᾷ τὸ τρίτον· ἡ σημασία ὅμως ὀλίγον τι μετήλλακται. Ἄφθιτα τὰ Διὸς διανοήματα, ὥστε οὐδεὶς αὐτὰ ματαιῶσαι δύναται.

562. *Ἐκ - ἔπειτα*] = Ὕμν. Ὁμηρ. 2, 165 (343).

563. *οὐκ ἐδίδου*] Οὐκέτι δηλαδὴ ἔδωκε, διὸ Ἡσίοδος ἐν τῷ παραλλήλῳ χωρίῳ (Ἔ. 50) εἶπε· «κρύψε δὲ πῦρ». Τὸ πῦρ τότε ἦν Διὸς χάρισμα, καθ' ἡμέραν ἀνανεούμενον, καθὼς τὸ τοῦ ἡλίου φῶς. Ἐπειδὴ δῆθεν οἱ κεραυνοὶ τὰ ξύλα ἀνακαίουσιν, οἱ ἄνθρωποι τὴν τοῦ πυρὸς δόσιν παρήγαγον ἀπὸ τοῦ κεραυνίου θεοῦ.

*μελέοισι*] Κενοῖς, οὐδαμινοῖς.

θνητοῖς ἀνθρώποις, οἳ ἐπὶ χθονὶ ναιετάουσι.
Ἀλλά μιν ἐξαπάτησεν ἐῢς παῖς Ἰαπετοῖο,
κλέψας ἀκαμάτοιο πυρὸς τηλέσκοπον αὐγὴν
ἐν κοΐλῳ νάρθηκι· δάκεν δέ ἑ νειόθι θυμόν,
Ζῆν' ὑψιβρεμέτην, ἐχόλωσε δέ μιν φίλον ἦτορ,
ὡς ἴδ' ἐν ἀνθρώποισι πυρὸς τηλέσκοπον αὐγήν.
Αὐτίκα δ' ἀντὶ πυρὸς τεῦξεν κακὸν ἀνθρώποισι.
Γαίης γὰρ σύμπλασσε περικλυτὸς Ἀμφιγυήεις

*πυρὸς μένος*] Ἡ παράφρασις αὕτη παρ' Ὁμήρῳ οὐκ ἐν χρήσει ἐστίν, εἰ μὴ ἐπ' ἀνθρώπων (οἷον: μένος Ἀτρείδαο Ἰλ. Λ 268, Ἀλκίνοιο Ὀδ. η 167 κἑ.).

*ἀκαμάτοιο*] Κατὰ τὴν Ὁμηρικὴν φράσιν «ἀκάματον πῦρ» (Ἰλ. Ε 4 κἀ.). Τὸ τῆς Χιμαίρας πῦρ ὁμοίως τῷ ὑπ' Ἀθήνης ἀναφθέντι οὐκ ἀποσβέννυται οὐδὲ «ἀποκάμνει», ὥσπερ τὸ ἐν τοῖς ἀνθρώποις.

564. Τὸν στίχον ὁλόκληρον ἐξ Ὁμήρου ἠρύσατο, πρβλ. 296 καὶ Ὀδ. ζ 153.

565. *ἐῢς παῖς*] μετὰ γενικῆς πάλιν χαρακτηριστικόν ἐστι τῆς ἐποποιίας.

566. *τηλέσκοπον*] ὅτι πόρρωθεν ὁρᾶται, Προμηθεὺς τὸ πῦρ ἀποκρύπτει.

567. *ἐν κοΐλῳ νάρθηκι*] Εἰς τοῦτο συνᾴδουσι καὶ οἱ μεταγενέστεροι (Αἰσχύλος Προμ. 109, Νίκανδρος Ἀλεξιφ. 272-3, Φανίας Ἀνθολογ. 6, 294). Ὁ νάρθηξ εἶδος καλάμου, ὃ ὑπὸ τοῦ λαοῦ *ἀνάρθηκας* (τῷ 1700 ὅμως εἰσέτι ὀρθότερον νάρθηκας, μαρτυροῦντος τοῦ πάνυ Tournefort, Voyage τ. Α', σ. 290) καὶ ὑπὸ τῶν σοφῶν ferula communis ὀνομάζεται, εὑρίσκεται δὲ ἐν τῇ Ἀττικῇ (τὰ μάλιστα δὲ ἐπὶ τῆς Μουνυχίας χερσονήσου), ἐπὶ Σχοινούσης, ἐν Κρήτῃ καὶ ἐπὶ Κύπρου. Τούτῳ τῷ νάρθηκι λοιπὸν «ἐχρῶντο πρὸς τὰς ἐκζωπυρώσεις τοῦ πυρός» (Ἡσύχ. λ. ναρθηκοπλήρωτον). Τουρνεφόρτιος διηγεῖται, ὅτι οἱ κατ' αὐτὸν Ἕλληνες τὸ πῦρ ἐν τῷ νάρθηκι μετέφερον εἰς ἄλλον τόπον. Ἀλλὰ καθ' ἡμᾶς εἰσέτι οἱ Κύπριοι ἡμίσβεστον νάρθηκα, ὃν *ἄζα* (Σακελλ. Κυπρ. Γ', 226) ἢ (ὑ)ποδόχα (Φιλίστωρ Γ', 434) καλοῦσιν, ὡς ἔναυσμα μεταχειρίζονται. Καὶ οἱ συγγενεῖς Ῥωμαῖοι τὸ τέχνασμα τοῦτο ἀνέκαθεν ἐγίνωσκον (Ὀβίδ. Fasti 4, 797. Πλίν. Naturalis historia 13, 22, 42), ἐν δὲ τοῖς πρὸς μεσημβρίαν μέρεσι τῆς Ἰταλίας, ὅπου ὁ Λατινισμὸς τὰς Ἑλληνικὰς παραδόσεις οὐκ ἐντελῶς ἐξηφάνισε, τὸ ἔθιμον διατηρεῖται.

567. Τὸ ῥῆμα ἀπροσώπως κεῖται, καθὼς *φουρκίζει*. Παρήλλακται λοιπὸν τὸ Ὁμήρου (Ἰλ. Ε 493): δάκε δὲ φρένας Ἕκτορι μῦθος.

*ἑ*] Ἡ τῆς ἀντωνυμίας πρόληψις δημώδης ἐστίν· ὁ λαὸς ὅμως νῦν λέγει «τον».

*νειόθι*] Ἐνδομύχως, πρβλ. Ἰλ. Κ 10: νειόθεν ἐκ κραδίης. Ὁ ὑπερθετικός ἐστι *νείατος* (Ἰλ. Ζ 295=Ὀδ. ο 108).

568. *ὑψι-βρεμ-έ-την*] Παρὰ τὴν ῥίζαν ΒΡΕΜ, ἢ σημαίνει δριμὺν ἦχον (π. χ. Ἰλ. Ξ 399: *βρέμεται* περὶ τῆς θυέλλης, καὶ 396: *βρόμος* ἐπὶ τοῦ πυρός).

569. Πρβλ. 566. Οἱ Ἀθηναῖοι τὸν Προμηθέα ἐλάτρευον ὡς «πυρφόρον θεόν» (Σοφ. Οἰδ. Κολων. 55).

570. *ἀντὶ*] Ἀντίσταθμον.

571. *γαίης*] Ἐκ γῆς. Ἡ γνώμη

παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς.
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη
ἀργυφέῃ ἐσθῆτι, κατὰ κρῆθεν δὲ καλύπτρην
δαιδαλέην χείρεσσι κατέσχεθε, θαῦμα ἰδέσθαι·
ἀμφὶ δέ οἱ στεφάνους, νεοθηλέας ἄνθεσι ποίης,

αὕτη ἐντεῦθεν κατέστη, ὅτι οἱ νεκροί, κατὰ τὸ φαινόμενον, διαλύονται εἰς γῆν. Ὁ παθητικῶς Εὐριπίδης (Ὑψιπύλῃ ἀπόσπ. 757, ἔκδ. Nauck) ἐξεφώνησεν· «ἄχθονται βροτοὶ εἰς γῆν φέροντες γῆν», καὶ ἀνώνυμος χάριν παρηγορίας εἰς τύμβον ἐπέγραψεν (Kaibel, Epigrammata 75, 2): «ἐκ γαίης βλαστῶν γαῖα πάλιν γέγονα». Ἔτι δὲ ὅσα ὁ Χριστιανισμὸς ἡμᾶς διδάσκει, αὐτόδηλα. Ἄλλα ἀναβάλλομεν εἰς τὸ ὀλίγον παραλλάσσον χωρίον τῶν Ἔργων (61).

*περικλυτὸς Ἀμφιγυήεις*] Οὕτως Ὅμηρος ἐννεάκις τὸν Ἥφαιστον ὀνομάζει. Τὸ μὲν ἀκριβέστερον ἐξέφρασε *κλυτοτέχνης*, καὶ ἐπ' ἀληθείᾳ γε κατ' ἐκείνους τοὺς χρόνους τεχνίτης (δημιουργὸς) ἐπιδέξιος καὶ ἔξω τῆς πατρίδος περιώνυμος καὶ περισπούδαστος ἦν· οἷον κατὰ τὸν Ὅμηρον Βοιωτός τις τὴν ἀσπίδα τοῦ Σαλαμινίου Αἴαντος ἐκαλλιτέχνησεν (Ἰλ. Η 220). Τὸ δὲ δεύτερον ἐπίθετον οἱ παλαιοὶ ἠτυμολόγησαν ἀπὸ τοῦ γυιὸς καὶ γυιόω ὡς σημαῖνον «ἀμφίχωλος»· διὰ τοῦτο Ἥφαιστος, φασίν, ἐξέλεξε τὸ δουλοπρεπὲς ἐπιτήδευμα τῶν χαλκέων. Ἀλλὰ ταύτῃ τῇ ἐτυμολογίᾳ ἐναντιοῦται, ἐκτὸς τοῦ ἀλλοκότου τῆς «ἐπιτίμου» προσηγορίας, ἡ κατάληξις *-εις*, ἧς ἕνεκα συνώνυμον θεωροῦμεν *κρατερόχειρ*, ὅπως Ἥφαιστος προσηγορεῖται ἐν τῷ Ὀρφικῷ Ὕμνῳ (66 [65], 3). Ἀλλ' ἆρ' οὐκ ἀμελοῦμεν τῆς *ἀμφι-* προθέσεως; Ἥκιστά γε, ἐπειδὴ ὁ Ἥφαιστος, ὡς τὰ ἀρχαιότατα μνημεῖα δεικνύουσιν, ἀμφοτέραις ταῖς χερσὶ τὴν ἐμβριθῆ σφῦραν δονεῖ.

572. *ἴκελον*] Προσκαίρως τὸ ζῷον ἦν οὐδέτερον. Εἴπερ ὑπῆρχε τότε ἡ «ἀνδρείκελον» λέξις, Ἡσίοδος αὐτῆς ἐνεθυμήθη ἐνταῦθα.

*διὰ βουλὰς*] Ἡ πεπατημένη φράσις ἐν τῷ ἀνὰ χεῖρας χωρίῳ δηλοῖ ἐντολήν.

573. *Ζῶσε δὲ καὶ κόσμησε*] Ἐνέδυσε καὶ ἐκαλλώπισεν. Ἀθηνᾶ τοῦτο ἐπιτάσσεται, ὅτι τὰς γυναῖκας διδάσκει τὸ νήθειν καὶ ὑφαίνειν, περὶ οὗ ἐροῦμεν εἰς Ἔ. 64.

*γλαυκῶπις*] Πρβλ. 13.

574. *ἀργυφέῃ*] Ἐκ λαμπροῦ ὑφάσματος ἤτοι ὀθονίου.

*κατὰ κρῆθεν* (= Ὕμν. Ὁμηρ. 5, 182) καθόσον ἡ καλύπτρα ὑπὸ τὴν κεφαλὴν ἐξικνεῖται. Τὸ σχῆμα αὐτῆς παρατηροῦμεν ἐπὶ ἀρχαιοτάτων στηλῶν ἐν Σπάρτῃ.

*καλύπτρην*] Τὸ κάλυμμα, ἄνευ οὗτινος οὐδεμία πολίτου γυνὴ ἐξέβαινεν εἰς τὴν ὁδόν· περὶ τοῦ σχήματος αὐτοῦ μανθάνομέν τινα ἐξ Ἰλ. Γ 141: ἀργεννῆσι καλυψαμένη ὀθόνῃσι καὶ Εὐστάθ. Μακρεμβολ. 2, 4, 3: λευκὴ καλύπτρα περὶ τὴν κεφαλὴν καὶ τὰ περὶ τὸ μέτωπον κατεκάλυπτεν. Ταὐτὸ ἆρά γε ἦν τῷ μαντηλίῳ, ὁποῖον φοροῦσιν ἐν πολλοῖς χωρίοις ἢ καταχρεμάμενον ἢ περιπεπλεγμένον περὶ τὸν τράχηλον; Τὰ χαριέστατα ἀγαλμάτια τῶν Ταναγραίων παριστᾶσι τὸν δεύτερον τρόπον.

*δαιδαλέην . . . . . θαῦμα ἰδέσθαι*] Ἡ βασιλικὴ στολή, καταλλήλως πρὸς τὸ προκείμενον χωρίον, περιγράφεται Ἰλ. Χ 468-470: τῆλε δ' ἀπὸ κρατὸς βάλε δέσματα σιγαλόεντα, ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην κρήδεμνόν τε.

ἱμερτοὺς περέθηκε καρήατι Παλλὰς Ἀθήνη·
ἀμφὶ δέ οἱ στεφάνην χρυσέην κεφαλῆφιν ἔθηκε,
τὴν αὐτὸς ποίησε περικλυτὸς Ἀμφιγυήεις,
ἀσκήσας παλάμῃσι, χαριζόμενος Διὶ πατρί·
τῇ δ' ἐνὶ δαίδαλα πολλὰ τετεύχατο, θαῦμα ἰδέσθαι,
κνώδαλ', ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδὲ θάλασσα.
Τῶν ὅγε πόλλ' ἐνέθηκε (χάρις δ' ἀπελάμπετο πολλή)
θαυμάσια, ζώοισιν ἐοικότα φωνήεσσι.
Αὐτὰρ ἐπειδὴ τεῦξε καλὸν κακὸν ἀντ' ἀγαθοῖο,

*κατέσχεθε*] = κατέσχεν. Οὐκ εἶπεν· «ἐπέθηκε», ἐπειδή, ὡς εἴπομεν, τὸ μαντήλιον πολὺ κατεδίδαζον. Ταὐτὸ ἀπαντᾷ παρ' Ὁμήρῳ μέσως (Ἰλ. Γ 419): «κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ».

576. Πανδώρα δέχεται τὸν νυμφικὸν στολισμὸν ὁλόκληρον καὶ δὴ καὶ τὸν στέφανον.

*στεφάνους*] Ὁ πληθυντικὸς ὑποδηλοῖ τὸ τῶν ἀνθῶν πλῆθος.

*νεοθηλέας*] Νεοθαλεῖς ἢ νέον θάλλοντας.

577. * *περ-έθηκε*] = περι-έθηκε. Ἐν τῇ εἰσαγωγῇ τὰ δέοντα εὑρήσεις περὶ τῆς ἐκθλίψεως.

578. *στεφάνην*] Ἴδε 17.

*κεφαλῆφιν*] Ἡ κατάληξις ἐνταῦθα τὸν τόπον ἐκφράζει. Πρωτότυπος δὲ ἦν ὁ στίχος (Ἰλ. Κ 257-261): ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε.

579. Πρβλ. 571.

580. *ἀσκήσας*] Καλλιτεχνήσας.

*παλάμῃσι*] Ἡσίοδος τῶν χαλκέων τὰ μάλιστα τὴν ῥώμην, οὐχὶ τὴν καλλιτεχνίαν θαυμάζει, διὸ προστίθησι τὴν λέξιν, πρβλ. 866. Ἀσπ. 219. 320.

*χαριζόμενος Διὶ πατρί*] Ἡ ἐργασία ἔκτακτος ἐγένετο, ὅτι τῷ πατρὶ χαρίζεσθαι ἤθελεν.

581. *πολλὰ*] ἐστὶν ὑποκείμενον, ἐπίθετον δὲ *δαίδαλα*, πρβλ. Ἰλ. Ξ 179: ἔξυσ' ἀσκήσασα, τίθει δ' ἐνὶ δαίδαλα πολλά.

582. *κνώδαλα*] Ἐξηγεῖται τὸ *πολλά*, σημαίνει δὲ ζῷα ἤ, κυρίως, θηρία παρὰ τὸ *κνώδων* (ὀδούς). Ὁ τὰ Κύπρια λοιπὸν ποιήσας (Ἀπόσπ. 6, 12 παρ' Ἀθηναίῳ 8, 334 c) ᾄδει· «*θηρί'* ὅσ' ἤπειρος αἰνὰ τρέφει». Τὰ λοιπὰ εὑρίσκομεν καὶ ἐν τῷ δ' Ὁμηρικῷ Ὕμνῳ (στ. 5: τὴν ἀρχὴν ἀποτελοῦντος *ἡμέρ*). — Ὡσαύτως οἱ τῶν Μυκηναίων ἀνάκτων τεχνῖται μιμήσεως ἕνεκα ἐξέλεξαν ἐλάφους, θαλάσσια πτηνά, ἰχθῦς καὶ ἄλλα ζῷα.

583. *ἐνέθηκε*] Ὥσπερ *ἐνι* 581 αἰνίττεται τὴν θαυμαστὴν ἐν μετάλλῳ ψηφολογίαν, ἣν θαυμάζομεν ἐν τῇ τῶν ἐν Μυκήναις ἀνευρημένων συλλογῇ, ἀφοῦ ἡ Ἀρχαιολογικὴ Ἑταιρεία ἐκάθαρε τὰ μαχαίρια.

*χάρις—πολλή*] = Ἰλ. Ξ 183. Ὀδ. σ. 298. Ἐκεῖ οὐχ εὑρίσκονται κατὰ παρένθεσιν, ἀλλὰ τὸ σχῆμα τοῦτο εὐχρηστεῖ ἐν ταῖς ἐποποιίαις (π. χ. Ἰλ. Β 333-4. Γ 134).

584. *ζῴοισιν φωνήεσσι*] Ἐφαίνοντο οὕτως ἔμψυχα, ὥστε πιστεύσειεν ἄν τις ὡς φωνάζουσιν.

585. *Αὐτὰρ ἐπειδὴ τεῦξε*] = Ὀδ. θ 276. Τὸ ὑποκείμενον Ζεύς. Κατὰ γὰρ τὴν πασίγνωστον βραχυλογίαν ἡ ἐργασία ἀναφέρεται εἰς τὸν παραγγείλαντα.

*καλὸν κακὸν*] Τὸ ὀξύμωρον ἤρεσε καὶ τῷ σεμνῷ Πινδάρῳ, ὃς αὐτὸ μετέπλασε «καλὸν πῆμα» (Πυθ. 2, 40).

ἐξάγαγ', ἔνθα περ ἄλλοι ἔσαν θεοὶ ἠδ' ἄνθρωποι,
κόσμῳ ἀγαλλομένην Γλαυκώπιδος ὀβριμοπάτρης.
Θαῦμα δ' ἔχ' ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους,
ὡς εἶδον δόλον αἰπύν, ἀμήχανον ἀνθρώποισι.
[Ἐκ τῆς γὰρ γένος ἐστὶ γυναικῶν θηλυτεράων],
τῆς γὰρ ὀλώϊόν ἐστι γένος, καὶ φῦλα γυναικῶν
πῆμα μέγα θνητοῖσι μετ' ἀνδράσι ναιετάουσι,
οὐλομένης πενίης ἀξύμφοροι, ἀλλὰ κόροιο.
Ὡς δ' ὁπότε σμήνεσσι κατηρεφέεσσι μέλισσαι

586. *ἐξάγαγ'*] Ἐκ τῆς οἰκίας. Πρὸς τὰ λοιπὰ παράθες 535.

587. *Γλαυκώπιδος*] Πρβλ. 14.

*ὀβριμοπάτρης*] Τῆς ἐχούσης πατέρα ὄβριμον καὶ δεινόν.

588. Τοσαύτης καλλονῆς ἦν, ὥστε οἱ θεοὶ αὐτοὶ ἐθαύμασαν. Ἡ «ἐπιμήθεια» ἄρα συγγνώμης ἀξία φαίνεται.

589. *δόλον*] Πανδώραν· τὸ τοῦ δόλου ὄργανον, οἷον ὁ Τρωϊκὸς ἵππος, ὀνομάζεται *δόλος* (Ὀδ. θ 494, πρβλ. 276). Ἢ εἰς τὴν σημασίαν ἐνεργεῖ ἡ τῆς λέξεως γένεσις, ἅτε συνάφειαν ἐχούσης πρὸς τὸ *δέλεαρ*, ὃ οἱ χυδαῖοι *δόλωμα* λέγουσιν; Ἡ πρωτοφανὴς λέξις ἀντὶ τοῦ δέλεαρ οὐχὶ μόνον Ὀδ. μ 252 εὑρίσκεται, ἀλλὰ καὶ ἐν παροιμίᾳ σῴζεται (τὸ ψάρι χωρὶς *δόλο* δὲν πιάνεται, Ἀραβαντ. παροιμ. 19,36).

*αἰπύν*] Αἴφνης ῥίπτοντα εἰς τὸν Ὁμήρου «αἰπὺν ὄλεθρον» καὶ ὡς εἰπεῖν, κατακρημνίζοντα. Ἐπειδὴ ἄρα ἀπρόοπτος ἐπέρχεται, «ἀμήχανος» καὶ ἀναπότρεπτός ἐστιν.

590. *Ἐκ τῆς*] Τὸ γένος κατὰ σύνεσιν.

*θηλυτεράων* (=Ὀδ. λ 386. ψ 166)] Παρὰ τὴν κατάληξιν *-τερος* οὐχ ἧττον τῆς συγκριτικῆς δυνάμεως στερεῖται ἢ τὸ *ἀγρότερος*. Τὸ ἐπίθετον οὐ πλεονάζει, καθότι μετὰ τῆς κυρίας σημασίας μεταχειρίζεται, «ἤτοι θρεπτικός», οἷον: ὄϊς θηλυτέρη Ἰλ. Κ 216 (προβατίνα) καὶ θῆλυς ἐέρση Ἀσπ. 305, Fēlia (μητρῴα θεὸς τῶν παλαιῶν Ἰταλῶν), fēlius (παλαιολατινιστὶ τὸ γαλαθηνὸν τέκνον).

591. Τὸν προηγούμενον στίχον εἰσέβαλε ῥαψῳδὸς ὅστις προσέκρουσε τῷ φαινομένῳ πλεονασμῷ «γένος καὶ φῦλα γυναικῶν» ὅπως ἀντικαταστήσῃ τὸν προκείμενον. Τῷ ὄντι δὲ στικτέον μετὰ τὴν πρώτην λέξιν.

*φῦλα γυναικῶν*] Αἱ αὐταὶ λέξεις τελοῦσι τοὺς Ὁμηρικοὺς στίχους Ἰλ. Ι 130 καὶ 272.

593. *οὐλομένης*] Πρβλ. 225.

* *ἀξύμφοροι*] Ἀνάγεται πρὸς τὸ «γυναικῶν», οἷον Ὀδ. λ 90: ψυχὴ Θηβαίου Τειρεσίαο χρύσεον σκῆπτρον ἔχων, καὶ Ἰλ. Β 459-62 (κατὰ παλαιὰν παράδοσιν): ὀρνίθων πετεηνῶν ἔθνεα πολλὰ . . . . . ποτῶνται ἀγαλλόμεναι.

*κόροιο*] Τοῦ μεγάλου πλούτου (ἴδε Ἔ. 33).

594. Ἡ παραβολὴ ἐξακριβοῖ τὴν περὶ τῶν κηφήνων παροιμίαν: Ἱπποκράτ. τ. Α', σ. 85. Kühn: περιποιήσῃ γὰρ κηφῆνος μετὰ παραπομπῆς ἑτοιμοκοπίην, Ἰωάνν. Χρυσόστ. εἰς τὰς Πρ. τῶν Ἀποστ. Α', ὁμ. α' σ. ζ', ἐκδ. Ἀθην.: καθάπερ κηφῆνά τινα ζῶντα εἰκῇ καὶ μάτην, Προκοπ. Γοθ. πολ. 2, 7: τοὺς κηφῆνας (=τοὺς ἀργούς), Θεοφύλ. Σιμοκάττ. ἐπιστ. 23: οὐδὲν κηφήνων ἡμῖν διενήνοχας, Σουΐδα λέξ. λ. κηφήν... λέ-

κηφῆνας βόσκουσι, κακῶν ξυνήορας ἔργων,
αἱ μέν τε πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἠμάτιαι σπεύδουσι τιθεῖσί τε κηρία λευκά,
οἱ δ' ἔντοσθε μένοντες ἐπηρεφέας κατὰ σίμβλους,
ἀλλότριον κάματον σφετέρην ἐς γαστέρ' ἀμῶνται·
ὣς δ' αὔτως ἄνδρεσσι κακὸν θνητοῖσι γυναῖκα
Ζεὺς ὑψιβρεμέτης θῆκε, ξυνήορα ἔργων
ἀργαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο·
ὅς κε, γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν,

γεται δὲ ἐκ τούτου καὶ ἄνθρωπος ὁ μηδὲν δρᾶν δυνάμενος, Μακαρίου Παροιμ 5,14: κηφῆνες μόχθους ἄλλων κατέδονται, ἐπὶ τῶν ἀργῶν καὶ τὰ ἀλλότρια δαπανώντων.

*σμήνεσσι*] Τῇ λέξει οἱ παλαιοὶ χρῶνται καὶ ἐπὶ τῶν σίμβλων, μᾶλλον δέ, κατὰ τοὺς Ἡσιόδου χρόνους οὐχ ὑπῆρχον ἤδη σίμβλοι, τῶν μελισσῶν περιπετομένων εἰκῇ ἐν τοῖς δάσεσι καὶ κατοικουσῶν κοῖλα στελέχη καὶ πετρῶν τρύπας (Ἔ. 233. Ὀδ. ν 106. Ἀλκίφρονος ἐπιστ. 3,23: σίμβλα ὑπὸ τῇ πέτρᾳ). Ἐκ τούτου καὶ τὸ ἐπίθετον *κατηρεφὴς* (ὑπερκρεμάμενος) ἑρμηνευτέον, ὅπερ ἀποδίδοται ὑφ' Ὁμήρου τοῖς ἄντροις (Ὀδ. ι 183. ν 349).

595. * *ξυνήορας*] Παρὰ τὸ ξυναείρω ἤτοι συζευγνύω (π. χ. Ἰλ. Ο 680: πίσυρας συναείρεται ἵππους. Κ 499: σὺν δ' ἤειραν ἱμᾶσι).

596. *πρόπαν — καταδύντα*] = Ἰλ. Α 601. Ὀδ. ι 161. 556. κ 183. 476. μ 29. τ 424.

597. *ἠμάτιαι*] Καθ' ἡμέραν, πρβλ. Ἰλ. Ι 72, ὅπερ ἀντιστοιχεῖ τῇ φράσει «ἐπ' ἤματι».

*τιθεῖσι*] Ἀνατιθέασι, ἀποταμιεύουσι.

598. *ἐπηρεφέας*] Πρβλ. 594.

599. *κάματον*] Νῦν εἰσέτι οἱ Ἀρκάδες οὕτως λέγουσι τὸ ἐξ ἐργασίας προερχόμενον ὄφελος (Ἐφ. τῶν Φιλομαθῶν 1864, σ. 405).

*ἀμῶνται*] Μεταφορὰ γεωργικὴ ἀνάλογος τῇ ἐν τῇ κοινῇ συνηθείᾳ *τρυγάω*.

600. *ὣς δ'*] Ἀνταποκρίνεται πρὸς τὸ *ὣς δ'* 594. Τὸ *δ'* παρατατικόν.

601. *ὑψιβρεμέτης*] Ἴδε 568.

*ξυνήορα*] Ἡμᾶς ἀναπέμπει εἰς 595.

602. *ἀργαλέων*] = κακῶν 595. Ἡ πρὸς τοὺς κηφῆνας παραβολὴ στηρίζεται ἐπὶ δύο ἀναλογιῶν, ἃς διασαφηνίζειν ἀνάγκη. Αἱ τῶν παλαιῶν Ἑλλήνων γυναῖκες ἔμενον τὰ μάλιστα οἴκοι, ὥσπερ καὶ ἐν τοῖς ὕστερον αἰῶσι μέχρι τῆς νεωτέρων ἐθίμων εἰσδύσεως· ἡ «οἰκουρία» αὕτη ἐτηρεῖτο καὶ ἐν Βοιωτίᾳ (Πλουτάρχ. δαιμ. Σωκράτ. 32). Δεύτερον δέ, οἱ παλαιοὶ ἐδόξαζον ὡς οἱ κηφῆνες κρύφα τὴν φυλασσομένην ὑπὸ τῶν μελισσῶν ἀποθήκην συλῶσιν (Βιργιλ. Γεωργ. 4, 168), ὅπερ ὁ Ἡσίοδος προφέρει ἀναλόγως — ταῖς γυναιξίν (Ἔ. 374).

*ἕτερον*] Εἰσηγεῖται τοὺς στ. 603-612. Ὁ μισόγυνος καὶ ἄλλων θιασωτῶν ἔτυχεν, ὧν ἀναφέρω μόνον παροιμίαν τοῦ λαοῦ: «Ὅποιος 'πανδρεύθη, μετανόησε, ὅποιος δὲν 'πανδρεύθη, πάλι 'μετανόησε». —Μὴ παρίδωμεν τὸ ὅτι ἐπὶ Ἡσιόδου παρὰ τοῖς συμπολίταις αὐτοῦ ἦν εἴτε ἀγαμία εἴτε γάμος· μεθύστερον γὰρ αἱ πολιτεῖαι ὅπως αὐξήσωσι τὸ πλῆθος, ἐδίωξάν πως τοὺς ἀγάμους.

603. *μέρμερα ἔργα*] Ἐν τῇ Ἰλιάδι (Θ 453. Κ 289. 524) ἐπὶ τοῦ πολέμου

μὴ γῆμαι ἐθέλῃ, ὀλοὸν δ' ἐπὶ γῆρας ἵκηται
χήτει γηροκόμοιο, ὅγ' οὐ βιότου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ δία ζωὴν δατέονται
χηρωσταί· ᾧ δ' αὖτε γάμου μέτα μοῖρα γένηται,
κεδνὴν δ' ἔσχεν ἄκοιτιν, ἀρηρυῖαν πραπίδεσσι,
τῷ δέ τ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει
ἔμμεναι· ὃς δέ κε τέτμῃ ἀταρτηροῖο γενέθλης,
ζώει, ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην

ηὕρηται. Ἡσίοδος ὅμως, οὐκ οἶδ' εἰ ὀρθῶς, τὴν λέξιν ἠτυμολόγησε παρὰ τὸ *μέριμνα* ἢ *μερμηρίζω* (φροντίζω).

604. *γῆρας ὀλοόν*] Πρβλ. 225.

605. *χήτει*] Δοτικὴ τοῦ *χῆτος* (ἔλλειψις), ἐκφράζουσα τὴν συνοδείαν (οἷον: με δίχα. . . . .), πρβλ.: χήτει τοιοῦδ' ἀνδρὸς Ἰλ. Ζ 463.

*γηροκόμοιο*] Ἡ γηροκομία καὶ πραγματικῶς καὶ λεκτικῶς («γεροκόμισμα») οὐ μόνον ἐν Κρήτῃ, ἀλλὰ πλεισταχοῦ τῆς Ἑλλάδος ἀπὸ τῆς ἀρχαιότητος διαμένει.

*βιότου*] Ἀναλογεῖ τῷ κοινῷ «βιός» (τό).

*ἐπιδευής*] Χρήζων, ἐπειδὴ γυνὴ οὐδὲν ἀνωφελῶς ἔφαγεν.

606. Ἡ φυσικοῦ κληρονόμου ἔλλειψις ἐθεωρεῖτο τῶν μεγίστων κακῶν καὶ ἐν τῇ Ἰλιάδι (Ε 143 κἑ.) ζωηρῶς περιγράφεται. Τὸ χωρίον τοῦτο ἀφορᾷ ὁ Ἡσίοδος, καρπούμενος συνάμα τὸν 158 στ.: «χηρωσταὶ δὲ διὰ κτῆσιν ἐδάσαντο», ἀνθ' οὗπερ ἐν τῇ Ὀδυσσείᾳ (ξ 208) ἀναγινώσκομεν: «τοὶ δὲ ζωὴν ἐδάσαντο».

607. *χηρωσταί*] Οἱ κληρονομοῦντες τοῦ «χήρου» βίου, εἴτε ἀδελφοὶ εἴτε ἧττον προσήκοντες τῷ γένει: περὶ ὧν τινων ἐν ἀναλόγῳ χωρίῳ (918) Θέογνις καταφρονητικῶς λέγει· «χρήματα δ' ἀνθρώπων *οὑπιτυχὼν* ἔλαβε». Διαθῆκαι τότε οὐχ ὑπῆρχον· τί δαί; εἰς τὰς Ἀθήνας Σόλων πρῶτος αὐτὰς εἰσήγαγεν (Πλουτάρχ. Σόλ. 21).

*μέτα μοῖρα γένηται*] Οἱ Ἀττικοὶ βραχύτερον λέγουσιν· ᾧ ἂν μετῇ (μεταγένηται) γάμου».

608. *κεδνήν*] Ἁγνήν, ἐπίθετον οὐ τῶν τυχόντων, ὥσπερ καὶ τὸ δεύτερον.

*ἔσχεν*] Ἀόριστος γνωμικός.

*ἀρηρυῖαν πραπίδεσσι*] Σταθερὰν κατὰ τὸν νοῦν (τῶν «πραπίδων» παραβαλλομένων πρὸς οἰκοδομάς), καθάπερ Ὀδ. κ 553: οὐ φρεσὶν ᾗσιν ἀρηρώς.

609. *τῷ δέ τ'*] Ἀνταποκρίνεται, ἴσως τῷ 600, πρὸς τὸ *ᾧ δ'* 607, τὸ δὲ *τε* μόριον προστίθεται ὥσπερ πρὸς τὰς ἀδιορίστους ἀντωνυμίας (ὅστε = ὅστις).

*ἀπ' αἰῶνος*] = Ἀνέκαθεν (Λουκᾶς 1, 70).

*ἀντιφερίζει ἔμμεναι*] Διαμφισβητεῖ τῆς ὑπάρξεως.

610. *τέτμῃ*] = τύχῃ (ἀόριστος ἀναδεδιπλασιασμένος τῆς ῥίζης ΤΕΜ).

*ἀταρτηροῖο*] Οὔτε ἡ ἐτυμολογία οὔτε ἡ σημασία σαφής, πλὴν λοίδορος ἐπωνυμία ἐστίν. Περὶ τοῦ γένους εὑρήσει τις σημείωσιν εἰς 408.

*γενέθλης*] Εἴδους γυναικῶν. Σιμωνίδης ὁ Ἀμοργῖνος ἐν τοῖς πολυθρυλήτοις Ἰάμβοις (Ἀπόσπ. 7) διακρίνει πλείονα εἴδη γυναικῶν (λ. χ. στ. 50: τὴν δ' ἐκ γαλῆς δύστηνον οἰζυρὸν *γένος*).

611. *στήθεσσιν*] Ὁ πληθυντικὸς ἐπ' ἀνδρῶν καὶ ἐν τῇ δημώδει διαλέκτῳ ἀπαντᾷ.

*ἀλίαστον*] Παρὰ τὸ λιάζομαι (ὑποχωρῶ).

θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεστον κακόν ἐστι.
Ὣς οὐκ ἔστι Διὸς κλέψαι νόον οὐδὲ παρελθεῖν.
Οὐδὲ γὰρ Ἰαπετιονίδης ἀκάκητα Προμηθεὺς
τοῖόγ' ὑπεξήλυξε βαρὺν χόλον, ἀλλ' ὑπ' ἀνάγκῃ,
καὶ πολύϊδριν ἐόντα, μέγας κάτα δεσμὸς ἐρύκει.
Ὀβριάρεῳ δ' ὡς πρῶτα πατὴρ ὠδύσσατο θυμῷ
Κόττῳ τ' ἠδὲ Γύγῃ, δῆσε κρατερῷ ἐνὶ δεσμῷ,
ἠνορέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος

612. *θυμῷ καὶ κραδίῃ*] Ἀνήκουσιν εἰς *ἀλίαστον*. Τοῦ πλεονασμοῦ οὐχ ὁ Ἡσίοδος αἴτιος, ἀλλὰ προηγήθη Ὅμηρος (δ 548-9: κραδίη καὶ θυμὸς ἀγήνωρ αὖτις ἐνὶ στήθεσσιν . . . . . ἰάνθη, πρβλ. Ὕμν. Ὁμηρ. 5,362: ἐν στήθεσσι μένος καὶ θυμὸν ἔχουσα).

*ἀνήκεστον*] Ὁ γάμος λοιπὸν ὥσπερ ἐν Σπάρτῃ (Ἕρμιππος παρ' Ἀθηναίῳ 13, 555 c) οὐ διεζεύγνυτο, ἐπειδὴ αἱ γυναῖκες, ἀπροίκιστοι οὖσαι, ταύτης τῆς νομικῆς προστασίας ἔχρῃζον.

613. Ὁ στίχος ἀπηχεῖ τὸ Ὁμηρικόν (Ὀδ. ε 103-4): ἀλλὰ μάλ' οὔπως ἔστι Διὸς νόον αἰγιόχοιο οὔτε παρεξελθεῖν ἄλλον θεὸν οὔθ' ἁλιῶσαι· οὗ καὶ Αἰσχύλος χρῆσιν ἐποιήσατο (Ἱκέτ. 1015-6): Διὸς οὐ παρβατός ἐστιν μεγάλα φρὴν ἀπέραντος.

*κλέψαι*] Μεταφέρεται διὰ τοῦ δευτέρου ῥήματος εἰς τὸ διανοητικόν, ὥσπερ καὶ Ἰλ. Α 132: κλέπτε νόῳ ἐπεὶ οὐ παρελεύσεαι, Ὀδ. ν 291: κερδαλέος κ' εἴη καὶ ἐπίκλοπος ὅς σε παρέλθοι ἐν πάντεσσι δόλοισι (ἀπολύτως δὲ Ξ 217: ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων).

614. *ἀκακῆτα*] Ἡ ἐπωνυμία αὕτη, ἣν Ὅμηρος ἀπονέμει Ἑρμῇ (Ἰλ. Π 185, Ὀδ. ω 10, ὅθεν τὸ Ἀκακήσιον ὄρος ἐν τῇ Ἀρκαδίᾳ ὠνόμασται, ἀσαφοῦς ἐστιν ἐτυμολογίας, σημαίνει ὅμως, ὡς ἐξάγεται ἐκ τῆς χρήσεως, τὴν ἀγχίνοιαν.

615. *ὑπ' ἀνάγκῃ*] Ἡ ποιητικωτέρα αὕτη σύνταξις ζωγραφεῖ τὸ κάμπτεσθαι ὑπὸ τῷ βάρει τῆς ἀνάγκης. Ἅμα τῷ μορίῳ εὑρίσκομεν ταὐτὰ καὶ Ἔ. 15 καὶ Θέογν. 419.

616. *μέγας* (ἢ μακρὸς)] ἀπεικονίζεται ἐπὶ ἐζωγραφημένου ἀγγείου ἀρχαϊκοῦ ῥυθμοῦ (Gerhard, Auserlesene Vasenbilder τ. Β', πίν. 86 = Baumeister, Denkmäler des klassischen Alterthums σ. 1411)· αὐτόθι δηλαδὴ οἱ δεσμοὶ πολλαχῇ περὶ τὸν στῦλον περιπεπλεγμένοι εἰσίν.

*ἐρύκει*] Αἰσχύλος τε καὶ οἱ ἄλλοι μεταγενέστεροι μυθολογοῦσιν, ὅτι Ἡρακλῆς ἠλευθέρωσε τὸν Προμηθέα καὶ αὐτὸς καὶ ὁ Ζεὺς συνδιηλλάγησαν. Ἀλλὰ κατὰ τὸν Ἡσίοδον ἡ τοῦ Προμηθέως ζημία μόνον ἠλαττώθη, ἄλλως δὲ διαμένει εἰς τοὺς αἰῶνας καθὼς ἡ τῶν ἀδελφῶν αὐτοῦ.

*617-819. Ἡ Τιτανομαχία καὶ τὰ προελθόντα ἐξ αὐτῆς.*

617. *Ὀβριάρεῳ* (ἴδε 147 κέ.)] Ἀναπέμπει τὸν ἀναγνώστην πρὸς στ. 206.

*πρῶτα* καὶ *ἐξ ἀρχῆς* ἀφορῶσιν εἰς τὴν πρὸ Διὸς περίοδον.

*πατήρ*] Τοῦ Διός.

*ὠδύσσατο*] Ἐξακριβοῦται διὰ στ. 619.

618. *δῆσε κρατερῷ ἐνὶ δεσμῷ*] = Ἰλ. Ε 386 (δῆσαν).

619. Πρβλ. 150 κέ.

*ἠνορέην ὑπέροπλον*] Ἴδε 516.

*ἀγώμενος*] Φθονῶν, οἷον Ὀδ. δ 181:

καὶ μέγεθος, κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης·
ἔνθ' οἵγ' ἄλγε' ἔχοντες, ὑπὸ χθονὶ ναιετάοντες,
ἧατ' ἐπ' ἐσχατιῇ, μεγάλης ἐν πείρασι γαίης,
δηθὰ μάλ', ἀχνύμενοι, κραδίῃ μέγα πένθος ἔχοντες.
Ἀλλά σφεας Κρονίδης τε ἰδ' ἀθάνατοι θεοὶ ἄλλοι,
οὓς τέκεν ἐύκομος Ῥεία Κρόνου ἐν φιλότητι,
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις·
αὐτὴ γάρ σφιν πάντα διηνεκέως κατέλεξε,
σὺν κείνοις νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.
Δηρὸν γὰρ μάρναντο, πόνον θυμαλγέ' ἔχοντες,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας,

τὰ μέν που μέλλεν ἀγάσσεσθαι θεὸς αὐτός, καὶ ὡσαύτως ε 119. 122. 129. ψ 211 ἐπὶ τοῦ τῶν θεῶν φθόνου.

620. *κατένασσε*] Ἐγκατέστησεν.

*ὑπὸ χθονὸς εὐρυοδείης*] = Ὀδ. λ 52, πρβλ. Θ. 119.

622. * *ἧατ'*] Τρίτον πρόσωπον τοῦ πληθυντικοῦ τοῦ ῥήματος ἧ-μαι. Τὰ λοιπὰ εὐφημιστικῶς ὑπαινίττονται τὸν Τάρταρον, ὃν καὶ νῦν ἔστιν ὅτε λέγουσι «τὰ ἔσχατα τῆς γῆς» καὶ ὁ σχολιαστὴς εἰς Θ. 119 ἐξηγεῖται «τὰ διήκοντα μέχρι τῶν ἐσχάτων τῆς γῆς».

623. *δηθὰ μάλ'* (= Ἰλ. Ε 587)] Ἐντεῦθεν ἐν παρόδῳ μανθάνομεν, ὅτι Κρόνος πολὺν χρόνον ἐβασίλευεν. Ἡσίοδος καρποῦται Ὁμηρικὰς φράσεις, οἷον Ὀδ. λ 195: ἔνθ' ὅγε κεῖτ' ἀχέων, μέγα δὲ φρεσὶ πένθος ἀέξει, ρ 409: ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξε, ω 233: μέγα δὲ φρεσὶ πένθος ἔχοντα.

625. *ἠύκομος*] Δηλοῖ τὸ καθόλου κάλλος.

626. *φραδμοσύνῃσι*] Γαίας αὐτῷ φραζούσης καὶ δεικνυούσης.

627. *διηνεκέως*] Ἐκτενῶς.

628. *ἀγλαὸν εὖχος ἀρέσθαι* = Ἰλ. Η 203] Μεθ' Ἑλληνικῆς φιλοδοξίας οὐ στέργει τὴν νίκην καθ' αὑτήν, ἀλλὰ καὶ τὴν δόξαν ἐπιθυμεῖ. Ὁ Ἀττικὸς κανὼν ἀπαιτεῖ τὸ ἀπαρέμφατον τοῦ μέλλοντος, ἀλλὰ οἱ ποιηταὶ ἀμελοῦσιν αὐτοῦ· καὶ μὲν πῶς ἀναγνωστέον Ἰλ. Υ 28 (:φάτο τίσασθαι) 366 (:ἐφάμην τίσασθαι), Ὀδ. υ 121 (:φάτο τίσασθαι), διστάζουσιν οἱ κριτικοί, ἀλλὰ Ἰλ. Γ 98 (:φρονέω διακρινθήμενοι) καὶ Ὀδ. 6 171 (:φημὶ τελευτηθῆναι) καὶ Θεόκριτ. 27, 60 (:φῆς δόμεν) συμφωνοῦσιν οἱ ἐκδόται. Ἐν δὲ τῷ παρακμάσαντι Ἑλληνισμῷ ἡ τῶν χρόνων σύγχυσις πολὺ μᾶλλον διεδόθη.

629. *πόνον*] Ὅτι ὁ πόλεμος «πόνος» τῶν μαχομένων, ἐκ τῆς Ἰλιάδος γνωστόν ἐστιν.

*Τιτῆνές τε θεοί*] = Ὕμν. Ὁμηρ. 2, 157· τὴν ἀναγκαίαν ἑρμηνείαν κατεχωρίσαμεν εἰς στ. 207. Κρόνος ἐν καιρῷ τοῦ πολέμου οὐκ ὀνομαστὶ μνημονεύεται, ὅπως ἐξαλειφθῇ τὸ μισητὸν τῆς πρὸς τὸν πατέρα μάχης. Οἱ Τιτᾶνες ἄρχουσι χειρῶν, διότι οἱ Κρονίδαι κατέχουσι τὸν Ὄλυμπον.

631. *διὰ κρατερὰς ὑσμίνας* (= Ἰλ. Β 40)] Ταὐτὸ βούλεται τῇ συχνῇ φράσει: *κατὰ κ. ὑ.* (Ἰλ. Β 345 κτλ.).

οἱ μὲν ἀφ' ὑψηλῆς Ὄθρυος Τιτῆνες ἀγαυοί,
οἱ δ' ἄρ' ἀπ' Οὐλύμποιο θεοί, δωτῆρες ἐάων,
οὓς τέκεν ἠΰκομος Ῥεία Κρόνῳ εὐνηθεῖσα·
οἵ ῥα τότ' ἀλλήλοισι, πόνον θυμαλγέ' ἔχοντες,
συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς.
Οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις οὐδὲ τελευτὴ
οὐδετέροις, ἴσσον δὲ τέλος τέτατο πτολέμοιο.
Ἀλλ' ὅτε δὴ κείνοισι παρέσχεθεν ἄρμενα πάντα,
νέκταρ τ' ἀμβροσίην τε, τάπερ θεοὶ αὐτοὶ ἔδουσι,

632. *Ὄθρυος*] Ἡ Ὄθρυς περικλείει τὴν Θεσσαλίαν ἀπὸ νότου, ὥσπερ ὁ Ὄλυμπος πρὸς βορρᾶ. Διὰ τί ὅμως οὐ προαιρεῖται τὴν τῷ Ὀλύμπῳ ἀντικειμένην Ὄσσαν (Κίσσαβον); Πρῶτον μὲν ἡ διάστασις αὐτῶν τοῖς ἐπικοῖς θεοῖς ἓν μόλις βῆμά ἐστι, δεύτερον δὲ ὁ κῶνος τῆς Ὄσσης ὑπὸ τοῦ γιγαντώδους ὄγκου τοῦ Ὀλυμπίου πολὺ ἐπισκοτεῖται. Ἡ δὲ Ὄθρυς ναὶ μὲν χαμηλοτέρα ἐστι ͵αχχθ μέτρων ἐστὶν ἀντὶ ͵βϡογ—, ἀποτελεῖ ὅμως μεγαλοφανὲς θέατρον, ἄξιον θεῶν. Πρὸς τὸ μέτρον, οὐκ ἀποφασίζομεν πότερον ἡ πρώτη συλλαβὴ κατὰ τὸν Ἀττικὸν κανόνα βραχύνεται ἢ ὁ ποιητὴς ἤθελεν «Ὄθρῠος».

*ἀγαυοί*] Ἴδε 461.

633. *δωτῆρες ἐάων*] = 46.

634. = 625. Ὁ στίχος ἀπαραίτητος φαίνεται χάριν τοῦ ἐκτρέπεσθαι παρεννοήσεις ἤτοι σύγχυσιν τῶν κομμάτων.

635. Ἐκδέχεται στ. 629.

636. *πλείους*] Ὅλους, ὡς καὶ Ἔ. 792.

638. Τὴν τῆς μεταφορᾶς ἀφορμὴν ἔδωκε πάλιν Ὅμηρος (Ἰλ. Υ 100-1: εἰ δὲ θεός περ ἶσον τείνειεν πολέμου τέλος). Ἂν δὲ αὐστηρότερον ἐξετάσωμεν τὴν φράσιν, γνωρίσομεν, ὅτι ἐγένετο ἐκ συμμίξεως τοῦ «πολέμοιο τέλος»· καὶ «ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε» (Ἰλ. Μ 436, πρβλ. Ρ 543), ἡ μεταφορὰ πεπόρισται ἀπὸ τῆς τρυτάνης.

639. *κείνοισι*] Τοῖς ἑκατόγχερσι.

*παρέσχεθεν*] Παρέσχεν (Ὁμηρικὸς ὁ τύπος) Ζεύς.

* *ἄρμενα*] Σημαίνει τὴν τροφὴν ἢ κυρίως, ὡς Γαληνὸς τὸν Ἱπποκράτην σ. 741 b ἐξηγεῖται, «τὰ κατὰ τὴν οἰκείαν σκευὴν πρὸς τὴν θεραπείαν χρήσιμα»· ἡ ῥίζα δῆθεν ΑΡ(αρίσκω). Ἐκ τοῦ χωρίου τούτου Θέογνις ἠρύσατο «παρασχεῖν ἄρμενα πάντα» (695).

640. *θεοί*] Οἱ κατ' ἐξοχὴν θεοί, οἱ Ὀλύμπιοι δηλαδή.

*αὐτοί*] Μόνοι.

*ἔδουσι*] Συμπεριλαμβάνει καὶ τὸ πίνειν. Παρ' Ὁμήρῳ τοὐλάχιστον τὸ νέκταρ ῥευστόν ἐστι· καίτοι Ἀθήναιος ἐν τοῖς Δειπνοσοφισταῖς (2, 39 a) Ἀλκμᾶνα καὶ τὸν κωμικὸν Ἀναξανδρίδην εἰσάγει μαρτυροῦντας, ὅτι καὶ ἐσθίεται· ἔτι δὲ οἱ γλωσσολόγοι ὡς ἀρχαιοτάτην σημασίαν λέγουσι «λίχνευμα». Ἡ *ἀμβροσίη* κατ' ἔλλειψιν εἴρηται, ὅθεν πᾶς τις κατὰ τὴν ἑαυτοῦ γνώμην ὑπενενόησεν «ἐδωδὴ» (ὅπερ προστίθεται ὑπὸ Τρυφιοδώρου 186) ἢ «φορβὴ» (Νόνν. Διον. 25, 378) ἢ «τροφή». Ἡ ἀμβροσίη λοιπὸν ἀντικαθίστησι καὶ τὸ ἔλαιον (Ἰλ. Τ 347 = 353) καὶ Ὀδ. ι 359 φαίνεται ταὐτὸ τῷ νέκταρι (ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ), ὅπερ παραδέχεται Σαπφὼ (Ἀπόσπ. 51). Οὐκ ἀδιάφορον πρὸς τούτοις τὸ παλαιοϊνδικὸν amrta, ὅ, ἀντιστοιχοῦν τῷ Ἑλληνικῷ

πάντων ἐν στήθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ·
ὡς νέκταρ δ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινήν,
δὴ τότε τοῖς μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
«Κέκλυτέ μευ, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι
νίκης καὶ κράτεος πέρι μαρνάμεθ' ἤματα πάντα
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐκγενόμεσθα.
Ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
φαίνετε Τιτήνεσσιν ἐναντίοι ἐν δαῒ λυγρῇ,
μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες
ἐς φάος ἂψ ἀφίκεσθε, δυσηλεγέος ὑπὸ δεσμοῦ,
ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος».
Ὣς φάτο· τὸν δ' ἐξαῦτις ἀμείβετο Κόττος ἀμύμων·

«ἄμβροτος», τὸ τῶν θεῶν πόμα δηλοῖ.

641. Οὐ πολὺ παραλλάσσει Ὀδ. 6 315: «μοι ἀέξεται ἔνδοθι θυμός». «Θυμὸς ἀγήνωρ» τελειοῖ πολλοὺς στίχους τῶν Ὁμηρικῶν ποιημάτων.

642. Ἡ διττολογία τὴν ἐποποιΐαν χαρακτηρίζει· ὁ στίχος ὅμως διαφέρει ὀλίγον τοῦ 639. Πρβλ. καὶ Ἰλ. Τ 353: νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινήν, 347: νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινήν.

644. Ἡ προσηγορία ἀναφέρεται πρὸς τοὺς Ἑκατόγχειρας.

*ἀγλαὰ τέκνα*] Ὁμηρικὴ ἀπήχησις, πρβλ. 366.

645. = Ἰλ. Η 68. Ξ 39. Ὀδ. ψ 105.

646. Ὡσαύτως Ὅμηρος τὴν διὰ τοῦ *γὰρ* πρότασιν προτίθησι τῆς δικαιολογουμένης γνώμης.

647. *κράτεος*] Ἴδε 385.

*ἤματα πάντα* = συνεχέως 636. Ἀνθρωπικῶς τοῦτο στοχάζεται· οἱ Ἀχαιοὶ καὶ οἱ Τρῶες στρατεύονται καθ' ἡμέραν.

648. = 630.

649. Ἀπηχεῖ Ἰλ. Μ 241: ἡμεῖς δὲ μεγάλοιο, καὶ Ω 42: μεγάλῃ τε βίῃ, ἅπερ κατέχουσι τὴν αὐτὴν ἐν τῷ ἑξαμέτρῳ θέσιν. Περὶ τῶν ἀάπτων χειρῶν οὐ δέον εἰπεῖν ὅθεν παρελήφθησαν.

650. Πανταχοῦ Ὁμηρικὰ εὑρίσκομεν. Καὶ «δαῒ λυγρῇ» αὐτόθεν (Ἰλ. Ν 286. Ω 739) ἐπήγασεν.

651. *ἐνηέος*] Εὐνοϊκοῦ. Ἀγνοοῦμεν τὴν ἐτυμολογίαν.

*ὅσσα*] Ἡ ἀναφορικὴ πρότασις διακριβοῖ τὸ ἀντικείμενον.

652. *δυσηλεγέος*] Δυσαλγέος.

*ὑπὸ*] Κάτωθεν ἀπό.

653. *βουλὰς*] Οὐ πλεονάζει, ἐπειδὴ Ζεὺς οὐκ εἰκῇ, ἀλλὰ «τὴν φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην ἀποκτείνας ἔλυσε» (Ἀπολλόδωρ. 1, 2, 2).

*ὑπὸ ζόφου ἠερόεντος*] = Ἰλ. Φ 56. Ἐν τῷ Ταρτάρῳ νεφελῶδες σκότος ἐπικρατεῖ.

654. *ἐξαῦτις*] Παρ' Ὁμήρῳ μὲν σημαίνει «πάλιν», ἐν δὲ τῷ προκειμένῳ χωρίῳ καὶ 915 συνωνυμεῖ τῷ ἐπικῷ «αὖ» καὶ «αὖτις».

«Δαιμόνι', οὐκ ἀδάητα πιφαύσκεαι· ἀλλὰ καὶ αὐτοὶ
ἴδμεν, ὅ τοι πέρι μὲν πραπίδες, πέρι δ' ἐστὶ νόημα,
ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο.
Σῇσι δ' ἐπιφροσύνῃσιν ὑπὸ ζόφου ἠερόεντος
ἐξ αὐτῆς ἄψορρον ἀμειλίκτων ὑπὸ δεσμῶν
ἠλύθομεν, Κρόνου υἱὲ ἄναξ, ἀνάελπτα παθόντες
τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ
ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας».
Ὣς φάτ'· ἐπήνησαν δὲ θεοί, δωτῆρες ἑάων,

*ἀμύμων*] Ἐξηγησάμεθα εἰς 263.

655. *δαιμόνιε*] Θεῖε· δαίμων γὰρ ἐν τῇ Ἰλιάδι καὶ τῇ Ὀδυσσείᾳ οὐ διαφέρει θεοῦ.

*ἀ-δάη-τα*] Παρὰ τὸ δάημι (ἔξοιδα).

656. *ὅ*] Ὁμηρικῶς ἀντὶ τοῦ κοινοῦ ὅτι.

657. *ἀλκτήρ*] Ἀπαμύνων· τὴν φράσιν «ἀλκτὴρ ἀρῆς» ἠρύσατο ἐξ Ἰλ. Ζ 485. Σ 100. 213.

*ἀθανάτοισι*] Τοῖς σοῖς ἀδελφοῖς.

*κρυεροῖο*] «Κρυερὸς» καὶ «κρυόεις» ἐν τοῖς Ὁμηρικοῖς ποιήμασιν ὡς σχετλιαστικὰ ἐπίθετα εὐχρηστοῦσι· τῷ γὰρ διαιτωμένῳ ἐν κλίματι εὐκράτῳ τὸ κρύος φρίκην ἐμποιεῖ. Φαντάζεται, ὡς ὁ Ἅδης κρυερώτατός ἐστι, διότι εἰς αὐτὸν οὐδεμία ἀκτὶς τοῦ ἡλίου εἰσδύεται. Οἱ μὲν λοιπὸν ᾄδουσι «κάτω 'ς τὰ τάρταρα τῆς γῆς τὰ κρυοπαγημένα» (Passow 369), οἱ δὲ Ῥόδιοι τὸ ψυχρότατον ἀποκαλοῦσι τάρταρον (Ἐφημ. τῶν Φιλομ. 1860, σ. 1257). Ἄλλα προξενήσει ὁ Νικ. Πολίτης ἐν τῇ Μελέτῃ (Α', σ. 365-6). Περὶ δὲ τῶν ἀρχαίων, ἀξιόλογα παρατηρεῖ Πλούταρχος ἐν τῇ διατριβῇ «περὶ τοῦ πρώτου ψυχροῦ». Πρὸς τὸ ἀρσενικὸν τοῦ ἐπιθέτου ἔπιθι ὅσα εἴπομεν εἰς στ. 408.

658-60. Ἀνταποκρίνονται οἷς εἶπεν ὁ Ζεὺς 651-3, 661-3 δὲ τοῖς στ. 649-50, ὥσπερ καθ' ἡμᾶς βουλή τις περιφράζει τὸν βασιλικὸν λόγον ῥητῶς σχεδὸν ἐν τῇ ἀποκρίσει.

*ἐξ αὐτῆς*] Παραυτὰ (πάραυτα) ἤτοι ἐξ ἀπροσδοκήτου (αἱ γὰρ ἔννοιαι αὗται ὑπὸ τῶν ἀρχαίων μόλις διακρίνονται)· πρὸς τὸν νοῦν λοιπὸν οὐ διαφέρει τοῦ στ. 660.

659. *ἀμειλίκτων*] Ἀπὸ τοῦ μειλίσσω (γλυκαίνω).

660. *ἄναξ*] Πρβλ. 493.

* *ἀνάελπτα*] Ἡ σύνθεσις ἔξαλλος φαίνεται, ἂν θεωρήσωμεν τοὺς ἀρχαίους μόνον συγγραφεῖς· πλὴν Ὅμηρος, εἴπερ μὴ γραφικῶς ἡμάρτηται ἀντὶ τοῦ ἀνέεδνος μεταχειρίζεται τὸ «ἀνά-εδνος». Ἀλλὰ οἱ μεταγενέστεροι πολλὰ τοιαῦτα ἐσχημάτισαν, π. χ. ἀνα-βροχιά, ἀνακέφαλος κτ.

661. ὁμοιάζει τῷ 122 στ., μᾶλλον δὲ ἀπηχεῖ Ὀδ. γ 128 (νόῳ-βουλῇ).

*ἀ-τενεῖ*] Τὸ ἀ- ἐπιτατικόν.

662. *κράτος*] Πρβλ. 647.

*ὑμόν*] Ὁ τύπος ἀρχαιότερός ἐστιν ἢ τὸ κοινὸν *ὑμέτερος*.

*ἐν αἰνῇ δηϊοτῆτι*] Παρὰ Ὁμήρῳ πεπάτηται (Ἰλ. Ν 207 κἀ.).

663. *ἀνὰ κρατερὰς ὑσμίνας*]=631.

664. *δωτῆρες ἑάων*] Ἡρμηνεύθη εἰς 46.

μῦθον ἀκούσαντες· πολέμου δ' ἐλιλαίετο θυμὸς
μᾶλλον ἔτ' ἢ τὸ πάροιθε· μάχην δ' ἀμέγαρτον ἔγειραν
πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,
οὕς τε Ζεὺς Ἐρέβεσφιν ὑπὸ χθονὸς ἧκε φάοσδε,
δεινοί τε κρατεροί τε, βίην ὑπέροπλον ἔχοντες.
Τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο
πᾶσιν ὁμῶς, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσι.
Οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαῒ λυγρῇ,
πέτρας ἠλιβάτους στιβαρῇς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας

665. *ἐλιλαίετο*] Ἡ ῥίζα ΛΑ (ἐπιθυμῶ) ἀναδεδιπλασίασται.

666. *ἀμέγαρτον*] Ἣν οὐδεὶς ἂν μεγαίροι ἢ φθονήσειεν, οἷον «πόνον ἀμέγαρτον» Ἰλ. Β 420.

667. *θήλειαι*] Καὶ αἱ θηλυκαὶ θεοὶ νῦν τε καὶ μεθύστερον ἐν τῇ Γιγαντομαχίᾳ τοῦ πολέμου μετέχουσιν.

*ἤματι κείνῳ*] Ἐν τῇ κρισίμῳ ἡμέρᾳ, ἐπεὶ πολλὰς ἤδη ἡμέρας — ὃ βεβαιοῦται διὰ τοῦ «ἤματα πάντα» (647) — ἐπολέμησαν.

668=630.

669-673. Κατὰ περίφρασιν δηλοῦσι τοὺς Ἑκατόγχειρας.

*Ἐρέβεσφιν*] Ἡ κατάληξις κατὰ τὸ Ὁμηρικὸν παράδειγμα (Ἰλ. Ι 572) ἴσον δύναται τῇ *ἐκ* προθέσει.

*ἧκε φάοσδε*]=Ἰλ. Β 309.

670. Τὸ ἐπίθετον ἀναφέρεται εἰς τὴν ἀντωνυμίαν, ἣν πᾶς τις ὑπεννοεῖ πρὸ τῆς ἀναφορικῆς προτάσεως.

*βίην ὑπέροπλον*] Ἴδε 516.

671-3. Οὐ διαφέρουσι τῆς ἀνωτέρω περιγραφῆς αὐτῶν (150-2)· ὁ ποιητὴς διὰ τούτων διενοήθη ἐνδυνάμωσιν τοῦ ἀνακινητικοῦ. Ὅτι γὰρ αὐτὸς καὶ οὐχὶ τυχὸν ῥαψῳδὸς ἐπανέλαβε τοὺς στίχους, πεποίθαμεν διὰ τὸ *τότε* (676), ὃ προϋποτίθεται παρένθεσιν.

674. *κατέσταθεν ἐν δαῒ λυγρῇ* (πρβλ. 650)] Ὕστερον ἔλεγον· «Καθίσταμαί τινι εἰς πόλεμον».

675. *πέτρας ἠλιβάτους*] (Οὗ τὴν ἐτυμολογίαν ἀπεφήναμεν εἰς 483) εὑρίσκεται κατὰ τὴν εὐθεῖαν Ἰλ. Π 35. Ὀδ. ν 196.

*στιβαρῇς*] Ἐπίθετον, παρ' Ὁμήρῳ συχνάζον, τῶν χειρῶν (λ. χ. Ὀδ. δ 506. ε 454) παρὰ τὸ στείβω, διὸ σημαίνει «πυκνός» ἤτοι «στριγκτός». Ἐπίσης τὸ τοῦ ἑξαμέτρου πέρας ἐδανείσθη παρ' Ὁμήρου (Ἰλ. Σ 551. Ψ 114. Ὀδ. γ 463). Ὅπου ἂν τῆς Ἑλληνικῆς χώρας ἐν ἐπιπέδῳ πλῆθος μεγάλων πετρῶν διεσπαρμένων ᾖ, ἡ φαντασία τοῦ αἰτιολογικοῦ Ἕλληνος ἐκινήθη καὶ παρέστησε γίγαντας πετροβόλους καταπολεμοῦντας ἢ ἀλλήλοις ἢ τοῖς θεοῖς. Οὕτω καὶ ἡ Θεσσαλία ἀφορμὴν τῆς τοιαύτης δοξασίας παρεῖχεν. Ἀπὸ τῶν τοῦ Ὀλύμπου προποδίων πρὸς τὸν νότον ἐκτείνεται σειρὰ μεγάλων μαρμάρων γυμνῶν, ἃ τοῦ πρασίνου πεδίου πολὺ διαφέρουσιν.

676. = Ἰλ. Λ 215 καὶ Μ 415, ὅπου

προφρονέως, χειρῶν τε βίης θ' ἅμα ἔργα ἔφαινον
ἀμφότεροι· δεινὸν δὲ περίαχε πόντος ἀπείρων,
γῆ δὲ μέγ' ἐσμαράγησεν, ἐπέστενε δ' οὐρανὸς εὐρὺς
σειόμενος, πεδόθεν δ' ἐτινάσσετο μακρὸς Ὄλυμπος
ῥιπῇ ὑπ' ἀθανάτων, ἔνοσις δ' ἵκανε βαρεῖα
Τάρταρον ἠερόεντα, ποδῶν τ' αἰπεῖα ἰωὴ
ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων·
ὣς ἄρ' ἐπ' ἀλλήλοισιν ἔσαν βέλεα στονόεντα,
φωνὴ δ' ἀμφοτέρων ἵκετ' οὐρανὸν ἀστερόεντα
κεκλομένων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ,
οὐδ' ἄρ' ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος, ἀλλά νυ τοῦγε
εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
φαῖνε βίην· ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' Ὀλύμπου
ἀστράπτων ἔστειχε συνωχαδόν· οἱ δὲ κεραυνοὶ

ἡ ἀρχὴ ἔχει «Ἀργεῖοι». Ἐπειδὴ ἄρα ὁ στίχος οὐ πρωτοφανής ἐστιν, ἡ φράσις «ἐκαρτύναντο φάλαγγας» ἀκύρως κεῖται ἐπὶ τοσοῦτο ὀλίγων τὸν ἀριθμόν.

677. *ἔφαινον*] Ἴδε 650.

678-83. Ζωγραφοῦσι κατὰ μέρος τὴν εἰς τὸν κόσμον ἅπαντα ἐπιρροὴν τῆς μάχης.

678. *περ-ίαχε*] Πρβλ. περ-οίχεται 733.

*ἀπείρων*] Τὴν φιλόκαλον προσηγορίαν τῆς ἀπείρου θαλάσσης ἀνηῦρεν Ὅμηρος (οἷον Ἰλ. Α 305).

679. *ἐσμαράγησεν*] Ἀντήχησεν.

680. *πεδόθεν*] Ἐκ θεμελίων.

681. *ῥιπῇ*] Ἔρριπτον πέτρας (675).

*ἔνοσις*] Σεισμός, ὅθεν ἐγένοντο ἐνοσίχθων καὶ ἐννοσίγαιος.

682. *ἠερόεντα*] Ἴδε 119.

*ἰωὴ*] Λέξις ὀνοματοποιητικὴ ἀπὸ τοῦ ἐπιφωνήματος *ἰώ*.

683. *ἀσπέτου ἰωχμοῖο*] Ἀφάτου τύρβης· τὸ οὐσιαστικὸν σχέσιν ἔχει πρὸς τὸ συνώνυμον *ἰωκή*].

684. *βέλεα στονόεντα*] Ὧν ἕνεκα πολλοί, τὸ μὲν οἱ τῶν ἀποθανόντων συγγενεῖς, τὸ δὲ οἱ τραυματισθέντες, στενάζουσιν.

685. Οἱ θεοὶ φωνάζουσι μαχόμενοι ὁμοίως τοῖς Ὁμηρικοῖς ἥρωσιν. Ἡ ὑπερβολὴ «*οὐρανὸν ἀστερόεντα*», εἰς ἣν ὁ στίχος τελευτᾷ Ὁμηρικῶς (Ἰλ. Ο 371 κἀ.), ἀντιστοιχεῖ τῷ λεγομένῳ «βάζει κἄτι φωνὲς ἴσα μὲ τὸν οὐρανό» (Νεοελλ. Ἀνάλ. Α', σ. 38).

686. Πρῶτον μὲν πόρρωθεν τὰ βέλη ῥίπτουσιν, ἔπειτα δὲ ἀλαλάζοντες, ὥσπερ ἐπὶ τῆς γῆς οἱ στρατιῶται, εἰς χεῖρας ἔρχονται.

688. *εἶθαρ*] Ἀπαντῶμεν καὶ ἐν τῇ Ἰλιάδι μετὰ τῆς σημασίας «αὐτίκα, εὐθύς», ἀπὸ τοῦ εἶτα καὶ ἄρ, ὥσπερ ἄφαρ παρὰ «ἀπὸ» καὶ «ἄρ».

*πλῆντο*] Ἀόρ. μέσ. (Ὀδ. θ 57).

689. *ἄμυδις* = ἅμα, συνᾴδει τῷ ἄλλυδις.

690. Οἱ Ἕλληνες ἐφαντάζοντο, ὡς ἀποδεικνύουσι νομίσματα ἀρχαϊκά, τὸν ἀστράπτοντα Δία προχωροῦντα.

*συνωχαδόν*, ὅπερ τὴν αὐτὴν σχέσιν

ἴκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ποτέοντο
χειρὸς ἄπο στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες,
ταρφέες· ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζε
καιομένη, λάκε δ' ἀμφὶ πυρὶ μεγάλ' ἄσπετος ὕλη.
Ἔζεε δὲ χθὼν πᾶσα καὶ Ὠκεανοῖο ῥέεθρα
πόντος τ' ἀτρύγετος· τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμὴ
Τιτῆνας χθονίους, φλὸξ δ' ἠέρα δῖαν ἵκανε

ἔχει πρὸς τὸ «συνοχηδόν» ('Ανθολογ. 9, 343, 3), ἣν τὸ «ὁμιλαδὸν» πρὸς τὸ «ὁμιληδόν», ἰσοδυναμεῖ τῷ συνεχέως. — Περὶ τῆς μετεωρολογικῆς ταύτης τριάδος τὰ δέοντα εὑρήσει τις εἰς 140.

691. *ἴκταρ*] Ὡς θεματικὸν ῥῆμα ὁ σχολιαστὴς θεωρεῖ ἱκ-νέομαι. Πιθανώτερον ὅμως ὅτι ἡ ῥίζα ΙΚ, ἣ παρὰ τοῖς συγγενέσι Ῥωμαίοις σημαίνει «πλήσσω» καὶ ἐγέννησεν ἐν τῇ Ἑλλάδι «ἰκτέα» (ἀκόντιον, Ἡσύχ.).

*ποτέοντο*] Οἱ ζωγραφοῦντες τὰ ἀγγεῖα ἀποδιδόασι τῷ κεραυνῷ, ὃν κρατεῖ ὁ Ζεὺς ἐν τῇ χειρί, πτερά· οἷς συνᾴδουσι Σοφοκλῆς (Οἰδίπ. Κολ. 1460: Διὸς πτερωτὸς βροντή), Ἀριστοφάνης (Ὄρνιθ. 576: πτερόεντα κεραυνόν, 1714: πτεροφόρον Διὸς βέλος), Βιργίλιος (Αἰν. 5,319: fulminis ocior alis).

692. *εἰλυφόωντες*] Ὁμοίως Ἰλ. Λ 156 ὁ ῥιπίζων τὴν φλόγα ἄνεμος ἐπικαλεῖται «εἰλυφόων», ὡς καὶ Υ 492: φλόγα εἰλυφάζει. Ἡ ῥίζα πιθανῶς ἦν FΕΛ (κυλίω).

693. *ταρφέες*] Συχνοί, διότι «τάρφος» δηλοῖ «δάσος».

*φερέσβιος*] Ἡ φέρουσα βίον. Τὸ ἐπίθετον διακρίνει τὰ κεκαλλιεργημένα πεδία τῶν ὑλῶν καὶ ὀρῶν.

*ἐσμαράγιζεν*] = Ἐσμαράγησε 679.

694. *λάκε*] Ἐπατάγησε (δεύτερος ἀόριστος τοῦ λάσκω ῥήματος).

*ἀμφί*] Κύκλῳ τοῦ εἰς ὃν κατέσκηψεν ὁ κεραυνὸς τόπου.

*ἄσπετος ὕλη*] Τὰ ἀπέραντα δάση τῆς Ὄθρυος, ὅπου εἰσέτι πολλὰ δένδρα ἀποπεφεύγασι τοὺς ὑλοτόμους. Ἐπιτηδειότατα λοιπὸν Ἡσίοδος μεταχειρίζεται τὴν Ὁμηρικὴν λέξιν (Ἰλ. Β 455: ἠύτε πῦρ ἀΐδηλον ἐπιφλέγει ἄσπετον ὕλην, Ψ 127. Ω 784, πρβλ. Ὕμν. 26, 10).

695. *χθών*] Σημαίνει ἐνταῦθα τὴν γῆν ἅπασαν, ἧς μέρη εἰσὶν «ἡ φερέσβιος γαῖα» καὶ ἡ «ὕλη».

*Ὠκεανοῖο ῥέεθρα*] Οἱ ποταμοὶ καὶ αἱ κρῆναι, ὅτι πηγάζουσιν ἐκ τοῦ Ὠκεανοῦ (337 κἑ.).

696. *ἀτρύγετος*] Ἴδε 131.

*ἄμφεπε*] Προηγήθη Ὅμηρος εἰπὼν «πῦρ ἄμφεπε» (Ἰλ. Π 124. Σ 348. Θ 437). Τὸ πῦρ ὡς πρόσωπον λέγεται ὅτι «ἀσχολεῖται» περὶ τὸν κόσμον ὁλόκληρον· ἀνθ' οὗ νῦν ἡ φράσις «ἡ φωτιὰ τρώγει» ἐν χρήσει ἐστίν.

*θερμός*] Περὶ τοῦ γένους ἐγράψαμεν σημείωσιν εἰς 408.

*ἀϋτμή*] Ἡ κυρία σημασία ἐστὶ «πνοή», ἐνταῦθα δὲ καὶ Ἰλ. Φ 366. Ὀδ. ι 389 ἡ λέξις ἀπὸ τοῦ φοινικία ἢ καύσωνος, ἧς ἡ Ἑλλὰς ἐφέτος εἰς θλιβερὰν πεῖραν ἦλθε, μετενήνεκται εἰς τὸν καθαρὸν καύσωνα. Πληρέστερον δὲ ἀναγινώσκομεν ἐν τοῖς Ἀπολλωνίου Ἀργοναυτικοῖς (3, 531): ἀκαμάτοιο πυρὸς ἀϋτμή.

697. *χθονίους*] Ἤτοι ὑπογείους (767. Ἔ. 465) καλεῖ τοὺς Τιτᾶνας κατὰ πρόληψιν, ὥσπερ καὶ περὶ τοῦ Διὸς ἐν τοῖς ἀνωτέρω οὐχ ἅπαξ προληπτικῶς εἴρηκεν. Ἢ κατὰ τὸ ἥμισυ σῶμα ἤδη

ἄσπετος, ὄσσε δ' ἄμερδε, καὶ ἰφθίμων περ ἐόντων,
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
Καῦμα δὲ θεσπέσιον κάτεχεν Χάος· εἴσατο δ' ἄντα,
ὀφθαλμοῖσιν ἰδεῖν ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι,
αὔτως, ὡς ὅτε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν
πίλνανθ'. Οἷος γάρ κε μέγας ὕπο δοῦπος ὀρώρει
τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος,
τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων.
Σὺν δ' ἄνεμοί τ' ἔνοσίς τε κόνιν θ' ἅμα ἐσφαράγιζον

καταδεδυμένοι ἦσαν εἰς τὴν γῆν καθὼς πλάσσεται ἡ μήτηρ αὐτῶν Γαῖα; 'Επ' ἀληθείᾳ ὁπωσδήποτε τὸ *χθονίους* ἀντίκειται τῷ *ἠέρα δῖαν*.

*ἠέρα δῖαν*] 'Αὴρ δύο γενῶν ἐστι,καὶ θηλυκόν γε ἐκτὸς τοῦ ἀνὰ χεῖρας χωρίου 'Ιλ. Ε 864. Ρ 644. Οἱ γιγαντώδεις Τιτᾶνες εἶχον τὰς κεφαλὰς ὑψηλὰς ἐν τῷ ἀέρι.

698. *ἄμερδε*] 'Απετύφλωσεν·ἄκυρος ἡ φράσις, ἐπειδὴ οὐδὲν ἐκφράζει εἰ μὴ τὸ ἁρπάζω ἢ πηρῶ, ἀλλὰ καὶ παρ' Ὁμήρῳ τὸ αὐτὸ ἐλάττωμα εὑρίσκομεν 'Ιλ. Ν 340-1 (:ὄσσε δ' ἄμερδεν αὐγὴ χαλκείη).

699. *μαρμαίρουσα*] Παρὰ τὸ μάρμαρον, ὃ κυρίως ἴσον δύναται τῷ λαμπρόν.

700. *θεσπέσιον*] Εἰ καὶ τὴν ἐτυμολογίαν ἀγνοοῦμεν, ὅμως ὁ νοῦς πρόδηλος· ἐννοητέον ἔξαλλόν τι καὶ ἔκτακτον.

*χάος*] Τοῖς εἰς 116 σεσημειωμένοις οὐδὲν προστίθεμεν, πλὴν ὅτι ἡ μνεία αὐτοῦ ἀποτελεῖ τὴν ἀπαρίθμησιν τῶν τοῦ κόσμου μερῶν, ὧν ὁ Ζεὺς δεσπόζει διὰ τοῦ κεραυνοῦ.

*εἴσατο δ' ἄντα*] Καὶ ἀπροσώπως κεῖται καὶ ἀναρμοδίως· «θεοῖσι *ἄντα* ἐῴκει» ('Ιλ. Ω 630),δηλαδὴ ἀναφέρεται εἰς ἄνθρωπον, ὅστις ἐναντίον πως ἄλλου ἑστὼς ἐννοεῖται. 'Ενταῦθα μέντοι ἐκδέχεται ὅπως παρ' ἡμῖν τὸ ἀκριβῶς.

701. Οἱ πεζογράφοι τὸν τοῦ στίχου νοῦν βραχυλογώτερον καὶ σαφέστερον ἂν ἐκφράζοιεν «τοῖς ὁρῶσι καὶ ἀκούουσιν». Ὅμηρος καὶ αὐτὸς συντομώτερον εἶπε «προφαίνετ' ἰδέσθαι» 'Οδ. ι 143), πρὸς τούτοις «ὀφθαλμοῖσιν ἰδεῖν» ἀπαντῶμεν 'Ιλ. Ω 246. 'Αλλὰ τὰ περισσότερα ὁ 'Ασκραῖος οὐ καταλλήλως ἐκαινοποίησεν.

702. Πρβλ. 110.

703. *πίλναν θ'*] Ὁ παρατατικὸς ἐπὶ ὑποθέσεων ἀνεκτελέστων εὐχρηστεῖ. Τὸ ῥῆμα ἀπὸ τῆς αὐτῆς ῥίζης ἐγένετο, ἧς *πελάζω* (πλησιάζω).

*ὀρώρει*] Ὥσπερ ὁ Ὁμήρου συντελικὸς τῷ ἐνεστῶτι, ὡσαύτως ὁ ὑπερσυντέλικος τῷ παρατατικῷ ἀντιστοιχεῖ.

704. «'Ερείπω» ταὐτὸ βούλεται τῷ «ῥίπω», ὅθεν ὁ δεύτερος ἀόριστος ἀμεταβάτως σημαίνει «πίπτω». «Ὑψόθεν ἐξεριπόντος» λοιπὸν ἐννοοῦμεν «καταπεσόντος».

705. Ἡσίοδος ἐμνήσθη τοῦ τῆς 'Ιλιάδος στίχου (Υ 66): τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων. Οὐ πρέπει ἀποσιωπῆσαι τὴν λαϊκὴν δεινοῦ κρότου περίφρασιν· «Μὴν καὶ στοιχειὰ παλεύουν»;

*ἔγεντο*]='*Εγένετο*, περὶ οὗ ἡ εἰσαγωγὴ σημείωσιν χορηγεῖ.

706. *ἔνοσις*] Περὶ τῆς σημασίας ἔπιθι 681. Τῷ ἤχῳ ἀπονέμεται σεῖσις καὶ κλόνισις τοῦ χώρου.

*ἐσφαράγιζον*] Ἡσύχιος ἑρμηνεύει «ἐδόνουν, μετὰ ψόφου ἤχουν» (=σφα-

βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
κῆλα Διὸς μεγάλοιο, φέρον δ' ἰαχήν τ' ἐνοπήν τε
ἐς μέσον ἀμφοτέρων, ὄτοβος δ' ἄπλητος ὀρώρει
σμερδαλέης ἔριδος, κάρτος δ' ἀνεφαίνετο ἔργων,
ἐκλίνθη δὲ μάχη (πρὶν δ' ἀλλήλοις ἐπέχοντες
ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας)·
οἱ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν
Κόττος τε Βριάρεώς τε Γύης τ' ἄατος πολέμοιο,
οἵ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
πέμπον ἐπασσυτέρας, κατὰ δ' ἐσκίασαν βελέεσσι
Τιτῆνας καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
πέμψαν καὶ δεσμοῖσιν ὑπ' ἀργαλέοισιν ἔδησαν,

ραγέω 'Οδ. ι 398. 440). Ὅθεν Πίνδαρος (Πυθ. 9,5) ἔπλασεν «ἀνεμοσφάραγος».

707. Πρβλ. 72. 504.

708. *κῆλα*] ὠνομάζοντο τὴν μὲν ἀρχὴν τὰ ξύλα, ἔπειτα δὲ καὶ τὰ βέλη ἀπὸ τῶν ξυλίνων ξυστῶν.

*ἰαχήν τ' ἐνοπήν τε*] Καὶ τὰς φωνὰς καὶ τοὺς λόγους, οἷς «ἐνέπουσι» καὶ προκαλοῦσι τοὺς ἐναντίους. Τοῦτο τὸ ἔθιμον πανταχοῦ ἤκμαζε, μέχρις οὗ ἡ τηλεβόλων ὅπλων εὕρεσις τὴν ἀνδρείας ταύτην ἀπόδειξιν ἠφάνισεν.

709. *ἐς μέσον ἀμφοτέρων*] Συνέχεεαν τὰς ἀμφοτέρων τῶν μερῶν φωνάς.

*ὄτοβος*] Θόρυβος.

*ἄπλητος*] Πρβλ. 153.

710. *κάρτος ἔργων*] Ἡ τῆς μάχης ῥοπὴ ἢ ἀκμή, ὅθεν «κράτος» καὶ «νίκης» συνδέονται (385. 711).

711. *ἐκλίνθη δὲ μάχη*] Ὁ ποιητὴς ἐκφράζει ταὐτὸ διὰ μεταφορᾶς Ὁμηρικῆς ('Ιλ. Ξ 510: ἔκλινε μάχην), ἥντινα προυξένησεν ἡ ζυγοῦ πλάστιγξ, ἐπειδὴ ταύτῃ Ζεὺς διαδικάζει τὸ τοῦ πολέμου ἀποτέλεσμα ('Ιλ. Τ 223).

*ἐπέχοντες*] Λείπει: τὰ ὅπλα, πρβλ. 'Οδ. χ 75.

712. *ἐμμενέως*] Ὡς ἐν ταὐτῷ τόπῳ ἐμμένοντες.

*διὰ κρατερὰς ὑσμίνας*] = 631.

713. *ἐνὶ πρώτοισι*] Καὶ τοῦτο εἴληπται ἀπὸ τῶν ἡρωϊκῶν μαχῶν. Οἱ ἀνδρεῖοι δηλαδὴ μάχονται ἐν τῷ πρώτῳ στοίχῳ (οἷον 'Ιλ. Ι 709: ἐνὶ πρώτοισι μάχεσθαι).

714. *ἄατος πολέμοιο*] Κεῖται ἐν τῇ 'Ιλιάδι (π. χ. Ε 388), ὅπου οἱ πλεῖστοι κατὰ συναλοιφὴν ἐσφαλμένην γράφουσιν· «ἆτος». Ἡ σημασία «ἄπληστος» παρὰ τὸ «ἄω».

715. *στιβαρῶν*] Ἴδε 675.

716. *ἐπασσυτέρας*] Ἡ κατάληξις οὐχὶ συγκριτική ἐστιν, ἀλλὰ παραγωγική, ὥσπερ ἐν τῇ λέξει «θηλύτερος» (590).

*ἐσκίασαν*] Οὐκ εὐφυῶς τοῦτο ἐποίησεν ὥσπερ ὁ ἐν Θερμοπύλαις Λακεδαιμόνιος ἐκεῖνος πρὸς τὸν Πέρσην· ἀλλὰ μεταχειρίζεται τὸ ῥῆμα ἐπὶ τοῦ καλύπτειν.

717. *ὑπὸ χθονὸς εὐρυοδείης*] = 'Οδ. λ 52 (ἐτέθαπτο). Ἡ γενικὴ ἀντὶ τῆς ἐν συνηθείᾳ αἰτιατικῆς παρὰ τοῖς ἐπικοῖς πολλάκις ηὕρηται. Τὸ ἐπίθετον ἡρμηνεύσαμεν εἰς 119.

718. *ὑπ'*] Οἱ δεσμοὶ ἐπίκεινται τοῖς

νικήσαντες χερσὶν ὑπερθύμους περ ἐόντας,
τόσσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
ἶσσον γάρ τ' ἀπὸ γῆς ἐς τάρταρον ἠερόεντα.
Ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόθεν κατιών, δεκάτῃ ἐς γαῖαν ἵκοιτο·
ἐννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
γαίηθεν κατιὼν δεκάτῃ ἐς τάρταρον ἵκοι.
Τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ
τριστοιχεὶ κέχυται περὶ δειρήν· αὐτὰρ ὕπερθεν
γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.

πεφυλακισμένοις, διὸ 652 ταὐτῇ προθέσει ἐχρήσατο.

*ἀργαλέοισιν*] Πρβλ. 522.

719 *χερσὶν*] Οὐχὶ δόλῳ.

720. = Ἰλ. Θ 16 (πλὴν τὸ « Ἀΐδεω » ἤλλαξεν εἰς « ὑπὸ γῆς »).

*ἔνερ-θε*] Ἔνδον ὑποκάτω· οἱ « ἐνέρτεροι » γάρ εἰσιν οἱ ὑποχθόνιοι.

721. Νυνδὴ ῥητῶς ὀνομάζει τὸν Τάρταρον

*ἠερόεντα*] Ἴδε 119.

722. Ἡ ἡμερῶν ἐννεὰς μετὰ τῆς δεκάτης κρισίμου ἐν ταῖς ἐποποιίαις τοσοῦτο κοινόν ἐστιν, ὥστε οὐ παραδειγμάτων χρεία. Ἄκμονα μνημονεύει ὁ ποιητής, ὅτι οὗτος, φρονεῖ, τὴν γῆν ἂν διεκκρούσειεν.

723. *δεκάτῃ*] Τὸ σχῆμα « πρὸς τὸ συνώνυμον », ὥσπερ ἂν εἰ προηγεῖτο « ἡμέρας » ἀντὶ « ἤματα ». Παράλληλα εὑρίσκομεν Ὀδ. μ 74-5 (τὸ « πρὸς » « νεφέλῃ »), Ἰλ. Ε 140. Λ 238. Π 353. Φ 167.

726. *χάλκεον*] Ὡς ἀδιαπέραστον καὶ ἀκατάβλητον. Ἡ μεταφορὰ παρά τε τοῖς Ἕλλησι καὶ τοῖς Ἑβραίοις παροιμιώδης ἐγένετο.

*ἐλήλαται*] Ὅμηρος χρῆσιν ποιεῖται τῆς λέξεως « ἐλαύνω » ἀντὶ « ἄγω » (Ἰλ. Σ 564: περὶ ἕρκος ἔλασσε).

727. *κέχυται*] Προηγήθη ὁ Ὅμηρος οὐχ ἅπαξ ᾄδων: « κέχυτ' ἀχλύς » (Ἰλ. Ε 696 κτλ.). Ἵνα ἐννοήσῃ τις τί παρέσχεν ἀφορμὴν τῆς εἰκόνος, ἀναφέρομεν ἐκ τῆς Ὀδυσσείας (η 143): « χύτο ἀήρ ». Ἡ ὑγρὰ ὁμίχλη ἆρ' οὐκ ἀληθῶς καταχεῖται;

*δειρήν*] Τοῦ Ταρτάρου, ἀκριβέστερον δὲ εἰπεῖν, « ἀμφί μιν » καὶ « περὶ δειρὴν » καθ' ὅλον καὶ κατὰ μέρος συντάσσονται. « Δειρὴ » καὶ « δειρὰς » κεῖνται μεταφορικῶς ἐπὶ ὀρῶν. Ὅθεν οὐκ ἀσαφῶς ὁ ποιητὴς τὴν φράσιν τὸ νῦν μεταχειρίζεται. Τὸ μὲν τεῖχος λοιπὸν περικλείει τὸν Τάρταρον κατὰ τὸ σῶμά πως, ὑπεράνω δὲ τούτου ζώνη σκότους περίκειται, ἐπίβλημα δὲ ὁπωσδήποτέ εἰσιν αἱ ῥίζαι τῆς γῆς καὶ θαλάσσης.

728. Ἀπήχησις τοῦ Ἰλ. Ξ 204: « γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης », ὅπου ἐπίσης ὁ λόγος περὶ Κρόνου.

*ῥίζαι*] Ταύτας οὐχὶ ὁ Ἀσκραῖος ἐφαντάσθη, ἀλλὰ ὁ λαὸς πολὺν καιρὸν τοῦτο ἐπίστευσε· τί γὰρ εἰ Αἰσχύλος ὁ βαθυγνώμων (Προμηθ. 1047) καὶ οἱ Ὀρφικοὶ (Ὕμν. 18,10: κυάνεόν τ' Ἀχέρονθ', ὃς ἔχει ῥιζώματα γαίης. 23,1 καὶ Ἀπόσπ. παρὰ Πρόκλῳ εἰς Τίμαιον Β', σ. 95 καὶ Εὐσεβίῳ Παρασκ. Εὐαγγελ. 3, 9, 6) ταύτην τὴν ἐξήγησιν τῆς ἀμετακινήτου θέσεως τῆς γῆς οὐκ ἀπέρ-

Ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
κεκρύφαται βουλῇσι Διὸς νεφεληγερέταο
χῶρον ἐν εὐρώεντα πελώρης τ' ἔσχατα γαίης.
Τῶν οὐκ ἐξιτόν ἐστι, θύρας δ' ἐπέθηκε Ποσειδέων
χαλκείας, τεῖχος δὲ περοίχεται ἀμφοτέρωθεν,
ἔνθα Γύης, Κόττος τε ἰδὲ Βριάρεως μεγάθυμος
ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.
Ἔνθα δὲ γῆς δνοφερῆς καὶ ταρτάρου ἠερόεντος
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασι

ριψαν; Ὃ δὲ περιεργότερον, ὁ κριτικὸς φιλόσοφος Ξενοφάνης περὶ τῆς γῆς ἔκρινεν «ἐρριζῶσθαι εἰς ἄπειρον βάθος» (Ἀριστοτέλ. περὶ οὐρανοῦ 2, 13 καὶ Ψευδοπλούταρχ. δογμ. φιλοσ. 3, 9).

*ἀτρυγέτοιο*] Ἴδε 131.

729. *ὑπὸ ζόφῳ ἠερόεντι*] Τὸ σκότος τρόπον τινὰ αὐτοὺς βαρύνει· παρετηρήσαμεν εἰς 176, ὅτι ἡ νὺξ φαίνεται καταβαίνειν ἐπὶ τοὺς ἀνθρώπους.

730. Πρβλ. 558. Δραττόμεθα τῆς εὐκαιρίας, ἵν' ἀναμνήσωμεν τοὺς Ἕλληνας ἀναγνώστας, ὅτι ἐν Ἑλλάδι διατηροῦνται εἰσέτι μῦθοι ἀφορῶντες εἰς γίγαντας πεφυλακισμένους ἐν τῇ γῇ (Schmidt, Volksleben Α', σ. 33. 200 κἑ.).

* *ἐν*] Ἡ μετὰ τῆς αἰτιατικῆς σύνταξις, ὡς προείρηται, τῆς Ἡσιοδείου διαλέκτου ἐστίν.

731. *εὐρώεντα*] Παρὰ τὸ εὐρώς· ὁ Ἅδης «τόπος (ἀ)ραχνιασμένος» (Passow 433, 9) καὶ ἡ «πέτρα» τοῦ τάφου «ἀραχνιασμένη» (Ἀραβαντ. Συλλογ. 430, 8, πρβλ, 433, 7) διὰ τὰ «ἀράχνια» αὐτοῦ. Ὅπως δὲ μὴ ὑπερπηδήσωμεν πολλοὺς αἰῶνας, ἀναπαυόμεθα παρὰ τῷ φιλοσόφῳ Σενέκᾳ, ὅσπερ ἐξ Ἑλληνικῆς τραγῳδίας ἐν τῷ «Μαινομένῳ Ἡρακλεῖ» μετέφρασεν «et fœda tellus torpet æterno situ».

732. *Τῶν*] «Ὅτι λείπει ἡ διά, ἵν' ᾖ· διὰ τούτων τῶν ῥιζῶν οὐκ ἐκβαδιστέον, οὐ πορευτέον» (Σχόλ.). Τῷ ὄντι ἡ γενικὴ ἐξήρτηται τῆς ἐξ-. Ποσειδῶν φυλάσσει τὸν Τάρταρον, ὅτι αἱ τῆς θαλάσσης ῥίζαι ἐπίκεινται καὶ πρὸς τούτοις κρατεῖ τὰς τῆς γῆς ῥίζας (:γαίης ῥιζοῦχα θεμέλια νέρθε φυλάσσων Ὀππιαν. Ἁλιευτ. 5, 680, ῥιζοῦχος Καλλίμαχος παρὰ Πρόκλῳ εἰς Ἡσ. Ἔ. κ. Ἡ. 510), διὸ ἐννοσίγαιός ἐστιν (ἴδε 15). Τὸ δεύτερον *δὲ* εὔδηλον ὅτι κατὰ παράταξιν ἐκφράζει τὴν αἰτίαν.

733. *τοῖχος*] Δηλοῖ μετωνυμικῶς οἰκίαν λιθόδμητον, πρβλ. Ἰλ. Π 212-3: ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι δώματος ὑψηλοῖο.

*περοίχεται*] =περι-οίχεται ἢ περιτρέχει. Ἡ ἔκθλιψις ἠτιολογήθη ἐν τοῖς ἀνωτέρω.

736. *Ἔνθα*] Περὶ τὰς πύλας, πρβλ. 727-8.

*δνοφερῆς*] Παράγωγον ἀπὸ δνόφος =γνόφος, ὥστε συνωνυμεῖ τῇ «μαύρῃ γῇ».

737. Καὶ αἱ τοῦ Ταρτάρου ῥίζαι ἀνάγκῃ εὑρίσκονται μεταξὺ τῶν τῆς γῆς, ἐπειδὴ ἐκεῖνος μέρος ταύτης ἀποτελεῖ (ἴδε 119 καὶ 841).

ἀργαλέ' εὐρώεντα, τά τε στυγέουσι θεοί περ,
χάσμα μέγ'· οὐδέ κε πάντα τελεσφόρον εἰς ἐνιαυτὸν
οὖδας ἵκοιτ', εἰ πρῶτα πυλέων ἔντοσθε γένοιτο·
ἀλλά κεν ἔνθα καὶ ἔνθα φέροι πρὸ θύελλα θυέλλη
ἀργαλέη, δεινὸν δὲ καὶ ἀθανάτοισι θεοῖσι
τοῦτο τέρας. Καὶ Νυκτὸς ἐρεμνῆς οἰκία δεινὰ

739. = Ἰλ. Υ 65 (:σμερδαλέ' εὐρώεντα κτλ.).

*ἀργαλέ'*] Γενικὸν ἐπίθετον σχετλιαστικόν.

*εὐρώεντα*] Ἴδε 731.

*περ*] Καὶ οἱ θεοὶ αὐτοί.

740. *χάσμα μέγ'*] Εἰς τοῦτο συμφωνεῖ ὁ Ὅμηρος (Ἰλ. Θ 14: ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον), ἐπειδὴ ὁ λαὸς ἅπας, θεωρῶν σκοτεινὰ χάσματα, ἅτινα ἐφαίνοντο ἄδυθα, ἢ τὰς Βοιωτικὰς «καταβόθρες», ἐφαντάζετο εἰσόδους εἰς τὸν Ἅδην καὶ Τάρταρον. Αὗταί γε πρὸ διακοσίων εἰσέτι αἰώνων ταύτης τῆς δοξασίας ἕνεκα ὠνομάζοντο «καταβάθραις». Ἀναλογίζοντες λοιπὸν τοιαῦτα πρὸς τὸν Τάρταρον, αὐτόθι οὐχ ἧττον ἐτοποθέτουν «χάσματα καὶ μυχούς» (ὡς σκώπτει Πλούταρχος ἐν τῷ περὶ δεισιδαιμονίας κ. 4). Ὁ Χριστιανὸς ἀρχιεπίσκοπος Εὐστάθιος (Σύμμικτα σ. 292, 56 καὶ 39, ἔκδ. Tafel) ὀνειρεύεται ὡσαύτως «Χαρώνειον χάσμα» καὶ «χάσμημα Ἅδου».

*πάντα*] Ὁλόκληρον, ὡς μανθάνομεν εἰς 803.

*τελεσφόρον εἰς ἐνιαυτόν*] Φράσις Ὁμηρική, ἣ συχνάκις μὲν ἀναγινώσκεται, σπανίως δὲ ἐξηγητοῦ τυγχάνει. Ὁ γεωργὸς ἀμελεῖ τοῦ πολιτικοῦ ἔτους, ἀριθμῶν ἀπὸ θέρους μέχρι θέρους ἢ (ἵνα μεταχειρισθῶμεν τοὺς Εὐσταθίου [λόγ. 18, 17] λόγους) μέχρις οὗ «εἰς *τέλος* ἔλθη τοῦ καρπώσασθαι». Ὅθεν ὁ τελεσφόρος ἐνιαυτός ἐστιν ὁ «τελεσφορῶν» τοὺς καρπούς.

**οὖδας*] Εἰς τὸν τοῦ χάσματος πυθμένα, διότι ἐκτείνεται κατακορύφως.

741. *ἵκοιτ'*] Οὐχὶ μόνον τοῦ πληθυντικοῦ τὸ τρίτον πρόσωπον, ἀλλὰ καὶ τοῦ ἑνικοῦ ἀορίστως κεῖται, οἷον Ἰλ. Ν 287. Φ 199 καὶ παρὰ τοῖς μεθύστερον ποιηταῖς καὶ τῶν συγγραφέων τισίν.

*εἰ πρῶτα*] Ἐὰν μάλιστα.

*γένοιτο*] Καθίκοιτο.

742. *προφέροι*] Παρασύροι, ὥσπερ καὶ Ἰλ. Ζ 346. Ὀδ. υ 64. Καὶ τοῦτο συνεστοχάσθη ὁ Ζεύς, ἵνα ἐμποδίσῃ τὴν τῶν Τιτάνων ἐλευθέρωσιν. Ὅ διαρρήδην Ὠριγένης ἐν τοῖς κατὰ Κέλσου δηλοῖ γράφων· «*φυλάσσουσι* δὲ αὐτὴν τὴν Ταρταρίαν μοῖραν θυγατέρες Βορέου, Ἅρπυιαί τε καὶ Θύελλα». Οἱ παλαιοὶ οὐκ ἀπιθάνως σεισμικῶν τινων φαινομένων τὴν αἰτίαν προσάπτουσιν ἀνέμοις ὑπογείοις, οἳ τὰς τῆς γῆς ῥίζας ἔστιν ὅτε τινάσσουσιν· οὗ σαφῆ μαρτυρίαν Αἰσχύλος χορηγεῖ ἐν τῷ Προμηθεῖ (1046-7: χθόνα δ' ἐκ πυθμένων αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι).

743. *δεινόν*] Ἐτήρησε τὴν πρωτότυπον σημασίαν «φοβερός», ἀπὸ τῆς ῥίζης ΔΕΙ (φοβοῦμαι).

Ἀπὸ τοῦ *καὶ* μορίου Ἡσίοδος μεταβαίνει κατὰ μικρὸν εἰς περιγραφὴν τοῦ Ταρτάρου ὁλοκλήρου· οὐ λέγω ὅτι τοῦτο ἐποίησεν ἀφανῶς, διότι τὸ λεξείδιον ἐκεῖνο ἀμελέστερον ἐνταῦθα τάττεται, ὥστε ὁ ἀναγνώστης προσκόψας ἐξετάζει τὴν τῶν ἐννοιῶν συμπλοκὴν καὶ εὑρίσκει αὐτὴν σαθράν.

744. *ἐρεμνῆς*] Ἴδε 334.

*δεινά*] Ἐπειδὴ ἡ Νὺξ ὀλοὴ καὶ φοβερά, ἡ οἰκία ταυτότροπος θεωρεῖται.

ἕστηκεν νεφέλῃς κεκαλυμμένα κυανέῃσι,
τῶν πρόσθ' Ἰαπετοῖο πάϊς ἔχετ' οὐρανὸν εὐρὺν
ἑστηώς, κεφαλῇ τε καὶ ἀκαμάτῃσι χέρεσσιν,
ἀστεμφέως· ὅθι Νύξ τε καὶ Ἡμέρη ἀμφὶς ἰοῦσα
ἀλλήλας προσέειπον, ἀμειβόμεναι μέγαν οὐδόν,
χάλκεον· ἡ μὲν ἔσω καταβήσατο, ἡ δὲ θύραζε
ἔρχεται, οὐδέ ποτ' ἀμφοτέρας δόμος ἐντὸς ἐέργει,
ἀλλ' αἰεὶ ἑτέρη γε δόμων ἔκτοσθεν ἐοῦσα
γαῖαν ἐπιστρέφεται, ἡ δ' αὖ δόμου ἐντὸς ἐοῦσα
μίμνει τὴν αὐτῆς ὥρην ὁδοῦ, ἔστ' ἂν ἵκηται,
ἡ μὲν ἐπιχθονίοισι φάος πολυδερκὲς ἔχουσα,
ἡ δ' Ὕπνον μετὰ χερσί, κασίγνητον Θανάτοιο,
Νὺξ ὀλοή, νεφέλῃ κεκαλυμμένη ἠεροειδεῖ.

745. *κυανέῃσι*] Σκοτειναῖς.

746. *Ἰαπετοῖο πάϊς* (◡ –)] Ἄτλας, οὗ τὴν τύχην διηγεῖται στ. 517 κἑ., ἐξ ὧν τὸν 519 (= 747) ἐπαναλαμβάνει.

748. *ἀστεμφέως*] Ἡ ῥίζα ἦν ΣΤΕΜΦ (πιέζω), ὅθεν στέμφυλα ὀνομάζονται τὰ ἐκπιέσματα τῶν ἐλαιῶν καὶ σταφυλῶν. Ἡ ἔννοια λοιπόν· Ἡ οὐρανία σφαῖρα τὸν Ἄτλαντα οὐ καταπιέζει.

*ὅθι*] Ἐν τῇ Νυκτὸς οἰκίᾳ.

*ἀμφίς*] Ἐπὶ διαφόρους πλευράς.

749. Τὸ χαρίεν εἰδύλλιον τοῦτο ζωηρῶς διηγεῖται κατ' ἀόριστον «γνωμικόν»· ὅτι δὲ ἡ ἔννοια οὐχ Ἡσιόδου εὕρημά ἐστι, παρατηροῦμεν ἀναγινώσκοντες Ὀδ. κ 82-3 «ποιμένα ποιμὴν ἠπύει εἰσελάων, ὁ δέ τ' ἐξελάων ὑπακούει». Ὀλίγῳ ἧττον γραφικῶς ὑπὸ τοῦ Κορνάρου (σ. 120) πεποίηται: «Τὴν ὥραν π' ὁ Αὐγερινὸς πασίχαρος **προβαίνει** καὶ ἀπὸ τῆς γῆς τὸ πρόσωπον ἡ Σκοτεινάδα **'βγαίνει**».

*ἀμειβόμεναι*] Περῶσαι, οἷον Ἰλ. Ι 409 (:ἕρκος ὀδόντων). Ὀδ. κ 328.

754. (Ὁμοιάζει Ἔ. 628).

*τὴν αὐτῆς ὥρην ὁδοῦ*] Ἡ κανονικὴ τῶν λέξεων τάξις ἐστί· τὴν ὥραν τὴν τῆς ἑαυτῆς ὁδοῦ.

755. *ἡ μὲν*] Ἡμέρα.

*ἔχουσα*] Σχέσιν ἔχει πρὸς τὸ «μετὰ χερσί» (756).

*πολυδερκές*] Ἴδε 45!.

756. Ὁ Ὕπνος πρότερον ἐμνημονεύθη 212, ὅπου ἐσημειώσαμέν τινα περὶ τοῦ θεοῦ. Ἐνταῦθα δὲ ἀναπέμπομεν, ἵνα ἐννοηθῶσιν αἱ λέξεις «μετὰ χερσί», εἰς Παυσανίου περιγραφὴν τῆς Κυψέλου λάρνακος, ἐφ' ἧς Νὺξ ἔφερεν Ὕπνον καὶ Θάνατον ὡς παιδία ἐν ταῖς χερσίν (5, 18, 1). — Ἡ Νυκτὸς καὶ Ἡμέρας συνάντησις ἀφῄρηται ἐκ τῆς λαϊκωτέρας δοξασίας, ὅτι ὁ Ἥλιος ἑσπέρας ἔρχεται πρὸς τὴν Νύκτα (Κόϊντ. Σμυρν. 10, 196 κἑ.), ὅπως ἐπισκεφθῇ τοὺς προσήκοντας (Στησιχόρ. Ἀπόσπ. 8). Ὁμοίως ἔχει τὸ ἐν Ἠπείρῳ λεγόμενον· «Ὁ Ἥλιος πηγαίν' 'ς τὴν μάνα του» (Ἑλλ. Φιλολογ. Σύλλ. τ. ΙΔ', σ. 258, ὑποσ. 7).

757. *ὀλοή*] = 224.

*ἠεροειδεῖ*] Ἴδε 252. Ἡ Νὺξ αὐτὴ οὐχ ὁρᾶται, ὅτι ἅπαντα ποιεῖ ἀόρατα.

Ἔνθα δὲ Νυκτὸς παῖδες ἐρεμνοὶ οἰκί' ἔχουσιν,
Ὕπνος καὶ Θάνατος, δεινοὶ θεοί· οὐδέ ποτ' αὐτοὺς
Ἠέλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν,
οὐρανὸν εἰσανιὼν οὐδ' οὐρανόθεν καταβαίνων.
Τῶν ἕτερος μὲν γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
ἥσυχος ἀνστρέφεται καὶ μείλιχος ἀνθρώποισι,
τοῦ δὲ σιδηρέη μὲν κραδίη, χάλκεον δέ οἱ ἦτορ
νηλεὲς ἐν στήθεσσιν· ἔχει δ', ὃν πρῶτα λάβῃσι
ἀνθρώπων· ἐχθρὸς δὲ καὶ ἀθανάτοισι θεοῖσι.
Ἔνθα θεοῦ χθονίου πρόσθεν δόμοι ἠχήεντες,

758. *Ἔνθα*] Πλησίον τῆς μητρῴας οἰκίας.

*ἐρεμνοί*] Ὁ νυκτερινὸς ὕπνος καὶ ὁ «μαῦρος» θάνατος ὡσαύτως τῇ μητρὶ σκοταῖοι ὑπολαμβάνονται. Ὁ τῆς Ἀλεξανδρίνης ποιήσεως τρόφιμος Τίβουλλος τῷ Ὕπνῳ ἀπονέμει πτερὰ ἀμαυρά (Ἐλεγ. 2, 1, 89).

759. *δεινοί*] Ἅτε ἀνανταγώνιστοι ὄντες. Ἀπὸ τοῦ *οὐδὲ* μέχρι τοῦ *καταβαίνων* καρποῦται Ὀδ. λ 15-18, πλὴν τοὺς δύο τελευταίους στίχους συστέλλει εἰς ἕνα, ἐπερειδόμενος καὶ πάλιν ἐπὶ Ἰλ. Η 423 (:οὐρανὸν εἰσανιών).

762. *ἕτερος*] Ὕπνος.

*εὐρέα νῶτα θαλάσσης*] Οὐκ ἄγνωστ' ἂν εἶεν τῷ Ὁμηριστῇ (Ἴδε Ἰλ. Β 159 κτλ.).

763. *ἥσυχος*] Ὁ προξενῶν ἡσυχίαν οὐ δύναται αὐτὸς εἶναι ἀνήσυχος.

*μείλιχος*] Ἴδε 84.

764. *τοῦ*] Θανάτου.

*σιδηρέη* καὶ *χάλκεον*] Περὶ ἐκείνης μὲν τῆς μεταφορᾶς εὑρήσεις σημείωσιν εἰς 312, περὶ δὲ ταύτης εἰς Ἔ. 176· ἐν τῷ προκειμένῳ χωρίῳ λοιπὸν οὐδὲν παρατηροῦμεν, εἰ μὴ ὅτι παράλληλος στίχος ηὕρηται ἐν δημώδει ᾄσματι (Passow) 78, 8. Ζαμπέλιος 676, 100): «Σίδερο βάλτε 'ς τὴν καρδιά(ν) καὶ χάλκωμα 'ς τὰ στήθη».

Πῶς διαφέρουσι *κραδίη* καὶ *ἦτορ*, οὐ κατανοοῦμεν, ἄπειροι ὄντες τῆς λαϊκῆς ἀνατομῆς· φαίνεται ὅμως ἔκ τε τοῦ ᾄσματος ἐκείνου καὶ ἐξ Ἰλ. Β 490 (:φωνὴ δ' ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη), ὅτι οὐ παραλλάσσει πολὺ τοῦ στήθους.

765. *ἔχει*] Κατέχει, ὃ διασαφεῖται Ἰλ. Π 204: ἔχεις *ἀέκοντας* ἑταίρους.

*δ'*] Δικαιολογεῖ τὰ προηγούμενα ἐπίθετα.

*πρῶτα*] «Τὴν ἀρχὴν» λέγουσιν οἱ τοῦ παρακμάσαντος Ἑλληνισμοῦ συγγραφεῖς.

*λάβῃσι*] Ὁ Χάρων κατὰ τοὺς θρήνους τοὺς ἀνθρώπους τῷ ὄντι αἱρεῖ τῶν τριχῶν.

766. *ἐχθρός*] Θεομίσητος. Οἱ θεοὶ αὐτὸν μισοῦσιν, ὅτι οἱ νεκροὶ μιαίνουσι τοὺς ναοὺς καί, ὡς δεικνύει ἡ τοῦ «Ἱππολύτου» ἔξοδος, καὶ τὸν προσβλέποντα θεόν.

767. *Ἔνθα*] Ἐξακριβοῦται τῷ ἀκολουθοῦντι *πρόσθεν*.

*θεοῦ χθονίου*] Παρεκκλίνουσι τὸ Ἅδου ὄνομα καὶ προτιμῶσι παραφραστικὰς λέξεις, οἷον θεὸς χθόνιος ἢ Ζεὺς χθόνιος (Ἔ. 465). Ὁμοίως οἱ Μήλιοι φοβοῦνται «τῆς κάτω γῆς τὸν ἀφέντην» (Νεοελλην. Ἀνάλ. Α', σ. 7).

*ἠχήεντες*] «Ἠχήεντα» καὶ τὰ «δώ-

ἰφθίμου τ' Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης,
ἑστᾶσιν· δεινὸς δὲ κύων προπάροιθε φυλάσσει,
νηλειής, τέχνην δὲ κακὴν ἔχει· ἐς μὲν ἰόντας
σαίνει ὁμῶς οὐρῇ τε καὶ οὔασιν ἀμφοτέροισι,
ἐξελθεῖν δ' οὐκ αὖτις ἐᾷ πάλιν, ἀλλὰ δοκεύων
ἐσθίει ὅν κε λάβῃσι πυλέων ἔκτοσθεν ἰόντα

ματα» τῶν ἀνάκτων (Ὀδ. δ 72. Ὕμν. Ὁμηρ. 5, 104), ταῦτα ὅμως γέμουσι τοῦ δαιτυμόνων θορύβου, ἐνῷ ὁ Ἅδης ἀντηχεῖ τοὺς θρήνους καὶ ὀλοφυρμοὺς τῶν νεκρῶν. Οὐχὶ μόνον τὰ νεώτερα ᾄσματα περιέχουσι τὴν θλιβερὰν ταύτην πρόληψιν, ἀλλὰ καὶ παλαιὰ ἦν· διὰ τί γὰρ ὁ Κωκυτὸς ὠνομάζετο εἰ μὴ τούτου ἕνεκα; Πρὸς τοὺς «δόμους» εἰς 311 ἔνια παρεσημειωσάμεθα.

768. *ἰφθίμου*] Ἡ λέξις ἡρμήνευται ἐν τῷ εἰς 455 σχολίῳ.

*Ἀΐδεω*] Ἴδε 311.

*τ'*] Οὐκ εὐστόχως ἐνταῦθα κεῖται, ἐπειδὴ «Ἀΐδεω» διασαφεῖ τὸ «θεοῦ χθονίου», ὥστε τὸ μόριον στενώτερον τοῦ δέοντος ἐκείνην τὴν λέξιν μετὰ τοῦ «Περσεφονείης» συντάσσει. Αἴτιος δέ πώς ἐστιν ὁ Μαιονίδης, ὅσπερ προδιετύπωσεν (Ὀδ. κ 534 = λ 47): ἰφθίμῳ τ' Ἅδῃ καὶ ἐπαινῇ Περσεφονείῃ.

*ἐπαινῆς*] Αἰνῆς· ὅπερ αἰνίττεται Πλάτων ἐν Κρατύλῳ (σ. 404 c): Φερρέφαττα δέ· πολλοὶ μὲν καὶ τοῦτο **φοβοῦνται** τὸ ὄνομα.— Περσεφόνη ζῇ εἰσέτι ἐν τῇ τῶν Ἰωνικῶν νήσων προλήψει ὡς «Χαρόντισσα» (Schmidt, Märchen: Ἄσματα, ἀρ. 25-27).

769. Τὸν οἰκουρὸν κύνα ἐν τοῖς ἔμπροσθεν (311) ἐκάλεσε Κέρβερον.

770. *τέχνην*] Τέχνασμα

771. Ἡ ἀπεικόνισις ἐπικωτάτη καὶ Ὁμήρου ἀξία, μᾶλλον δὲ Ὁμηρική· βεβαίως γὰρ καὶ Ἡσιόδῳ ἤρεσε τὸ πασίγνωστον περὶ τοῦ Ἄργους χωρίον, ἐν ᾧ καὶ τόδε εὑρίσκεται (Ὀδ. ρ 302): οὐρῇ μέν ῥ' ὅγ' ἔσηνε καὶ οὔατα κάμβαλεν εἴσω. Ὁράτιος δ' αὖ εὐηρεστήθη τῷ Ἡσιόδου ἐπινοήματι καὶ ἐδανείσατο παρ' αὐτοῦ «demittit aures belua centiceps» (Carmina 2,13,34).— Ὁ λαὸς οὐκ εἶπεν εἰ μὴ λιτῶς· «Ἅδης εἴσοδον μὲν ἔχει, ἔξοδον δὲ οὐκ ἔχει» (Συλλογὴ τοῦ Μαξίμου Πλανούδη λεγομένη 87), ὅπερ μετηνέχθη εἰς Ῥωμαϊκὰ ποιήματα (μάλιστα δὲ εἰς τὴν Αἰν. 6, 126 κἑ.), ἔμεινε δὲ καί, ὀλίγον μεταλλαχθεῖσα, ἐν τῇ πατρίδι (: ὁ Χάρος μπασίδια ἔχει καὶ βγαλσίδια δὲν ἔχει, Ἀραβαντ. Παροιμ. 1826).

772. *δοκεύων*] Ἴδε 466.

773. *ἐσθίει*] Ὥσπερ ἂν εἰ οἱ νεκροὶ εἶχον σώματα· ἀλλὰ τοιαῦτα φιλεῖ ὁ λαὸς ἐν τοῖς ᾄσμασιν.

*πυλέων*] Ἐπειδὴ ὁ Ἅδης ἐκλαμβάνεται ὡς οἰκία, ἔχει καὶ πύλας, οὐκ οἶδα δέ, ἂν ἄλλη περὶ τοῦ κάτω κόσμου δοξασία παρ' ἅπασιν οὕτω συμφώνως μέχρις ἡμῶν ἐτηρεῖτο. Ταύτης τῆς αἰτίας ἕνεκα δεδόσθω μοι ἄδεια τοῦ ἀποταμιεύειν τὰς μαρτυρίας χρονολογικῶς· ἡγείσθω δὲ Ὅμηρος (Ἰλ. Ε 395 [;]. 646. Ι 312. Ψ 71. 375. Ὀδ. λ 571: κατ' εὐρυπυλὲς Ἄϊδος δῶ. ξ 156, ᾧ ἀκολουθοῦσιν Ἡσίοδος, Θέογνις (709: κυανέας πύλας), οἱ τραγικοί (Αἰσχύλ. Ἀγαμ. 1292 [1262]. Χοηφ. 866. Σοφ. Οἰδ. Κολ. 1569. Εὐριπ. Ἄλκ. 125 [6]. Ἑκάβ. 1. Ἱππόλ. 1447. Μήδ. 1203 [1231]. Θεόκριτος (2, 160 ἐνικῶς), Πλούταρχος (περὶ δεισιδαιμονίας 4: Ἅδου τινὲς ἀνοίγονται πύλαι βαθεῖαι), Ἀχιλλεὺς Τάτιος (5, 9), Εὐνάπιος (ἐν βίοις σοφιστῶν σ. 105). Θε-

ἰφθίμου τ' Ἀΐδεω καὶ ἐπαινῆς Περσεφονείης.
Ἔνθα δὲ ναιετάει στυγερὴ θεὸς ἀθανάτοισι,
δεινὴ Στύξ, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο
πρεσβυτάτη· νόσφιν δὲ θεῶν κλυτὰ δώματα ναίει
μακρῇσιν πέτρῃσι κατηρεφέ', ἀμφὶ δὲ πάντῃ
κίοσιν ἀργαλέοισι πρὸς οὐρανὸν ἐστήρικται.
Παῦρα δὲ Θαύμαντος θυγάτηρ, πόδας ὠκέα Ἶρις

μίστιος (λόγ. 13,σ. 169 b. 19,σ. 227 b: Ἀχέροντος). Κατὰ τὸν Χριστιανισμὸν συγχεῖται ἡ ἐθνικὴ δοξασία μετὰ τῆς ἀναλόγου Ἑβραϊκῆς μεταφορᾶς (Ψαλμ. 9, 13. Σοφία Σολομ. 16, 13. Εὐαγγ. Ματθαῖος 16, 18), καὶ οὕτως φυλάσσεται ὑπὸ τῶν Βυζαντίνων (π. χ.: θανάτου πύλαι Ἰωάνν. Χρυσοστ. ἐπιστ. 6,τ. Γ', σ. 579 e, κακὴν πύλην Ἅδου, μεταφορικῶς παρὰ Ἰωάννῃ τῷ Καματηρῷ στ. 398) καὶ τῶν νεωτέρων. Οὗτοι γὰρ πεποίθασιν, ὅτι ὁ Χάρων ἔχει τὰ τοῦ Ἅδου κλειδία, καθὼς πάλαι ποτὲ ὁ Πλούτων ἐπωνομάσθη «κλειδοῦχος» (Ἀνθολογ. 7, 391, 1) πρβλ. Παυσαν. 5, 20, 1.

774. = 768. Ἡσίοδος τὴν παλιλλογίαν ἐνόμισεν ἀναγκαίαν, ἵνα μὴ ἐννοήσῃ τις τὰς τοῦ Ταρτάρου πύλας, περὶ ὧν περισσότερος λόγος ἐγένετο.

775. *Ἔνθα*] Πλησίον τούτων τῶν πυλῶν.

Ὁ ποιητὴς ἐτυμολογεῖ τὸ Στὺξ παρὰ στυγερός (μισητός).

776. *θυγάτηρ ἀψορρόου Ὠκεανοῖο*] = Ἰλ. Σ 399. Ὁ Ὠκεανός, ἐκτεινόμενος κύκλῳ τῆς γῆς, «ἄψ» ῥεῖ πρὸς τὴν ἑαυτοῦ πηγήν.

777. *νόσφιν θεῶν*] Πόρρω τῶν Ὀλυμπίων.

*κλυτὰ δώματα* (= Ἰλ. Ν 21)] «Ἐξακουστά».

778. *κατηρεφέ'*] Πρὸς τὴν σημασίαν, ἔπιθι 594. Ὁ ποιητὴς ὑπαινίττεται τὸν Κυκλώπειον λεγόμενον ῥυθμόν, καὶ ἀξιομνημόνευτόν γε ὅτι τὰ Κυκλώπεια οἰκοδομήματα, ὧν ἐφείσατο ὁ καταστρεπτικὸς Χρόνος ἐπὶ τοῦ Εὐβοϊκοῦ ὄρους «Ὄχη», ὁ λαὸς ἀποκαλεῖ «Δρακοσπίτια». Τότε ἤδη λοιπὸν τοιαῦται οἰκίαι τοῖς Ἕλλησι δυσοιώνιστοι ἐφαίνοντο.

*ἀμφὶ δὲ πάντῃ*] Φράσις τετριμμένη τῶν ἐποποιῶν (Διονύσ. Περιηγ. 596. Ὀππιαν. Κυν. 1, 335. 461. 3, 273. Κόϊντ. Σμυρν. 5, 3. 6, 2, 7, 118. 717. 10, 185. 13, 2. 42. 75. 371. 14, 571.

779. *πρὸς οὐρανὸν ἐστήρικται*] Τοῖς κίοσι καθικνεῖται τοῦ οὐρανοῦ (ἣν ἑρμηνείαν βεβαιοῖ Ἰλ. Δ 443: οὐρανῷ ἐστήριξε κάρη). Ἡ περιγραφὴ αὕτη εἴληπται ἀπὸ τῶν Αἰγυπτιακῶν οἰκιῶν, καθὼς καὶ ἐν τοῖς παναρχαίοις οἰκοδομήμασι τῆς Ὀρχομενοῦ καὶ ἄλλων ἡρωϊκῶν ἀνακτόρων Αἰγυπτιακὰ τεχνήματα ἐνορῶνται· ἐπὶ τούτων λοιπόν, κατὰ τὰς ἐπιχωρίους ζωγραφίας (Wilkinson, Manners and customs of the Egyptians, ἔκδ. 6', τ. Α', σ. 359, εἰκὼν 128), ἀνυψοῦτο ὑπωροφία, ἀποτελουμένη διὰ κιόνων, οἵτινες ἔφερον τὴν στέγην.

780. *Παῦρα*] Ὀλίγον, σπανίως.

Περὶ Ἴριδος Ἡσίοδος λόγον ποιεῖται 266. Ἡ φράσις «πόδας ὠκέα Ἶρις» ἐν τοῖς Ὁμήρου ποιήμασι προπέπλασται (Ἰλ. Β 790 κτλ.), ὥστε ὁ τύπος ὠκέα (κυρίως ὠκέ̣α) οὐχὶ τῆς Ἡσιόδου διαλέκτου οἰκεῖος ὑπολαμβανέσθω.

ἀγγελίην πωλεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης,
ὁππότ' ἔρις καὶ νεῖκος ἐν ἀθανάτοισιν ὄρηται,
καί ῥ' ὅστις ψεύδηται Ὀλύμπια δώματ' ἐχόντων,
Ζεὺς δέ τε Ἶριν ἔπεμψε θεῶν μέγαν ὅρκον ἐνεῖκαι
τηλόθεν ἐν χρυσέῃ προχόῳ, πολυώνυμον ὕδωρ
ψυχρόν, ὅτ' ἐκ πέτρης καταλείβεται ἠλιβάτοιο
ὑψηλῆς· πολλὸν δέ θ' ὑπὸ χθονὸς εὐρυοδείης

781. * *ἀγγελίην πωλεῖται* (παρὰ τὸ πέλομαι κατ' ἔκτασιν)] Ἡ χωρὶς προθέσεως σύνταξίς ἐστιν ἡ αὐτὴ τῇ Ἰλ. Λ 140: ἀγγελίην ἐλθόντα.

*ἐπ' εὐ. νῶτα θ.*] = Ἰλ. Β 159 κἀ.

782. Ἡ δευτερεύουσα πρότασις διασαφεῖ τὸ «*παῦρα*».

783. *ὅστις*] Συνηθέστερον ἂν λέγοιτο· «ἐάν τις». Ἀλλὰ καὶ Ὅμηρος τὴν βραχυλογίαν ταύτην οὐκ ἀποστρέφεται (π. χ. Ὀδ. σ 286: δῶρα μὲν ὅς κ' ἐθέλῃσιν Ἀχαιῶν ἐνθάδ' ἐνεῖκαι, δέξασθαι).

*ψεύδηται*] Ὥσπερ παρὰ τοῖς ἀνθρώποις, τὸ «νεῖκος» συζητεῖται δικανικῶς καὶ ἀμφότεροι τὸ πρᾶγμα καταδεικνύουσι πρὸς τὸ ἑαυτῶν μέρος. Ἐὰν οὖν τις, κατὰ τὸν ἀνθρώπινον τρόπον, ἑτοιμάζηται παραποιεῖν τὴν ἀλήθειαν, Ζεὺς ὡς πρῶτος τῶν δικαστῶν, ὅρκον ἀπαιτεῖ.

*Ὀλύμπια δώματ' ἐχόντων*] = Ὀδ. γ 377.

784. *δέ τε*] Παρατακτικῶς ἄρχει τῆς ἀποδόσεως, ὡς καὶ 609.

*ἔπεμψε*] Ἀόριστος γνωμικός.

*θεῶν μέγαν ὅρκον*] = Ὀδ. β 377. Ἡ ἐξήγησις κατακεχώρισται εἰς στ. 400.

785. *προχόῳ*] Στάμνος, ἐκ χρυσοῦ, ὥσπερ ἅπαντα τὰ τοῖς θεοῖς ἰδιάζοντα. Ἶρις δὲ τοῦτο ἐπιτέτακται, οὐ μόνον ὡς ἀγγελιαφόρος τῶν Ὀλυμπίων, ἀλλὰ καὶ διότι, κατὰ τὴν τῶν παλαιῶν πρόληψιν, ταῖς νεφέλαις ὕδωρ ἐκ τῆς θαλάσσης ἀρύεται (Ὀβιδίου Μεταμορφ. 1,271) καὶ τούτου ἕνεκα μετὰ στάμνου πετομένη ἀπεικονίζεται (τὰ μνημεῖα ἀπαριθμεῖ Marx ἐν τῇ τῶν Γερμανῶν «Ἀρχαιολογικῇ Ἐφημερίδι» 1885, στήλ. 172).

*πολυώνυμον*] Περιώνυμον.

786. *ἠλιβάτοιο*] Ἐξήγηται εἰς 483. Παράθες Ἰλ. Θ 369 : Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα.

787. *πολλόν*] Καὶ οἱ Ἀττικοὶ ἔλεγον «πολὺς ῥεῖ» ἀντὶ τοῦ «πολλῷ ὕδατι ῥεῖ».

*ὑπὸ χθονὸς εὐρυοδείης*] = 620. 717. Ὀδ. λ 52. Ἆρά γε τὴν Στύγα, ἐκ παραδόσεως ἀμυδρᾶς, αἰνίττεται ὁ ποιήσας· «ἐσὺ 'σαι τοὐρανοῦ κλειδί, τῆς κάτω γῆς ἡ βρύση»; Οὐκ ἂν παρεκινδύνευσα τὸν παραλληλισμὸν τοῦτον, εἰ ἀληθείᾳ οἱ παλαιοὶ σύμπαντες τὴν κρήνην ἐκ τοῦ Ἅδου μετήγαγον εἰς τὸν ἄνω κόσμον. Ἐν τῇ Ἀρκαδίᾳ ἀπὸ ὑψηλοτάτου βράχου τοῦ Χελμοῦ ἢ Χιαλμοῦ ὑπὲρ πέτρας τῷ ὕδατι μεμελανωμένης ῥύαξ καθέτως σχεδὸν καταπίπτει καὶ διασκορπίζεται. Πρὸς τούτοις, ἡ πέριξ φρικώδης ἐρημία ἐκφοβεῖ τὴν ψυχήν. Διὸ τὸ «Μαυρονέρι» λεγόμενον ὑπολαμβάνεται κακῶν δαιμονίων διατριβή (Schmidt, Märchen, σ. 21-2) καὶ ὑπ' ἐνίων ἐπικαλεῖται Δρακονέρια. (Ὁ μὴ δυνάμενος αὐτόπτης γενέσθαι εὑρήσει εἰκόνα ἐν τῇ ὑπὸ Fiedler περιηγήσει τῆς Ἑλλάδος τ. Α΄, πίν. 5, σ. 400, ἔτι δὲ ζωγραφικὰς διηγήσεις ἐν τοῖς βιβλίοις, ὧν μνημονεύει ὁ Preller ἐν τῷ περὶ τῆς Ἑλληνικῆς μυθολογίας τ. Α΄, ἐκδ. δ΄,

ἐξ ἱεροῦ ποταμοῖο ῥέει διὰ νύκτα μέλαιναν
Ὠκεανοῖο κέρας· δεκάτη δ' ἔπι μοῖρα δέδασται.
Ἐννέα μὲν περὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
δίνῃς ἀργυρέῃς εἱλιγμένα εἰς ἅλα πίπτει,
ἡ δὲ μί' ἐκ πέτρης προρέει μέγα πῆμα θεοῖσι.
Ὅς κεν τὴν ἐπίορκον ἀπολείψας ἐπομόσσῃ
ἀθανάτων, οἳ ἔχουσι κάρη νιφόεντος Ὀλύμπου,

σ. 33, ὑποσ. 2). Πρῶτος λοιπὸν ὧν ἴσμεν συγγραφέων Ἡρόδοτος τὸ ὕδωρ τοῦτο ἐκάλεσε Στύγα (6, 74). Παυσανίας δὲ διὰ πολλῶν αὐτὴν διαζωγραφεῖ καὶ τὰς περὶ αὐτῆς ἠλιθίας προλήψεις ἀναφέρει (8, 18, 4-6). Ἐν τούτοις, οἱ Ἕλληνες οὐκ ἐπελάθοντο τῆς ἀληθοῦς Στυγός, ὡς λαμπρῶς ἀποδεικνύει ὁ εὔχαρις περὶ Ἔρωτος καὶ Ψυχῆς μῦθος, ὃν Ἀπουλήϊος ὀγκωδῶς εἰς τὴν λατινικὴν γλῶσσαν μετέφρασε (Μεταμορφώσεων ϛ',13-15), καὶ τὸ Ἡσυχίου γλώσσημα Στυγὸς ὕδωρ] τῆς κρήνης τοῦ Ἅδου τὸ ὕδωρ. Συνελόντι δὲ εἰπεῖν, Ἡσίοδος ἤτοι ἀγνοεῖ ἢ παραμελεῖ τῆς Ἀρκαδικῆς Στυγός.

788. *διὰ νύκτα μέλαιναν* = 481. Ἰλ. Κ 297 κἑ.

789. *κέρας*] Ὁ σχολιαστὴς παρασημειοῦται· «Κέρατα λέγουσι πάντας τοὺς ποταμοὺς τοὺς ἀπ' αὐτοῦ καταφερομένους Ὠκεανοῦ» (οἷον Ἀπολλ. Ῥόδ. 4, 282 ἐπὶ τοῦ Ἴστρου: ὕπατον κέρας Ὠκεανοῖο). Τὴν δὲ αἰτίαν διδάσκει ὁ Στράβων (10, 1, 19 σ. 458)· «ταύρῳ μὲν ἐοικότα λέγεσθαι τὸν Ἀχελῷόν φασι καθάπερ καὶ τοὺς ἄλλους ποταμοὺς [Ὠκεανὸς ταυρόκρανος Εὐριπ. Ὀρέστ. 1281: ταυρόμορφον ὄμμα Κηφισοῦ πατρός, Ἴωνι 1261] ἀπό τε τῶν ἤχων καὶ τῶν κατὰ ῥεῖθρα καμπῶν, ἃς καλοῦσι κέρατα». Ἐνταῦθα ὅμως *κέρας* ἐκδεχόμεθα *ἀγκών*, καθάπερ Θουκυδίδης (1, 110, 4) μνημονεύει «τὸ Μενδήσιον κέρας» τοῦ Νείλου.

790. *εὐρέα νῶτα θαλάσσης* ] = 762.

791. *δίνῃς ἀργυρέῃς*] Ἀργυροφεγγέσιν· ἐξηγησάμεθα τὸ σύνθετον «ἀργυροδίνην» (Ἀχελώϊον) εἰς 340. Διονύσιος ὁ Περιηγητὴς ἐπὶ τοῦ αὐτοῦ Ἀχελῴου ὡσαύτως γράφει· «δίνῃς ἀργυρέῃς Ἀχελώϊος ἀμφὶς ἑλίσσει» (497).

*εἱλιγμένα* καὶ *πίπτει* ἀναφέρονται εἰς τὸ «μέρη», ὅπερ ὑποτίθησιν ὁ ποιητὴς ἀντὶ τοῦ συνωνύμου τε καὶ συγγενοῦς *μοῖρα*. Τὸ σχῆμα λοιπὸν καθάπερ 723 πρὸς τὸ συνώνυμον.

793. *ἀπολείψας*] Ὁ ὅρκος ἐκτελεῖται διὰ λοιβῆς ὥσπερ αἱ δημόσιαι «σπονδαὶ» ὅλαι καὶ ὁ ἰδίᾳ ὅρκος Ὀδ. ξ 331 = τ 288: «ὤμοσε δὲ πρὸς ἐμαυτὸν ἀποσπένδων». Ἀποσπένδεται δὲ ὀλίγον τοῦ Στυγίου ὕδατος, τὸ δὲ λοιπὸν πίνεται κατὰ τὸν τῶν σπονδῶν νόμον.

*ἐπομόσσῃ* ] Ἡ πρόθεσις διασαφεῖται ἐξ Ὕμν. Ὁμηρ. 3, 519: «ὀμόσσαι . . . *ἐπὶ* Στυγὸς ὄβριμον ὕδωρ» (ἀνθ' οὗ ἡ καθ' ἡμᾶς συνήθεια τῆς *εἰς* χρῆσιν ποιεῖται).

Ἡσίοδος τοῖς θεοῖς οὐχὶ πλέονα πίστιν ἔχει ἢ τοῖς πολίταις· ἀλλὰ καὶ ἄλλοι πρὸς τοὺς ἀθανάτους δυσπίστως διέκειντο (λ. χάριν Ὕμν. Ὁμηρ. 2, 384 κἑ.).

794. Ἐπεκτείνει τὴν Ὁμηρικὴν φράσιν «οἳ Ὄλυμπον ἔχουσι» (ἴδε 42) κατὰ μίμησιν ἄλλης (Ἰλ. Σ 186)· ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.

κεῖται νήϋτμος τετελεσμένον εἰς ἐνιαυτὸν
οὐδέ ποτ' ἀμβροσίης καὶ νέκταρος ἔρχεται ἆσσον
βρώσιος, ἀλλά τε κεῖται ἀνάπνευστος καὶ ἄναυδος
στρωτοῖς ἐν λεχέεσσι, κακὸν δέ ἑ κῶμα χαλέπτει.
Αὐτὰρ ἐπὴν νοῦσον τελέσῃ μέγαν εἰς ἐνιαυτόν,
ἄλλος δ' ἐξ ἄλλου δέχεται χαλεπώτερος ἄεθλος·
εἰνάετες δὲ θεῶν ἀπομείρεται αἰὲν ἐόντων,

795. *νήϋτμος*] Παρὰ τὸ ἀρνητικὸν νη καὶ ἀϋτμή (πνοή)· πάσχει ὑπὸ πνιγαλίωνος.

*τετελεσμένον εἰς ἐνιαυτόν*] = τελεσφόρον εἰς ἐνιαυτόν (740).

796. *ἔρχεται * ἆσσον*] Χυδαῖόν τι αἰσθάνεται ἅπας τις ἐν τῇ φράσει, καὶ τῇ ἀληθείᾳ γε νῦν *ἐγγίζω* ἐν χρήσει ἐστὶν ἀντὶ τοῦ «ἐπιφαύω». Ἔκ τινος τύχης ἡ φράσις ἄλλοθι οὐχ ηὕρηται, βεβαιοῦται δ' ὅμως ὑπὸ τοῦ κωμικοῦ, ὃς ἐντεῦθεν ἠρύσατο τὸ χαριτολόγημα: «εἰ... στεμφύλῳ εἰς λόγον ἔλθῃ» (Ἱππ. 806), ὅπως Εὔπολις (110): σπλάγχνοισι συγγενώμεθα, καὶ Τηλεκλείδης (41): ξυγγενέσθαι δρυπεπέσι μάζαις.

797. *βρώσιος*] Ὡς τροφῆς.

* *ἀνάπνευστος*] Τὸ σύνηθες σχῆμα κεῖται ἐν τῷ πρωτοτύπῳ Ὁμήρου στίχῳ Ὀδ. ε 456: ὁ δ' ἄρ' ἄπνευστος καὶ ἄναυδος κεῖτ' ὀλιγηπελέων. Περὶ τοῦ τύπου εἴρηται εἰς 660· χάριν τοῦ ἀναλόγου «ἀνάελπτα». Οὐκ ἀπιθάνως ἂν ὅμως γράψειέ τις *ἀν-άμπνευστος*.

798. *στρωτοῖς ἐν λεχέεσσι*] Ἐν στρώμασιν. Καὶ αὐτὴ ἡ φράσις δημώδης· λέγει γὰρ νῦν ὁ ἄρρωστος· «κείτομαι 'ς τὸ στρῶμα».

*κῶμα*] «Ὁ νόθος ὕπνος ὁ καλούμενος κάρος» (Σχόλιον). Τὸ ἐπίθετον ὅμως οὐ πλεονάζει· ἐξ ἐναντίας δηλαδὴ Ὅμηρος ἐποίησεν εἰς ἃ ἀφορᾷ ὁ ποιητής· «ἦ με μάλ' αἰνοπαθῆ **μαλακὸν** περὶ κῶμα κάλυψε» (Ὀδ. σ 201).

* *χαλέπτει*] Βαρύνει, παρὰ τὸ χαλεπός. Τοιούτου ὕπνου Ἡσίοδος ἔμπειρος ἦν ἀπὸ τῶν ἐν τῇ Βοιωτίᾳ μάλιστα πυρετῶν, διὸ τοσοῦτο πραγματικῶς γράφει.

799. *μέγαν εἰς ἐνιαυτόν*] Ὁλόκληρον ἔτος, πολύν γε χρόνον τῷ κακομοίρῳ· ὅτι οὐδὲν ἀστρονομικὸν οἷον τὸν «Μέτωνος ἐνιαυτὸν» ἤτοι περίοδον δέκα ἐννέα ἐτῶν (Διόδ. Σικ. 2,47) αἰνίττεται, Ἄρατος ὁ περὶ τὰ ἀστρονομικὰ δεινὸς μαρτυρεῖ ἐπαναλαμβάνων τὴν φράσιν (Φαιν. 741) ὅπως ἡμεῖς εἴπομεν, ὡσαύτως δὲ ἐπικὸς ἀνώνυμος, ὅστις τὸ Ὁμηρικὸν «εἰς ἐνιαυτὸν» (Ἰλ. Φ 444) αὐξάνει κατὰ τὸ Ἡσιόδου παράδειγμα (ἴδε Πλούτ. Ἠθ. σ. 761 e καὶ Κλήμ. Ἀλεξ. Στρωματ. Α', σ. 383, ἔκδ. Potter).

800. *δ'*] Διαδέχεται τὸ αὐτάρ (799).

*δέχεται ἐξ ἄλλου*] Τὸ ῥῆμα παθητικῶς ληπτέον· προηγήσατο Ὅμηρος ᾄσας (Ἰλ. Τ 290): «ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί».

*ἄεθλος*] Πόνος, καθάπερ 951. 994. Ἀσπ. 94. 127.

801. *εἰνάετες*] Τὴν ἐννεάδα οἱ ἐπικοὶ φιλοῦσι· φειδόμενοι ὅμως τοῦ χώρου, ἀντιπαραβάλλομεν ἓν μόνον διήγημα, ὅτι γοῦν Ἥφαιστος ἐννέα ὡσαύτως ἔτη ἀφωρισμένος ἦν ἐκ τοῦ Ὀλύμπου (Ἰλ. Σ 400).

* *ἀπομείρεται*] Παρὰ τὸ *μείρομαι* (τυγχάνω).

*θεῶν - αἰὲν ἐόντων*] Κατὰ βραχυλογίαν εἴρηται ἀντὶ τῆς τῶν θεῶν κοινω-

οὐδέ ποτ' ἐς βουλὴν ἐπιμίσγεται οὐδ' ἐπὶ δαῖτας
ἐννέα πάντα ἔτεα· δεκάτῳ δ' ἐπιμίσγεται αὖτις
εἴρας ἀθανάτων, οἳ Ὀλύμπια δώματ' ἔχουσι.
Τοῖον ἄρ' ὅρκον ἔθεντο θεοὶ Στυγὸς ἄφθιτον ὕδωρ
[ὠγύγιον· τὸ δ' ἵησι καταστυφέλου διὰ χώρου·
ἔνθα δὲ γῆς δνοφερῆς καὶ Ταρτάρου ἠερόεντος
πόντου τ' ἀτρυγέτοιο καὶ οὐρανοῦ ἀστερόεντος
ἑξείης πάντων πηγαὶ καὶ πείρατ' ἔασι
ἀργαλέ' εὐρώεντα, τά τε στυγέουσι θεοί περ.
Ἔνθα δὲ μαρμάρεαί τε πύλαι καὶ χάλκεος οὐδὸς
ἀστεμφής, ῥίζῃσι διηνεκέεσσιν ἀρηρώς,
αὐτοφυής· πρόσθεν δὲ θεῶν ἔκτοσθεν ἁπάντων

νίας· τάχ' ἂν ὁ ποιητὴς αὐτὴν ηὐλαβήθη, εἰ μὴ ἐδέξατο τὴν φράσιν παρὰ τοῦ τῆς Ὀδυσσείας ποιητοῦ (δ 583).

802. *βουλήν*] Οἱ Ὀλύμπιοι συγκροτοῦσιν οὐχ ἧττον ἢ οἱ ἄνθρωποι συνέδριον, ὁποῖον περιγράφει ὁ Μαιονίδης ἐν τῇ τῆς Θ. ἀρχῇ.

*ἐπιμίσγεται*] Αὐτοῖς (τοῖς θεοῖς).

*δαῖτας*] Τὸ κοινὸν δεῖπνον, ὃ δειπνοῦσι, καθάπερ οἱ Ὁμηρικοὶ γέροντες.

803. *πάντα*] Ἡ συνήθεια λέγει ἀναλόγως «ὅλα». Παρὰ τοῖς παλαιοῖς μέντοι ἡ χρῆσις σπανιώτατα ἀπαντᾷ (Ἔ. 130. Kaibel Ἐπιγράμματα 116, 3: εἴκοσι τῶν πάντων ἐτέων).

804. *εἴρας*] Αἰτιατικὴ τοῦ πληθυντικοῦ τοῦ *εἴρη* (Ἰλ. Σ 531), ὃ οἱ σχολιασταὶ ἐξηγοῦνται βουλευτήριον παρὰ τὸ ἐρ(έω). Ὅθεν καὶ ἡ παλαιὰ τῶν Μεσσηνίων μητρόπολις τὸ ὄνομα ἔλαβεν.

805. *ὅρκον*] Ἔχει ἣν εἴπομεν εἰς 400 σημασίαν.

806. Τὸν στίχον ἐνέβαλεν ὁ συνδήσας τὴν ἐν τοῖς ἔμπροσθεν περιγραφὴν τοῦ κάτω κόσμου μετὰ τῆς παραλλήλου, ἣν περιέχουσιν οἱ στίχοι 807-819. Αὕτη ἀντικατέστησεν ἐκείνην, ὁπότε ὁ ῥαψῳδὸς φείσαιτο τοῦ χρόνου. Οἱ κατὰ τὴν ἀρχὴν τρεῖς στίχοι (736 - 9) αὐτολεξεὶ ἐκ τοῦ πρωτοτύπου ποιήματος παρειλημμένοι εἰσίν· ἄλλως δὲ ἡ ἐπιτομὴ οὐκ ἀκριβῶς ἐγένετο, ὅπερ παρατηρήσει ὅστις ἂν ἀντιπαραβάλῃ στ. 813 μὲν πρὸς 732, 817 δὲ πρὸς 734.

*ὠγύγιον*] Σημαίνει παρὰ τοῖς μεταγενεστέροις τὰ παμπάλαια· ἐτυμολογητέον δὲ πιθανῶς παρὰ τὴν πρόθεσιν ω- (Ἰνδιστὶ â) = ἀμφί, ἣ καὶ τὸ «ὠ-κε(ι)-ανὸς» ἐσχημάτισε, καὶ τὴν αὐτὴν ῥίζαν, ἐξ ἧς «Γύγης» (149) προῆλθεν.

*ἵησι*] Ἡ Στύξ.

* *καταστυφέλου*] «καταξήρου» (Ἡσύχ.) παρὰ τὸ στύφω.

811. = Ἰλ. Θ 15 (πλὴν τοῦ *σιδήρειαι* μεταβεβλημένου εἰς *δὲ μαρμάρεαι*).

*πύλαι*] Ταρτάρου. Μὴ ἐπιλαθώμεθα, ὅτι ὁ 725 στ. κυρίως ὀλίγον ἀφέστηκε, τῶν 736 - 805(6) δῆθεν μὴ ᾀδομένων.

*μαρμάρεαι*] Λαμπραί, ἀπὸ τοῦ μαρμαίρω. Εὐστοχώτερον Ἡσίοδος εἶπε χάλκειαι (733)· οὐχὶ γὰρ τὸ κάλλος, ἀλλὰ ἡ στερεότης τὸ μέγιστον.

812. Καὶ ἐνταῦθα ὁ ῥαψῳδὸς τὰ Ὁμήρου ἴχνη διώκει (Ἰλ. Μ 134: ῥίζῃσιν μεγάλῃσι διηνεκέεσσ' ἀραρυῖαι).

*ἀστεμφής*] 748.

Τιτῆνες ναίουσι, πέρην χάεος ζοφεροῖο.
Αὐτὰρ ἐρισμαράγοιο Διὸς κλειτοὶ ἐπίκουροι
δώματα ναιετάουσιν ἐπ' Ὠκεανοῖο θεμέθλοις,
Κόττος τ' ἠδὲ Γύης· Βριάρεων γε μέν, ἐὺν ἐόντα,
γαμβρὸν ἑὸν ποίησε βαρύκτυπος Ἐννοσίγαιος,
δῶκε δὲ Κυμοπόλειαν ὀπυίειν, θυγατέρα ἥν].
  Αὐτὰρ ἐπεὶ Τιτῆνας ἀπ' οὐρανοῦ ἐξέλασε Ζεύς,
ὁπλότατον τέκε παῖδα Τυφωέα Γαῖα πελώρη

*διηνεκέεσσι*] μετὰ μακρῶν ῥιζῶν ἔγκεινται ἐν τῷ δαπέδῳ. Ἡ ἀλλόκοτος αὕτη φράσις διασαφεῖται

813. τῇ λέξει *αὐτοφυής*, εἴγε αὕτη σαφεστέρα. Τὴν ἀπορίαν αὐξάνει τὸ ἀκόλουθον *πρόσθεν*. Ἀλλὰ μὴ διατρίβωμεν περὶ ὅσα ὁ δυστυχὴς Ἡσιόδειος ἐκ χωρίων τοῦ ἀρχηγέτου ἀκρίτως συνέφυρεν.

814. *χάεος*] Ἴδε 116· τῷ ποιητῇ παρίσταται τὸ Ἰλ. Θ 14: «ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον».

*ζοφεροῖο*] Παράγωγον τοῦ *ζόφος*, ἤτοι κνέφας.

815. *ἐρισμαράγοιο*] Τοῦ σφόδρα σμαραγοῦντος καὶ ἠχοῦντος (Ἰλ. Φ 199: δεινήν τε βροντὴν ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ).

*κλειτοὶ ἐπίκουροι*] Φράσις Ὁμήρου πασίγνωστος.

816. *Ὠκεανοῖο θεμέθλοις*] Ἀντιστοιχοῦσι ταῖς ἀνωτέρω εἰρημέναις ῥίζαις.

817. Περὶ τοῦ Βριάρεω ὁ διασκευαστὴς πάλιν ὁμηρίζει· τίς γὰρ ἂν καταμάθοι πῶς «ἠὺς» ἦν ἐκεῖνος εἰ μὴ ἀναγνοὺς τὴν πρώτην τῆς Ἰλιάδος ῥαψῳδίαν (στ. 401 κἑ.);

818. *βαρύκτυπος*] Τὸ ἐπίθετον κυρίως ἀνήκει εἰς Δία (Ὕμν. Δήμητρ. 3. 334, 441. 460)· ἀλλὰ λέγομεν οὐχ ἧττον ἐπὶ τῶν κυμάτων ὅτι βροντῶσιν.

*Ἐννοσίγαιος*] Ἡρμήνευται εἰς 15.

819. *Κυμοπόλειαν*] «Ἡ περιπολεύει τὰ κύματα», ἄξιόν γε ὄνομα θαλασσίας θεοῦ.

*ὀπυίειν*] Ἄγειν εἰς γάμον.

*θυγατέρα ἥν*] Ἡ πρὸ τοῦ παλαιοτάτου «σϜός» διέκτασις ἐσῴζετο ἐν ἐπικαῖς φράσεσιν, οἷον καὶ αὐτὴ εὑρίσκεται ἐν τῷ τοῦ ἑξαμέτρου πέρατι Ἰλ. Ε 371. Ζ 192. Λ 226. Ν 376.

820 — 880. **Περιέχουσιν, ὡς εἰπεῖν, ἐξόδιον τῆς Τιτανομαχίας, ἤγουν τὰ περὶ τὸν Τυφῶνα.**

820. *οὐρανοῦ*] Καταλληλότερον ἂν εἶπεν· ἐκ τῆς οὐρανοῦ ἀρχῆς.

821. *ὁπλότατον*] Τοῦτο τὸ «νεώτατον» κηρύσσει τὴν τελευτὴν τοῦ τῶν ἀρχαίων θεῶν γένους· τὸν μὲν Ὁμηρικὸν Τιτυὸν (Ὀδ. λ 576) Ἡσίοδος ἀγνοεῖ, οἱ δὲ αὐτόχθονες ἐκ τῆς χθονός, ᾗ διαφέρει πως τῆς γῆς, ἐγεννήθησαν, ἤ, καθάπερ ὁ Ὅμηρος μυθολογεῖ, Ἐρεχθέα «ἔτεκε ζείδωρος ἄρουρα» (Ἰλ. Β 548).

*Τυφωεὺς* οὐκ ἄλλος ἐστὶν ἢ Τυφάων (307), ὡς δεικνύει ὁ δεύτερος Ὁμηρικὸς Ὕμνος ἀμφοτέρους τοὺς τύπους παρέχων ἀδιακρίτως (128 = 306. 174 = 352. 189 = 367). Ἡ ἐτυμολογία ἐμφαίνεται ὑπὸ Καλλιμάχου (Ὕμν. 4, 141): Αἰτναίου ὄρεος πυρὶ *τυφομένοιο*· «τύφειν γὰρ τὸ καίειν» (ὡς Ἀρτέμων ἐν τοῖς εἰς Πίνδαρον Πυθ. 1,31 σχολίοις), καὶ δὴ εἰδικῶς τὸ τοῦ κεραυνοῦ ἐνέργημα (Φιλόστρατός γε ἐπὶ τούτου τὴν λέξιν **ἐπιτύφομαι** μεταχειρίζεται

Ταρτάρου ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην.
Οὗ χεῖρες μὲν ἄαπτοι, ἐπ' ἰσχύϊ ἔργματ' ἔχουσαι,
καὶ πόδες ἀκάματοι κρατεροῦ θεοῦ· ἐκ δέ οἱ ὤμων
ἦν ἑκατὸν κεφαλαὶ ὄφιος, δεινοῖο δράκοντος,
γλώσσῃσι δνοφερῇσι λελιχμότες, ἐκ δέ οἱ ὄσσων
θεσπεσίῃς κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσε·

Εἰκόν. 2, 30. β. Σοφιστ. Α', σ. 516).

822. *Ταρτάρου*] Νυνδὴ μετὰ τὸ περιγεγράφθαι ὡς πρόσωπον εἰσάγεται.

*διὰ χρυσέην Ἀφροδίτην*] Ἆρά γε εἰρωνικῶς κεῖται; ἢ δικαιολογεῖ τὴν ἔξαλλον μῖξιν, ἐξ ἧς δεινότατον τέρας ἐξῆλθεν; Χρυσῆ ἐπικαλεῖται ἡ θεὸς ὑφ' Ὁμήρου τε καὶ ἄλλων, διότι, χρυσῷ ἡδομένη (Θεόκριτ. 15,101), τὸν χρυσοῦν φιλεῖ κόσμον (:χρυσῷ κοσμηθεῖσα Ὕμν. Ὁμηρ. 4, 65), καὶ μάλιστα τὰ χρυσᾶ διαδήματα (Κολουθ. 82), ὅθεν ἀκριβέστερον προσηγορεῖται *χρυσοστέφανος*. Ὁ ἐπίθετον οὐχὶ μόνον παρὰ τοῖς ποιηταῖς εὑρίσκεται, ἀλλὰ καὶ ἐν ταῖς δημοσίαις θεολατρείαις ὑπῆρχεν (Εὐαγγελικὴ Σχολὴ τ. Γ', σ. 14, ἐπιγραφ. σι' Ἀφροδίτης χρυσοστεφάνου). Ἐν τῷ Βρεττανικῷ μουσείῳ εἴδωλα Ἀφροδίτης εἰσὶ Κυπριακά, ἅτινα αὐτῇ διάδημα ἀπονέμουσι, καίτοι ἀτεχνότατα πεποίηνται. Οὕτως ἄρα ληπτέον τὸ ἐπίθετον, εἰ καὶ κατὰ τὸν τῶν αὐτοκρατόρων αἰῶνα, χρυσῶν καλουμένων τῶν καλῶν ἢ ἀγαθῶν ἀνθρώπων, τὸ ἐπίθετον ἐδέχοντο μεταφορικῶς, ὥστε εἰς τύμβον εὐμόρφου πάνυ γυναικὸς ἐπέγραψαν, ὅτι ἦν « αὐτῆς χρυσοτέρη Κύπριδος» (Corpus Inscriptionum 6268,2 = Kaibel Ἐπιγράμματα 582).

823. Τὸ ἀναγκαῖον ῥῆμα ἀκολουθεῖ 825.

*ἄαπτοι*] Ἴδε 649.

*ἐπ' ἰσχύϊ*] Ἐπιρρηματικῶς κεῖται, ὥσπερ στ. 540: δολίῃ ἐπὶ τέχνῃ. Ἐν γένει ἀναστροφὴ γίνεται τοῦ ὁμοίου στ. 146.

*ἔργματ'*] Πράγματα, πράξεις.

824. Οἱ ποιηταὶ ἀποστρέφονται προτάσεις ἀναφορικὰς πολυκώλους· διὸ τὸ « πόδες » οὐκ ἀναφέρεται εἰς τὴν ἀντωνυμίαν, ἀλλὰ εἰς τὸ « θεοῦ κρατεροῦ ».

*θεοῦ*] Ἐπειδὴ θνητὸς οὐκ ἔστιν,ὥσπερ Ἔχιδνα (297).

*ἐκ δέ οἱ ὤμων*] Ἀντὶ ἀνθρωπίνου κεφαλῆς; Οἱ μεταγενέστεροι μέντοι τὴν κεφαλὴν παρίστανον περικυκλουμένην ὑπὸ ὄφεων (Αἰσχύλ. Ἑπτὰ ἐπὶ Θήβ. 472 κἑ. Ἀριστοφ. Σφῆκ. 1033. Εἰρ. 756).

825. *ἦν*] Ὁ παρατατικὸς ἀφορᾷ εἰς τὴν γένεσιν (πρβλ. 142)· τὸν τύπον ἐχαρακτηρίσαμεν εἰς 321.

*ὄφιος, δεινοῖο δράκοντος*] Παρήλλαξεν ὀλίγον τὸ τοῦ 322 ἡμιστίχιον.

826. *δνοφερῇσι*] Ἴδε 107.

* *λελιχμότες*] Παρὰ τὸ λειχμάω (λείχω). Τὸ ἀρσενικὸν γένος παρὰ τοῖς ἐπικοῖς οὐ σπανίως συμπεριλαμβάνει τὸ θηλυκόν, οἷον Ἔ. 198. 199. Ἰλ. Θ: πληγέντα. 378(;): προφανέντε.

*ὄσσων*] Ὅμηρος μὲν χρῆται τῷ δυϊκῷ ὄσσε (=ὄκιε), οἱ δὲ μετ' αὐτὸν ποιηταὶ προυτίμησαν τύπους πληθυντικούς.

827. *θεσπεσίῃς*] Πρβλ. 700.

*κεφαλῇσι*] Τοῦτο καὶ τὸ « οἱ » καθ' ὅλον καὶ μέρος συντάσσονται.

*πῦρ*] Κατὰ τὸ Ὁμηρικὸν « πῦρ ὀφθαλμοῖσι δεδορκώς ».

*ἀμάρυσσε*] Ἔλαμπεν.

πασέων δ' ἐκ κεφαλέων πῦρ καίετο δερκομένοιο,
φωναὶ δ' ἐν πάσῃσιν ἔσαν δεινῇς κεφαλῇσι
παντοίην ὄπ' ἰεῖσαι ἀθέσφατον· ἄλλοτε μὲν γὰρ
φθέγγονθ' ὥστε θεοῖσι συνιέμεν, ἄλλοτε δ' αὖτε
ταύρου ἐριβρύχεω, μένος ἀσχέτου, ὄσσαν ἀγαύρου,
ἄλλοτε δ' αὖτε λέοντος ἀναιδέα θυμὸν ἔχοντος,
ἄλλοτε δ' αὖ σκυλάκεσσιν ἐοικότα, θαύματ' ἀκοῦσαι,
ἄλλοτε δ' αὖ ῥοίζεσχ', ὑπὸ δ' ἤχεεν οὔρεα μακρά.
Καὶ νύ κεν ἔπλετο ἔργον ἀμήχανον ἤματι κείνῳ,

828. Οὐ πλεονάζει· ἡ δεινότης δηλονότι ἐξαίρεται τῷ «πασέων».

*δερκομένοιο*] Λείπει «αὐτοῦ», οἵα ἄδεια καὶ τοῖς πεζογράφοις ἐδίδοτο.

830. * *ὄπ' ἰεῖσαι* (= Ὕμν. Ὁμηρ. 27,18)] οὐ διαφέρει τοῦ ὄσσαν ἰεῖσαι (43).

*ἀθέσφατον*] = θέσ-φατον = θεσπέσιον.

*ἄλλοτε*] Οὐ συγχυτέον τὴν Ἡσιόδου γνώμην καὶ τὴν τῶν μεθύστερον, οἳ τὴν τῶν φωνῶν διαφορὰν μετέφερον εἰς τὸ τῶν κεφαλῶν σχῆμα (Νόνν. Διονυσ. Α', 156. Β', 62. Τζέτζ. Θεογον. 287, ἴσως δὲ καὶ Πλάτων ἐν Φαίδρῳ 230 a).

831. *ὥστε*] Φυλάσσει ἴχνος τῆς κατ' ἀρχὰς παραβολικῆς σημασίας· ἐφώνουν οὕτως, ὥσπερ οἱ θεοί.

*θεοῖσι*] Ὁ τῶν θεῶν λόγος οὐ διάφορος ὑπολαμβάνεται τοῦ ἡμετέρου.

*συνιέμεν*] Ὡσαύτως Θουκυδίδης (1, 3,4) γράφει· «ὅσοι ἀλλήλων ξυνίεσαν» (ὅσοι δῆθεν ὁμόγλωσσοι ἦσαν), καὶ Μάξιμος ὁ Τύριος (Διατρ. 14,σ. 267)· τὸ βαρβαρικὸν τοῦ Ἑλληνικοῦ διήρηται *φωνῆς συνέσει*. Ἐν δὲ τοῖς Ἐλευσινίοις ἐπεκαλεῖτο «ὅστις χεῖρας καθαρὸς καὶ φωνὴν συνετός» (κατὰ Κέλσον παρὰ Ὠριγένει κατὰ Κέλσου 3, 49).

832. *ἐριβρύχεω*] Σφοδρῶς βρυχωμένου· αἱ βόες γάρ εἰσιν «ἐρί-μυκοι».

* *ἀγαύρου*] = ἀγαυός (ὑπερήφανος)· χάριν τοῦ μέτρου παρὰ τὴν φυσικὴν θέσιν τὸ «ὄσσαν» προηγεῖται.

833. *ἀναιδέα θυμόν*] Ἀνηλεῆ, ὥσπερ 312· ὅθεν ᾄδουσι τὸ καθ' ἡμᾶς· «τοῦ λεϊονταριοῦ καρδιὰ κρατεῖς, δὲν θέλεις νὰ 'μερώσῃς» (Νεοελλην.'Ανάλ. Α', σ. 288, ἀρ. 416), πρβλ. τὴν Κρητικὴν τραγῳδίαν Γύπαριν πρ. Α', στ. 139: «τὰ» (ἡ)μέρωτα λεϊοντάρια».

*λέοντος — ἔχοντος*] Ἐξήρτηται τοῦ προηγουμένου ὄσσαν.

834. *θαύματ' ἀκοῦσαι*] Ἡ Ὁμηρικὴ φράσις «θαῦμα ἰδέσθαι» μετεπλάσθη, ἀλλαχθέντος τοῦ ἀριθμοῦ, διότι τὸ «ἀκοῦσαι» τοῦ διγάμματος στερεῖται.

835. *ῥοίζεσχ'*] Ἀντὶ τοῦ ῥοιζέεσκε κατὰ τὴν Ἰωνικὴν ἔκθλιψιν, παρὰ τὴν ῥοῖζος λέξιν (σιγμός). Τὸ ὑποκείμενον Τυφωεύς.

*ὑπὸ δ' ἤχεεν οὔρεα μακρά*] Ὁμοίως ἀναγινώσκομεν περὶ δαιμονίου ἐν ᾄσματι (Ἀραβαντ. Συλλογ. 453,10): συριγγιὰ φωνὴν ἐφώναξε, βογκᾶν βουνὰ καὶ ῥάχες.

836. *ἤματι κείνῳ*] Οὐδὲν περὶ τοῦ Τυφῶνος σκοποῦ! Ἀλλὰ Ἡσίοδος λόγον ἐποίησε πρὸς ἄνδρας οὐχ ἧττον ἐπισταμένους, ὅτι Τυφωεὺς ἐπανήγειρε τὴν Τιτανομαχίαν.

*ἔπλετο ἔργον ἀμήχανον*] Χυδαία ἡ φράσις, οἷον λέγομεν «θὰ ἔγεινε δυσάρεστον πρᾶγμα».

καί κεν ὅγε θνητοῖσι καὶ ἀθανάτοισιν ἄναξε,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Σκληρὸν δ' ἐβρόντησε καὶ ὄβριμον, ἀμφὶ δὲ γαῖα
σμερδαλέον κονάβησε καὶ οὐρανὸς εὐρὺς ὕπερθεν
πόντος τ' Ὠκεανοῦ τε ῥοαὶ καὶ τάρταρα γαίης.
Ποσσὶ δ' ὑπ' ἀθανάτοισι μέγας πελεμίζετ' Ὄλυμπος
ὀρνυμένοιο ἄνακτος· ὑπεστενάχιζε δὲ γαῖα.
Καῦμα δ' ὑπ' ἀμφοτέρων κάτεχεν ἰοειδέα πόντον,
βροντῆς τε στεροπῆς τε πυρός τ' ἀπὸ τοῖο πελώρου
πρηστήρων ἀνέμων τε κεραυνοῦ τε φλεγέθοντος.
Ἔζεε δὲ χθὼν πᾶσα καὶ οὐρανὸς ἠδὲ θάλασσα·

837. Δία λοιπὸν ἀφεῖλεν ἂν τὴν ἀρχήν.

838. = Ἰλ. Γ 374. Θ 91. 132.

839. *Σκληρὸν δ' ἐβρόντησε*] «Σκληραὶ» βρονταὶ εἶεν ἂν αἱ ἄνομβροι, αἵτινες ἐπικινδυνώτεραι νομίζονται.

*ὄβριμον*] Τὴν ἑρμηνείαν ζήτει εἰς 148.

*ἀμφί*] Παράθες 693, μετὰ τοῦ σχολίου ἡμῶν.

840. *σμερδαλέον κονάβησε*] (Παρὰ τὸ κόναβος ἢ ψόφος) Ἰλ. Ο 648 (:ἀμφὶ δὲ πήληξ σ. κ.). Ὀδ. ρ 542 (:ἀ. δ. δῶμα σ. κ.).

*οὐρανὸς εὐρὺς ὕπερθεν*] = 110. 702.

841. *τάρταρα γαίης*] Ἡ φράσις διὰ τῶν αἰώνων ἀμετάβλητος ἐφυλάχθη μέχρις ἡμῶν· ἀλλὰ περὶ αὐτῆς Νικ. Πολίτης ἐν τῇ Μελέτῃ (Α', σ. 364 κἑ.) διατρίβει, ὥστε οὐδὲν λείπει ἀξιόλογον. Ἡ πρὸς τὴν γῆν σχέσις τοῦ Ταρτάρου δηλοῦται 119 καὶ 737.

842. Μιμεῖται τὸν Ὅμηρον (Ἰλ. Θ 443)· «τῷ δ' ὑπὸ ποσσὶ μέγας πελεμίζετ' Ὄλυμπος» (πρβλ. 458)· ὁ δράκων, ὃν μέλλει ἀποκτενεῖν ὁ ἅγιος Γεώργιος, ὁμοίαν ῥοπὴν ἔχει εἰς τὸν κόσμον· «ὅταν ἄρχισε νάβγῃ, ὅλα τὰ ὄρη ἐτρέμα'» (Ἀραβαντ. Συλλ. 159, 31).

843. Ζεὺς πάλιν βροντᾷ προχωρῶν, ὅπερ ἐν τοῖς ἀνωτέρω ἡμῖν ἔδωκεν ἀφορμὴν σημειώσεως (εἰς 690).

*ἄνακτος*] Διός, ὃς προσαγορεύεται: «Ζεῦ ἄνα» (Ἰλ. Γ 351. Π. 233. Ὀδ. ρ 354)· τὰ ἑπόμενα ἀπηχοῦσιν Ἰλ. Β 95: ὕπο δὲ στοναχίζετο γαῖα.

844. *ἀμφοτέρων*] Διασαφοῦνται τοῖς ἑπομένοις στίχοις.

*ἰοειδέα πόντον*] Ἐκ τῆς παλαιοτέρας ἐποποιίας παρείληπται (Ἰλ. Λ 298. Ὀδ. λ 107), διὸ τὸ δίγαμμα τοῦ «ἴον» εἰσέτι ἰσχύει.

845. Βροντή, στεροπή, κεραυνὸς ἀνήκουσιν εἰς τὸν κεραύνιον θεόν, τὸ δὲ ἁπλοῦν πῦρ καὶ οἱ πρηστῆρες ἄνεμοι εἰς «τοῦτο τὸ πέλωρον» (τοῖο πελώρου), ἤγουν Τυφῶνα. Οἱ ἄνεμοι οὗτοί εἰσι σφοδροὶ καύσωνες. Ἴσως δὲ καὶ ὁ κεραυνός ἐστι Τυφῶνος· εὑρίσκω δηλαδὴ ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ (σ. 772, 37-8). «Τυφώς] ὁ κατὰ θάλασσαν, ὑφ' οὗ τὰ πλοῖα φθείρεται· εἰσὶ δὲ τρία, τυφὼν πρηστὴρ κεραυνός». Τὸ *τε* μόριον κατέχει τὸν τρίτον τόπον, τῶν δύο λέξεων ἀποτελουσῶν μίαν ἔννοιαν, ὡς καὶ «χαμαὶ ἐρχόμενοι» 272 (Ἰλ. Ε 442) καὶ «βίην ἀγαθός» (Ἰλ. Ω 250).

847. Ἀνταποκρίνεται τῷ 695 στ.

θυῖε δ' ἄρ' ἀμφ' ἀκτὰς περί τ' ἀμφί τε κύματα μακρὰ
ῥιπῇ ὕπ' ἀθανάτων, ἔνοσις δ' ἄσβεστος ὀρώρει·
τρέσσ' Ἀΐδης, ἐνέροισι καταφθιμένοισιν ἀνάσσων,
Τιτῆνές θ' ὑποταρτάριοι, Κρόνον ἀμφὶς ἐόντες,
ἀσβέστου κελάδοιο καὶ αἰνῆς δηϊοτῆτος.
Ζεὺς δ', ἐπεὶ οὖν κόρθυνεν ἑὸν μένος, εἵλετο δ' ὅπλα,
βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
πλῆξεν ἀπ' Οὐλύμποιο ἐπάλμενος· ἀμφὶ δὲ πάσας
ἔπρεσε θεσπεσίας κεφαλὰς δεινοῖο πελώρου.
Αὐτὰρ ἐπεὶ δή μιν δάμασε πληγῇσιν ἱμάσσας,
ἤριπε γυιωθείς, στενάχιζε δὲ γαῖα πελώρη·

848. *θυῖε*] Ἐμαίνοντο, ὅθεν ὁ τυφὼν «καὶ εὐρυκλύδων καλεῖται» (Ἐτυμολ. Μέγ. σ. 772, 31).

*περί τ' ἀμφί τε*] Ἐπιρρηματικῶς· ὅπως ἐξαίρῃ ὡς οἷόν τε τὸ γεγονός, ἀφειδεῖ τῶν λόγων. Ἀλλ' ἆρ' οὐχὶ ἀνεπαρκῆ ταῦτα ἐνόμισεν ὁ τὰ Λιθικὰ γράψας Ὀρφικός, ὅσπερ περιέπεσε τῇ ἑξῆς λογοδιαρροίᾳ (358): ἀμφὶ δέ μιν, κύκλῳ, περί τ' ἀμφί τε, πάντοθεν, ἶνες; Παρὰ ταῦτα Ἡσίοδον βραχυλόγον μᾶλλον ἀποκαλεῖν πρέπει ἢ ἀπεραντολόγον.

849. Ἀντιστοιχεῖ τῷ 681 στ.

*ἀθανάτων*] Διὸς καὶ Τυφῶνος.

*ἔνοσις*] Ἴδε 681.

850. Οὐ μᾶλλον πρωτοφανής· Ὅμηρός ἐστιν ὁ πρότερον ᾄσας (Ἰλ. Υ 61): «ἔδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς».

851. *ὑποταρτάριοι*] Ὑπὸ ταρτάρῳ, κατὰ τὴν Ὁμηρικὴν διάλεκτον, οὐχὶ μόνον σημαίνει «ὑπὸ τὸν τάρταρον», ἀλλὰ καὶ «κάτω ἐν τῷ ταρτάρῳ», διὸ τὸ ἐπίθετον συνωνυμεῖ τῷ ἁπλῷ «ταρτάριος».

*Κρόνον ἀμφὶς ἐόντες*] = Ἰλ. Ξ 274 (:οἳ ἔνερθε θεοὶ Κ. ἀ. ἐ.). Νυνδὴ ἐν παρόδῳ πυνθανόμεθα, ὅτι καὶ Κρόνος αὐτὸς ἐρρίφθη μετὰ τῶν ἄλλων Τιτάνων εἰς τὸν Τάρταρον.

852. *κελάδοιο*] Ἕνεκα τοῦ θορύβου. Ἡ γενικὴ συντάσσεται μετὰ τοῦ ῥήματος «τρέσσε», ὥσπερ μετὰ τοῦ «κήδομαι» καὶ «ἀλεγίζω» καὶ τῶν ὁμοίων πάθος ὁτιοῦν ἐκφραζόντων.

*καὶ αἰνῆς δηϊοτῆτος*] = Ἰλ. Ε 409. Η 119. 174.

853. Καὶ ἐνταῦθα, ὥσπερ ἐν τῇ Τιτανομαχίᾳ, χρεία γίνεται σπουδαίας ἐντάσεως πασῶν τῶν δυνάμεων.

*κόρθυνεν*] Παρὰ τὸ κόρθος, συνωνυμεῖ τῷ κορυφῷ.

854. = 707.

855. *ἐπάλμενος*] Κατὰ τὸν τρόπον τῶν Ὁμηρικῶν ἡρώων, οἷον Αἴας «ἀσπίδα νύξεν ἐπάλμενος» (Ἰλ. Η 260).

857. *πληγῇσιν ἱμάσσας*] Οὐ μόνον τὸ σχῆμα (πληγῇσιν ἱμάσσω, Ἰλ. Ο 17 ἐν τῷ πέρατι ἐπίσης τοῦ ἑξαμέτρου), ἀλλὰ καὶ ἡ ἔννοια εἴληπται ἐκ τῆς Ἰλιάδος (Β 781-2: Διὶ ὡς τερπικεραύνῳ χωομένῳ ὅτε τ' ἀμφὶ Τυφωέϊ γαῖαν ἱμάσσῃ). Ὅτι δὲ πρὸς τοῖς κεραυνοῖς ἐννοητέον καὶ τὰς ἀστραπαίας βροχάς, δεικνύει Νόννος, ὃς ἐν τοῖς Διονυσιακοῖς (37,398) ταύτας ὀνομάζει «χειμερίην μάστιγα» διὰ τὸ διαρρηγνύειν τὴν γῆν.

858. *ἤριπε γυιωθείς*] Περὶ τοῦ ἐρείπω ῥήματος (704) καὶ τοῦ γυιὸς (571) ἤδη εἴρηται.

φλὸξ δὲ κεραυνωθέντος ἀπέσσυτο τοῖο ἄνακτος
οὔρεος ἐν βήσσῃσιν ἀϊδνῆς παιπαλοέσσης,
πληγέντος· πολλὴ δὲ πελώρη καίετο γαῖα
ἀτμῇ θεσπεσίῃ καὶ ἐτήκετο, κασσίτερος ὣς
τέχνῃ ὕπ' αἰζηῶν ὑπό τ' εὐτρήτου χοάνοιο
θαλφθείς, ἠὲ σίδηρος, ὅτε κρατερώτατός ἐστιν,
οὔρεος ἐν βήσσῃσι δαμαζόμενος πυρὶ κηλέῳ
τήκεται ἐν χθονὶ δίῃ ὑφ' Ἡφαίστου παλάμῃσι.
Ὣς ἄρα τήκετο γαῖα σέλᾳ πυρὸς αἰθομένοιο.

*πελώρη*] Ἔπιθι τὴν εἰς 159 σημείωσιν.

*ἀπέσσυτο*] Ἤρθη.

859. *τοῖο ἄνακτος*] Διαπεραίνει τὸν στίχον, ὥσπερ Ἰλ. Λ 322. Ὀδ. γ 388. φ 62.

860. *οὔρεος ἐν βήσσῃσιν*] = Ἰλ. Λ 87. Θέογν. 881.

* *ἀϊδνῆς*] Ἀοράτοις ἢ σκοτεινοῖς.

*παιπαλοέσσης*] παρὰ τὸ παιπάλη καὶ τὸ παιπάλλω ῥῆμα, ὃ κατ' ἀναδιπλασιασμὸν ἐγένετο ἐκ τοῦ πάλλω (σείω). Παιπάλην δηλονότι ἐκάλουν οὐχὶ μόνον τὸ λεπτὸν ἄλευρον, ἀλλὰ καί, τὰ πικρὰ ὀνομάζοντες γλυκέως, τὰ ἀνάριθμα ὀξέα λιθίδια, ἃ καλύπτουσι τὸ κάταντες.

Διὰ τί ἀποσιωπᾷ τὸ τοῦ ὄρους ὄνομα; Ἐπειδὴ οἱ Βοιωτοὶ οὐκ ἐδίσταζον, ὅτι ὁ Τυφωεὺς ἐνικήθη ἐπὶ τοῦ Τυφαονίου, ὅπερ μνημονεύεται ἐν τῇ Ἀσπίδι (στ. 32).

861. *πληγέντος*] Μὴ εἰσχέωμεν τὴν ὑπὸ τῶν πλείστων διαδιδομένην γνώμην ὡς ὁ Τυφῶν κεῖται ὑπὸ ὄρει (λ. χ. τῇ Αἴτνῃ) καὶ ἐγείρει τούτου τὰς Ἡφαιστείους ἐκρήξεις. Κατὰ τὸν Ἡσίοδον, ἐπὶ μὲν τῆς γῆς τὸ ῥηθὲν ὄρος δεικνύει ἴχνη τῶν Διὸς κεραυνῶν, ὁ δὲ Τυφῶν αὐτὸς πεφυλάκισται εἰς τὸν Τάρταρον.

862. *ἀτμῇ*] Ταὐτὸ τῷ ἀϋτμῇ (696).

**ὣς*] Τὸ ἀναστροφικὸν «ὥς», ὃ ἐν τοῖς Ομηρικοῖς συχνῶς κεῖται, ἐκτείνει τὴν προηγουμένην συλλαβήν, διότι πάλαι ποτὲ ἤρχετο ἀπὸ συμφώνου (φασίν, ϝ). Τὸ ῥῆμα «τήκεται» (866) παρὰ τὸν κανόνα ἀνακολούθως ἐπισυνάπτεται.

863. *αἰζηῶν*] Τῶν χειρουργῶν, ὡς μανθάνομεν ἐκ 441.

*ὑπό*] Τοπικὴ ἔννοια ἔνεστι τῇ προθέσει· τὸ γὰρ μέταλλον ῥεῖ κάτω ἐκ τοῦ «εὐτρήτου» σωλῆνος.

864. *ὅτε*] κατὰ τὴν ἐπικὴν διάλεκτον συνωνυμεῖ τῷ ἀναφορικῷ ὅστις.

*κρατερώτατος* λέγει, οὐχὶ *κρατερώτερος*, διὰ τὸ ὑπεννοεῖν ἐκτὸς τῶν δύο μνημονευομένων τὸν ὀρυκτὸν χαλκὸν «μπακίρι», ὅπερ μετὰ τοῦ κασσιτέρου ἐχορήγει τὸν χαλκόν.

865. *οὔρεος ἐν βήσσῃσι* (παράθες 860)] Τὰ χωνευτήρια ἐκτίζοντο ἐν τοῖς ὄρεσι, καίτοι ὁ ἐξωτικὸς κασσίτερος οὐχ ηὑρίσκετο αὐτόθι· ὑπῆρχον γὰρ δαψιλῆ ξύλα.

*κηλέῳ*] Παρὰ τὸ κῆλον (ξύλον).

866. *ἐν χθονὶ δίῃ*] Ἐν τῇ Ἡφαιστείῳ Λήμνῳ, ὅθεν τὸ ἔμπροσθέν (865) ἐστιν ὁ πυρίπνοος Μόσυχλος. Οἱ Βοιωτοὶ ἴσως οὐκ ἠπίσταντο τότε τὴν σιδήρου τῆξιν, ἐπειδὴ Ἡρόδοτος διηγεῖται περὶ Σπαρτιάτου τινὸς συγχρόνου τῷ βασιλεῖ Κροίσῳ, ὅτι ἐν χαλκείῳ «ἐθηέετο σίδηρον ἐξελαυνόμενον καὶ ἐν θώματι ἦν ὁρέων τὸ ποιεόμενον» (1,68).

867. *σέλᾳ*] Ἐνταῦθα σημαίνει τὴν φλόγα.

Ῥῖψε δέ μιν, θυμῷ ἀκαχών, ἐς τάρταρον εὐρύν.
Ἐκ δὲ Τυφωέος ἔστ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
νόσφι Νότου Βορέω τε καὶ ἀργέστεω Ζεφύροιο,
οἵ γε μὲν ἐκ θεόφιν γενεή, θνητοῖς μέγ' ὄνειαρ.
Οἱ δ' ἄλλοι μαψαῦραι ἐπιπνείουσι θάλασσαν·
αἳ δή τοι πίπτουσαι ἐς ἠεροειδέα πόντον,
πῆμα μέγα θνητοῖσι, κακῇ θυέουσιν ἀέλλῃ·
ἄλλοτε δ' ἄλλῃ ἄεισι διασκιδνᾶσί τε νῆας
ναύτας τε φθείρουσι· κακοῦ δ' οὐ γίγνεται ἀλκὴ

*πυρὸς αἰθομένοιο*] Ὁμήρου ἡ φράσις (Ἰλ. Θ 563 κἀ.).

868. *Ῥῖψε*] Ὁ Ζεύς.

*ἀκαχών*] Ἀόριστος ἀναδεδιπλασιασμένος τοῦ θέματος ΑΧ(νυμι).

869. Νῦν οὐ θέλομεν πλέον ἀναβαλεῖν τὴν ἐξήγησιν τοῦ Τυφῶνος. Ὁ Ἡσιόδειος Τυφῶν ἀναίτιος ἐντελῶς ἐστι τῶν σεισμῶν καὶ τῶν Ἡφαιστείων ἐκρήξεων ἁπασῶν. Ἐστὶ δὲ ἄνεμος σφοδρὸς καὶ δινώδης τυφὼς ἢ τυφῶν κοινῶς καλούμενος, ὅστις, ὡς ἐδόξαζον, ἐγεννήθη **ἐκ τῆς γῆς** (Σοφοκλ. Ἀντιγ. 417: τότ' ἐξαίφνης χθονὸς τυφὼς ἀείρας, Ἐτυμ. Μέγ. σ. 772, 52-3: οἱ δὲ Τυφωέα φασὶ σημαίνειν τῶν ταραχωδῶν πνευμάτων τὴν ἀνάδοσιν τὴν ἐκ τῆς γῆς, Πλινίου Φυσ. Ἱστ. 2, 49, 131: repentinis flatibus qui exhalante terra coorti). Τοιούτους ἀνέμους ἄρα ἀνήγειρεν οὐχ ἧττον ἢ ὁ διάβολος, ἂν μὲν πιστεύωμεν τοῖς Παρνασσίοις, αἴτιος γινόμενος τῶν στροβίλων, ἂν δὲ τοῖς Ζακυνθίοις, τῶν διαφθειρόντων τὰς ναῦς σιφώνων (Schmidt, Volksleben, σ. 177. 178).

*ὑγρὸν ἀέντων*] Ὅτι νέφη καὶ καταρράκτας ἐπάγουσιν. Τοῖς περὶ τὴν Κρήτην πλέουσι νεφέλαι λευκαὶ τὴν Ἴδην περικυκλοῦσαι προδηλοῦσι θυέλλας.

*ἀνέμων—ἀέντων*] Εἴληπται ἐξ Ὀδ. ε 478 = τ 440· ἐκεῖ ὅμως τὸ *μένος* ἁρμόζει πολὺ μᾶλλον. Μὴ ἄρά γε ὁ ποιητὴς αὐτὸς ἔγραψε *γένος*, ὃ παρέφθειραν οἱ ἀντιγραφεῖς;

870. Ἀναπέμπει ἡμᾶς πρὸς στίχ. 379-80.

871. *ἐκ θεόφιν*] Ὁμηρικῶς ἀντὶ τοῦ «ἐκ θεῶν». Τυφωεὺς ἀθάνατος μέν ἐστι, θεὸς δὲ ὀνομασθῆναι οὐκ ἄξιος.

*μέγ' ὄνειαρ* (= Ὀδ. δ 444] Φέρουσι δηλαδὴ ἤτοι βροχὴν ἢ ἀνάψυξιν.

872. *μαψαῦραι*] Σύνθετον ἀπὸ τοῦ μάψ (μάτην) καὶ αὔρα. Οὐ πνέουσι τακτικῶς, ἤ, ὡς Θεόφραστος (περὶ ἀνέμων 1) γράφει, οὐ «συνεχεῖς καὶ ὁμαλεῖς», ἀλλὰ «διαλείποντες καὶ ἀνωμαλεῖς», διὸ ἀπροσδοκήτως τοῖς ναύταις προσβάλλουσιν. Πρὸς τὴν σύνταξιν παραβάλλομεν Ὀδ. κ 495: τοὶ δὲ σκιαὶ ἀΐσσουσι.

873. *πίπτουσαι*] Ἐν τῷ παρακμάσαντι Ἑλληνισμῷ ἐλέγετο «ἐμπίπτω» (π. χ. Παυσαν. 2, 34, 2) ἐπὶ τῶν ἀνέμων. Αἱ καταιγίδες εἰσὶν ἐπικινδυνώταται.

*ἐς ἠεροειδέα*] (Ἴδε 252) *πόντον* = Ἰλ. Ψ 744 κἀ.

874. *πῆμα μέγα θνητοῖσι*] Ἀντίκειται τῷ «μέγ' ὄνειαρ» (871).

875. * *ἄεισι*] Πληθυντικὸς τοῦ ἄημι ῥήματος.

*διασκιδνᾶσι*] Ναυαγεῖν ποιοῦσι, οἷον Ὀδ. η 275: «τὴν μὲν ἔπειτα θύελλα διεσκέδασε».

876. *φθείρουσι*] Διαφθείρουσι καὶ καταβυθίζουσιν.

ἀνδράσιν, οἳ κείνῃσι συνάντωνται κατὰ πόντον·
αἳ δ' αὖ καὶ κατὰ γαῖαν ἀπείριτον, ἀνθεμόεσσαν,
ἔργ' ἐρατὰ φθείρουσι χαμαιγενέων ἀνθρώπων,
πιμπλεῦσαι κόνιός τε καὶ ἀργαλέου κολοσυρτοῦ.
Αὐτὰρ ἐπεί ῥα πόνον μάκαρες θεοὶ ἐξετέλεσσαν,
Τιτήνεσσι δὲ τιμάων κρίναντο βίηφι,
δή ῥα τότ' ὤτρυνον βασιλευέμεν ἠδὲ ἀνάσσειν,
Γαίης φραδμοσύνῃσιν, Ὀλύμπιον εὐρύοπα Ζῆν
ἀθανάτων· ὁ δὲ τοῖσιν ἐῢ διεδάσσατο τιμάς.
Ζεὺς δὲ θεῶν βασιλεὺς πρώτην ἄλοχον θέτο Μῆτιν,

878. *ἀπείριτον*] Ἴδε 109.

*ἀνθεμόεσσαν*] Ὅταν ἀνθῶσι τὰ φυτά.

879. *ἔργ'*] Τὰ καλλιεργούμενα ὑπὸ τῶν γεωργῶν.

880. *πιμπλεῦσαι*] Μετοχὴ τοῦ πίμπλημι ῥήματος κατὰ τὴν Ἰωνικὴν διάλεκτον (Ἡρόδοτ. 7, 39: ἐμπιπλέει).

*κολοσυρτοῦ*] «Τὴν ἐκ φρυγάνων λέγει κόνιν» (Σχόλ.πρβλ. Ἐτυμολ. Μέγ. σ. 525, 26. Ἐτυμολ. τὸ Γουδιανὸν λεγόμενον σ. 333, 55). Ἐν τῇ Ἀττικῇ καὶ ἐν ἄλλοις μέρεσι τῆς Ἑλλάδος, ἐν οἷς καὶ ἡ Βοιωτία, ὁ καύσων ἄγει πλείστην κόνιν.

881-85. **Τελειωτικὴ διοργάνωσις τῆς καινῆς θεοκρατίας.**

881. *πόνον*] Πόλεμον (πρβλ. 629). Εἰς ταύτην τὴν λέξιν ὁ ποιητὴς ἐνοεῖ τὴν πρὸς τοὺς Τιτᾶνας μάχην καὶ τὴν πρὸς τὸν Τυφῶνα.

882. *τιμάων*] Τιμῶν ἕνεκα. Ἡ σύνταξίς ἐστιν ἡ αὐτὴ τῇ τοῦ ἀμφισβητῶ ῥήματος.

*κρίναντο βίηφι*] Τὸ τραχὺ τοῦ τοὺς θεοὺς πρὸς ἀλλήλους πολεμεῖν τρόπον τινὰ γλυκαίνει τῆς ἐν 535 φράσεως χρῆσιν ποιούμενος. Ἡ δοτικὴ ἐξήρτηται ἐκ τοῦ κρίνομαι, καθάπερ ἐκ τοῦ «μάχομαι» καὶ τῶν συνωνύμων.

883. Ἡσίοδος ἠθικῶς διορθοῖ τὸν Ὁμηρικὸν μῦθον (Ἰλ. Ο 186 κέ. ὅτι Ζεὺς διὰ τοῦ κύβου τῆς βασιλείας ἔτυχεν). Ἀμφοτέρους ἐπισταμένως ἐξετάζει Καλλίμαχος ἐν τῷ εἰς Δία Ὕμνῳ (58).

884. *φραδμοσύνῃσι*] Συμβουλῇ, παρὰ τὸ φράζω.

*εὐρύοπα* (514) *Ζῆν*] Οὕτως ἔχει ἡ παλαιοτάτη αἰτιατικὴ τοῦ Ζεύς, ᾗ ἀντιστοιχεῖ ἐν τῇ Ἰνδικῇ γλώσσῃ Dyâm. Ἡσίοδος αὐτὸς καλῶς τῷ τύπῳ οὐ χρῆται, ἀλλὰ τὴν φράσιν ὁλόκληρον δανείζεται παρὰ τοῦ ἀρχηγέτου (Ἰλ. Θ 206. Ξ 265. Ω 331).

885. Οὐ πολὺ παραλλάσσει τοῦ 74.

*δ'*] Ἐκ τῆς Διὸς ἐκλογῆς ἕπεται ὡς πρῶτον τοῦ βασιλέως καθῆκον ἡ διαδικασία· ἐστὶ γάρ, ὡς Καλλίμαχος ἀναλόγως λέγει (Ὕμν. εἰς Δία 1, 3) «δικασπόλος Οὐρανίδῃσι».

*τιμάς*] Πρβλ. 74.

886-962. **Ἀπαριθμοῦνται οἱ τῶν Ὀλυμπίων θεῶν γνήσιοι παῖδες,** προηγουμένων τῶν τοῦ «θεῶν βασιλέως».

886. *ἄλοχον*] Συνωνυμεῖ τῷ ἄ-κοιτις (410).

*Μῆτιν*] Ἡ ἐν 358 μνημονευθεῖσα Ὠκεανὶς οὐχὶ ἀληθὴς θεός ἐστιν, ἀλλὰ σκιὰ ἀφῃρημένη, ἡ τοῦ «μητιέτα» Διὸς σύζυγος. Χωρὶς μυθολογίας ἡ Σολομῶντος Σοφία ἐν τῷ η' κεφαλαίῳ περιέχει

πλεῖστα θεῶν τε ἰδυῖαν ἰδὲ θνητῶν ἀνθρώπων.
Ἀλλ᾽ ὅτε δή ῥ᾽ ἤμελλε θεὰν γλαυκῶπιν Ἀθήνην
τέξεσθαι, τότ᾽ ἔπειτα δόλῳ φρένας ἐξαπατήσας,
αἱμυλίοισι λόγοισιν, ἑὴν ἐγκάτθετο νηδὺν
Γαίης φραδμοσύνῃσι καὶ Οὐρανοῦ ἀστερόεντος.
Τὼς γάρ οἱ φρασάτην, ἵνα μὴ βασιληΐδα τιμὴν
ἄλλος ἔχοι Διὸς ἀντὶ θεῶν αἰειγενετάων.
Ἐκ γὰρ τῆς εἵμαρτο περίφρονα τέκνα γενέσθαι·
πρώτην μὲν κούρην γλαυκώπιδα Τριτογένειαν
ἶσον ἔχουσαν πατρὶ μένος καὶ ἐπίφρονα βουλήν·
αὐτὰρ ἔπειτ᾽ ἄρα παῖδα θεῶν βασιλῆα καὶ ἀνδρῶν
ἤμελλεν τέξεσθαι, ὑπέρβιον ἦτορ ἔχοντα·
ἀλλ᾽ ἄρα μιν Ζεὺς πρόσθεν ἑὴν ἐγκάτθετο νηδύν,
ὡς δή οἱ φράσσαιτο θεὰ ἀγαθόν τε κακόν τε.

τὴν αὐτὴν περικαλλῆ ἀλληγορίαν (ὁ τῶν Ἑβραίων βασιλεὺς μνηστεύεται τὴν Σοφίαν).

887. *ἰδὲ θνητῶν ἀνθρώπων*] Παρέλκει· ἀλλὰ ὁ Ἀσκραῖος μιμεῖται Ἰλ. Σ 404: οὐδέ τις ἄλλος ἤδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων.

888. *ἤμελλε*] Ἴδε 478.

*γλαυκῶπιν*] Τὴν ἐξήγησιν εὑρήσεις εἰς 13. Μήτιδος θυγάτηρ ἡ Ἀθηνᾶ δοξάζεται, ἐπειδὴ ἀξιοῖ λέγειν (Ὀδ. ν 298)· «ἐγὼ δ᾽ ἐν πᾶσι θεοῖσιν **μήτι** τε κλέομαι καὶ κέρδεσσιν» καὶ ὑπὸ τῶν Ἑλλήνων προσεκυνεῖτο ὡς Πρόνοια (Κορνουτ. 20, σ. 35, 8), Βουλαία (Ἀντιφῶντος λ. 6, 45, Corpus Inscriptionum Atticarum τ. Γ′ 272. 683), Ἀμβουλία (Παυσαν. 3, 13, 6).

890. *αἱμυλίοισι λόγοισιν* = (Ὀδ. α 56. Θέογν. 704)] Διασαφεῖ τὸ δόλῳ. Τὸ ἐπίθετον ἔχει συγγένειαν πρὸς αἵμων (Ἰλ. Ε 49) ἤτοι εἰδήμων.

*ἐγκάτθετο*] Περὶ τῆς προθέσεως ἔν τε τῇ εἰσαγωγῇ καὶ εἰς 71 λόγος ἐγένετο. — «Λέγεται, ὅτι ἡ Μῆτις τοιαύτην εἶχε δύναμιν, ὥστε μεταβάλλειν εἰς ὁποῖον ἂν ἐβούλετο (πρβλ. Ἀπολλόδωρ. 1, 3, 6). Πλανήσας οὖν αὐτὴν ὁ Ζεὺς καὶ πικρὰν (γρ. μικρὰν) ποιήσας κατέπιεν».

891. *φραδμοσύνῃσι*] = 884. — Καὶ τῷ Διὶ Οὐρανὸς καὶ Γαῖα προφητεύουσιν, ὅπως ποτὲ τῷ πατρὶ αὐτοῦ, ἀλλὰ τοσοῦτο δέουσιν ἀπειλεῖν, ὥστε προπαραινοῦσιν ὅ τι πρακτέον.

892. *Τώς*] Ἔχει πρὸς τὸ «οὕτως» καθάπερ τὸ «τοῦ» πρὸς τὸ «τούτου».

893. (Παράθες Ἰλ. Ω 26) *γλαυκώπιδα*] Ἴδε 13.

*Τριτογένειαν*] Τὸν τῶν ἐτυμολογιῶν κολοσυρτὸν φεύγοντες, ἴδωμεν πῶς Βοιωτός τις ἂν ἐκδέξαιτο τὸ ὄνομα· βεβαίως, ἐπειδὴ ἐν Ἀλαλκομεναῖς Ἀθηνᾶ, ὡς ἔφασαν, ἀνετράφη (Παυσαν. 9, 33, 7), ὁ πλησίον ῥύαξ, ᾧ Τρίτων ὄνομα (ἴδε εἰς 243), τὴν τοῦ ὀνόματος καταγωγὴν παρέσχεν.

897. *παῖδα*] Υἱόν.

898. *ὑπέρβιον*] Τὸ συγκριτικὸν ὑπὲρ πρὸς τὸν Δία.

900. Ἡ αἰτιολογία φιλόκαλος οὐ μάλα, ἀλλὰ δημώδης. Οἱ μὲν ἀνθρωποφάγοι

Δεύτερον ἠγάγετο λιπαρὴν Θέμιν, ἣ τέκεν Ὥρας,
Εὐνομίην τε Δίκην τε καὶ Εἰρήνην τεθαλυῖαν,
αἵτ' ἔργ' ὠρεύουσι καταθνητοῖσι βροτοῖσι,
Μοίρας θ', ᾗς πλείστην τιμὴν πόρε μητιέτα Ζεύς,
Κλωθώ τε Λάχεσίν τε καὶ Ἄτροπον, αἵτε διδοῦσι
θνητοῖς ἀνθρώποισιν ἔχειν ἀγαθόν τε κακόν τε.

πιστεύουσιν, ὅτι φαγόντες τὴν ἀνδρείου καρδίαν λαμβάνουσι τὴν ἀνδρείαν αὐτοῦ, οἱ δὲ παλαιοὶ ἀνάλογον δοξασίαν εἶχον ἐπὶ τῆς ὀξυδερκείας τοῦ ἀετοῦ (Αἰλιαν. π. ζῴων 1, 42).

*ἀγαθόν τε κακόν τε* (= Ὀδ. δ 637. θ 63)] Οἱ ἀρχαῖοι ποιηταὶ συχνάκις ἀποστρέφονται τὸ ψυχρὸν «πᾶς» καὶ αὐτὸ διαμερίζουσιν εἰς δύο ἀντίθετα.

901. *λιπαρὴν Θέμιν*] Καὶ αὐτὴ οὐχὶ πρόσωπον, ἀλλὰ ἰδέα ἐστίν. Λατρείας ὅμως ἠξιοῦτο, οἷον ἐν Ἀθήναις (Παυσαν. 1, 22, 1) καὶ Ὀλυμπίᾳ (5, 14, 10). Τὸ ἐπίθετον ὁ ποιητὴς ἔλαβεν ἐκ τῶν περὶ ἑαυτόν· οἱ δικασταὶ γὰρ ἀπῄτουν «λιπαρὰς θέμιστας» (Ἰλ. Ι 156 = 298) ἤτοι δαψιλῆ δικαστικά.

* *Ὥρας*] Ὁ 903 στ. δεικνύει, ὅτι, κατά γε τὸν Ἡσίοδον, οὐδεμίαν σχέσιν ἔχουσι πρὸς τὰς τοῦ ἐνιαυτοῦ ὥρας. Ἡ ῥίζα ἤρχετο ἀπὸ τοῦ διγάμματος καὶ Ἰωνιστὶ κατὰ δίφθογγον ἐλέγετο ουρ- (οἷον οὖρος καὶ ἐπίουρος, φύλαξ).

902. *τεθαλυῖαν*] «Πάντα γὰρ ἐν εἰρήνῃ θάλλει» (Σχόλ.).

903. *ὠρεύουσι*] Τηροῦσιν. Πίνδαρος αἰνίττεται τὴν ἐτυμολογίαν ἐν τῇ προσηγορίᾳ: «ταμίαι ἀνδράσι πλούτου» (Ὀλ. 13, 7).

904. *Μοίρας*] Διαφέρουσιν, ὡς ἐν τοῖς ἀνωτέρω εἴπομεν, τῶν «νηλεποίνων» Μοιρῶν (218). Αἵδε εἰσὶν αἱ κατ' ἐξοχὴν Μοῖραι, ἤτοι αἱ μοῖραι, ἃς οἱ ἄνθρωποι καθ' ἕκαστον λαμβάνουσιν (διὸ ὀρθῶς λέγεται· ἡ μοῖρά μου, σου, του)· εἴπερ δὲ ἐπίθετον διακριτικὸν ἀναζητεῖται, παραπέμπομεν εἰς τὰς ἐν Σπάρτῃ «Μοίρας Λαχέσεις» (Corpus Inscriptionum 1444). Οἱ περὶ τῶν Μοιρῶν μῦθοι διαρκῶς καὶ εὐσεβέστατα ἐκ τῶν παλαιῶν χρόνων μέχρις ἡμῶν ὑπὸ τῶν Ἑλλήνων ἐτηρήθησαν καὶ τηροῦνται (ἴδε Schmidt, Volksleben σ. 210 κἑ.).

904. *πόρε*] Ζεὺς λοιπὸν ἄρχει τῶν Μοιρῶν, οὐ μὴν ἐξήρτηται ἐξ αὐτῶν. Ὁμοδόξως ὁ λυρικώτατος συμπολίτης τοῦ Ἡσιόδου ᾄδει (Νεμ. 4, 61)· «τὸ μόρσιμον **Διόθεν** πεπρωμένον». Ὅτι αἱ Μοῖραι γεννῶνται ἐκ Διὸς καὶ Θέμιδος, Βοιώτιος ἦν μῦθος (Παυσαν. 9, 25, 4).

*μητιέτα*] Ἴδε 56.

905. *Κλωθώ*] Ἀφορᾷ εἰς τὸ κλώθειν τὰς Μοίρας· εἰσέτι οἱ Ζαγορῖται περὶ τῆς πρώτης Μοίρας λέγουσι· κλώθει τὸ γνέμα (Schmidt σ. 212)· ἐπὶ δὲ τῶν ἀποθανόντων ἐν Ἀραχώβῃ ἡ φράσις ἀπαντᾷ· κόπηκε ἡ κλωστή του, ἤ, μαζώχθηκε τὸ κουβάρ' του (Schmidt σ. 220).

*Λάχεσιν*] Παρὰ τὸ λαγχάνω, σημαίνει τὸ ἀνάξιον καὶ τυχηρὸν τῆς μοίρας.

*Ἄτροπον*] διὰ τὸ ἄτροπον αὐτῆς· «τἄχ' ἡ Μοῖρα 'ς τὸ χαρτί, πελέκι δὲν τὸ κόβει».

906. *ἀνθρώποισιν*] Οἱ θεοὶ δηλονότι οὐχ ὑπόκεινται τῇ μοίρᾳ.

*ἀγαθόν τε κακόν τε* (=900)] Διὸ οἱ Ἠπειρῶται τὴν μὲν δευτέραν ἐπονομάζουσι Καλουμοῖραν, τὴν δὲ τρίτην Κακουμοῖραν (Πρβλ. καὶ τὰ ἐν «Παρ-

Τρεῖς δέ οἱ Εὐρυνόμη Χάριτας τέκε καλλιπαρήας,
Ὠκεανοῦ κούρη, πολυήρατον εἶδος ἔχουσα,
Ἀγλαΐην τε καὶ Εὐφροσύνην Θαλίην τ' ἐρατεινήν·
τῶν καὶ ἀπὸ βλεφάρων ἔρος εἴβετο δερκομενάων
λυσιμελής· καλὸν δέ θ' ὑπ' ὀφρύσι δερκιόωνται.
Αὐτὰρ ὁ Δήμητρος πολυφόρβης ἐς λέχος ἦλθε,

νασσοῦ» τόμ. ΙΑ', σελ. 329-30 ὑπὸ Ἰωακεὶμ Βαλαβάνη περὶ τῆς *Τρίτης* ὡς *ἀποφράδος* γεγραμμένα).

907. *Εὐρυνόμη*] Ἴδε 358, ἀξία τοῦ «εὐρὺ νέμοντος» κοσμοκράτορος γυνή.

*Χάριτας*] Ναὶ μὲν ἀλληγορικὴ ἡ προσωποποίησις, ἀλλ' ὅμως ἡ θρησκεία αὐτῶν ἐν τῇ Βοιωτικῇ Ὀρχομενῷ ἐκ παμπαλαίων χρόνων ἐπεκράτησεν (Παυσαν. 9, 35, 1).

908. *πολυήρατον εἶδος ἔχουσα*] = Ὕμν. Ὁμηρ. 5, 315.

909. *Ἀγλαΐην, Εὐφροσύνην, Θαλίην*] Συνώνυμα, δηλοῦντα τὰς τοῦ βίου ἡδονάς. Τί εὐφροσύνη, Ὀδυσσεὺς ἐπαγωγῶς διεξέρχεται (Ὀδ. ν 5-11). Πρὸς δὲ τὰς ἄλλας παρατίθεμεν Ἀσπ. 285-6: πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε ἀγλαΐαι τ' εἶχον.

910. *βλεφάρων*] Εὔμορφα βλέφαρα οἱ παλαιοὶ περὶ πλείστου ἐποιοῦντο, διότι δῆθεν τὰ μάλιστα ἐξεφαίνοντο ἐν τῷ «ὑγρῷ» βλέμματι, ὅπερ ᾠκείουν τῇ καλλίστῃ θεῷ· οἱ κατὰ τὸν Φειδίου αἰῶνα ἀγαλματοποιοὶ ἐξῆρον τὰ βλέφαρα, ὡς παρατηροῦμεν ἐπὶ κεφαλῆς γυναικείας ἐν τῇ Ἀκροπόλει ἀνασκαφείσης (ἐν τῷ τῆς Γερμανικῆς Σχολῆς περιοδικῷ τ. Β', πίν. 14), καὶ αἱ ἀρχαϊκοῦ ἀγάλματος βλεφαρίδες ἐκ μετάλλου ἦσαν εἰσβεβλημέναι (ἴδε Καββαδία καὶ Ῥωμαΐδου Musées d'Athènes δελτ. Α', πίν. 6). Ἴβυκος τὴν Πειθὼ ὀνομάζει ἀγανοβλέφαρον (Ἀπόσπ. 2). Ὕστερον δὲ ἑταίρα τις τὸ ὄνομα εἶχε «Χαριτοβλέφαρος» (Ἀθην. Δειπνοσοφ. 13, 593 f). Ἔτι δὲ περὶ Ἀθηναίας γυναικὸς ἐγράφη πρὸς ἔπαινον ἐπιτάφιον «χαριτοβλεφάροις ὄμμασι λαμπομένη» (Corpus Inscr. 1012 = Kaibel Ἐπιγράμμ. 169 στ. 2). Ἐπὶ δὲ τῆς τῶν αὐτοκρατόρων ἀρχῆς Κόλουθος Πάριν εἰσάγει κρινεῖν μέλλοντα «καὶ βλεφάρων συνοχὴν καὶ κύκλα προσώπου» (73, πρβλ. 131) καὶ Νόννος (Διον. 4, 8) ποιεῖ· «τιταινομένη βλεφάρων ἀντώπιον αἴγλην», Διονύσιος δὲ ὁ ὑμνογράφος Ἠοῖ ἀπονέμει τὸ ἐπίθετον «χιονοβλέφαρος» (2, 7). Ἑτέρα ἐπιγραφὴ διαβιβάζει ἡμᾶς εἰς τὴν τῶν Βυζαντίνων περίοδον: χαριτοβλεφάροις ὄμμασιν (Corpus Inscr. 1012 = Kaibel 169, 2). Οὕτως βαθμηδὸν ἀφικόμεθα πρὸς τὰ νεώτερα ᾄσματα καὶ δίστιχα: «Ἔχει τὸ βλέφαρο πλατὺ σὰν ἕνα Τουρκικὸ χαρτὶ» καὶ «Τὰ 'ματόκλαδά σου λάμπου(ν) σὰν τὰ λούλουδα τοῦ κάμπου» (Νεοελλ. Ἀνάλ. Α', σ. 289 δ. 440).

910. *εἴβετο*] Ἡ χάρις ἀντιπαραβάλλεται πρὸς ἔλαιον εὔοδμον, οἷον ὑπ' Ἀλκμᾶνος (Ἀπόσπ. 36): ἔρος γλυκὺς κατείβων. Τὸν παρατατικὸν ἐξηγησάμεθα εἰς 825.

911. *λυσιμελής*] = 1021.

*ὑπ' ὀφρύσι*] Ὁμηρικὴ φράσις, ἣ νῦν ὑπαινίττεται, ὅτι τὸ βλέμμα οὐχ ἧττον καλλύνεται τῇ τῶν ὀφρύων χάριτι.

*δερκιόωνται*] Παράγωγον ἀπὸ τοῦ δέρκομαι.

912. *πολυφόρβης*] Ἥπερ πολλοὺς τρέφει ἀπὸ τοῦ σίτου.

*λευκώλενον*] Ἴδε 314.

*Ἀϊδωνεύς*] Ἅδης ἤτοι Πλούτων.

ἣ τέκε Περσεφόνην λευκώλενον, ἣν Ἀϊδωνεὺς
ἥρπασεν ἧς παρὰ μητρός· ἔδωκε δὲ μητιέτα Ζεύς.
Μνημοσύνης δ' ἐξαῦτις ἐράσσατο καλλικόμοιο,
ἐξ ἧς οἱ Μοῦσαι χρυσάμπυκες ἐξεγένοντο
ἐννέα, τῇσιν ἅδον θαλίαι καὶ τέρψις ἀοιδῆς.
Λητὼ δ' Ἀπόλλωνα καὶ Ἄρτεμιν ἰοχέαιραν,
ἱμερόεντα γόνον πέρι πάντων Οὐρανιώνων,
γείνατ' ἄρ' αἰγιόχοιο Διὸς φιλότητι μιγεῖσα.
Λοισθοτάτην δ' Ἥρην θαλερὴν ποιήσατ' ἄκοιτιν.
Ἡ δ' Ἥβην καὶ Ἄρηα καὶ Εἰλείθυιαν ἔτικτε,
μιχθεῖσ' ἐν φιλότητι θεῶν βασιλῆϊ καὶ ἀνδρῶν.
Αὐτὸς δ' ἐκ κεφαλῆς γλαυκώπιδα γείνατ' Ἀθήνην

914. *ἔδωκε*] Ἡ πληρεστέρα φράσις κεῖται ἐν τοῖς ἔμπροσθεν (:δῶκεν ὀπυίειν 819). Ὁ Ἡσιόδειος στίχος σημαντικώτερός ἐστιν ἢ ὁ παράλληλος τοῦ Ὁμηρικοῦ εἰς Δήμητρα Ὕμνου (2. 3: ἣν Ἀϊδωνεὺς ἥρπαξεν, δῶκεν δὲ βαρύκτυπος εὐρυόπα Ζεύς).

*μητιέτα*] Ἴδε 56.

915-7. Παραπέμπουσιν εἰς τὸ προοίμιον, διὸ τὰ τῶν Μουσῶν ὀνόματα οὐκέτι μνημονεύονται.

916. *χρυσάμπυκες*] Ἔχουσαι τὴν ἄμπυκα (τὸ διάδημα) χρυσῆν. Πίνδαρος εἰς τὴν χρῆσιν τοῦ ἐπιθέτου συμφωνεῖ τῷ Ἡσιόδῳ (Πυθ. 3,89. Ἰσθμ. 2, 1).

917. *ἅδον*] Ἀνέκαθεν ἤρεσαν.

*θαλίαι*] Ἡ γὰρ ποίησις καὶ ἡ μουσικὴ τῶν ἡδονῶν.

*τέρψις ἀοιδῆς*] Καθ' ἡμᾶς, ἀπέριττον ἀναπολεῖν τὸ ὅτι ὁ παλαιὸς ποιητὴς τέρπειν ἤθελε τοὺς ἀκροατάς, ὅπερ ἀκριβέστερον ἀναπτύσσει Ἡσίοδος ἐν τῷ προοιμίῳ (στ. 98 κἑ.).

918. *ἰοχέαιραν*] Ἔπιθι τὴν εἰς 14 σημείωσιν.

919. *γόνον*] Ἐκγόνους.

*πέρι*] Ἐξόχως.

920. *ἄρ'*] Καθαρὸν παραπλήρωμα τοῦ ἑξαμέτρου.

*αἰγιόχοιο*] 11.

*Διὸς φιλότητι μιγεῖσα*] Ἡ σύνταξις αὕτη παρ' Ὁμήρῳ μὲν οὐκ ἀπαντᾷ, ἄλλως δὲ σπανιώτατα ὑπάρχει (Ἀπολλών. Ἀργον. 2,1027: μίσγονται χαμάδις ξυνῇ φιλότητι γυναικῶν. Ὀρφ. Ἀργ. 221 : θεοῦ φ. μ., καὶ ἀναλόγως Μουσαῖος 178: ἐμῇ φιλότητι μιγείης, Ὕμν. Ὁμηρ. 150: σῇ φ. μιγῆναι). Πῶς δὲ ἐννοητέον τὴν δοτικήν, μανθάνομεν ἐξ Ὕμν. Ὁμηρ. 3, 4 καὶ 7, 57: Διὸς ἐν φιλότητι μιγεῖσα

921. *Λοισθοτάτην*] Τοῦτο ἐκαινούργησεν ἠθικευόμενος, ἵνα μὴ φανῇ μοιχὸς ὁ Ζεύς. Ὡς γὰρ πρὸς τὰς θνητάς, δοῦλαί πως ἦσαν τοῦ θεοῦ.

*θαλερήν*] Νόμιμον, οἶμαι, γυναῖκα.

922. *Εἰλείθυιαν*] Τὴν μαιευτικὴν θεόν, ἧς τὸ ὄνομα ἴσως αἴτιον ἦν τοῦ ὅτι ὁ ἅγιος Ἐλευθέριος ὑπὸ τῶν λοχευομένων ἐπικαλεῖται. Ἥρα αὐτὴν τίκτει, ὡς τῶν γάμων προστάτις.

924. *Αὐτός*] Μόνος, καθὼς Ἰλ. Ε 880: αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον, Ὕμν. Ὁμηρ. 28,4: τὴν αὐτὸς ἐγείνατο μητιέτα Ζεύς.

δεινὴν ἐγρεκύδοιμον ἀγέστρατον ἀτρυτώνην
πότνιαν, ᾗ κέλαδοί τε ἅδον πόλεμοί τε μάχαι τε.
Ἥρη δ' Ἥφαιστον κλυτόν, οὐ φιλότητι μιγεῖσα,
γείνατο (καὶ ζαμένησε καὶ ἤρισ' ἐῷ παρακοίτῃ)
ἐκ πάντων τέχνῃσι κεκασμένον Οὐρανιώνων.
Ἐκ δ' Ἀμφιτρίτης καὶ ἐρικτύπου Ἐννοσιγαίου
Τρίτων εὐρυβίης γένετο μέγας, ὅστε θαλάσσης
πυθμέν' ἔχων παρὰ μητρὶ φίλῃ καὶ πατρὶ ἄνακτι
ναίει χρύσεα δῶ, δεινὸς θεός. Αὐτὰρ Ἄρηϊ
ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτε

*γλαυκώπιδα*] 13.

925. *ἐγρεκύδοιμον*] Τὴν ἐγείρουσαν κυδοιμὸν καὶ μάχην, συνωνυμεῖ τῷ «ἐγρεμάχη» Ὕμν. Δήμ. 424).

*ἀτρυτώνην*] Ἄτρυτον ἢ ἀκοπίαστον. — Ἡ ἐξ ἐπιθέτων συναρμογὴ τοῦ στίχου ἐν τοῖς Ἡσιόδου ποιήμασι μοναδική.

926. *πότνιαν*] Κυρίαν.

*κέλαδοι*] Οἱ πολεμικοὶ θόρυβοι.

*ἅδον*] = 917. — Τὸν πεπατημένον μῦθον, ὅτι Ἥφαιστος διέσχισε τὴν τοῦ Διὸς κεφαλήν, ὅπως ἐκπηδήσῃ ἡ Ἀθηνᾶ, Ἡσίοδος εὔδηλον ὅτι ἀγνοεῖ, ἐπειδὴ τὴν ἐκείνου γένεσιν μνημονεύει ἐν τοῖς ἑξῆς. Ἀμυδρόν τι ἴχνος τοῦ παλαιοῦ μύθου διέμεινεν ἐν παραμυθίῳ, καθ' ὃ κόρη ὡπλισμένη γεννᾶται ἐκ τῆς βασιλέως κνήμης (Schmidt, Märchen σ. 226).

927. *κλυτόν*] Τὸ ἐπίθετον ἡρμήνευται εἰς 571.

*οὐ φιλότητι μιγεῖσα*] Ἀντιστοιχεῖ τῷ ἀνωτέρῳ *αὐτός*. Ἥφαιστος μετέβαλε τὸν Ὁμηρικὸν μῦθον, ὃς Δία ποιεῖ Ἡφαίστου πατέρα (Ἰλ. Α 578. Ὀδ. θ 312), ἵνα αἰτιολογήσῃ τὴν πρὸς τὴν μητέρα κλίσιν αὐτοῦ καὶ τὴν Διὸς κατ' αὐτοῦ σκληρότητα.

928. *ζαμένησε*] Παρὰ τὸ ζα (δια) καὶ μένος ἢ θυμός.

*παρακοίτῃ*] Πρβλ. 228.

929. *τέχνῃσι*] Καλλιτεχνίᾳ (ὡς Ὀδ. θ 327). — Οὐ τυχόντως εἰς ἕκαστον κῶλον ἀπὸ τοῦ 912 στ. μέχρι τοῦ ἐνταῦθα τριὰς στίχων ἀπονέμεται.

930. Διὰ ἀκολουθεῖ ὁ κατὰ τὸ ἀξίωμα δευτερεύων ἀδελφός.

*Ἀμφιτρίτης*] Ἴδε 243.

*ἐρικτύπου*] Ἐπιθ. 441, περὶ δὲ τοῦ ἐννοσιγαίου 15.

931. *Τρίτων*] Καὶ ἐτυμολογικὴν συγγένειαν ἔχει πρὸς τὴν μητέρα.

*εὐρυβίης*] Πρβλ. 239.

*ὅστε θαλάσσης*] = Ὀδ. α 52.

932. *ἄνακτι*] Ἴδε 493.

933. Οἱ ναῦται πανταχοῦ τῆς γῆς φαντάζονται θησαυροὺς καὶ χρυσᾶς οἰκίας ἐν τοῖς χρυσοφανέσι κύμασιν. Τὰ τοῦ Ποσειδῶνος ἀνάκτορα Ὅμηρος ὑποτίθησι πλησίον Αἰγῶν, τῆς ἱερᾶς τοῦ Ποσειδῶνος πόλεως (Ἰλ. Ν 21-2).

*δῶ*] = Δῶμα, καθ' Ὁμηρικὴν ἀποκοπήν.

*δεινός*] Φοβερός, ἐπειδὴ οἱ Βοιώτιοί γε ἐφοβοῦντο τὸν δαίμονα, περὶ οὗ Παυσανίας περίεργον ἱστορίαν διηγεῖται (Παυσαν. 9, 20, 4. 5).

934. *ῥινοτόρῳ*] «Σημαίνει τὸν διακόπτοντα καὶ τιτρώσκοντα τοὺς ῥινούς, ῥινοὶ δὲ καλοῦνται αἱ ἀσπίδες» (Ἐτυμ. Μέγ. σ. 704, 32). Ἡρακλῆς ἐν Θήβαις

δεινούς, οἵτ᾽ ἀνδρῶν πυκινὰς κλονέουσι φάλαγγας
ἐν πολέμῳ κρυόεντι σὺν Ἄρηϊ πτολιπόρθῳ,
Ἁρμονίην θ᾽, ἣν Κάδμος ὑπέρθυμος θέτ᾽ ἄκοιτιν.
Ζηνὶ δ᾽ ἄρ᾽ Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν,
κήρυκ᾽ ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα.
Καδμείη δ᾽ ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱόν,

ἐπωνομάσθη «ῥινοκολούστης» (Παυσαν. 9, 25, 4), ὥστε Βοιωτικὸν φαίνεται τὸ ἐπίθετον.

*Κυθέρεια*] 196. Ἄρης καὶ Ἀφροδίτη πάλαι ποτὲ ὑπὸ πολλῶν σύζυγοι ὑπελαμβάνοντο· Ἡσιόδῳ συνᾴδουσιν ἡ Ἰλιὰς (Φ 416, πρβλ. Σ 382-3) καὶ ἡ τῶν Κυψελιδῶν λάρναξ (Παυσαν. 5,18, 5) καὶ ἀγγείων ζωγραφίαι (οἷον ἡ ἀπὸ τοῦ François καλουμένη καὶ ἡ Σωσίου), καὶ δὴ καὶ ἡ Λακεδαιμονικὴ ἐπωνυμία «Ἀρεία» (Παυσαν. 3,18,5). Ὁ μῦθος οὗτος στηρίζεται ἐπὶ τοῦ παλαιοῦ ἀξιώματος, ὅτι τὸ στρατιωτικὸν τὰ μάλιστα ἐφέλκει τὸ γυναικῶν φῦλον· ἡ ἰδέα ὅμως, ὅτι καλλιτεχνία (Ἥφαιστος) καὶ καλλονὴ (Ἀφροδίτη) συνδέδενται, πολὺ μᾶλλον ἀφῄρηται.

*Φόβον καὶ Δεῖμον*] Δαιμόνια, ἐγείροντα τὸ δηλούμενον τῷ ὀνόματι αὐτῶν. Φόβος (ἤτοι φυγή, Ὁμηρικῇ σημασίᾳ) δημωδέστατός ἐστιν, ὅθεν καὶ ἐν τῇ Ἰλιάδι (Δ 440. Ν 299. Ο 119) καὶ ἐν ἔργοις τῆς καλλιτεχνίας, περὶ ὧν πλείονα εἰς Ἀσπ. 144, ἀπαντᾷ. Τῆς γενεαλογίας προηγήσατο ἡ ποιητικὴ φράσις (Ἰλ. Β 767): «φόβος Ἄρηος».

935. *πυκινὰς κλονέουσι φάλαγγας*] Ἀπηχεῖ τὸ Ὁμήρου «πυκιναὶ κλονέοντο φάλαγγες» (Ἰλ. Ε 93).

936. *κρυόεντι*] Ἐπειδὴ φέρει τὸν «κρυερὸν θάνατον».

937. *Ἁρμονίην*] Ἐμπεδοκλῆς τὸν μῦθον φιλοσόφως ἀνέπτυξεν· «ἡ ἁρμονία ἐκ νείκους καὶ φιλίας γίνεται». Οὐδὲν ἧττον Ἡσίοδος ἄνευ ὑπονοίας Ἁρμονίαν εἰσάγει, ἀλλὰ οἱ Θηβαῖοι, ἴσως δὲ οἱ Βοιωτοὶ ἅπαντες προσεκύνουν τὴν Ἁρμονίαν (Πλούταρχ. Πελοπίδ. 19, πρβλ. Ὕμν. Ὁμηρ. 2,17), οἱ δὲ Δελφοὶ ὁμοίῳ ὀνόματι Ἀφροδίτην Ἅρμα ὠνόμαζον (Πλούταρχ. Ἐρωτικῷ 23). Προσωποποιεῖται ἄρα ἡ «ἀγάπης ἁρμονία» (Γρηγόρ. Ναζιανζ. ποιήμ. π. τῶν καθ᾽ ἑαυτὸν 1, 615), πρβλ. Αἰσχύλ. Ἱκέτιδ. 1041-2: δέδοται δ᾽ Ἁρμονίᾳ μοῖρ᾽ Ἀφροδίτας ψεδυραὶ τρίβοι τ᾽ ἐρώτων.

*Κάδμος*] Ἥρως ἐπώνυμος τῶν Καδμείων, οἳ πρὸ τῶν Βοιωτῶν τὴν χώραν κατεῖχον. Οἱ φιλοφοίνικες μὲν ἐτυμολογοῦσι τὸ ὄνομα παρὰ τὸ Σημιτικὸν «κεδεμ» (ἀνατολή), ἡμεῖς δὲ «παρατίθεμεν τὸν ἐν Θήβαις» Διόνυσον Κάδμον (Παυσαν. 9, 12, 4) καὶ τὸν Σαμοθρᾳκικὸν δαίμονα Καδμῖλον καὶ τὸ Κρητικὸν κάδμος (δόρυ, λόφος, ἀσπίς Ἡσύχ.).

*ὑπέρθυμος*] Ἴδε 719.

938. Ὡς ἐν παρόδῳ εἰσκλέπτει τὰς Διὸς ἐρωμένας. Πρὸς τούτοις, τὸν τόπον ἐξέλεξε χάριν τῆς ἐν 950 μνημονευθησομένης συζεύξεως.

*Ἀτλαντίς*] Ἄτλαντος θυγάτηρ.

*Μαίη*] Τύπος ὑπεριωνικὸς ἀντὶ τοῦ κοινοῦ «Μαῖα».

*κύδιμον*] «Ὅς ῥα πάντων ἔργοισι χάριν καὶ κῦδος ὀπάζει» (Ὀδ. ο 319-20). Τὸ ἐπίθετον εἴληπται ἐκ τῶν εἰς Ἑρμῆν Ὕμνων.

939. *ἱερὸν λέχος εἰσαναβᾶσα*] Τὸ ἐναντίον κεῖται ἐπὶ νομίμου γυναικὸς (912).

940. *Καδμείη*] Κάδμου θυγάτηρ.

*φαίδιμον*] Πρβλ. 453.

μιχθεῖσ' ἐν φιλότητι, Διώνυσον πολυγηθέα,
ἀθάνατον θνητή· νῦν δ' ἀμφότεροι θεοί εἰσιν.
Ἀλκμήνη δ' ἄρ' ἔτικτε βίην Ἡρακλεείην
μιχθεῖσ' ἐν φιλότητι Διὸς νεφεληγερέταο.
Ἀγλαΐην δ' Ἥφαιστος ἀγακλυτὸς ἀμφιγυήεις
ὁπλοτάτην Χαρίτων θαλερὴν ποιήσατ' ἄκοιτιν.
Χρυσοκόμης δὲ Διώνυσος ξανθὴν Ἀριάδνην,

941. *πολυγηθέα*] Τὸν πολὺ ἢ πολλοὺς εὐφραίνοντα.

942. Κατὰ τὸν τῶν Βοιωτῶν μῦθον καὶ Σεμέλη ἀπεθεώθη (Πινδάρ. Ὀλ. 2, 25 κέ. Πυθ. 11,1), Διονύσου αὐτὴν ἀναγαγόντος ἐξ Ἅδου καὶ μετονομάσαντος Θυώνην (Ἀπολλόδωρ. 3, 4, 3. Ἀνθολογ. 3, 1)· τούτοις συγκατέθεντο οἱ Ἀργεῖοι (Παυσαν. 2, 37, 5) καὶ οἱ Τροιζήνιοι (Παυσαν. 2, 31, 2), ἴσως δὲ καὶ οἱ Ἀττικοί, διότι οἱ τραγικοὶ αὐτὴν ὀνομάζουσι Διώνην (Εὐριπίδ. Ἀπόσπ. 177 ἐν Σχολ. Πινδάρ. 3, 99 καὶ Ἀνώνυμος παρ' Ἡσυχίῳ: Βάκχου Διώνης). Ἀλλ' ὅμως οὐχ ἅπαντες ἴσως τότε τὴν ἀποθέωσιν ὡμολόγουν, διὸ ὁ ποιητὴς ἐμφαντικῶς αὐτὴν ἐκφωνεῖ.

943. Τοὐναντίον περὶ Ἀλκμήνης οὐδὲν περαιτέρω λέγει, ὅτι οὐκ ἔτυχε τιμῶν εἰ μὴ «ἰσοθέων» (Διόδ. Σικ. 4, 58, 6) ἤτοι ἡρωϊκῶν (πρβλ. Παυσαν. 1, 19, 3). Τὸ δὲ ἐνταῦθα μνημονεύεσθαι Ἡρακλέα δικαιολογεῖται ἐν τοῖς κατωτέρω (950-5).

*βίην Ἡρακλεείην*] = 289.

944. *νεφεληγερέταο*] Ἴδε 558.

945. *Ἀγλαΐην*] Ἴδε 934. Ἥφαιστος συνέζευκται τῇ Χάριτι ἕνεκα ὧν ποιεῖ «χαριέντων ἔργων» (Ὀδ. ζ 234, πρβλ. Ἰλ. Σ 382).

*ἀγακλυτὸς* καὶ *ἀμφιγυήεις*] Ἐξηγησάμεθα εἰς 571. Ἡ πρόθεσις ἀγα- τηρεῖται ὑπὸ τῶν Καρπαθίων ἐν τῇ λέξει ἀγά-θυμος (ὀξύ-θυμος).

946. *ὁπλοτάτην*] Ἆρά γε ἡ ὑπέννοιά ἐστι· τὴν χαριεστάτην, ἢ τὴν ἀγχινουστάτην (ἴδε 137);

*θαλερὴν ποιήσατ' ἄκοιτιν*] = 921.

947. *Χρυσοκόμης*] Ὅμηρος χρυσοῦν χρῶμα οὐκ ἀποδίδωσιν εἰ μὴ ταῖς χαίταις τῶν θείων ἵππων (Ἰλ. Θ 42 = Ν 24)· ὕστερον δὲ οἱ ποιηταὶ θεοῖς τὴν αὐτὴν καλλονὴν προσοικειοῦσιν. Ἵνα τὰς ἀρχαιοτάτας ἀναφέρωμεν μαρτυρίας, Λητὼ ἐπικαλεῖται χρυσοπλόκαμος ἐν τῷ β' Ὁμηρικῷ Ὕμνῳ (27), ὁ δὲ υἱὸς αὐτῆς χρυσοκόμης παρὰ Τυρταίῳ 3, 3. 4 (καθάπερ «χρυσῷ χαίταν μαρμαίρων» Εὐριπ. Ἴωνι 895), ἐπίσης δὲ ὁ Ζέφυρος παρ' Ἀλκαίῳ (Ἀπόσπ. 13,63.) Διόνυσος δὲ μάλιστα τοιουτόσχημος παρίσταται (Ἀρχίλοχ. 121: χρυσοέθειρ. Ἱμερ. λόγ. 21,5: κομᾷ τὴν παρειὰν ὁ θεὸς καὶ χρυσοῦς καθέρπει τῆς γενειάδος ἴουλος, Κόλουθ 39: χρυσείοις πλοκάμοισι). Αὐτοὶ οἱ καλλιτέχναι ὑλικῶς τὸ ἐπίθετον ἀπεικόνισαν· δύο ἀγάλματα τῷ 1882 ἀνασκαφέντα ἐν τῇ Ἀκροπόλει εἶχον χρυσοειδῆ, ὡς φαίνεται, ὤχραν ἐπὶ τῆς κόμης καὶ ἀγαλμάτιον τοῦ «χρυσεοβοστρύχου Διὸς ἔρνους» Εὐριπ. Φοίν. 191), τῆς Ἀρτέμιδος, ὃ ἐκ τῆς Ἑλληνιστικῆς πόλεως Πομπηΐας εἰσήνεγκον εἰς τὸ ἐν Νεαπόλει μουσεῖον, φέρει εἰσέτι ἴχνη τοῦ ὅτι κατάχρυσος ἦν τὰς τρίχας.

Πόθεν ἡ τοιαύτη ἰδέα; Μετὰ τῆς λύσεως τῆς ἀπορίας συνάπτομεν τὴν ἐξήγησιν τοῦ ἀκολούθου ἐπιθέτου *ξανθήν*. Οἱ Ἕλληνες ἐκ τῶν Ὁμήρου χρόνων

κούρην Μίνωος, θαλερὴν ποιήσατ' ἄκοιτιν.
Τὴν δέ οἱ ἀθάνατον καὶ ἀγήρω θῆκε Κρονίων.

(Ἰλ. Α 197. Ε 500. Λ 740. Ψ 141. Ὀδ. α 285. ν 391,481. ο 133) προυτίμων τὴν ξανθὴν κόμην ὡς ὁμοιάζουσαν τῷ πολυτιμοτάτῳ μετάλλῳ· οὐδὲ νῦν, ὡς τὰ δημοτικὰ ᾄσματα μαρτυροῦσιν, ἡ πρόληψις αὕτη ὡς πρὸς τὰς γυναῖκας ἠφανίσθη (τῶν ξανθῶν ἀνδρῶν νομιζομένων «δολίων» ἐν χώραις τισίν· ἔπιθι Βενιζέλου Παροιμίας Ξ 2). Δυστυχῶς περὶ τῆς ἀριθμητικῆς σχέσεως τῶν ξανθῶν καὶ τῶν μελανοτρίχων Ἑλλήνων οὔπω ἐγένοντο ἐξετάσεις· τοσοῦτο ὅμως ἔχομεν εἰπεῖν, ὅτι ἐπὶ τῶν νήσων ἡ ξανθότης οὐ σπανία ἐστὶ καὶ ἐν τοῖς Ἑλληνικωτάτοις Σφακιοῖς, ὡς λέγουσιν, ὑπερνικᾷ, ἔτι δὲ ἐν τῇ Ἀργολίδι οὐκ ὀλιγώτερα παιδία εἴδομεν ξανθά. Ὅσον δὲ πρὸς τὰ ἀρχαῖα, ἐνταῦθα οὔτε τοῦ ἀπαριθμεῖν εὐκαιρία τοὺς ξανθοὺς ἥρωας καὶ ἡρωΐνας τῶν ποιημάτων, μυθιστοριῶν, ζωγραφιῶν οὔτε τοῦ διεξιέναι τὰ πρὸς τὸ ξανθίζειν τὴν κόμην τεχνάσματα τῶν γυναικῶν· ἀλλ' οὐ χρὴ ἀποσιωπᾶν, ὅτι κατὰ μὲν Δικαίαρχον (Α, § 19) αἱ Θηβαῖαι, αἱ Ἡσιόδου γείτονες, ξανθότριχες ἦσαν, Ἀδαμάντιος δὲ ἐν τοῖς Φυσιογνωμικοῖς (2, 24) τὸ χρῶμα τοῦτο ἀναφέρει ἐν τοῖς τῶν γνησίων Ἰώνων χαρακτηριστικοῖς.

Πλὴν τὸ χρυσοειδὲς ὑπό τινων τῇ **μελαίνῃ** κόμῃ ἀπονέμεται. Ὁ χαρίεις τραγῳδοποιὸς ἐν τῇ μετὰ τοῦ μικρολόγου διδασκάλου διαλόγῳ ῥητῶς λέγει (Ἀθην. Δειπνοσ. 13, 604 b): «οὐδὲ ὁ ποιητὴς (σοὶ ἀρέσκει) λέγων ***χρυσοκόμαν*** Ἀπόλλωνα; χρυσέας γὰρ εἰ ἐποίησεν ὁ ζωγράφος τὰς τοῦ θεοῦ κόμας καὶ μὴ **μελαίνας**, χεῖρον ἂν ἦν τὸ ζωγράφημα». Τί δαί; Οὐχὶ καὶ ὁ Ἀνακρεόντειος ποιητὴς ἐγκωμιάζει Βαθύλλου κόμας «τὰ μὲν ἔνδοθεν μελαίνας, τὰ δ' ἐς ἄκρον ἡλιώσας»; (16 [29], 4, 5), ᾧ συνᾴδει Εὐνάπιος (ἐν Βίοις σοφιστῶν σ. 16: αἱ κόμαι μελάντεραί τε καὶ ἡλιῶσαι). Οὐ καθ' ἡμᾶς ὁ Σολωμὸς ὕμνησε «μαῦρα ὁλόχρυσα μαλλιά»; Τούτοις ἀντιτίθεμεν, ἐκτὸς τῶν ἔμπροσθεν εἰρημένων, τὰ ἑξῆς· «τοῖς δ' ἦν ξανθοτέρα μὲν ἑλιχρύσοιο γενειάς» Θεοκρίτ. Εἰδύλλ. 2,78): «ξανθὸν μὲν καὶ χρυσοῦ πέρα τὸ ἀτακτοῦν τῆς κόμης» (Φιλοστράτ. Εἰκόν. 2, 5), «χρυσόθριξ . . . . . ξανθοβόστρυχον κόμην ἔχων» (Νικήτας Εὐγενιανὸς 4, 80. 81), «κόμη τε φύσει ξανθὴ καὶ οὔλη ὡς εἴ ποτε φοιτῴη δι' ἡλίου, τοσοῦτον ἐκλάμπειν αὐτῷ πυροειδές τι ὡς τοὺς μὲν οἴεσθαι ῥίνημα χρυσοῦ προϊόντι ἐπιπάσσεσθαι, τοὺς δὲ ἐκθειάζειν, λέγοντας αἴγλην τινὰ οὐράνιον περὶ τὴν κεφαλὴν συγγεγενῆσθαι αὐτῷ (ταῦτα γράφει Ἡρῳδιανὸς 1,7, 9 περὶ τοῦ αὐτοκράτορος Κομμόδου). Ἡ χρυσοειδὴς ξανθότης ἐκφράζεται ὑπό τινων τῶν μετ' Ἀλέξανδρον ζωγράφων διὰ τοῦ καθαροῦ χρυσοῦ· τὸ αὐτὸ χρῶμα ἤρεσε τὰ μάλιστα ταῖς τῶν Βυζαντίνων γυναιξίν, ὅθεν ἡ τεχνικὴ ἐπιτυχία αὐτῆς τὸ μὲν διῆλθε πρὸς τὰς Βενετίδας, τὸ δὲ σῴζεται κατὰ τὸν πολυθρύλητον ἄγαν Fallmerayer, παρὰ τοῖς τῶν Τραπεζουντίων ἀπογόνοις.

947. *Ἀριάδνην*] Τὴν εὔχαριν

948. *Μίνωος*] Τοῦ περιωνύμου τῶν Κρητῶν βασιλέως. — Πρὸς τὰ λοιπά, παράθες 921. 946.

949. *ἀγήρω*] Ἴδε 277. Πρὸς τούτοις παρατίθεμεν τὸ τραγικόν· «Μόνοις οὐ γίγνεται θεοῖσι γῆρας οὐδὲ κατθανεῖν ποτε, τὰ δ' ἄλλα συγχεῖ πάνθ' ὁ παγκρατὴς χρόνος» (Οἰδ. Κολ. 607-9). Περιττὸν σημειώσασθαι, ὅτι Ἡσίοδος ἀποστρέφεται τὸν κοινὸν περὶ Θησέως μῦθον οὐχ ἧττον ἢ τὸν Ὁμηρικὸν (Ὀδ.

Ἥβην δ' Ἀλκμήνης καλλισφύρου ἄλκιμος υἱός,
ἲς Ἡρακλῆος, τελέσας στονόεντας ἀέθλους,
παῖδα Διὸς μεγάλοιο καὶ Ἥρης χρυσοπεδίλου,
αἰδοίην θέτ' ἄκοιτιν ἐν Ὀλύμπῳ νιφόεντι,
ὄλβιος, ὅς, μέγα ἔργον ἐν ἀθανάτοισιν ἀνύσσας,
ναίει ἀπήμαντος καὶ ἀγήραος ἤματα πάντα.
Ἠελίῳ δ' ἀκάμαντι τέκε κλυτὸς Ὠκεανίνη
Περσηῒς Κίρκην τε καὶ Αἰήτην βασιλῆα.
Αἰήτης δ' αὖ υἱὸς φαεσιμβρότου Ἠελίοιο
κούρην Ὠκεανοῖο τελήεντος ποταμοῖο

λ 320 κἑ.). Ἀριάδνη ἐπίσης τῶν θεῶν ἐνομίζετο ἐν Ἄργει (Νόνν. Διον. 47, 706 κἑ.) καὶ ἐπὶ Κρήτης καὶ Νάξου.

950. *Ἥβην*] Εἰς 922.

*καλλισφύρου*] Ἴδε 254.

951. *ἲς Ἡρακλῆος*] Περίφρασις ἧσσον συχνὴ τῆς «βίη Ἡρακληείη»· παρ' Ὁμήρῳ ὅμως εὑρίσκεται «ἲς Ὀδυσῆος» καὶ «ἲς Τηλεμάχοιο».

*ἀέθλους*] Σημαίνει ταὐτὸ ὥσπερ 800.

952] = Ὀδ. λ 604.

*χρυσοπεδίλου*] Ἴδε 12. Ἡ Ἥβης καταγωγὴ ῥητῶς ἐξαίρεται, ὅπως δηλωθῇ ἡ ἔκτακτος ἧς Ἡρακλῆς ἀξιοῦται τιμή.

953. *νιφόεντι*] Ἑρμήνευται ἐν τῷ εἰς 42 σχολίῳ. Ἡρακλῆς ἄγεται Ἥβην ὡς γενναιότατα ἐνσωματώσας τὴν ἀνδρικὴν ἥβην.

954. Τὸ μέγα ἔργον, ὃ ἤνυσε μεταξὺ τῶν θεῶν, οὐκ ἐκλαμβάνεσθαι δύναται, εἰ μὴ ὅτι ἐβοήθησεν αὐτοῖς πρὸς τοὺς Γίγαντας· «τοῖς δὲ θεοῖς λόγιον ἦν ὑπὸ θεῶν μὲν μηδένα ἀπολέσθαι δύνασθαι, συμμαχοῦντος δὲ θνητοῦ τινος τελευτήσειν» (Ἀπολλόδωρ. 1, 6, 1, 4). Καὶ οὕτω δὴ Νόννος ἐν τοῖς Διονυσιακοῖς τὸν γάμον ᾐτιολόγησεν (4,46 κἑ.). Ἔτι δὲ ὁ μῦθος ἤδη ἀπεικόνισται ἐν τῷ ἀετώματι τῷ τοῦ ἐν Ὀλυμπίᾳ Μεγαρικοῦ θησαυροῦ, ὃς ἀνήκει εἰς τὸν ἕκτον αἰῶνα.

955. *ναίει*] Ἐπίσης «ἐν ἀθανάτοισι».

*ἀπήμαντος*] Κοινωνεῖ τῆς ὑφ' Ἡσιόδου ἄλλοθι ἐγκωμιαζομένης «ἀκηδείας» τῶν θεῶν.

956-962. Φαίνονται παράρτημά πως ὅ,τι ἴσως προπαρασκευάζει τὰ ἐν τοῖς ἑπομένοις (992 κἑ.) περιεχόμενα.

956. *ἀκάμαντι*] Ὅτι ὁ Ἥλιος ἡμέραν παρ' ἡμέραν διέρχεται τὸν ἑαυτοῦ δρόμον· ὁ λαὸς ἐλεεῖ τὸν αἰώνιον οὐρανοδρόμον καὶ λέγει παροιμιακῶς «Τὰ βάσανά μου εἶνε πλειὸ πολλὰ ἀπὸ τοῦ ἥλιου τὰ πάθη».

*κλυτός*] Περὶ τοῦ γένους εἴπομεν ἀνωτέρω (657). Πρὸς δὲ τὴν ἔννοιαν, ἡ Ὠκεανὶς τὸ ἐπίθετον ἐκληρονόμησε παρὰ τοῦ πατρός (215. 274. 288).

*Ὠκεανίνη*] Ἴδε 364.

957. *Περσηΐς*] Ὅμηρος αὐτὴν Πέρσην ὀνομάζει (Ὀδ. κ 136 κἑ.).

*Κίρκην*] Τὴν ἐκ τῆς Ὀδυσσείας πασίγνωστον· ὅθεν ἐνταῦθα μνημονεύεται. Ὡσαύτως ὁ Αἰήτης τὴν περιωνυμίαν ὀφείλει τῷ Ἀργοναυτικῷ μύθῳ.

*βασιλῆα*] Ὁ Αἰήτης βασιλεύει ἐν τῇ μυθώδει Αἴᾳ, ἣν οἱ μεταγενέστεροι ἐνόμιζον Κολχίδα.

958. *φαεσι-μβρότου Ἠελίοιο* (= Ὀδ. κ 138)] Ὃς φαίνει τοῖς βροτοῖσιν.

959] = 242 (Κούρης).

γῆμε θεῶν βουλῆσιν Ἰδυῖαν καλλιπάρῃον.
Ἡ δέ νύ οἱ Μήδειαν εὔσφυρον ἐν φιλότητι
γείναθ' ὑποδμηθεῖσα διὰ χρυσέην Ἀφροδίτην.

---

Ὑμεῖς μὲν νῦν χαίρετ' Ὀλύμπια δώματ' ἔχοντες,

* * *

νῆσοί τ' ἤπειροί τε καὶ ἁλμυρὸς ἔνδοθι πόντος.
Νῦν δὲ θεάων φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο,
ὅσσαι δὴ θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.

960. *θεῶν βουλῆσι*] Προνοίᾳ θεῶν χάριν τοῦ τῶν Ἀργοναυτῶν στόλου.

*Ἰδυῖα*] Τὸ μὲν ὡς Ὠκεανὶς ἁρμοδία σύζυγος τοῦ πρὸς τῷ Ὠκεανῷ κατοικοῦντος Αἰήτου (Μίμνερμ. 11, 4 κἑ. κά.), τὸ δέ, πρὸς τὸ ὄνομα, ἀξία μήτηρ τῆς Μηδείας (παρὰ τὸ μῆδος).

961. *εὔσφυρον*] Πρβλ. 254.

962. *διὰ χρυσέην Ἀφροδίτην*] = 822.— Ἡ Μήδεια λοιπὸν θεός ἐστι κατὰ τὸν Ἡσίοδον, ᾧ συμφωνοῦσιν Ἀλκμὰν (Ἀθηναγ. πρεσβ. σ. 14, ἔκδ. Sylburg) καὶ Μουσαῖος (Σχόλ. Εὐριπίδ. Μήδ. 9) καὶ Πίνδαρος (Πυθ. 4, 11).

Ἐνταῦθα τελευτᾷ ἡ Θεογονία. Ὁ ποιητὴς ἐξεπλήρωσεν ὅσα ἐν τῷ προοιμίῳ ὑπέσχετο, καὶ πάντως κατὰ τὸ τέλος ταῖς Μούσαις τὰς καθηκούσας χάριτας ἐξέφρασεν, εἴγε τὰ ἀκολουθοῦντα ἄλλου τινὸς ἔργον. Ὅπως δὲ ἂν τοῦτο ἔχῃ, ἄρχεται ἤδη ἄλλη ῥαψῳδία.

963-968. Ταῦτα ἀποτελοῦσιν ἅμα ἐκείνου μὲν τὸν ἐπίλογον, τούτου δὲ τὸ προοίμιον. Δυστυχῶς ἐν τῷ ἀρχετύπῳ χειρογράφῳ μετὰ τὸν 963 ἐξέπεσε στίχος, ὅστις οὕτω πως ἂν εἶχεν· «ἄλλοι θ', οὓς ἔτρεφον . . . . . .» (καθάπερ ἐν τῷ προοιμίῳ εἴρηται: «οὕς θ' ἁλμυρὸς ἔτρεφε πόντος»).

964. *ἤπειροι*] Ὁ πληθυντικὸς ἢ Ἀσίαν καὶ Εὐρώπην (ἴδε 349) δηλοῖ ἢ κατ' ἀναλογίαν τοῦ «νῆσοι» τίθεται (οἷον Καλλιμάχ. Ὕμν. 4, 267: πίονες ἤπειροί τε καὶ αἳ περιναίετε νῆσοι, Διονύσ. Περιηγ. 1181: ἤπειροί τε καὶ εἰν ἁλὶ χαίρετε νῆσοι)· ἣν γνώμην προτιμῶμεν, ὅτι λείπει τὸ ἄλλως προστιθέμενον *δύο* ἢ συνώνυμον (Σοφοκλ. Τραχίν. 101: δισσαῖσιν ἀπείροις, Ἀπόσπ. 796: τὸ δύ' ἠπείρω, Μόσχ. Εἰδύλλ. 1,8: ἀπείρους δοιάς, Ἀντιπ. Θεσσαλον. ἐπιγρ. 56, Ἀνθολογ. 7,18, Κριναγ. ἐπ. 21, Ἀδδαῖος ἐπ. 10. Ἀνθολογ. 7, 240).

965. *ἡδυέπειαι*] Τὸ τοῦ ἡδυεπὴς θηλυκὸν ἐσχημάτισται κατὰ τὸν παλαιὸν κανόνα (*ια*).

966] = 25. 52. 1022.

967. *ὅσαι δή*] Ὅσαι ποτέ, οἷον Ἰλ. Λ 219 (:«ἔσπετε νῦν μοι, Μοῦσαι), ὅστις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίον ἦλθεν».

968. Ἐκ τῆς θείων καὶ ἀνθρωπίνων μίξεως φυσικῶς γεννῶνται θεοειδεῖς, οὐ μὴν ἀθάνατοι· οὕτω καὶ ὁ Ὁμηρικὸς

Δημήτηρ μὲν Πλοῦτον ἐγείνατο, δῖα θεάων,
Ἰασίῳ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι
νειῷ ἐνὶ τριπόλῳ, Κρήτης ἐν πίονι δήμῳ,
ἐσθλόν, ὃς εἶσ' ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
πᾶσιν· τῷ δὲ τυχόντι καὶ οὗ κ' ἐς χεῖρας ἵκηται,
τὸν δ' ἀφνειὸν ἔθηκε, πολύν τέ οἱ ὤπασεν ὄλβον.
Κάδμῳ δ' Ἁρμονίη, θυγάτηρ χρυσέης Ἀφροδίτης,
Ἰνὼ καὶ Σεμέλην καὶ Ἀγαύην καλλιπάρῃον
Αὐτονόην θ', ἣν γῆμεν Ἀρισταῖος βαθυχαίτης,

Ἀχιλλεὺς προσαγορεύεται: «θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ».

969. *Πλοῦτον*] Τούτῳ ὁ Ἀσκραῖος τὴν πρωτείαν ἀπονέμει ὡς λατρευομένῳ ἐν Θεσπιαῖς (Παυσαν. 9,26,6).

*δῖα θεάων*] Ναὶ μὲν ἡ φράσις ἐν ταῖς ἐποποιίαις πεπάτηται, νῦν δὲ οὐδὲν ἧττον σημαντικῶς κεῖται, ἀκολουθοῦντος τοῦ «ἥρωϊ», ἣ λέξις οὐχ ἤδη τοὺς ἡμιθέους, ἀλλ' ἁπλῶς τοὺς ἀνδρείους καὶ εὐγενεῖς ἐσήμαινεν.

970. *Ἰασίῳ*] Ὁ αὐτός ἐστι τῷ ἐν τῇ Ὀδυσσείᾳ (ε 125) Ἰασίωνι.

971. *νειῷ ἐνὶ τριπόλῳ*] Εἴληπται ἐξ Ὀδ. ε 127, ὅπου ἐπὶ τοῦ αὐτοῦ μύθου κεῖται. Ὁ τρίπολος νειὸς τρὶς ἤροται, ὅπερ οἱ Θηραῖοι λέγουσι «τριαλετρίζω».

*ἐν πίονι δήμῳ*] = Ἰλ. Π 514· ἔπιθι τὸ ὅμοιον ἡμιστίχιον 477. Τὰ δύο κῶλα πρὸς ἄλληλα συνάφειαν ἔχουσιν, ὡς δεικνύει ἀνάλογον Ὁμήρου χωρίον (Σ 541-2): «νειὸν μαλακήν, **πίειραν** ἄρουραν, εὐρεῖαν τρίπολον».

972. Οὐ πολὺ παραλλάσσει τοῦ 762 στίχου.

973. *τῷ δὲ τυχόντι*] Διὸ ἐν Θήβαις συνῴκει μετὰ Τύχης (Παυσαν. 9, 16,1).

*ἐς χεῖρας ἵκηται*] Τυφλὸς γάρ ἐστιν, ὡς Ἱππῶναξ ἤδη ὠνείδισεν (Ἀπόσπ. 20). Τὸ Ἀριστοφάνους φερώνυμον δραμάτιον, ὡς εἰπεῖν, διακριβοῖ τοῦτο τὸ χωρίον· ὁ Πλοῦτος γίνεται ὑποχείριός πως τοῦ τυχόντος.

974. Ὁ πλεονασμὸς ἐγένετο ἐκ τοῦ ὅτι Ἡσίοδος Ὁμηρικὸν στίχον μετέπλασε· «καί μ' ἀφνειὸν ἔθηκε, πολὺς δέ μοι ὤπασε **λαόν**» (Ἰλ. Ι 483), ὃ πολὺ ἐπιτηδειότερον.

*δ'*] Ἐπαναλαμβάνει τὸ ἐν τῷ προηγουμένῳ στίχῳ μόριον.

*ἀφνειόν*] Παρῆκται ἀπὸ τοῦ ἄφενος (ἤτοι πλοῦτος).

*ὄλβον*] Συνωνυμεῖ τῷ πλούτῳ, ἣν λέξιν ἀκολουθεῖ Ἰλ. Π 596. Ω 536. Ὀδ. ξ 206. Ἔ. 637.

975. Τὴν δευτέραν θέσιν ἀποδίδωσι Θηβαϊκῷ μύθῳ. Πρβλ. 937.

*χρυσέης*] Τὴν τοῦ ἐπιθέτου ἐξήγησιν ζήτει εἰς 822.

976. *Ἀγαύην*] Τὴν τοῦ δυστυχοῦς Πενθέως δυστυχεστέραν μητέρα. Περὶ τῆς Ἰνοῦς καὶ Σεμέλης τύχης φυλάσσομεν τὴν αὐτὴν σιωπήν, ἣν Ἡσίοδος (ἐκτὸς ὧν ἐν τοῖς ἔμπροσθεν εἶπε περὶ Σεμέλης).

977. Περὶ Αὐτονόης μόνης περισσότερα λέγει, ἐπειδὴ θεὸς αὐτὴν ἐξέλεξεν εἰς γυναῖκα. Οἱ γὰρ Ἕλληνες ἠπίσταντο, ὅτι Ἀρισταῖος υἱὸς Ἀπόλλωνος ἦν ἐκ τῆς νύμφης Κυρήνης· ὃν μῦθον λίαν φιλοκάλως Πίνδαρος ἐν τῇ Θ' Πυθικῇ ᾠδῇ (στ. 59 κἑ.) διηγεῖται.

*βαθυχαίτης*] Ἅτε τοῦ «ἀκερσεκόμου» Ἀπόλλωνος, ὃς ἐξεφαίνετο «χαί-

γείνατο καὶ Πολύδωρον ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
[Κούρη δ' Ὠκεανοῦ Χρυσάορι καρτεροθύμῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης,
Καλλιρόη τέκε παῖδα βροτῶν κάρτιστον ἁπάντων,
Γηρυονέα, τὸν κτεῖνε βίη Ἡρακλεείη
βοῶν ἕνεκ' εἰλιπόδων ἀμφιρρύτῃ ἐν Ἐρυθείῃ].
Τιθωνῷ δ' Ἠὼς τέκε Μέμνονα χαλκοκορυστήν,

τη εἰλυμένος εὐρέας ὤμους» Ὕμν. (Ὁμηρ. 2, 72), ἐκγεγονώς, καὶ αὐτὸς τρέφει τὴν κόμην. Πρὸς τοῦτο οὐκ ἀντιπαραβλητέον τὰ ὡραίων νεανιῶν ἐγκώμια (οἷον Θεοδώρ. Προδρόμ. Ῥοδάνθ. 2,132: ὤμους ἐς αὐτοὺς καθιεὶς τοὺς βοστρύχους) οὐδὲ τὸ δημοσίᾳ «κομῆσαι» τοὺς Σπαρτιάτας καὶ Ἀργείους (Ἡροδότ. 1,82, ὥσπερ καὶ μέχρις ἡμῶν οἱ Πελοποννήσιοι ἐσοβαρεύοντο ἐπὶ μακρᾷ κόμῃ)· ἀλλὰ ἐκείνας τὰς μαρτυρίας ἀκούσωμεν, καθ' ἃς αὕτη σεμνόν τι ἐδήλωσεν· ἐν Χαιρωνείᾳ, τῇ Βοιωτῶν πόλει, ὁ ἄρχων κατὰ τὸν νόμον «ἐκόμα» (Πλουτάρχ. Ζητ. Ῥωμ. 40), ἐπὶ δὲ τῶν Κορινθιακῶν ζωγραφιῶν, ἃς ἐνέκαυσαν κατὰ τὸν ἕβδομον π. Χ. αἰῶνα εἰς πήλινα πινάκια, Ποσειδῶν βαθυχαίτης παρίσταται (ἔπιθι τὰ «Μνημεῖα», ἐκδοθέντα ὑπὸ τῆς Ἀθήνησι Γερμανικῆς Σχολῆς τ. Α', πίν. 7, 1. 11. 13. 28).

978. *Πολύδωρον*] Τὸν τοῦ Λαβδάκου πατέρα, ἐξ οὗ τὸ τῶν Λαβδακιδῶν γένος.

*ἐϋστεφάνῳ ἐνὶ Θήβῃ*] = Ἰλ. Τ 99. Τὸ ἐπίθετον εἴληπται ἀπὸ τοῦ «στεφάνου» (Πινδάρ. Ὀλ. 8, 32. Ἀνθολογ. 9, 104, 3. Ὀρφ. Ἀργον. 895) ἢ τῆς «στεφάνης» (Εὐριπ. Ἑκ. 910. Τρω. 779. Ἀνθολογ. 9, 97, 3. 151, 2. Σχόλ. εἰς Πλάτωνα σ. 209), δι' ἧς «ἐστεφάνωται» (Πλουτάρχ. Λυκοῦργ. 19. Παυσαν. 9,15, 6) ἡ πόλις, καὶ νῦν εἰσέτι «στεφάνι» ἐν τοιαύτῃ τῇ χρήσει ὑπάρχει. Εἰδικώτερον δὲ «ἀνδρὸς μὲν στέφανος παῖδες, **πύργοι** δὲ πόληος» (Ὁμηρ. Ἐπιγράμμ. 13, 1). Τὰ τείχη ταῦτα, ὡς Ὅμηρος διηγεῖται (Ὀδ. λ 262-5), ἔκτισαν οἱ Ἀντιόπης παῖδες Ζῆθος καὶ Ἀμφίων.

979. Χρυσάωρ ἐν μέσῳ θνητῶν τίθεται, ἐπειδὴ υἱὸς τῆς θνητῆς Μεδούσης ἦν (277)· τοῦ δὲ υἱοῦ ἐπίσης ὄντος θνητοῦ, καὶ αὐτὸς ἐστερεῖτο τῆς ἀθανασίας. Ἀλλ' ὅμως ὁ αὐτὸς ποιητὴς οὐκ ἔγραψε τοὺς στίχους 287-294 καὶ τοὺς προκειμένους. Τοῦτο δυνάμεθα ἐξειπεῖν ἀπροφασίστως. Ὅστις μὲν οὖν τὸ παράρτημα τοῦτο γνήσιον θεωρεῖ, τούτῳ ὀβελιστέον τὸ ἕτερον χωρίον· ὅστις δὲ τὰ ἅπαντα ἀπορρίπτει ὡς οὐχ Ἡσιόδεια, ταῦτα ἀνέπαφα ἐᾶσαι ἔξεστιν.

980. = Ἠοιῶν ἀπόσπασμα ὑπὸ τοῦ εἰς Πινδάρου Πυθ. 4, 35 σχολιαστοῦ σωζόμενον ἐν στ. 3.

*πολυχρύσου*] = Χρυσέης (822). Ἡ φράσις ὁλόκληρος οὐ πρὸς Ἡσιόδου.

971. *ἁπάντων*] Ὑπερβολὴ ἄλογος· πῶς γὰρ Ἡρακλῆς αὐτὸν ἐνίκησεν;

982. *βίη Ἡρακλεείη*] = 289 κτλ.

983. Παράθες πρὸς στ. 290.

984. *Τιθωνῷ*] Ἡσίοδος αὐτὸν εἰσάγει ὡς ἐραστὴν τῆς Ἕω, οὐχὶ μέντοι ὡς ἄνδρα, ὅπερ ποιοῦσιν Ὅμηρος (Ἰλ. Λ 1 = Ὀδ. ε 1) καὶ οἱ μεταγενέστεροι. Ἀγνοεῖ ἑπομένως καὶ τὸν γνωστὸν περὶ τῆς ἀπαισίου ἀθανασίας μῦθον, οὗ μάρτυς παλαιότατος κατέστη ὁ τὸν Ὁμηρικὸν εἰς Ἀφροδίτην ὕμνον ποιήσας (στ. 218 κέ.).

Αἰθιόπων βασιλῆα, καὶ Ἠμαθίωνα ἄνακτα.
Αὐτάρ τοι Κεφάλῳ φιτύσατο φαίδιμον υἱόν,
ἴφθιμον Φαέθοντα, θεοῖς ἐπιείκελον ἄνδρα.
Τόν ῥα νέον, τέρεν ἄνθος ἔχοντ' ἐρικυδέος ἥβης,
παῖδ' ἀταλὰ φρονέοντα φιλομμηδὴς Ἀφροδίτη
ὦρτ' ἀνερειψαμένη, καί μιν ζαθέοις ἐνὶ νηοῖς

*Μέμνονα χαλκοκορυστήν*] Τὸν τῆς Αἰθιοπίδος λεγομένης ἥρωα, ὃν Ἀχιλλεὺς τελευταῖον ἀπέκτεινεν. Τὸ ἐπίθετον ὑπαινίττεται λοιπὸν τὸν Τρωϊκὸν πόλεμον.

*Ἠμαθίωνα*] Ὃν Ἡρακλῆς, πρὸς τὰς Ἑσπερίδας τὴν πορείαν ποιούμενος, ἐφόνευσεν (ἧς ἱστορίας οἱ σχολιασταὶ μάρτυρα ἐπάγουσι Φερεκύδην). Βασιλεύει λοιπὸν ἐν τῇ μυθώδει δύσει ὅπου ἡ Ἕως, ἂν πιστεύωμεν Ὁμήρῳ (Ὀδ. μ 3. 4), κατοικητήριον καὶ ὀρχήστρας εἶχεν· ἡ ἕως δηλαδὴ συνεταυτίσθη μετὰ τῆς ἑσπερινῆς ἐρυθρότητος τοῦ οὐρανοῦ (Νόνν. Διονυσ. 18, 159). Ἡ ἐτυμολογία οὐκ ἀσαφής· τὸ ὄνομα σχετίζεται πρὸς «ἄμαθον» ἢ ἄμμον καὶ «ἠμαθόεσσαν» ἀκτήν.

986. *Αὐτάρ τοι*] Ἀντὶ τοῦ ἁπλοῦ μορίου ἐν τοῖς ἀνὰ χεῖρας ποιήμασιν ἅπαξ εἴρηται.

*Κεφάλῳ*] Ὃν ἄλλοι μυθολόγοι τῇ κακοπαθεῖ Πρόκριδι συζευγνύουσιν.

*φιτύσατο*] Κυρίως, ἐφύτευσεν. Οἱ παλαιοὶ φιλοῦσιν ἐπὶ τοῦ γάμου μεταφορὰς ἐκ τῆς γεωργίας εἰλημμένας (πρβλ. Εὐριπ. Φοιν. 18).

*φαίδιμον*] 453.

987. *ἴφθιμον*] Ἔπιθι 455.

*Φαέθοντα*] Τὸ ὄνομα ἐπίθετον τοῦ Ἡλίου ἐστὶ (Ἰλ. Λ 735. Ὀδ. ε 479. λ 16. τ 441. χ 388) καὶ ἵππον τοῦ θεοῦ σημαίνει (Ὀδ. ψ 246), ὅθεν κατὰ τὸν κοινὸν μῦθον ἐγενεαλογεῖτο ἀφ' Ἡλίου καὶ Κλυμένης. Ἀλλὰ παραπέμπομεν εἰς τὸ 2, 42 τῶν Ὑγίνου ποιητικῶν ἀστρονομικῶν, ἐξ οὗ μανθάνομεν, ὅτι **Ἕσπερος** Κεφάλου καὶ Ἕω υἱὸς ὑπελαμβάνετο.

Πρὸς τὰ λοιπὰ παράθες 968.

988. Πρβλ. Ὕμν. Ὁμηρ. 3, 375: τέρεν ἄνθος ἔχει ἐρικυδέος ἥβης, ἔτι δὲ Ἰλ. Λ 225: ἐρικυδέος ἥβης.

*ἄνθος ἥβης*] Ἡ μεταφορὰ παρὰ τοῖς λυρικοῖς καὶ τοῖς νεωτέροις τῶν ἐποποιῶν συχνάζει, καίτοι τὴν Ὁμήρου φιλοκαλίαν παραδόξως διέλαθεν. Ἀξίως τῶν προγόνων Κρής τις μυρολογεῖ· «εἰς τὸν ἀνθὸν τῆς νεότης» (Κρητικὴ Μέλισσα τῆς Ἐλπίδος Μελαίνης σ. 28) καὶ ἕτερος «τσῆ νειότης τὸν ἀθό σας» (Κρητικαὶ Ῥίμαι σ. 31, στ. 812).

990. *ἀταλὰ φρονέοντα*] Παρὰ τὸ ἀτάλλω ἤτοι σκιρτάω. Τὸ νόστιμον ἐπίθετον ἔπλασεν ὁ τῆς Ἰλιάδος ποιητής (Σ 567: ἀταλὰ φρονέοντες, πρβλ. Ζ 400: παῖδ' ἀταλόφρονα). Ἡ λέξις εἰσέτι θάλλει ἐν ἀποκέντροις μέρεσι τοῦ Ἑλληνισμοῦ, οἷον ἐν τῇ Ἀλαγονίᾳ *ἄταλος* σημαίνει τῶν καρπῶν τὰ μαλακὰ ἔτι τὸ κέλυφος καὶ ἄωρα, ἐπὶ δὲ βομβυκίων τῆς μετάξης τὰ μήπω στερεοποιηθέντα, ἐπὶ δὲ Κεφαλληνίας τὸ παράγωγον *ἀτάλικος* συνώνυμον τῷ ἁπαλός, οἱ δὲ Ἰθακήσιοι προφέρουσι «'ταλικός» ὡς ἀδύνατος. Ἀβέβαιον δὲ εἰ τὸ Ποντικὸν «χάταλον» (παιδίον) εἰς τὴν λέξιν ταύτην ἀνήκει.

*φιλομμηδής*] Ἴδε 259.

*ἀνερειψαμένη*] Ἀνελκύσασα βιαίως (παρὰ τὸ ἐρείπω)· ὃ κάλλιον ἐπὶ τῶν Ἁρπυιῶν τίθεται.

*ζαθέοις*] Ἴδε 2.

νηόπολον μύχιον ποιήσατο, δαίμονα δῖον.
Κούρην δ' Αἰήταο διοτρεφέος βασιλῆος
Αἰσονίδης βουλῆσι θεῶν αἰειγενετάων
ἦγε παρ' Αἰήτεω, τελέσας στονόεντας ἀέθλους,
τοὺς πολλοὺς ἐπέτελλε μέγας βασιλεύς, ὑπερήνωρ
ὑβριστής, Πελίης, καὶ ἀτάσθαλος ὀβριμοεργός.
Τοὺς τελέσας ἐς Ἰωλκὸν ἀφίκετο, πολλὰ μογήσας,

991. Εὔδηλον, ὅτι ὁ Ἡσιόδειος Φαέθων ὁ αὐτός ἐστι τῷ Σημιτικῷ ὀνόματι καλουμένῳ Ἀδώνιδι («κυρίῳ»)· τοῦτο ἐξάγεται ἐκ τοῦ Γουδιανοῦ Ἐτυμολογικοῦ στήλ. 323, 53-4· λέγεται παρὰ τοῖς Κυπρίοις κῖρις ὁ **Ἄδωνις**, παρὰ δὲ τοῖς Λάκωσιν ὁ **λύχνος**.

*νηόπολον*] Λέξις σεμνοτέρα τοῦ συνωνύμου νεωκόρος, ὡς καὶ Ἀλκαῖος, κατὰ Στράβωνα (9, 2, 34 σ. 413). «Τήνερον καλεῖ ναοπόλον μάντιν».

*μύχιον*] Ἐν τῷ μυχῷ ἢ ἀδύτῳ τοῦ ναοῦ.

*δαίμονα δῖον*] Οὐχὶ ὡς δοῦλον, ἀλλὰ ὡς «πάρεδρον». Ὅμοιόν τι ἐγένετο περὶ Ἀθηνᾶν καὶ Ἐρεχθέα· «καὶ γὰρ Ἀθηναίη τε Ἐριχθόνιον βασιλῆα νηῷ ἐγκατέθηκε, συνέστιον ἔμμεναι ἱρῶν» (Μάρκελλος ἐν τῷ παραρτήματι τῆς Ἀνθολογίας 50, 30-1). — Ἡσίοδος πρῶτος ὧν ἴσμεν τοὺς δαίμονας διέκρινε τῶν θεῶν. Περὶ οὗ θεολογικὸν σύστημα οἱ Ἕλληνες οὐκ ἀνέπτυξαν εἰ μὴ οἱ φιλόσοφοι, καὶ μάλιστά γε οἱ Νεοπλατωνικοί· ἀλλ' ὅμως οἱ προσκυνηταὶ ἐν ἐνίαις πόλεσι τάξιν τινὰ ἐφύλασσον, π. χ. οὐ μακρὰν τῆς Βοιωτίας ἐν Ὀποῦντι τῶν Λοκρῶν ὁ μὲν ἕτερος ἱερεὺς τοῖς θεοῖς, ὁ δὲ τοῖς δαίμοσι διετέτακτο (Πλουτάρχ. Ζητ. Ἑλλην.).

992. *διοτρεφέος*] Παράθες τὰ εἰς 82 εἰρημένα.

993. *Αἰσονίδης*] Ἰάσων τοσοῦτο περιώνυμος ἦν, ὥστε ἅπαντες καὶ τὸ ἁπλοῦν πατρωνυμικὸν κατέλαβον, ὥσπερ οἱ Ὁμήρου ἀκροαταὶ οὐκ ἠγνόησαν τίς ἦν ὁ Μενοιτιάδης (Ἰλ. Α 307).

*βουλῆσι*] Ἐπειδὴ Μήδεια ἀθάνατος ἦν, ἡ τῶν θεῶν συγκατάνευσις ἀπῃτήθη. Πρὸς τούτοις, Ἥρα καὶ Ἀφροδίτη αὐτὸν ἐβοήθησαν.

*θεῶν αἰειγενετάων*] = 548. 893.

994. *ἦγε*] Οὐκ εἶπεν· ἥρπασε, καθάπερ 914, διότι Μήδεια συνήνεσεν.—994-999. Μίμνερμος (11, 2. 3) σαφῶς αἰνίττεται. Τὸ παράλληλον τοῦτο χωρίον ὑπομιμνήσκει ἡμᾶς ὅτι τὸ δεύτερον ἡμιστίχιον οὐκ εἰκῇ ἐπανείληπται ἐξ 951, ἀλλὰ τὸ *ἀέθλους* ὑποδηλοῖ τὸ τοῦ στόλου ἔπαθλον, τὸ χρυσόμαλλον δέρμα.

995. *ὑπερήνωρ*] Ὑπερήφανος.

996. *Πελίης*] Ἰωλκοῦ βασιλεύς, οὗ τὴν ἐκ Τυροῦς γέννησιν Ὅμηρος ἐν τῇ Νεκυίᾳ ἀκριβῶς καὶ εὐπρεπῶς διηγεῖται (Ὀδ. λ 235 κἑ.).

Ἡ ἀλλόκοτος τῶν λέξεων τάξις ἀπορρεῖ ἐκ μιμήσεως Ὁμηρικοῦ χωρίου (Ἰλ. Χ 418: ἀτάσθαλον ὀβριμοεργόν). Ἐν τούτοις ἀπὸ τῶν πολυπληθῶν ἐπιθέτων αἰσθανόμεθα, ὅτι, ἐκτὸς τοῦ Ἡρακλέους, Ἰάσων ὁ ἐξαιρέτως ἀγαπητὸς ἦν ἥρως τοῦ ποιητοῦ. Περὶ τοῦ τελευταίου ἔπιθι τὰ ἐν 148 σεσημειωμένα.

997. *Ἰωλκόν*] Ἰωλκὸς (ὃ κατὰ συναλοιφὴν ἐγένετο ἐκ τοῦ Ἰαολκός) παμπάλαιος πόλις ἦν, κειμένη ὑπὸ τὸ Πήλιον ἐν τῷ ἐνδοτάτῳ μυχῷ τοῦ Παγασητικοῦ κόλπου (κόλπου τοῦ Βώλου), ἣ φύσει προώριστο πρὸς τολμηροὺς πλοῦς. Ἀλλὰ ἐπὶ τῶν διαδόχων ἀφανὴς ἦν.

ὠκείης ἐπὶ νηὸς ἄγων ἑλικώπιδα κούρην
Αἰσονίδης, καί μιν θαλερὴν ποιήσατ' ἄκοιτιν.
Καί ῥ' ἥγε δμηθεῖσ' ὑπ' Ἰήσονι ποιμένι λαῶν
Μήδειον τέκε παῖδα· τὸν οὔρεσιν ἔτρεφε Χίρων
Φιλυρίδης, μεγάλου δὲ Διὸς νόος ἐξετελεῖτο.
Αὐτὰρ Νηρῆος κοῦραι, ἁλίοιο γέροντος,
ἤτοι μὲν Φῶκον Ψαμάθη τέκε δῖα θεάων
Αἰακοῦ ἐν φιλότητι διὰ χρυσέην Ἀφροδίτην,
Πηλεῖ δὲ δμηθεῖσα θεὰ Θέτις ἀργυρόπεζα
γείνατ' Ἀχιλλῆα ῥηξήνορα θυμολέοντα.

*πολλὰ μογήσας*] (πονήσας) Συχνάζει παρ' Ὁμήρῳ (π. χ. Ἰλ. Β 690).

998. *ὠκείης ἐπὶ νηός*] Τί ὄφελος ὀνομάσαι τὴν Ἀργὼ πρὸς Ἕλληνας;

*ἑλικώπιδα*] Πρβλ. 298.

999. Παράθες 921. 946.

1000. *ποιμένι λαῶν*] Φράσις Ὁμηρική· «ὁ καλὸς βασιλειᾶς καὶ ὁ καλὸς τσομπάνης εἶνε τὸ ἴδιο» (Βενιζέλου Παροιμ. Ο 164).

1001. *Μήδειος*] Ἐπ' ἀληθείᾳ τῆς ἑαυτοῦ μητρός ἐστιν υἱός.—Τὸν ἐν Κορίνθῳ μῦθον, ὃν ἐξετραγῴδησεν ὁ τραγικώτατος ποιητής, Ἡσίοδος ἀγνοεῖ.

*οὔρεσιν*] Ἐν τῷ Πηλίῳ, ὃ ὑπέρκειται τῆς Ἰωλκοῦ.

* *Χίρων*] Ὁ «δικαιότατος Κενταύρων» (Ἰλ. Λ 832), ὃς καὶ τὸν νέον Ἀχιλλέα ἐξεπαίδευσεν.

1002. *Φιλυρίδης*] Ἀπὸ τῆς μητρὸς Φιλύρας (ὥσπερ Πινδάρ. Πυθ. 3, 1. 9, 30), ἐπειδὴ τὸ πατρωνυμικὸν λείπει. Οὗ τὴν αἰτίαν μανθάνομεν παρὰ τοῦ Ἀπολλώνιον τὸν Ῥόδιον ἐξηγουμένου σχολιαστοῦ (2,1231)· «Φερεκύδης φησίν, ὅτι Κρόνος ἀπεικασθεὶς ἵππῳ ἐμίγη τῇ Φιλύρᾳ τῇ Ὠκεανοῦ, καὶ διὰ τοῦτο διφυὴς ὁ Χίρων». Ἀναλόγως τὰ μητρωνυμικὰ «Λητοΐδης» (Ἀσπ. 479. Ἀπόσπ. παρ' Ἀθηναγόρᾳ 29. Ὕμν. Ὁμηρ. 253) καὶ «Δαναΐδης» (Ἀσπ. 229)· ἀπὸ τοῦ Ζεὺς δηλαδὴ πατρωνυμικὸν οὐκ ἐσχηματίσθη, διότι εἴγε ἐτυπώθη, οὐκ ἂν ἐγένετο διακριτικόν. Ἐπάναγκες λοιπὸν οἱ πολυάριθμοι παῖδες αὐτοῦ ἀπὸ τῆς μητρὸς ἢ τοῦ πάππου ἢ τοῦ τροφέως ἐπονομασθῆναι.

*μεγάλου—ἐξετελεῖτο*] Πρβλ. Ὕμν. Ὁμηρ. 3,10: μεγάλοιο Δ. ν. ἐ. Ἡ ὑπὸ Χίρωνος παιδεία ἐγένετο «βουλῇ Διός».

1003. *ἁλίοιο γέροντος*] Περὶ τούτου ἱκανὰ εἴρηται ἐν τοῖς εἰς 234.

1004. *ἤτοι μέν*] Ὁ προηγούμενος πληθυντικὸς καὶ οἱ ἑξῆς ἑνικοὶ κεῖνται καθ' ὅλον καὶ κατὰ μέρος.

*Φῶκον*] παρὰ τὸ φώκη· ἀδελφὸς ἦν Πηλέως καὶ Τελαμῶνος, ὑφ' ὧν ἐφονεύθη ἐκ φθόνου.

*δῖα θεάων*] Ὁμηρικῶς, ἀντὶ τοῦ δίη θεά.

1005. *Αἰακοῦ*] Τοῦ τῶν Αἰγινητῶν βασιλῆος.

*διὰ χρυσέην Ἀφροδίτην*] = 822.

1006. *θεὰ Θέτις ἀργυρόπεζα*] Ἐκ τῶν Ὁμηρικῶν ποιημάτων εἴληπται (Ἰλ. Ι 410 κἀ.), οὐδὲν ἧττον δὲ «θεὰ» ἐνταῦθα σημαντικώτερον, κατ' ἀντίθεσιν κεῖται. — Ἐκ τοῦ ἐπιθέτου Φιλόστρατος συμπεραίνει (Ἐπιστολ. 36), ἐπειδὴ «ὁ πάσας ἀκριβῶς εἰδὼς τὰς κάλλους ὑπεροχὰς» οὕτω λέγοι, μὴ καλύψαι τὴν ἐρωμένην τοὺς πόδας εἰς ὑποδήματα.

1007. = Ἰλ. Η 228 (καὶ μετ' Ἀχ.).

Αἰνείαν δ' ἄρ' ἔτικτεν ἐϋστέφανος Κυθέρεια
Ἀγχίσῃ ἥρωϊ μιγεῖσ' ἐρατῇ φιλότητι
Ἴδης ἐν κορυφῇσι πολυπτύχου ὑληέσσης.
Κίρκη δ', Ἠελίου θυγάτηρ Ὑπεριονίδαο,
γείνατ' Ὀδυσσῆος ταλασίφρονος ἐν φιλότητι
Ἄγριον ἠδὲ Λατῖνον, ἀμύμονά τε κρατερόν τε
Τηλέγονόν οἱ ἔτικτε διὰ χρυσέην Ἀφροδίτην.
Οἱ δ' ἤτοι μάλα τῆλε, μυχῷ νήσων ἱεράων

*ῥηξήνορα*] Ἀπὸ τοῦ «ῥήγνυσθαι» φάλαγγας, ὅμιλον.

*θυμολέοντα*] Τυρταῖος τοῦτο ἀναλύει· «αἴθωνος δὲ λέοντος ἔχων ἐν στήθεσι θυμόν» (Ἀπόσπ. 13). Κανονικώτερον συντέθειται: λεοντόθυμος.

1008. *ἐϋστέφανος*] Ἐξήγησιν γενικὴν παρέσχομεν ἐν τοῖς ἔμπροσθεν (196). Ἀφροδίτη δέ, οὐδεμιᾶς ἧττον, οὕτω προσαγορεύεται (Ὀδ. σ 193. θ 288. Ὕμν. Ὁμηρ. 4, 6. 177. 287. 6, 18), ὡς πολύχρυσος (980)· φέρει δηλαδὴ ἐπὶ τῆς ἀθανάτου κεφαλῆς «στεφάνην εὔτυκτον» (Ὕμν. Ὁμηρ. 6,7). Στεφάνη γάρ, οὐχὶ στέφανος ἡ πρωτοφανὴς λέξις.

1009. Συνᾴδει τῷ 970, πλὴν μετέβαλε τὸ ὄνομα.

1010. = Ἰλ. Φ 449 (αὐτόθι ὅμως γράφεται νῦν «ἐν κνήμῃσι» ἀντὶ τοῦ «ἐν κορυφῇσι») καὶ Χ 171 (ἐκτὸς τῆς τελευταίας λέξεως).

*πολυπτύχου*] Πρβλ. 113· ἡ Ἴδη συνέστηκεν ἐκ πολλῶν ὑψωμάτων διασχιζομένων διὰ πολλῶν «πτυχῶν» καὶ κατωφερειῶν.

*ὑληέσσης*] Τὸ ὄρος δικαίως οὕτω καλεῖται, διὸ Θεόφραστος μνημονεύει αὐτὸ συχνάκις ἕνεκα τῶν δένδρων. Καὶ δὴ Θεόκριτος παροιμιακῶς αὐτὴν ἀναφέρει· «Ἴδαν ἐς πολύδενδρον ἀνὴρ ὑλατόμος ἐλθὼν παπταίνει, παρεόντος ἅδην, πόθεν ἄρξεται ἔργου» (17, 9.10).— Ἀγχίσης ἐκεῖ ἐποίμαινεν (Ἰλ. Ε 313)

1011. *Ὑπεριονίδαο*] Πρβλ. 134. Τὰ Κίρκης παιδία ὁ ποιητὴς συνεδύασεν ἐξ Ὀδ. κ 347 κτλ.

1012. *Ὀδυσσῆος ταλασίφρονος*] Ὁμηρικὴ φράσις (οἷον Ὀδ. λ 466).

* 1013. Κίρκην Ὅμηρος μὲν φαντάζεται ἐν τῇ ἐσχάτῃ δύσει πλησίον τοῦ Ὠκεανοῦ· ἐξ οὗ δὲ οἱ Ἕλληνες ἐπέπλεον τὴν Ἰταλικὴν θάλασσαν καὶ αὐτόθι ἐπάλαιον μετ' ἀγρίων ἀνθρώπων καὶ φυσικῶν προσκομμάτων, ἀνεζήτουν τὸ τῆς Ὀδυσσείας θέατρον ἐν ταῖς ἀκταῖς τοῦ Ἀδριατικοῦ καὶ Τυρρηνικοῦ πελάγους. Ἐκεῖνο μὲν ἀντιπροσωπεύει *Ἄγριος* (ᾧ τὸ ὄνομα ἀπὸ τοῦ τότε πολυανθρώπου λιμένος Ἀτρίας), τοῦτο δὲ *Λατῖνος*. Ὁ τρίτος εἴληπται ἐκ τῆς ἐποποιίας· τὸ νεώτατον ποίημα τῶν κυκλικῶν καλουμένων, ἡ Τηλεγονία, περὶ αὐτὸν διατρίβει, ἀλλὰ καὶ πρότερον βεβαίως οὐκ ἀπεσιωπήθη ὑπὸ τῶν ἐπικῶν.

*διὰ χρυσέην Ἀφροδίτην*] = 822.

1015. *τῆλε*] Ἐτυμολογεῖ τὸ Τηλεγόνου ὄνομα.

1015. *μυχῷ νήσων ἱεράων*] Ὁμοίως οἱ πρῶτοι ἀνευρόντες τὴν Ἀμερικὴν οὐκ ἐνόμισαν ἤπειρον, καὶ οἱ Αἰγύπτιοι βασιλεῖς οὐ σπανίως προφέρουσι «τὰς τοῦ βορρᾶ νήσους». Καὶ δή, ὁ προφήτης Ἰεζεκιὴλ κατὰ τὸν ἕκτον εἰσέτι αἰῶνα τῇ Ἡσιόδου περὶ Ἰταλίας γνώμῃ συνέθετο (27, 6). Ὡσαύτως ὁ Ὀρφικός, ὁ τὰ Ἀργοναυτικὰ ποιήσας, ἀρχαΐζων εἶπε· «νήσους Αὐσονίας» (1255).

πᾶσιν Τυρσηνοῖσιν ἀγακλειτοῖσιν ἄνασσον.
Ναυσίθοον δ' Ὀδυσῆϊ Καλυψὼ δῖα θεάων
γείνατο Ναυσίνοόν τε μιγεῖσ' ἐρατῇ φιλότητι.
Αὗται μὲν θνητοῖσι παρ' ἀνδράσιν εὐνηθεῖσαι
ἀθάναται γείναντο θεοῖς ἐπιείκελα τέκνα.
Νῦν δὲ γυναικῶν φῦλον ἀείσατε, ἡδυέπειαι
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο.

* * *

*ἱεράων*] Περὶ τὸν τόπον ἐκεῖνον, ὡς ἐμυθολόγουν, ἔκειντο αἱ νῆσοι αἱ Γηρυόνου καὶ τῶν Ἑσπερίδων, καὶ Κίρκης καὶ Αἰόλου, ἔτι δὲ Θρινακία ἡ τὰς Ἡλίου ἀγέλας τρέφουσα.

1016. *πᾶσιν*] Ὁ πολίτης πατρίδος εἰς ἄπειρον πλῆθος πολιτειῶν διεσχισμένης τοῦτο ἐξαίρει, μάλιστα δὲ ἐπειδὴ οἱ ἀδελφοὶ τὴν βασιλείαν οὐ διεμερίσαντο.

*Τυρσηνοῖσιν*] Οἱ Τυρρηνοὶ ἐκράτουν πάλαι ποτὲ τὴν δυτικὴν θάλασσαν καὶ ἐξεφόβιζον καὶ τοὺς Ἕλληνας, πειρατὰς ἐκπέμποντες· διὸ ἦσαν «ἀγακλειτοὶ» ἢ πολυθρύλητοι· πολυεπαίνετοι μὴν οὐκ ἂν ἦσαν. Εἰς ταύτην τὴν μυθώδη περίοδον καὶ ὁ μῦθος ἀνήκει ὡς Τύρρηνος τῆς δεινῆς Σκύλλης πατὴρ εἴη (Σχόλ. Πλάτ. σ. 214, ἔκδ. Bekker).

1017. *Ναυσίθοος* καὶ *Ναυσίνους*] Ὀνόματα ῥαδίως πεπλασμένα, ἀφοῦ Καλυψὼ μὲν ἐν τῇ θαλάσσῃ κατῴκει, Ὀδυσσεὺς δὲ ναύτης ἦν. Υἱοὶ Καλυψοῦς ἅπαντας τοὺς λοιποὺς λανθάνουσιν· ὁ μυθολόγος αὐτοὺς συνεπέρανεν ἐξ Ὀδ. ε 227.

*Καλυψὼ δῖα θεάων*] Ἀνέγνω πᾶς τις ἐν τῇ Ὀδυσσείᾳ.

1019-20. Ἐπαναλαμβάνουσιν 967-8.

1021-2. Νῦν διαβιβαζόμεθα πρὸς τὸν τῶν ἡρωϊνῶν κατάλογον, οὗ τὰ ἐρείπια ἐν τοῖς ὄπισθεν συλλέξομεν καὶ ἑρμηνεύσομεν. Ἡ τῶν ἀντιγραφέων ἀπροσεξία ἔσωσε τούτους τοὺς στίχους, οἳ οὕτω μεμονωμένοι οὐδενὸς ἄξιοί εἰσιν. Ἐν τοῖς στ. 965. 966 οὐδὲν μεταβέβληται, πλὴν «γυναικῶν» ἀντὶ «θεάων» εἴρηται. Ἀναλόγως δὲ ἐν τοῖς ἑξῆς (967. 968) «θνητοῖσιν παρ' ἀνδράσι» καὶ «ἀθάναται» μεταβλητέον ἦν.



# ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ

# ΕΙΣΑΓΩΓΗ

Ἡ μὲν Θεογονία συνάφειάν τινα μετὰ τῶν ἡρωϊκῶν ἐποποιῶν εἶχε, τὸ δὲ ποίημα, ὅ σχολιάσειν ἤδη μέλλομεν, παντελῶς πρωτοφανὲς εἰς τὸ ἑαυτοῦ εἶδος ἦν. Προτοῦ οὐδὲν ὑπῆρχεν ὁμοιοειδές, εἰ μὴ παροιμίαι καὶ γνῶμαι, αἷς ὁ λαὸς περιέβαλε μετρικὸν σχῆμα (οἷον τὸ «παροιμιακόν»), ἵνα ῥιζωθῶσι στερεώτερον εἰς τὴν μνήμην· ἐν καιρῷ δὲ ὀψόμεθα, ὅτι αἱ παλαιότεραι γνῶμαι ἀνεφέροντο εἰς Πιτθέα τὸν Θησέως πάππον. Ἀλλὰ οὐδεὶς τῶν παλαιῶν τὰ τοιαῦτα εἰς ποίημα συνθεῖναι διενοήθη, πρὶν Ἡσίοδος τοῦ εἴδους κατέστη ὁδηγέτης· τὰ γὰρ Ὀρφικά, ὡς οἱ νεώτεροι ἅπαντες — πολύ γε τοῦτο, νὴ Δία — ὁμογνωμοῦσιν, οὐχὶ ἀρχέτυπα, ἀλλὰ ἀπομιμήματα τῶν Ἡσιοδείων εἶναι, οὐδὲ ὁ ποιητὴς ἤρξατο ἀπὸ τῶν Ἔργων, ἀλλὰ μετὰ τὴν Θεογονίαν, ἥνπερ ἐν τῇ ἀρχῇ ὑπαινίττεται, καὶ πολλῷ γε ἴσως ὕστερον, οὐκέτι μακρὰν ἀπὼν τοῦ γήρως, ἐπεχείρησε τῷ πονήματι. Μεγάλην τινὰ λοιπὸν τὴν ἀφορμὴν ὑπονοητέον, ἣ ἐκέντησε τὸν γεωργὸν εἰς τὸν νεωτερισμόν. Οὐκέτι αἱ Μοῦσαι τῷ ἡσύχως καὶ ἠρέμα ζῶντι ἐνέπνευσαν τὴν ᾠδήν, ἀλλὰ φροντίδες καὶ ὀργαὶ αὐτὸν ἐκέντησαν. Οὕτως ἀπέβη αὐτοπρόσωπον ποίημα, ὅπερ εἰς **ἁπάσας** τὰς λεπτομερείας ἐννοῆσαι οὐδὲ τότε ἐξῆν πλὴν τοῖς τοῦ ποιητοῦ συμπολίταις. Τούτους δὲ καὶ μόνους ἐν ὄψει ἔλαβε, διότι ἐν τῇ ἑαυτοῦ πατρίδι τὸ ᾆσμα ἀπήγγειλεν (ἴδε στ. 35). Προσαγορεύει ἐπίσης τὸν ἀδελφόν (397 ῥητῶς. 611. 633. 641), δὶς δὲ καὶ τοὺς τῶν Θεσπιέων βασιλεῖς (202. 262). Οὗτοι γὰρ ἀμφότεροι τὴν τοῦ ποιήματος ἀφορμὴν ἔδωκαν. Περσεὺς γὰρ ὁ ἀδελφὸς αὐτοῦ, διαμερισθέντος ἀδελφικῶς τοῦ πατρικοῦ κλήρου, διέφθειρε τοὺς δικάζοντας «βασιλεῖς» καὶ ἥρπα-

σεν «ἄλλα πολλά» (37)· ἀλλ' ἡμεῖς γε οὐκ ἔξισμεν, πότερον Ἡσιόδου ἥρπασε κτήματα ἢ ἄλλων. Τοῦτο τοὐλάχιστον βέβαιον, ὅτι Περσεύς, κατὰ τὸν τῶν γεωργῶν τρόπον, πρὸς πολλοὺς διεδικάζετο «ἐπὶ ἀλλοτρίοις κτήμασι» (34), ἅμα δὲ ἠμέλησε τῆς καλλιεργίας, ὥστε ἐξέπεσε (34-5) καὶ τοὺς δικαστὰς οὐκέτι ἐδυνήθη δωροδοκῆσαι. Τῆς εὐκαιρίας ταύτης ὁ ἀδελφὸς ἐδράξατο, ὅπως αὐτὸν παραινέσῃ παύσασθαι τῆς κακῆς Ἔριδος καὶ ἐργάζεσθαι φιλοπόνως. Δημοσίᾳ δὲ τοῦτο ἔπραξεν, ἐπειδὴ πολυπληθεῖς Περσεῖς τὰς Θεσπιὰς κατῴκουν, αἰσχρὸν ἡγούμενοι τὸ περὶ γεωργίαν διατρίβειν καὶ διὰ τοῦτο πένητες ὄντες (οὕτως αὐτολεξεὶ Ἡρακλείδης ἐν 53 τῶν Πολιτειῶν)· πρὸς τούτοις, κατὰ τὸ λεγόμενον, ἡ φιλονικία αὐτόθι ἔμενεν (Δικαίαρχος ἐν βίῳ Ἑλλάδ. § 25). Ὥστε τοῖς πολλοῖς οὐδὲν ἐλέλειπτο, ὡς ἀστείζεται ὁ αὐτός, πλὴν ἡ φιλοτιμία. Ἡσίοδος ἄρα κατεπολέμησε τὸν Θεσπιακὸν τρόπον, δυστυχῶς ὅμως καθάπερ οἱ φιλόσοφοι ἐκεῖνοι συμμαρτυροῦσιν.

Ἐκ τῶν λεχθέντων ἐξάγεται, ὅτι Ἡσίοδος οὔτε ἐγχειρίδιον γεωργικῆς ἐβουλεύετο οὔτε ἠθικῆς. Ὅθεν πρῶτον μὲν ὁ τοῦτο ἐπιλανθανόμενος ἀναγνώστης μάτην ἀναζητήσει πολλὰ ὅσα πρὸς τὸν Ἡσιόδου σκοπὸν οὐδεμίαν σχέσιν εἶχον. Οἷον περὶ τῆς ἀμπελουργίας πολὺ ὀλίγα καταχωρίζει, διότι, οἶμαι, ὁ Περσεὺς τοσοῦτον ὀλίγας ἀμπέλους εἶχεν, ὥστε ἡ πολυφορία ἀδιάφορος ἦν, μάλιστα δὲ διότι οἱ ἄλλοι Ἀσκραῖοι καὶ Θεσπιεῖς ἅλις εἶχον οἴνου (1). Περὶ τῆς ναυτιλίας τὸ μὲν μέμψεις προφέρει, τὸ δὲ τοὺς νόμους αὐτῆς διδάσκει· καὶ τοῦτο εὐκατάληπτον· αὐτὸς μὲν γὰρ ἀπεδοκίμασε τὸ ἐπιτήδευμα τοῦτο, ὁ δὲ ἀδελφὸς περὶ πολλοῦ ἐποιεῖτο, μᾶλλον δέ, ὡς φαίνεται, καὶ πρότερον ἐξεπεπλεύκει. Κατὰ τὸ αὐτὸ ἀξίωμα ἐξεταστέον ἅπαντα τὰ λοιπά. Πλὴν ἐν τῷ παρόντι δύο σημειώσεις ἐπισυνάπτομεν· περὶ τῶν ἐλαιῶν Ἡσίοδος σιωπᾷ, ἐπειδὴ τότε οὐδαμοῦ τῆς Ἑλλάδος ὑπῆρχον, εἰ μὴ καταμόνας· οἱ ἄπειροι τῆς Ἀττικῆς ἐλαιῶνες ἐφυτεύθησαν πολλοῖς αἰῶσιν ὕστερον ἐπὶ Πεισιστράτου (ὡς Δίων ὁ Χρυσόστομος 25,3 λέγει), πρότερον δὲ ἐδίσταζον ἂν ἡ ἐλαία

(1) Νῦν ἀνάριθμοι γενναιόκαρποι ἄμπελοι ἐπὶ τῶν μεταξὺ Θεσπιῶν καὶ τῆς Ἄσκρας λόφων θάλλουσιν.

φέρῃ καρπούς (1). Ἡ δὲ Βοιωτία νῦν εἰσέτι, ἐκτὸς τῆς Πλαταϊκῆς πεδιάδος οὐ πολλὰς ἐλαίας ἔχει καὶ ἐν Θεσπιαῖς οὐκ ἂν ἔθαλλον ἕνεκα τοῦ Βορρᾶ. Πρὸς δὲ τοὺς μὴ Ἕλληνας παρατηροῦμεν, ὅτι ἡ κοπραγωγία, περὶ ἣν οἱ δυτικοὶ γεωργοὶ πλείστην σπουδὴν ποιοῦνται, ἐν τῇ Ἑλλάδι ἀνέκαθεν παραμελεῖται, διότι τὸ μὲν αἱ ἀγέλαι ἔξω τῶν ἐπαυλίδων περιτρέχουσι, τὸ δὲ (οἷον ἐν τῇ Μάνῃ) ἡ τῶν ζῴων κόπρος ἀναξηραίνεται, ἵνα εὔχρηστῇ ὡς πυρευτικὴ ὕλη.

Ἐκ τῆς τοῦ σκοποῦ γνώσεως κρίνωμεν καὶ τὴν τοῦ ἔργου εὐταξίαν. Ἐν γένει, ὅσον γ᾽ ἐμὲ εἰδέναι, οὐχ ὑπάρχει γνωμικὸν πόνημα διατεταγμένον ἀκριβῶς κατὰ τὸν λογικὸν κανόνα καὶ ἀπεκάμομεν ἂν ζητοῦντες τὴν διάθεσιν τῆς Σολομῶντος Σοφίας ἢ τοῦ Ἐκκλησιαστοῦ ἢ καὶ τῶν Φωκυλιδείων. Οὐδὲ γὰρ ὁ διδάσκαλος τὴν ἐπιστημονικὴν τῶν πραγμάτων συνέχειαν ἀείποτε τηρεῖ οὐδὲ τηρεῖν δύναται, εἴπερ ἀληθής ἐστι παιδαγωγός. Ἂν λογισώμεθα πρὸς τούτοις τὸ ἀληθῶς πρωτοφανὲς τοῦ ποιήματος καὶ τὴν ἀπειρίαν τοῦ ποιητικευομένου γεωργοῦ, οὐ θαυμάσιον ἔσται, ὅτι οἱ νεώτεροι τῶν κριτικῶν κατ᾽ αὐτοῦ βαρείας μομφὰς ἐπήνεγκον, καὶ ἤτοι πολύστιχα ἐμβλήματα καὶ διασκευὰς ἢ σύγκραμα ἀποσπασματίων καὶ γνωμιδίων διισχυρίζονται. Πρέπει λοιπὸν ἀνερευνῆσαι τὴν τῶν ἐννοιῶν συμπλοκὴν καὶ ἀκολουθίαν ἄνευ ἀπολογητικῆς προσωποληψίας, ἀλλὰ καὶ δίχα ὑπερκριτικῶν προλήψεων. Ταῦτα μὲν πρὸς τὰς σημειώσεις, αὐτόθι δὲ εὐκαιρία οὐκ ἔσται τοῦ δικαιολογῆσαι τὸ σχεδίασμα ὁλόκληρον. Ἡ ἐπιγραφὴ «Ἔργα καὶ Ἡμέραι», ἣ ἀνέκαθεν καθέστηκε, κατὰ τὸ φαινόμενον ἐξαρνεῖται τὴν τοῦ ποιήματος ἑνότητα· καθ᾽ ἡμᾶς δηλονότι ὁ γεωργὸς ἀναβλέπει μὲν θαυμασμοῦ πλήρης πρὸς τὰ ἄστρα, ἀγνοεῖ δὲ τὰ ὀνόματα αὐτῶν ἐκτὸς τῆς Πούλιας, καὶ πολλῷ ἧσσον ὠφελεῖται αὐτῶν ἕνεκα τῆς χρονολογίας. Πρὶν ὅμως τὸ Ῥωμαϊκὸν καλενδάριον ἐπικρατῆσαι καὶ τὴν ἐκκλησίαν τὰς τῶν ἁγίων ἑορτὰς ποιῆσαι ὁπωσδήποτε ὅρια τοῦ χρόνου, ὁ Ἕλλην ἀδαὴς ὢν τῆς ἀστρονομίας, ἐκ τῶν ἀστέρων κατενόησε τὰς ὥρας τοῦ ἔτους καὶ ἑκάστην ἐργασίαν ἀφώ-

(1) Πλίνιος (15, 1) πρὸς τοῦτο νενοθευμένον Ἡσιόδου ποίημα ἀναφέρει. Πρβλ. καὶ Ἡρόδοτ. 5,82: λέγεται δὲ καὶ ὡς ἐλαῖαι ἦσαν ἄλλοθι γῆς οὐδαμοῦ κατ᾽ ἐκεῖνον τὸν χρόνον (τὸν ζ᾽ αἰῶνα;) ἢ Ἀθήνησιν.

ριζε κατὰ ἀστροθεσίαν τινὰ πασίδηλον· πασίδηλα γὰρ τὰ ἄστρα ἐν τῷ φαιδρῷ οὐρανῷ τῆς Ἑλλάδος. Οὕτως ἡ γεωπονία καὶ ἡ λαϊκὴ ἀστρονομία στενὴν εἶχον συνάφειαν. Οὐχ ἧττον ἡ ναυτιλία πρὸς ἀμφοτέρας σχέσεις εἶχεν. Ὁ αὐτὸς δηλαδὴ γεωργός τε καὶ ἔμπορος ἦν, εἴπερ τὴν θάλασσαν μὴ ἐφοβεῖτο, ὥσπερ Ἡσίοδος· οἱ δὲ ναῦται ἀνεύρισκον τὴν ὁδὸν διὰ τῶν κυμάτων, θεωροῦντες τοὺς ἀστέρας (1), καὶ κατὰ τὸν ἡμέτερον εἰσέτι αἰῶνα ἔπλεον ἐξ Αἰγύπτου εἰς τὸν Εὔξεινον Πόντον καὶ ἀπὸ τῆς Συρίας μέχρι τῆς Γαλλίας, ἀντὶ τῆς πυξίδος τοῖς ἄστροις χρώμενοι ὁδηγοῖς. Ἐπειδὴ ταῦτα ὡσαύτως ἐπὶ τῆς γῆς τὴν ὁδὸν ἐδείκνυον τοῖς ὁδοιπόροις, ἡ φράσις «ἄστροις τεκμαίρεσθαι» (2) (ἢ σημαίνεσθαι) ἐν παροιμίαις ἐγένετο ἐπὶ τῶν εἰς μακρὰν ἀπερχομένων (3). Τῶν τεχνῶν τούτων ἡ ἠθικὴ οὐ μακρὰν ἀφειστήκει. Ἆρ' οὐ Δημήτηρ διὰ τοῦ εἰσαγαγεῖν τὴν γεωργίαν, τοὺς ὠμοὺς ἀνθρώπους ἐξημέρωσε καὶ ὡς «θεσμοφόρος» συνείθισεν εἰς θεσμοὺς καὶ νόμους; Τῶν αὐτῶν ἕνεκα τὴν ἀστρονομίαν ἐγκωμιάζει ὁ Αἰσχύλου Προμηθεύς (454). Τὰ περιεχόμενα ἅπαντα λοιπὸν ἀλληλουχίαν ἔχουσιν, ἑνοῦνται δέ, εἰ καὶ στεροῦνται ποιητικῆς ἑνότητος, τὸ μὲν προσωπικῶς — Ἡσίοδος γὰρ διευθύνει ἅπαντα πρὸς τὸν ἑαυτοῦ ἀδελφόν, ἐπειδὴ ὁ πρὸς τοὺς βασιλεῖς αἶνος οὐκ ἐπιπροσθεῖ, τὸ δὲ θρησκευτικῶς — εἰς Δία γὰρ τὰ πάντα ἀνήκουσι, τὰ περὶ τὴν Δίκην καὶ ὅσα καρποῦνται οἱ γεωργοὶ τῇ χάριτι αὐτοῦ καὶ αἱ ἡμέραι, αἳ «ἐκ Διός εἰσι» (765). Διὸ οὐκ ὀρθόν, ὅπερ ἐποίησαν τῶν ἀντιγραφέων τινές (4), τὸ διαιρεῖν τὸ ποίημα εἰς δύο ἢ τρία βιβλία (1-382. 383-764. 765 κτλ.).

Οὐκ ἀρνούμεθα, ὅτι τὰ χειρόγραφα περιέχουσι μεταξὺ τῶν Ἡσιοδείων καὶ ἔνια, ἅτινα ἀναγνῶσται προσέγραψαν ὡς παράλ-

(1) Ἀπολλών. Ῥόδ. 1,108 Ἀράτ. Φαινόμ. 38. Ἀρριαν. Ἀνάβ. 3,3,4. Εὐσταθ. Διονυσ. Περιηγ. 907: ἄστροις δὲ σημαινόμενοι τὸν ἐν νυκτὶ πλοῦν ἀρχὴν ἐντεῦθεν ἔσχον εἰς ἀστρονομίαν.

(2) Σοφοκλ. Οἰδ. Τύρ. 795: ἄστροις τὸ λοιπὸν τεκμαρούμενος.

(3) Αἰλιαν. Ἱστ. ζῴων 2,7. 7,48. Λιβάν. τ. Α', σ. 307. Δ', σ. 184,20. Συνέσ. Ἐπιστ. 7. Ἡρακλείτ. Ἀλληγ. Ὁμηρ. σ. 151. Σχόλ. Αἰσχύλ. Ἱκέτ. 398. Σχόλιον Τρικλινίου εἰς Σοφ. Οἰδ. Τύρ. 805. Ἡσύχ. λ. ἄστροις σημειοῦσθαι.

(4) Τὰς «Ἡμέρας» κεχωρισμένως ἀναφέρουσιν Ἰωάννης Τζέτζης (Χιλιάδων 12,174), Ἰωάννης Διάκονος (ἐξηγήσει τῆς Θεογονίας σ. 570 [323]), Εὐστάθιος (Παρεκβ. εἰς Ὀδυσσ. σ, σ. 661).

ληλα χωρία. Τοὐναντίον δὲ οἱ φιλόσοφοι αὐστηρῶς ὅσα δυσηρέστουν ἐξέβαλον καὶ ἔστιν ὅτε τοὺς ἀντιγραφέας ἅπαντας ἔπεισαν, οἷον ὁ 120 στίχος ἀπώλετο, πλὴν ἐν τῇ Διοδώρου Βιβλιοθήκῃ φέρεται. Ἀξιολογώτεραι ὅμως προσθῆκαι ἢ ἐλλείψεις οὐκ ἐγένοντο· χρῶμαι τοῖς τοῦ σχολιαστοῦ λόγοις· «ὅτι δὲ τὸ προοίμιόν τινες διέγραψαν, ὥσπερ ἄλλοι τε καὶ Ἀρίσταρχος ὀβελίζων τοὺς στίχους καὶ Πραξιφάνης ὁ τοῦ Θεοφράστου μαθητής, μηδὲ τοῦτο ἀγνοοῦμεν. Οὗτος μέντοι καὶ ἐντυχεῖν φησιν ἀπροοιμιάστῳ τῷ βιβλίῳ (1) καὶ ἀρχομένῳ χωρὶς τῆς ἐπικλήσεως τῶν Μουσῶν ἐντεῦθεν. «Οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος». Καὶ γὰρ τοῦτο πρέπον ἦν, ὡς ἔοικεν, ἀνδρὶ γράφειν ἄνευ σκηνῆς ποιητικῆς ἐγχειροῦντι καὶ προθύρων ὄγκον ἐπιδεικνυμένῳ περιττόν. Ἐπάγεται δέ τινας (2) τὸ μὴ ἀπὸ τοῦ Ἑλικῶνος καλεῖν, Βοιωτὸν ὄντα, τὰς Μούσας, ὥσπερ ἐν τῇ Θεογονίᾳ πεποίηκεν, ἀλλ' ἀπὸ τῆς Πιερίας, εἰς τὸ μὴ προσίεσθαι τὸ προοίμιον». Ἐπειδὴ ὅμως ἡμεῖς οὐκ ἐσμὲν φιλοπάτριδες Βοιωτοί, οὐκ ἔχομεν αἰτίαν τοῦ ἀκρωτηριάζειν τὸ ποίημα. Τοὐναντίον δὲ ἐλπίζομεν ἀποδείξειν, ὅτι τὸ προοίμιον ἁρμοδιώτατόν ἐστι πρὸς τὰ Ἔργα.



(1) Τοῦτο ἦν τὸ ἐπὶ μολύβδου γεγραμμένον βιβλίον, ὃ ἐπεδείκνυον οἱ περὶ τὸν Ἑλικῶνα Βοιωτοί (Παυσαν. 9,31,4).

(2) Ἀρίσταρχον λέγει, ἐξ οὗ ἐξήρτηται καὶ Ἡρωδιανὸς ἐν τῷ περὶ σχημάτων (Ῥήτορες τ. Η', σ. 586,7), εἴ γε τὸ πόνημα γνήσιον. Ἄρατος μέν τοι, ὅσπερ μιμεῖται τὸ προοίμιον, καὶ Δίων ὁ Χρυσόστομος (12,23,24) οὐ συγκατατίθενται. Εἰ δὲ Πλούταρχος ἐπὶ Ἐρίδων λέγει (Συμποσ. 9,1,2) «τὰ πρῶτα τῶν Ἔργων» οὐ διαφέρει τῶν μὴ καταλεγόντων Θ. 1-115 ἐν τῇ Θεογονίᾳ αὐτῇ».

# ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ

Μοῦσαι Πιερίηθεν, ἀοιδῇσι κλείουσαι,
δεῦτε δὴ ἐννέπετε σφέτερον πατέρ᾽ ὑμνέουσαι·

1-10. Προοίμιον.

Ὁ ὕμνος σύγκειται ἐκ πέντε δυάδων καὶ ἄρχεται ἀπὸ εὐχῆς, ὥσπερ εἰς εὐχὴν καταλήγει. Ἡσίοδος ἐν τῷ παρόντι οὐκέτι ἐπικαλεῖται τὰς Μούσας, ὅπως ἐμπνεύσωσιν αὐτῷ τὸ ποίημα, καθάπερ τὴν Θεογονίαν· τί γὰρ τὰ οἰκεῖα πράγματα τοῦ ποιητοῦ πρὸς τὰς Μούσας; Ἀλλὰ τὴν πρὸς τὸν Δία προσηγορίαν αὐτῶν ζητεῖ, τοῦτον παρακαλῶν, διότι τὸ ποίημα ὁλόκληρον στρέφεται περὶ τὸ φιλοδίκαιον τοῦ θεοῦ. Τίς ἄλλος ἢ ὁ Ἡσίοδος τοῦτο τὸ ἄηθες ἅμα καὶ οἰκεῖον προοίμιον ἐπενόησεν;

1. * *Πιερίηθεν*] Πιερίδες. Τοῦτο τὸ ἐπίθετον οὔτε τις Ἕλλην οὔτε τὰ μάλιστα ὅστις ἐγνώρισε τὴν Θεογονίαν (στ. 36 κέ.) παρεννοῆσαι ἐδύνατο, οὐδὲ ᾐσθάνετο ἀντιλογίαν πρὸς τὴν τῆς Θεογονίας ἀρχήν. Νῦν γὰρ Ἡσίοδος οὐκέτι διηγεῖται, πῶς ἐπὶ τοῦ Ἑλικῶνος ὑπὸ τῶν Μουσῶν εἰσεμυήθη εἰς τὴν ποίησιν, ἀλλὰ μᾶλλον μνημονεύει τὸν τόπον, ὅπου ὁ **Ζεὺς** ἠγάπησε τὴν μητέρα αὐτῶν. Πρὸς τὴν σύνταξιν παρατηροῦμεν, ὅτι, τοῦ ἄρθρου οὔπω ἀκμάζοντος, οἱ εἰς *θεν* τύποι συνετάχθησαν μετὰ τῶν ὀνομάτων ὡς ἐπίθετα κύρια, οἷον Ὀδ. δ 10: *Σπάρτηθεν Ἀλέκτορος* καὶ μεθύστερον εἰσέτι ἐν τοῖς δημοτικοῖς (π. χ. Σοφοκλῆς Κολωνῆθεν). Ἀναλόγως δὲ καὶ νῦν εἰσέτι λέγεται· «μιὰ κόρη ᾽πὸ τὴν Ἔγριπον» (Ἑλλην. Φιλολογ. Σύλλ. Πρακτ. τ. Η΄, σ. 542), «ἄγγελος ἀπὸ τ᾽ς οὐρανοὺς» κτλ.

*ἀοιδῇσι κλείουσαι*] Τὸ ὄνομα οὐ πλεονάζει, διότι κλε(F)-ίω, κατὰ τὴν ἐτυμολογίαν, σημαίνει τὸ κλεινὸν ποιεῖν ἢ δοξάζειν.

2. *δεῦτε*] Ἡ λέξις συνδέεται πάντοτε μετὰ τοῦ πληθυντικοῦ τῆς προστακτικῆς, τοῦ δεῦρο σχέσιν ἔχοντος πρὸς τὸν ἑνικόν. Διὸ οἱ ἐτυμολόγοι ὑπολαμβάνουσιν, ὅτι γέγονε κατὰ συγκοπὴν ἐκ τῆς «δεῦρ᾽ ἴτε» φράσεως. Ὃ δὲ περίεργον, ἡ ἐν τῇ συνηθείᾳ συχνάζουσα λέξις ἀπευθύνεται πρὸς τοὺς θεούς· ὁποία οἰκειότης παρὰ τοῖς παλαιοῖς οὐ σπανίως ἀπαντᾷ (λ. χ. τὴν «Κάμινον» ποιήσας Ὁμηρίδης ᾄδει (στ. 2): Δεῦρ᾽ ἄγ᾽ Ἀθηναίη καὶ ὑπείρεχε χεῖρα καμίνου, Σαπφὼ δὲ τὰς Μούσας ὡσαύτως παρακαλεῖ: Δεῦτέ νυν, ἅβραι Χάριτες καλλίκομοί τε Μοῦσαι). Προσκρούει μόνον εἰ ἐπιτετήδευται καθάπερ ὑπὸ Κολούθου (5: δεῦτε, θεμιστοπόλοιο νοήματα μηλοβοτῆρος ἔσπετέ μοι). Καὶ πάντως, ἂν Σαπφὼ ἐν τῇ χαριεστάτῃ ἐκείνῃ ᾠδῇ Ἀφροδίτην παρακαλῇ ἐλθεῖν πρὸς αὐτήν, τὸ αὐτὸ ποιεῖ διὰ πολλῶν, ὅπερ Ἡσίοδος διὰ μιᾶς λέξεως. Οἱ γὰρ θεοί, ὡς πρότερον εἴπομεν, αὐτοὶ προσέρχον-

ὅντε διὰ βροτοὶ ἄνδρες, ὁμῶς ἄφατοί τε φατοί τε,
ῥητοί τ' ἄρρητοί τε Διὸς μεγάλοιο ἕκητι.
Ῥέα μὲν γὰρ βριάει, ῥέα δὲ βριάοντα χαλέπτει,
ῥεῖα δ' ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει·

ται χάριν βοηθείας. Τὸ *δὴ* ὁμοιάζει τῷ νῦν παρά τισι (ἄϊντε) dê.

*ἐννέπετε*] Ὁ πληθυντικὸς τοῦ παρ' Ὁμήρου ἔννεπε (Ὀδ. α 1) ἐγένετο ἐκ τοῦ ἐν-σέπ-ετε (ὀνομάζετε).

*σφέτερον*] Τὸ θέμα σφε, σϝε (ϝε) κατ' ἀρχὰς οὐ περιώριστο εἰς ἓν καὶ μόνον πρόσωπον, ἀλλ' οὐδὲν ἐδήλου εἰ μὴ τὸ αὐτοπαθές, οἷον ἐπὶ τοῦ δευτέρου σφίσιν Ἰλ. Κ 398 καὶ σφέτερος ἐνταῦθά τε καὶ παρ' Ἀλκμᾶνι Ἀπόσπ. 3 εὑρίσκεται.

*ὑμνέουσαι*] «Ὑμνέουσαι» οὐχ ἁρμόζει εἰς τὸ μέτρον, ἀλλὰ χρήζει συναλοιφῆς (ὑμνεῦσαι) ἢ διεκτάσεως. Οὐκ ἀναγκαῖον ὅμως γράφειν «ὑμνείουσαι».

3. *διά*] Ἡ πρόθεσις, ἣ κατ' ἀναστροφὴν κειμένη τυγχάνει, ἐκφράζει ἐνίοτε τὴν θείαν χάριν, οἷον Διογ. Λαέρτ. 7,147: Δία..., δι' ὃν τὰ πάντα, Ὀδυσσ. θ 520: νικῆσαι δι' Ἀθήνην, Ἀριστοφάν. Πλοῦτ. 470 (ἡ Πενία λέγει), δι' ἐμὲ ζῶντας ὑμᾶς, Λόγγος Β', σ. 58: διὰ τὰς Νύμφας ἔζησε, Ἀνακρεόντεια 36 (41), 9. 10: Βάκχον . . ., δι' ὃν ἀμπαύεται λύπα, δι' ὃν εὐνάζετ' ἀνία· καὶ οὐχ ἧττον παρὰ τοῖς Χριστιανοῖς (Ἰωάνν. Εὐαγγ. 6,57: ζῶ διὰ τὸν πατέρα, Γρηγόρ. Ναζιανζ. περὶ τῶν καθ' ἑαυτὸν στ. 6: ὃν διὰ καὶ μεγάλου ἀπὸ κήτεος ἔκθορ' Ἰωνᾶς). Ὅθεν ἀνέστησαν οἵτινες τὸν Δία ἤθελον «ἐτυμολογεῖν παρὰ τὸ *δι' αὐτοῦ* τὰ κατὰ γῆν διακεῖσθαι». (Εὐστάθ. εἰς Ὀδ. α 25) καὶ ἴσως Ἡσίοδος, ἅτε φιλῶν τὸ ἐτυμολογεῖν, αὐτῶν ἀρχηγέτης ἐστίν. Οἱ ἐπικοὶ πολλάκις ἀκριβέστερον λέγουσι· «διὰ βουλὰς» Διὸς κτλ. ἢ διὰ τῆς λέξεως *ἕκητι*, ἧς ἐν τῷ δευτέρῳ κώλῳ χρῆσιν ποιεῖται.

*ἄφατοι καὶ φατοί*] Ὥσπερ *ῥητοὶ* καὶ *ἄρρητοι* σχετίζονται πρὸς τὰς φράσεις «λόγου οὐδενὸς γίγνομαι (εἰμί), ἐν οὐδενὶ λόγῳ ποιοῦμαι» κτλ. καὶ συνωνυμοῦσι τῇ μὲν κοινῇ *ὀνομαστός* (π. χ. Ἄρατ. 264), *ἐλλόγιμος* (παρὰ τὸ λόγος), τῇ δὲ χυδαίᾳ *ξακουστός*.

4. Προείπομεν, ὅτι οἱ ποιηταὶ ἀποστρέφονται ὅσον δυνατὸν ἀναφορικὰς προτάσεις μακράς, ὅθεν συχνάκις μεταβιβάζουσι τὸ δεύτερον κῶλον εἰς πρότασιν ἀνεξάρτητον.

*ἕκητι*] Ἐν τῇ Ὀδυσσείᾳ συχνάζει κατ' ἀναστροφὴν ἐπὶ θεῶν. Ἡ ῥίζα κοινὴ τῇ λέξει *ἑκών*.

5. *ῥεῖα*] (6.7) ἐκθλίψει τοῦ πρὸ φωνήεντος Ι γίνεται *ῥέα*, ὅπερ συναλείφεται εἰς ῥᾶ (Αἰολιστὶ βρᾶ). Γράφεται ὅμως ἐνταῦθα διεκτεταμένως, ὥσπερ Ἰλ. Ρ 461. Διὰ τί ὁ ποιητὴς ἐξαίρει τὸ λεξείδιον, συμπεραντέον ἐξ ὧν περὶ Θ.254 εἴπομεν.

*βριάει*] Βρια-ρὸν καὶ βαρὺν ἢ σπουδαῖον ποιεῖ, μεταβατικῶς (οἷον Θ.447)· ἡ δὲ μετοχὴ παθητικὴν σημασίαν ἔχει (καθάπερ Ὀππιαν. Ἁλιευτ. 5,96). Ὁμοίως ὁ τοῦ ῥήματος μινύθω νοῦς ἐν μὲν τῷ προκειμένῳ χωρίῳ ἐνεργητικός, ἐν δὲ τῷ 246 στ. παθητικός.

*χαλέπτει*] Παρὰ τὸ χαλεπός, ὡς χαλεπαίνω· ἐπὶ τῆς θεοῦ ἐναντιώσεως καὶ Ὅμηρος αὐτὴν τίθεται (Ὀδ. δ 423).

6. *ἀρίζηλον*] Πρὸς τὸν ζῆλον οὐδεμίαν σχέσιν ἔχει, ἀλλ' ἀκριβῶς ἀντιστοιχεῖ τῷ ἄδηλος. Τὸ Ζ, ὥσπερ ἐν τῇ προθέσει *ζα*, *δα* (=δια) ὑποδηλοῖ τὴν τῆς προηγουμένης συλλαβῆς διέκτασιν. Τίνα ὅμως γραφὴν οἱ Θεσπιεῖς καὶ Ἡσίοδος, εἴπερ ἀνέγραψε τὸ ποίημα, με-

ῥεῖα δέ τ' ἰθύνει σκολιὸν καὶ ἀγήνορα κάρφει
Ζεὺς ὑψιβρεμέτης, ὃς ὑπέρτατα δώματα ναίει.

τεχειρίζοντο, ὁ Σταματάκης ἡμᾶς ἐδίδαξεν ἀνερευνήσας τὸ ὄνομα Πολύ*δδα*λος ἐν Θεσπιακῇ ἐπιγραφῇ (ἴδε Πρακτικὰ τῆς ἐν Ἀθήναις Ἀρχαιολογικῆς Ἑταιρείας 1883, σ. 67 κἑ.). Μεταφραστέον ἄρα τὰς δύο λέξεις Ἀττικιστὶ «περιφανῆ» καὶ «ἀφανῆ».

*μινύθει*] Κυρίως μειοῖ, παρὰ τὸ μινυός (μικρός) Σχόλ. Ἰλ. Β 516 ἐξ Ἀττικοῦ), ἐξ οὗ καὶ μίνυ-νθα, μινύωρος (μινυώριος), μινυανθής. Ἀντίκειται τῷ *ἀέξει* (πρβλ. Καλλιμ. Ὕμν. 1, 95: ἄνδρας ἀέξειν). Ἡ γνώμη ἐκ τῶν Ὁμήρου χρόνων (Ὀδ. π 211-2) ὑπὸ ποιητῶν καὶ συγγραφέων, ἐθνικῶν καὶ Ἑβραίων καὶ Χριστιανῶν, μυριάκις ἐξεφωνήθη. Ἀνθολογοῦμεν τὰ ἑξῆς· Ἀρχιλόχ. Ἀπόσπ. 51. Πίνδαρ. 8,76-7. Ἡρόδοτ. 7,10, 5. Εὐριπ. Ἡρακλεῖδ. 614. Ἀπόσπ. 306. 419. Ἀριστοφάν. Λυσιστρ. 772. Ξενοφ. Ἀνάβ. 3, 2, 10. Ἑλλην. 6, 4, 23. Διογέν. Λαέρτ. 1, 3, 2. Στοβαίου Ἐκλογ. 1, 3, 8, Κόϊντον Σμυρναῖον 13, 474 κἑ. Ὁρατίου Ὠδὰς κεφ. 1, 34, 12 κτλ.

7. *δέ τ'*] Ἀντὶ τοῦ ἁπλοῦ μορίου τίθεται, ἵνα λάβῃ τόνον τινὰ ἡ τῆς δυάδος ἀρχή.

*ἰθύνει σκολιόν*] Ἀπὸ τοῦ σκέλλω (κυρτόω). Τὸ σκωπτικὸν τοῦτο ἐπίθετον ἑρμηνεύεται ἐκ χωρίου τῶν Θεογνιδείων (535-6): «Οὔποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν, ἀλλ' αἰεὶ σκολιὴ καὐχένα λοξὸν ἔχει». Τῷ γὰρ δούλῳ πρέπει ἐνώπιον τοῦ κυρίου τὸ «κάτω κύπτειν» (Χαρίτων 2, 3 σ. 37. 2,7 σ. 46, πρβλ. Κοϊντιλιανὸν 11, 3, 83). Ὅθεν προσεκύνουν ὑποκλίνοντες τὴν κεφαλήν (Εὐστάθ. Μακρεμβ. 2, 12, 1. 5, 6, 4. 6, 1, 3), μάλιστα δὲ οἱ πτωχοὶ τοὺς πλουσίους, οἷον Λουκιανὸς ἐν τῷ Τίμωνι (5) περὶ τῶν προτοῦ πτωχῶν γράφει: «οἱ τέως ὑποπτήσσοντες καὶ προσκυνοῦντες». Διὰ τὴν αὐτὴν αἰτίαν ὁ *πτωχὸς* παρὰ τὸ πτώσσειν (395) ἐπικαλεῖται. Φιλοσοφώτερόν πως εἶπε Θέογνις (649: «Ἆ, δειλὴ πενίη, *ἐμοῖς ἐπικειμένη ὤμοις*) καὶ Πλαῦτος ἐν τῷ Ψευδύλῳ (1126 ἢ 1143), καρπούμενος Ἀττικὴν κωμῳδίαν: curvum infortunium (κυρτὴ ἀτυχία).

*ἀγήνορα*] Πρβλ. Θ. 237.

*κάρφει*] Ἡσίοδος οὐ διατελεῖ χρώμενος τῇ μεταφορᾷ τοῦ σκολιοῦ — Πίνδαρός γε κατ' ἀντίθεσιν ᾄδει ὅτι «ὑψιφρόνων τιν' ἔκαμψε βροτῶν» (Πυθ. 2, 51) —, ἀλλὰ μεταβαίνει ἐπ' ἄλλην, ἥτις ὁμοίως αἰνίττεται δημῶδές τι λεγόμενον. Ξηραίνεται καὶ συσπᾶται ὁ κακόμοιρος, ὃς πρότερον ἦν «παχύς» (Ἡρόδοτ. 5, 30. 77. 6, 91. 7, 156. Ἀριστοφ. Εἰρήν. 639 κἀ., πρβλ. Ἡσύχ. λ. πάχητες «πίονας» ἔχων ἀγρούς). Ἵνα δὲ μή τις μεμψιμοιρήσῃ τὸν ποιητὴν ὡς εἰσάγοντα χυδαίας φράσεις εἰς ὕμνον, ἀναφέρομεν Αἰσχύλ. Ἑπτὰ ἐπὶ Θήβας 752: ὄλβος παχυνθείς, Σοφοκλ. Ἠλέκτρ. 819: ἄφιλος αὐανῶ βίον, Φιλοκτ. 954: αὐανοῦμαι, Καλλιμάχ. Ὕμν. 6, 114: οἶκον ἀνεξήραινον ὀδόντες, Θεόκριτον 1,50: ἐπὶ ξηροῖσι καθίξῃ. «Αὗος» μέντοι (ἤτοι χρεωκόπος) ἐκ τοῦ ταπεινοῦ λεκτικοῦ ἐστιν, ὥσπερ καὶ «*συνεσπασμένοι* καὶ κακοπινεῖς» (Ἀθην. Δειπνοσοφ. 13, 565 l).

8. *ὑψιβρεμέτης*] Ἡ βροντὴ «βρέμει» (βρόμον κεραυνοῦ Πινδάρ. Ὀλ. 2, 25. Εὐριπίδ. Ἱππόλ. 1202) ἢ «βρομέει» (Ῥιανὸς ἐν Στοβαίου Ἀνθολογ. 4, 34, στ. 13).

*ὑπέρτατα*] Οὐχὶ μόνον ὑπεράνω τῶν θεῶν, ἀλλὰ καὶ τῶν θεῶν ἁπάντων, καθότι ὁ ἐπίγειος ἄναξ κατέχει τὸν ὑψηλότατον τόπον τῆς πόλεως, τὴν ἀκρόπολιν. Διὸ οἱ Βοιωτοὶ αὐτὸν ἐπεκάλουν *Ὕπατον* (Παυσαν. 9, 19, 3). Παρέλ-

Κλῦθι ἰδὼν ἀΐων τε, δίκῃ δ' ἴθυνε θέμιστας
τύνη· ἐγὼ δέ κε Πέρσῃ ἐτήτυμα μυθησαίμην.
Οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
εἰσὶ δύω· τὴν μέν κεν ἐπαινέσσειε νοήσας,

κει ὁ στίχος, ἀλλ' ἐπάναγκες, ὅπως ἐπισυναφθῇ ἡ προσευχή.

9. *ἰδὼν ἀΐων τε*] Τὸ τῶν θεῶν πρόσβλεμμα καθ' αὑτὸ ὠφελεῖ (ἴδε Θ. 82). «Ἀΐων» οὐ πλεονάζει παρὰ τῷ κλῦθι, ἀλλὰ μικρὰ διαφορὰ ὑπάρχειν δοκεῖ, ἐπειδὴ Σαπφὼ ὁμοίως Ἀφροδίτην προσαγορεύει (1, 6-7): «τὰς ἐμᾶς αὔδας ἀΐοισα πόλλον ἔκλυες». Ἡ αἰφνίδιος πρὸς τὴν πρόσρησιν μετάβασις ἥκιστα ἐξέπληττε τοὺς Ἕλληνας, ἐν τοῖς ὕμνοις αὐτῶν συχναζουσῶν τουτοτρόπων μεταβολῶν· αὐτὸς δὲ ὁ στίχος τυπικὸς φαίνεται ἐν τοῖς ὕμνοις (ἴδε Ὀρφ. Ὕμν. 2. 4. 8 κἀ.).

*δίκῃ*] Προπαρασκευάζει ὅσα ἐν τοῖς κατωτέρω περὶ τῆς θείας δικαιοσύνης λέγει.

*ἴθυνε θέμιστας*] Δικαίας ποίησον τὰς τῶν δικαστῶν κρίσεις. Πληρεστέρα ἀπαντᾷ ἡ φράσις παρὰ Σόλωνι (Ἀπόσπ.4,37): «ἰθύνει δὲ δίκας **σκολιάς**». Τὸ ἐκ τῆς μεταφορᾶς ἐξαγόμενον γένος φράσεων ἔθαλλέ ποτε (π. χ. Θέογν.40: «εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης,760: **ὀρθώσοι** γλῶσσαν καὶ νόον ἡμέτερον». Παροιμίαι Σολομ. 21,2: «κατευθύνει καρδίας ὁ Κύριος») καὶ νῦν εἰσέτι ἀκμάζει· μνημονεύομεν· «ὀρθός», (ε)ὐθιάνω (φτιάνω), μάλιστα δὲ τὴν παροιμίαν· «Κάθισε *στραβά*, μόν' κρίνε *ἴσια*».

16. *τύνῃ*] Περὶ τοῦ τύπου ἐσημειωσάμεθα εἰς Θ. 36. Ἁπλοϊκὸν πάνυ τὸ ἐναντίωμα, ἀλλὰ τοιουτοτρόπως οἱ Ἕλληνες διελέγοντο μετὰ τῶν θεῶν. Ἐνθυμούμεθα περὶ προσευχῆς, οὐχὶ ἀφελοῦς γεωργοῦ, ἀλλὰ τοῦ λεπτολόγου δήμου τῶν Ἀθηναίων, ἐν ᾗ ἡ προσαγόρευσις οὕτως ἔχει· «ὦ φίλε Ζεῦ» (Μάρκος Αὐρήλιος ἐν τοῖς πρὸς ἑαυτὸν 5,7). Πολύζηλος ὁ «Ῥοδιακὰ» συγγράψας, ὡς ὁ σχολιαστὴς παραδίδωσι, τὴν ἀφέλειαν παρεννοήσας, τὴν κλητικὴν ἀπεδέξατο ὡς κυρίου ὀνόματος βασιλέως, ὃς ἐν Χαλκίδι ἔκρινε τὴν τῶν ἀδελφῶν δίκην. Ἀλλὰ ταῦτα ληρήματα.

*Πέρσῃ*] Οἱ Ἡσιόδου ἀκροαταὶ ἠπίσταντο, ἐννοεῖται, ὅτι τοῦ ποιητοῦ ἀδελφὸς ἦν.

*ἐτήτυμα*] Κατ' ἀναδιπλασιασμὸν ἀπὸ τοῦ ἔτυμος. Ἐν τῷ εἰς Δήμητρα Ὕμνῳ ὁ 44 στ. ὁμοίως καταλήγει εἰς «ἐτύτημα μυθήσασθαι».

*μυθησαίμην*] Ἡ εὐκτικὴ συμπεριλαμβάνει τὴν εὐχὴν καὶ τὸν σκοπόν.

11 - 41. Περὶ τῶν Ἐρίδων.

11. *Οὐκ ἄρα*] Ἐτίθει ὁ Ἕλλην ἐπὶ ἐλπίδων ἑαυτοῦ ἢ τοῦ προσαγορευομένου μὴ ἐπιτελεσθεισῶν, οἷον Θ. 560. Ὀδ. ι 475. λ 553. ν 209. π 420. ρ 454 κτλ. Πασίδηλον ὅτι ἀφορᾷ Θ. 225. Ἡσίοδος ἐν τῷ μεταξὺ γενόμενος ἐμπειρότερος νῦν παλινῳδίαν ᾄδει, ἀφοῦ πρότερον τὴν Ἔριν ὁλοσχερῶς κατέκρινεν. Ἀλλὰ ἀπολογησαίμεθ' ἂν Ἡσίοδον πρὸς Ἡσίοδον· τί γὰρ ὁ ἐν τῇ Θεογονίᾳ (384) Ζῆλος εἰ μὴ ἀγαθὴ ἔρις;

*μοῦνον*] Ἓν καὶ μόνον.

*Ἐρίδων*] Ὁ ἀφῃρημένος ἑνικὸς καὶ ὁ πληθυντικὸς προσωποποιήσεων οὐκ ἀκριβῶς διακρίνονται, λ. χ. Κὴρ καὶ Κῆρες, Μοῖρα καὶ Μοῖραι.

*ἔην γένος*] Ἐγένετο (ἐγένοντο).

*ἐπὶ γαῖαν* (=Θ. 95)] Ἐν τῷ Ὀλύμπῳ ἔρις χώραν οὐκ ἔχει. Παρατηροῦμεν, ὅτι, ἐξ οὗ Ἡσίοδος ἔγραψεν ἐν Θ. 782, ἡ περὶ τῶν θεῶν γνώμη αὐτοῦ διωλίσθη.

12. *ἐπαινέσσειε*] Περὶ τῆς τοῦ γ'

ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
Ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
σχετλίη· οὔτις τήν γε φιλεῖ βροτός, ἀλλ' ὑπ' ἀνάγκης
ἀθανάτων βουλῇσιν Ἔριν τιμῶσι βαρεῖαν.
Τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννή,
θῆκε δέ μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,

προσώπου χρήσεως ἐκανονίσθη εἰς Θ. 437.

*νοήσας*] Στοχασάμενος.

13. *ἐπιμωμητή*] Παρὰ τὸ μῶμος.

*διὰ δ' ἄνδιχα*] Διχῇ, χωρίς. *Ἄνδιχα* σύνθετον ἐκ τῆς ἀνὰ καὶ δίχα· τὸ *διά* μόριον ἐνδυναμοῖ τὴν σημασίαν, διότι κυρίως συνωνυμοῦσιν. Ὅμηρος ἁπλουστέρας φράσεως χρῆσιν ποιεῖται, ἤτοι «δίχα θυμὸν ἔχουσι» (Ἰλ. Υ 32, πρβλ. Β 13. Ν 345), Ἡσίοδος ὅμως τοῖς μὴ Ἴωσι συγκατέθετο· Κλεόβουλος δηλαδὴ ὁ Λίνδιος ἐν αἰνίγματι εἶπε· «διάνδιχα εἶδος ἔχουσαι» (Διογέν. Λαέρτ. 1, 91) καὶ ἐν Λοκρικῇ ἐπιγραφῇ ἀπαντῶμεν «ἀνδιχάζω» ἀντὶ τοῦ διχογνωμονέω (Collitz, Dialektinschriften 1479, 10).

14. *δῆριν*] Γενικωτέραν ἔχει τὴν σημασίαν ἢ «πόλεμος»· σημαίνει γὰρ οὐ μόνον πόλεμον (Ἰλ. Ρ 158: πόνον καὶ δῆριν), ἀλλὰ καὶ ἀγῶνα (Ὀδ. ω 515).

*ὀφέλλει*] Πρὸς τὸ παράλληλον χωρίον· «ὀφέλλουσα στόνον ἀνδρῶν» (Ἰλ. Δ 445, περὶ τῆς Ἔριδος ὁ λόγος γίνεται) ὁ σχολιαστὴς σημειοῦται· «ἀπὸ γὰρ τοῦ ἐρίζειν καὶ πλείων ὁ φόνος γίνεται».

15. Ἡσίοδος καὶ οἱ γείτονες αὐτοῦ εἰρηνικοὶ γεωπόνοι ἦσαν, οὐχὶ δὲ Ἀχιλλεῖς καὶ Αἴαντες.

16. *ἀθανάτων βουλῇσιν*] «Διὸς δ' ἐτελείετο βουλή» εὑρίσκομεν ἐν τῷ προοιμίῳ τῆς Ἰλιάδος, δριμύτερον δὲ ἔτι κεῖται ἐν τῷ τῶν «Κυπρίων», ὅπου ὁ Τρωϊκὸς πόλεμος καθόλου ἀπὸ τοῦ Διὸς ἐξάγεται· Ζεὺς ἐπίσης ἐστὶν ὁ ἐγείρας τὴν περὶ τῶν Ἀχιλλείων ὅπλων ἔριν (Ὀδ. λ 559).

*τιμῶσι*] Ποιοῦντες ὅσα ἐκείνην εὐφραίνουσιν.

17. *προτέρην*] Ὡς προφερεστέραν· παράθες Θ. 363-4. 776-7.

*Νὺξ ἐρεβεννή*] = Θ. 213.

18. *θῆκε*] Δισήμως κεῖται, τὸ μέν· τίθημί τι ἐν τόπῳ, τὸ δὲ τίθημι μετὰ διπλῆς αἰτιατικῆς ὡς ποιῶ.

*ὑψίζυγος*] Οἱ παλαιοὶ Ὁμηρισταὶ ἐδίσταζον περὶ τῆς ἐξηγήσεως. Κατὰ τοὺς μὲν Ζεὺς ἐπονομάζεται «ὁ ἄνω σταθμίζων τὰ κατ' ἀνθρώπους, ἵνα (Ὅμηρος) ἐν μιᾷ λέξει συντέμῃ τὸ νόημα ἐκεῖνο, ἐν ᾧ τὸν Δία ποιήσει τάλαντα μεταχειριζόμενον καὶ τὰς τῶν Ἀχαιῶν καὶ Τρώων κῆρας ὡς ζυγοῦ ταλαντεύοντα καὶ ὡς εἰπεῖν ζυγοστατοῦντα» (Εὐστάθ. εἰς Ἰλ. Δ 166). Τὸ πρωτότυπον λοιπὸν «ζυγός». Ἀναλόγως Θέογνις ἐκφωνεῖ (157-8): «Ζεὺς γάρτοι τὸ τάλαντον ἐπιρρέπει ἄλλοτε ἄλλως, ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε μηδὲν ἔχειν», οὗπερ οὐχ ὑπολείπεται δήμου τις ἀνήρ (Μ. Λελέκου Ἀνθολογ. σ. 155, στ. 20)· « Ὁ θεὸς κρατεῖ τὴν ζυγαριὰ καὶ τὴν ντουνιὰ ζυγιάζει. Ἄλλους (ὑ)ψηλόνει ἡ ζυγαριὰ καὶ ἄλλους τοὺς κατεβάζει». Οἱ δὲ ἄλλοι ἐτυμολογοῦσιν «ἀπὸ τοῦ ὕψι ἐπιρρήματος καὶ τοῦ κυβερνητικοῦ ζυγοῦ». Ἐπ' ἀληθείᾳ ὁ κυβερνήτης ἐπὶ τῶν παλαιοτάτων νεῶν κατεῖχε τὸν ὑψηλότατον τόπον (ἴδε ἀγγεῖον ἀπὸ τοῦ Διπύλου, δημοσιευθὲν ἐν τοῖς Monumenti dell' instituto, τ. 9,

γαίης τ' ἐν ῥίζῃσι καὶ ἀνδράσι πολλὸν ἀμείνω·
ἥτε καὶ ἀπάλαμόν περ ὁμῶς ἐπὶ ἔργον ἔγειρε.
Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον, ὃ σπεύδει μὲν ἀρώμεναι ἠδὲ φυτεύειν,

πίν. 40, 4, ἐν τῷ «das homerische Epos» τοῦ Helbig, σ. 77, εἰκ. 14 ἐν τῇ Σπ. Λάμπρου ἱστορίᾳ Α', σ. 139 καὶ διάδημα χαλκοῦν Θηβαϊκόν, ἀπεικονισθὲν ἐν τοῖς Annali dell'instituto, 1880, τ. G καὶ Helbig αὐτ. σ. 160, εἰκ. 46). Ἔτι δὲ οἱ τραγικοὶ ταύτην τὴν μεταφορὰν ἀνέπτυξαν (Αἰσχύλ. Ἀγαμ. 1618: τῶν ἐπὶ ζυγῷ. Εὐριπ. Φοίν. 74: ἐπὶ ζυγοῖς καθέζετ' ἀρχῆς, Ἴωνι 595: εἰς τὸ πρῶτον πόλεως ὁρμηθεὶς ζυγόν). Καὶ ἡμῖν ἡ ἐξήγησις αὕτη πιθανωτέρα δοκεῖ, ἐπειδὴ τὸ ἐπίρρημα αὐτῇ μόνον ἁρμόζει.

*αἰθέρι ναίων*] = Ἰλ. Β 412. Δ 166. Ὀδ. ο 522. Καὶ τοῦτο τὸ οἰκεῖν ἐν καθαρωτέρῳ ἀέρι ἐστὶ τῶν θείων προτερημάτων. Τοὺς Ἕλληνας οὐ διέλαθε τὸ ὅτι, ὅσῳ ἂν ἀναβαίνῃ τις εἰς τὰ ὄρη, τοσούτῳ λεπτύνεται ὁ ἀήρ.

19. *γαίης ἐν ῥίζῃσι*] Τὰς ῥίζας ηὕρομεν ἐν τοῖς ἀνωτέρω (Θ. 728-9). Ὁ νοῦς σαφής· ἐφ' ὅσον μένει ἡ γῆ. Ὁ μὲν Ἕλλην ἐναργῶς ὀνομάζει τὰς τῆς γῆς ῥίζας, ὁ δὲ Ἑβραῖος ἀφῃρημένως λέγει (Παροιμ. Σολομ. 12, 3): «Αἱ δὲ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρθήσονται».

20. *ἀπάλαμον*] Αἱ δύσκολοι ἐργασίαι ἐκτελοῦνται διὰ τῆς παλάμης, εἰς ἥνπερ οἱ ποιηταὶ τιθέασι τὴν ῥώμην.

*ὁμῶς*] Τὸ ἀπὸ τοῦ ὁμὸς ἐπίρρημα, ὃ συνωνυμεῖ τῷ κοινῷ ὁμοίως ἢ ὡσαύτως, τὰ μὲν πλεῖστα συντάσσεται μετ' ἀμφοτέρων τῶν ἀντιπαραβαλλομένων (οἷον 3. 372. 669). Σπανιώτατα δὲ — ἐκτὸς τοῦ ἀνὰ χεῖρας στίχου οὐκ ἀπαντᾷ εἰ μὴ Ὀδυσσ. ο 34: «νυκτὶ δ' ὁμῶς πλέειν» — τὸ ἕτερον ὑπεννοητέον. Ἐντεῦθεν, τοῦ τόνου ἀναστελλομένου, ὅμως τὴν μεταγενεστέραν σημασίαν ἔλαβεν.

*ἔγειρε*] Οἱ φιλόπονοι εἰργάζοντο πρὸ τοῦ ὄρθρου, διότι τὸ καῦμα ἐν τῇ Ἑλλάδι οὐκ ὀλίγας ὥρας τῆς ἡμέρας ὑπεκκλέπτει· λόγου χάριν τῷ ἀναγνώστῃ ὑποδεικνύομεν τὸν ἀστεῖον Λουκιανοῦ «Ὄνειρον». Ἡ ἔννοια σαφεστέρα γίνεται ἐκ τῆς ὑπ' Ἀράτου μιμήσεως, ὅπου περὶ τῶν οὐρανίων σημείων λέγεται (Φαινόμ. 6-7)· «λαοὺς δ' ἐπὶ ἔργον ἀγείρει μιμνήσκων βιότοιο». Ὁ ἀόριστος γνωμικός.

21. *γάρ τίς τε*] *Γὰρ* καὶ *τε* συναπτέον (Ἰλ. Μ 245. Ὀδ. ξ 228. Ὕμν. Ὁμηρ. 5, 57);

*χατίζων*] Χατίζω καὶ χατέω παράγονται ἀπὸ τοῦ χάτις, σπάνις, ἐνταῦθα δὲ ταὐτὸ σημαίνει ὅ,τι τὸ κοινὸν «ἀμελέω».

22. *πλούσιον*] Ἡ λέξις ἀναφερομένη εἰς τὸ «ἕτερον» ἐμφαντικὴν θέσιν ἔχει.

*ὃ*] Οὗτος, χρησιμεύει πρὸς τὸν αὐτὸν σκοπὸν ὅπως τὸ ἀνωτέρω *περ* (20). Μεταφράσαιμεν ἂν κάλλιστα «αὐτός».

Τῷ *μὲν* ἀποκρίνεται *τε* (23), ὥσπερ *καὶ* Ἰλ. Α 267 Ἀρχίλοχ. 1, 1. Τυρτ. 12, 11 ἤ *τε* Τυρτ. 10, 7 κἑ. Πινδάρ. Πυθ. 4, 249 (ἔπιθι ὅ,τι Δ. Βερναρδάκης ἐσημειώσατο περὶ Εὐρ. Φοιν. 57).

*ἀρώμεναι*] Ἀπαρέμφατον τοῦ ἀρόω ῥήματος, ἐσχηματισμένον κατὰ τὸν Αἰολικὸν ὀνομαζόμενον κανόνα.

*φυτεύειν*] Ἡ μετὰ τῆς ἀρόσεως συνάφεια συχνάζει (Ὀδ. ι 108. Τυρτ. 5, 3, ἀναλόγως «φυταλιῆς καὶ ἀρούρης» Ἰλ. Μ 314. Υ 185, πρβλ. Ι 579-80. Ξ 122-3: οὔτ' ἂρ σκαπτῆρα οὔτ' ἀρο-

οἶκόν τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενος σπεύδοντ', ἀγαθὴ δ' Ἔρις ἥδε βροτοῖσι·
καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων,
καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.
Ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνὶ κάτθεο θυμῷ,
μηδέ σ' *Ἔρις* κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι,
*νείκε'* ὀπιπεύοντ', ἀγορῆς ἐπακουὸν ἐόντα.

τῆρα, ἐν ἀποσπάσμασι Μαργίτου, Ἀπολλ. Ῥόδ. 1, 1172)· πρὸς δὲ τὴν ἔννοιαν, παρ' Ὁμήρῳ ἀναφέρεται εἰς ἀμπέλους (Ὀδ. ι 108-10, πρβλ. Ἀλκαίου Ἀπ. 44) καὶ δένδρα καρποφόρα (Ἰλ. Ζ 419. Ὀδ. σ 359, πρβλ. Διόδωρ. 4, 17. 5, 73, 13, 81). Τούτων ὅμως οὐδέποτε μνημονευομένων ὑφ' Ἡσιόδου, περιοριστέον τὴν λέξιν εἰς ἀμπέλους· ὅθεν καὶ «φυτὸν» σημαίνει ἐν τῷ εἰς Ἑρμῆν ὕμνῳ (90) καὶ νῦν ἔτι ἐν τῷ χωρίῳ Ἀραδανίῳ, ὃ Ἰωακεὶμ Βαλαβάνης περιβόητον ἐποίησεν (Ἴδε ἐν τῇ «*Καμπάνα τοῦ χωριοῦ μου*», σελ. 12· ἢ ταὐτὸ ἐν «Παρνασσοῦ» τόμ. ΙΑ', σελ. 325), κατ' ἐξοχὴν ἄμπελον.

23. *εὖ θέσθαι*] Διευθετῆσαι.

*ζηλοῖ*] «Ἡ μίμησις τῶν ἀγαθῶν καὶ ἡ θερμὴ πρὸς ταῦτα ζέσις καὶ διάθεσις *ζῆλος* λέγεται, ἔστι δὲ ὅτε καὶ τὸ ἐναντίον σημαίνει (οἷον 197)» Βασίλειος εἰς Γρηγόρ. Ναζιανζ. Λόγ. 32, σ. 515 α.

24. *ἄφενος*] Ἴδε Θ. 112.

25. *κοτέει*] Συναμιλλᾶται. Ἐν τέλει παραπέμπει τοὺς γεωργοὺς εἰς τὸ τῶν τεχνιτῶν παράδειγμα. Οἱ στίχοι, πολυβόητοι ὄντες, Δίωνι τῷ Χρυσοστόμῳ ἀφορμὴν ἔδοσαν λόγου (οζ') καὶ δὴ ὑπὸ τῶν Ῥωμαίων μετεφράσθησαν (sic figulus figulo, faber fabro invidet, Τερτουλλιανὸς κατὰ τῶν ἐθνῶν 1, 19). Ἐκ τῶν νεωτέρων παροιμιῶν ὁμοιάζει τὰ μάλιστα «Συντεχνίτ'(ην) ὁ συντεχνίτης πάντοτε τὸν κακοβλέπει» (Ἀραβαντ. Παρ. 1227)· ὅπου παρατηρητέον τὸ ῥῆμα, ὅπερ τοῦ Ἡσιοδείου οὐ πολὺ παραλλάσσει.

26. Ἀστεϊζόμενος ἢ σκώπτων ἀπαριθμεῖ ἐν μέσῳ τῶν τεχνιτῶν τοὺς πτωχούς; Ἆρά γε ὑπαινίττεται τὴν Ἴρου καὶ Ὀδυσσέως πάλην; Τοὐλάχιστον αὕτη παρέχει τοῦ ἀξιώματος δεῖγμα.

Οὐδεὶς αἰτιάσαιτ' ἂν τὸν ποιητὴν ὡς ἀδίκως μεμφόμενον τοῖς συναδέλφοις· σημειούμεθα τοῦτο μόνον, ὅτι ἡ λέξις «ἔρις» ὑπὸ τῶν Βοιωτῶν ἐπὶ ἀνθαμιλλωμένων ποιητῶν ἐτίθετο («ἔβα Πινδάροιό ποτ' ἔριν» Κόριννα Ἀπ. 10,2).

27. *σὺ δέ*] Τοιαύτη ἡ παρὰ τοῖς ποιηταῖς ἐπικρατοῦσα τάξις τῶν ὀνομάτων, καθάπερ Ἰλ. Α 282: Ἀτρεΐδη, σὺ δὲ παῦε, Ὀδ. π 130, ἐν ταῖς τραγῳδίαις (ἔπιθι Βεκλείνιον εἰς Αἰσχ. Προμηθ. 3) κά.

28. *κακόχαρτος*] Ἡ ἡ κακοῖς χαίρουσα ἢ ᾗ χαίρουσιν οἱ κακοί» (Ἐτυμ. Μέγ. 484,48). Ἡ κατάληξις τὴν δευτέραν σημασίαν διαβεβαιοῖ, εἰ καὶ «ἐπίχαρτος» ἅπαξ εὑρίσκεται ἐνεργητικῆς σημασίας. Τὴν ἑτέραν ἔννοιαν δηλοῖ «χαιρεσίκακος» (δαίμων, Βίος τοῦ ἁγ. Αὐξεντίου, Migne Πατρολογ. τ. 114, στ. 1401 c) ἢ «χαιρέκακος».

29. * *ὀπιπεύοντ'*] Ὁμηρικὴ λέξις, ἥ, κατ' ἀρχὰς μέσως κειμένη (Ἰλ. Δ 371. Η 243), ὕστερον ἐσήμαινε τὸ περιέργως βλέπειν καὶ ὀφθαλμιᾶν (Ὀδ. τ 67, πρβλ. Εὐστάθ., ὅθεν παρθενοπίπης, πυρροπίπης).

Ὥρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε,
ᾧτινι μὴ βίος ἔνδον ἐπηετανὸς κατακέηται
ὡραῖος, τὸν γαῖα φέρει, Δημήτερος ἀκτήν.
Τοῦ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοις

*ἀγορᾶς*] Τῆς ἐπὶ τῆς ἀγορᾶς διαδικασίας καθάπερ ἐν Σόλωνος Ἀποσπ. 1, 2 (πληρεστέρα εὑρίσκεται ἡ φράσις παρὰ Λουκιανῷ Δὶς κατηγ. 4, 12: δικῶν ἀγορά). Οἱ τῶν διαδικασιῶν ἀκροαταὶ εἰσέπιπτον εἰς ὕποψιν συκοφαντίας καὶ φιλονικίας ὡς μανθάνειν βουλόμενοι τὰ πανουργήματα τῶν δικηγόρων. «Αἱ δ' ἀγοραὶ κακίης μελεδήματα» (Γρηγορ. Ναζιανζ. ποιήμ. 15, 17). Τούτου ἕνεκα τῶν ἐπιτιμητικῶν εἰσι λόγων «τρίμμα ἀγορᾶς» (Δημοσθέν. 18, 127), «πονηρὸς κἀξ ἀγορῆς εἶ καὶ θρασύς» (Ἀριστοφ. Ἱππ. 181), «ἀγοραῖος» (Ἀριστοφ. Ἱππ. 218. Ἀπόσπ. 1015), «περισχολάζει ἐν τῇ ἀγορᾷ» (Ξενοφ. Οἰκον. 7, 1)».

30. *Ὥρη*] Συντάσσεται μετὰ τῆς γενικῆς, ὅπως ἐκφράζῃ ὅτι τις σχολάζει πρὸς πρᾶγμα (Ὀδ. γ 334. λ 379. ξ 407. τ 510).

31. *βίος*] Ἑρμηνεύεται διὰ τοῦ ἑξῆς στίχου· ὁ πλοῦτος ἐν τοῖς τότε χρόνοις συνέκειτο ἐξ ἀναπεπληρωμένων ἀποθηκῶν (πρβλ. Ἰλ. Ξ 122 κέ. καὶ τὴν εὐαγγελικὴν παραβολὴν τὴν περὶ τοῦ πλουσίου, ὅστις κτίσειν μέλλει καινοὺς σιτοβολῶνας). Τὸ ἐν τῇ συνηθείᾳ «βίος» (οὐδέτ.), ὡς ὁρῶμεν, ἔλαβε τὴν νῦν ἐπικρατοῦσαν σημασίαν ἐν παλαιοτάτοις καιροῖς· ἄλλα δὲ παραδείγματα εἰς τὸ λεξικὸν ἀνατίθεμεν.

*ἔνδον*] Ἐν τῇ οἰκίᾳ· οἱ γεωργοὶ οὐκ εἶχον κεχωρισμένα σιτοβολεῖα, ἀλλά, εἴπερ ἔξεστι μεταφέρειν τὰ νεώτερα εἰς τὰ ἀρχαῖα, διεφύλαττον τὸν σῖτον ἐν μακρᾷ θήκῃ ξυλίνῃ διατεμνούσῃ τὴν οἰκίαν, ὁποία παρὰ τοῖς Πελοποννησίοις ἐν χρήσει ἐστίν. Ἐπὶ δὲ τῆς Εὐβοίας οἱ Δήμητρος καρποὶ ἐν «κουβέλαις» κεῖνται (ἴδε Γ. Δροσίνη Ἀγροτ. Ἐπιστ. σ. 70). Οἱ δὲ Συμαῖοι ἀποθησαυρίζουσι τὸν σῖτον εἰς τὸ «πάγκος» ὀνομαζόμενον ξύλινον μέρος τῆς οἰκίας (Ἑλλην. Φιλολογ. Σύλλ. τ. Η', σ. 476).

*ἐπηετανός*] Διαρκής, καθάπερ «σῖτος ἐπηετανός» (Ὀδ. σ 360), ἤτοι διαρκῶν διὰ τοῦ ἔτους ὁλοκλήρου.— Ἡσίοδος οὐ παρατραγῳδεῖ τὰ πράγματα. Οὐχ ἧττον Θέογνις συμμαρτυρεῖ, ὅτι ὀνόματι μὲν οἱ πτωχοὶ ἰσόμοιροι, ἔργῳ δὲ ἄμοιροι τῶν δικαίων ἦσαν (267-70). Διὰ τὴν αἰτίαν ταύτην ὁ φιλόδημος Περικλῆς τὸ ἐκκλησιαστικὸν καὶ τὸ ἡλιαστικὸν εἰσήγαγεν.

32. *ὡραῖος*] Ὥριμος, ἐπειδὴ *ὥρα* κατ' ἐξοχὴν τὸ θέρος ἤτοι ὁ τρύγος ὠνομάσθη.

*Δημήτερος ἀκτήν* (= Ἰλ. Λ 322. Φ 76)] Οἱ ἐτυμολόγοι πάλαι τε καὶ νῦν πολὺ βασανίζουσι τὸν αὐτῶν νοῦν, πόθεν ἡ λέξις. Τὸ πιθανώτατον τῶν προτεθέντων ὅτι ἡ ῥίζα ΑΚ (ὀξύς), ὥστε δηλοῖ κυρίως τὸν στάχυν· «ἀκ-μάζει» γὰρ ὁ στάχυς.

33. *κορεσσάμενος*] Εἰς κόρον πορισάμενος, κατὰ μεταφορὰν τότε εὐχρηστοῦσαν (Θέογν. 751: πλούτῳ κεκορημένος, Σόλων 13, 73 ἐπὶ τοῦ πλούτου: τίς ἂν κορέσειεν ἅπαντας;), ἴδε καὶ Θ. 593.

*ὀφέλλοις*] Πρβλ. περὶ τῆς λέξεως 14.— Διὸ Σόλων, κατὰ Διογένην Λαέρτιον (1, 59), εἶπε «τὸν μὲν **κόρον** ὑπὸ πλούτου γεννᾶσθαι, τὴν δὲ ὕβριν ὑπὸ κόρου», Θέογνις δὲ (153) «τίκτει τοι κόρος ὕβριν». «Ὑβριστὴς» γὰρ ὁ κόρος καὶ κατὰ τὸν ἅγιον Γρηγόριον (περὶ τῶν καθ' ἑαυτὸν στ. 40. Ποιήμ. 15, 15. 62, 25).

κτήμασ' ἔπ' ἀλλοτρίοις· σοὶ δ' οὐκέτι δεύτερον ἔσται
ὧδ' ἔρδειν· ἀλλ' αὖθι διακρινώμεθα νεῖκος
ἰθείῃσι δίκαις, αἵτ' ἐκ Διός εἰσιν ἄρισται.
Ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ', ἄλλα τε πολλὰ
ἁρπάζων ἐφόρεις, μέγα κυδαίνων βασιλῆας
δωροφάγους, οἳ τήνδε δίκην ἐθέλουσι δίκασσαι,

34. *κτήμασ' ἔπ' ἀλλοτρίοις*] Ἡ πρόθεσις οὐκ οἶδ' εἰ αἰτιατικὴν καθαρῶς σημασίαν ἔχει. Οἱ γὰρ δικαζόμενοι περὶ τῶν ἀγροῦ ὁρίων ἠμφισβήτουν αὐτόθι **ἐπὶ** τοῦ ἀγροῦ.

*σοὶ δ'*] Κατὰ τὴν ἐπικὴν συνήθειαν, ᾗ συνᾴδει ἡ χυδαία, ἡ ἀντωνυμία στερεῖται ἀντιθετικῆς σημασίας (πρβλ. 402. Ἰλ. Ζ 46 = Λ 131. Κ 238).

*ἔσται*] Ἐξέσται, δηλαδὴ ἄν ποτε θελήσῃς.— Τὴν αἰτίαν ἐδηλώσαμεν ἐν τῇ εἰσαγωγῇ.

35. *ὧδ' ἔρδειν*] Δικάζεσθαι ἐν τῇ ἀγορᾷ τῆς πόλεως.

*αὖθι*] Ἐν ταῖς παλαιαῖς ἐποποιΐαις σημαίνει, ἅτε συντεθειμένον ἐκ τῆς ἀντωνυμίας *αὐ*(-τός) καὶ τῆς τοπικῆς καταλήξεως *θι*, τὸ αὐτό, ὃ τὸ κοινὸν *αὐτόθι*. Ἡσίοδος λέγει τὸν τόπον, ὅπου εἰσὶν ἀμφότεροι, ἤγουν Ἄσκραν. Ἐν κώμῃ Ἑλληνικῇ οὐδέποτε δικαστήριον ἦν, ἀλλὰ διαιτηταὶ ἔκρινον τοὺς βουλομένους· ὅθεν ἡ διαίρεσις ἐν τῇ παροιμίᾳ· «πόλις καὶ **νόμος**, κώμη καὶ ἔθος» (Πλανούδειος συλλογὴ ἀρ. 201).

36. *ἰθείῃσι δίκῃς*] Πρβλ. Θ. 86.

*ἐκ Διός*] Πῶς τοῦτο ἐννοητέον, μανθάνομεν ἐκ 279-80.

37. *μέν*] Οὐ κατ' ἀντίθεσιν, ἀλλὰ κατ' αὔξησιν κεῖται.

*κλῆρον*] Ἤτοι κληρονομίαν ἤ, καθάπερ 341, γεωκτησίαν.

38. *ἁρπάζων ἐφόρεις*] Τὸ *φορέω* συνωνυμεῖ τῷ πρωτοτύπῳ *φέρω*, ὃ ἐν τῷ Γορτυνίῳ νόμῳ ἐκφράζει τὸ βίᾳ καὶ παρὰ τὰς διαμαρτυρήσεις ἀποφέρειν. Ὁ νοῦς· πρότερον μὲν εἶχες πολλὰ ἀπό τε τοῦ πατρὸς καὶ πρὸς τούτοις ὅσα ἥρπασας, νῦν δὲ ἐχαλάσθης. Τίνα ἥρπασε πολλά, ἠπίσταντο οἱ Ἡσιόδου ἀκροαταί· ἡ τετριμμένη εἰκασία, ὡς εἴη Ἡσίοδος αὐτός, οὐ στηρίζεται ἐπὶ λόγων τοῦ ποιητοῦ, ἐν τούτοις ὅμως διὰ τὸν κατὰ τῶν βασιλέων ἐρεθισμὸν αὐτοῦ ἐνδέχεται.

*κυδαίνων*] Παρὰ τὸ κῦδος, εὐφήμως τίθεται ἐπὶ τοῦ δεκασμοῦ, κυρίως ὅμως ἐπὶ τῶν δώρων, ὅσα λαμβάνει ὁ βασιλεύς (Ὀδ. ξ 438: κύδαινε δὲ θυμὸν ἄνακτος) καθάπερ *τιμάω* Ἰλ. Ι 155: οἵ κέ ἑ δωτίνῃσι θεὸν ὣς τιμήσωσι.

*βασιλῆας*] Κατὰ Διόδωρον (4,29,4) ἐν Θεσπιαῖς ἐκ τῶν Ἡρακλέους χρόνων «μέχρι τῶν νεωτέρων καιρῶν» **ἑπτὰ δημοῦχοι** ἐβασίλευον, ὧν οἱ προπάτορες Ἡρακλέους υἱοὶ ἐλέγοντο. Καὶ Ἡσύχιός γε διαβεβαιοῖ ὅτι «δαμοῦχοι πόλεις τινὰς διῴκουν», ἀλλὰ πιθανώτατον, ὅτι τοῦτο τὸ ἐπίθετον ἀντικατέστησε τὸ Ἡσιόδειον ὄνομα, ἐπεὶ ὁ δῆμος τὴν αὐτοκρατίαν ἀποστραφῆναι ἤρξατο, ὥσπερ Σοφοκλῆς τὸν φιλόδημον λεγόμενον βασιλέα Θησέα ἐπωνόμασε «δημοῦχον χθονός» (Οἰδίπ. Κολων. 1348).

39. *δωροφάγους*] Τοῦ συνηθεστέρου ἐν τῇ γραφομένῃ γλώσσῃ *δωροδόκος* προτιμᾷ τὴν δημωδεστέραν λέξιν — «τρώγει πολλά» νῦν ἀκούομεν πολλάκις — ὅπως μεταχειρισθῇ τὴν ἐν 41 παροιμίαν εἰς τοὺς βασιλέας.

*τήνδε δίκην*] Τὸν τῆς δικαιοδοσίας τρόπον, ᾧ χρῶνται, πρβλ. 249. 269. Τὸν ἐναντίον Δημόδοκος «τὴν Πριη-

νήπιοι, οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντός,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

νείην δίκην» ἐκάλεσεν ('Ελεγ. 'Απόσπ. 6). Ἡσίοδος, φοβηθεὶς τοὺς περὶ κατηγορίας νόμους, ἀνεπαχθῆ μεταχειρίζεται λέξιν.

*ἐθέλουσι*] Πλεονάζει πως καθάπερ ἐν 280· ἢ ὑποδηλοῖ τὸ ἑκούσιον.

*δικάσσαι*] Ὁ σχολαστικὸς κανὼν ἀπαιτεῖ τὸν ἐνεστῶτα, ἀλλὰ καὶ ἐν τῷ πανομοίῳ ἀξιώματι Πιτθέως εὑρίσκομεν «μηδὲ δίκην δικά**σῃς** πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς».

40. *νήπιοι*] Ἐμφαντικὴ ἐκφώνησις προπεπλασμένη ὑφ' Ὁμήρου.

*πλέον ἥμισυ παντός*] Οἱ φιλόλογοι πάλαι ποτὲ περὶ τῆς ἐννοίας ἐλογομάχησαν καὶ ὁ φιλόσοφος Μουσώνιος ἐν τοῖς Διονυσίοις ἀγώνισμα αὐτὸ προέγραψεν (ὡς διηγεῖται Γέλλιος ἐν ταῖς 'Αττικαῖς Νυξὶ 18, 413). Πάντων μὲν οὖν πρῶτον εὔδηλον, ὅτι Ἡσίοδος παροιμίᾳ χρῆται, ποία δὲ αὐτῆς ἀφορμὴ ἐξ ἐπιγράμματος τῆς Πλανουδείου 'Ανθολογίας μανθάνομεν (1,16). Πᾶν τὸ περιττὸν ἄκαιρον· ἐπεὶ **λόγος ἐστὶ παλαιὸς** ὡς καὶ **τοῦ μέλιτος** τὸ πλέον ἐστὶ χολή. Γενικώτερον ἤδη καὶ ἠθικώτερον λέγει Θέογνις (145-6): «βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν, ἢ πλουτεῖν, ἀδίκως χρήματα πασάμενος», ᾧ συνεφώνησέ πως Πιττακός (Διογέν. Λαέρτ. 1, 4, 3, § 75). Ὕστερον δὲ οἱ φιλόσοφοι τοῦ στίχου χρῆσιν ἐποιοῦντο περὶ τῶν ἀδίκων πλεονεκτημάτων ἁπάντων (ἴδε Πλάτωνα Νόμ. 3,690 e, Πολιτ. 5,466 c, Δίωνα Χρυσόστομον Λόγ. 17, 12: «τὰς ἐκ τοῦ πλεονεκτεῖν βλάβας, οἶμαι, καὶ ζημίας λογιζόμενος», Αἰλιανὸν παρὰ Σουΐδᾳ λ. ἡμίσεια, Πλούταρχον ἐν τῷ Πῶς δεῖ ποιημάτων ἀκούειν σ. 36a, Πρόκλον ἐν τοῖς εἰς Ἡσίοδον σχολίοις, Τζέτζην Χιλιάδ. 7,232 κἑ., ἔτι δὲ Λατινιστὶ 'Οβίδιον ἐν τοῖς Fastis (5,718-9). Ἡσίοδος μέντοι, ὡς συμπεραίνομεν ἐκ τοῦ ἑπομένου στίχου, ἀφορᾷ εἰς τὴν ἐξ ἀδίκων ἡδυπάθειαν· χρήματα γὰρ οὐκ εἶχεν ὁ γεωργὸς πρὸς δωροδοκίαν, ἀλλὰ τὰ προϊόντα τῶν ἀγρῶν καὶ ποιμνίων. Τοῦ τοιουτοτρόπου δεκασμοῦ τῆς γαστρὸς εἶδος κομψότερον ἐκφαίνεται ἐκ τῆς 'Οδυσσείας (λ 185 κἑ.): «Δαῖτας ἐΐσας δαίνυται, ἃς ἐπέοικε δικασπόλον ἄνδρ' ἀλεγύνειν· *πάντες γὰρ καλέουσι*» (ἤτοι προσκαλοῦσιν εἰς τὰ δεῖπνα).

41. Οἱ ἀβροδίαιτοι ἀγνοοῦσι πῶς μαλάχη καὶ ἀσφόδελός εἰσι «μέγ' ὄνειαρ» (=Θ. 871). Τὸ φυτὸν ἐκεῖνο, ὃ ἔσωσε τὸ παλαιὸν ὄνομα (μολόχα ἐκ τοῦ παλαιοῦ μολόχη=μαλάχη), κατὰ τοὺς παλαιοὺς καιροὺς τοὺς πτωχοὺς ἔτρεφεν ('Αριστοφ. Πλοῦτ. 544, πρβλ. Θεοφρ. Ἱστ. Φυτ. 7,7,2, τὸ Τζέτζου σχόλιον, Γεωπονικῶν Β', 45,5: ἄλλοι πήγανον καὶ μαλάχην ἀγρίαν ἀφεψήσαντες καὶ κεράσαντες οἴνῳ παρατραπέντι ὑδαρέστερον, ἐν μέσαις ταῖς τροφαῖς διδόασι, Ὁράτιον 'Ωδ. 1, 31, 15-6. 'Επῳδ. 2, 55 κἑ.). Καὶ νῦν ὑπὸ τῶν ἀπόρων συχνάκις ἐσθίεται ἡ ὠμή, ἠρτυμένη ἅλατι καὶ πιπέρει, ἢ χυμῷ λεμονίου, ἢ βεβρασμένη μετ' ἄλλων χόρτων καὶ ὀρυζίου. Ὥσπερ οἱ παλαιοὶ ἰατροὶ ἀπένειμαν αὐτῇ ἰατρικὴν δύναμιν ('Αθην. Δειπνοσοφ. 2, 58 de. Διοσκορίδ. Β', ρμδ'), οὕτως νῦν ὑγιεινὴ νομίζεται, καίτοι οὐκ ἔστι τῶν πολυτίμων φυτῶν («Ποτέ μου δὲν τ' ἀπάντεχα μήτε 'στὸν νοῦ μου τῷχα, ν' ἀφήσῃς τὸν βασιλικό, νὰ πιάσῃς τὴν μολόχα» Passow δίστ. 797). Ὁ *ἀσφόδελος* ἢ ἀσπόδελος (ἐξ οὗ τὸ ἰδιωματικὸν ἀσπέρδουκλας) ἢ σπόδελος ('Ετυμ. Μέγ. σ. 161, 12, 'Αλβανιστὶ βάδερε, βάθρε, χυδαίως δὲ κατὰ μετάθεσιν σπερδούκλα, σπερδούκλι, σφερδουλάκα, σφερδούκλα, ἔτι δὲ (ὀ)φιδόχορτον) τῶν ἰατρικῶν ἦν (Νί-

Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.

χανδρ. Θηρ. 534-6. Διοσκορίδ. Β', ρθ'. Ἀποστολ. Παροιμ. 4, 14c, πρβλ. Θεοφράστ. Ἱστ. Φυτ. 7, 12,1. Πλιν. Φυσ. Ἱστ. 21,17,68)· καὶ νῦν ἡρωϊκὸν ὑπολαμβάνεται πρὸς δήγματα ὄφεων καὶ σκορπίων γοητείαν καὶ δηλητηρίασιν. Πρὸς τούτοις δὲ τὸ πάλαι τροφὴ ἦν· οἱ γὰρ Δήλιοι προσέφερον εἰς τὸν ναὸν «τῆς πρώτης ὑπομνήματα τροφῆς καὶ δείγματα μετ' ἄλλων εὐτελῶν καὶ αὐτοφυῶν μαλάχην καὶ ἀσφόδελον»· οἷς ὁ ταῦτα διηγούμενος Πλούταρχος (ἐν τῷ τῶν Ἑπτὰ σοφῶν δείπνῳ κ. 14) ἐπισυνάπτει, ὅτι Ἡσίοδος «πρὸς τὰ λιτότατα τῶν ὄψων ὡς ἥδιστα παρακαλεῖ· **ἀγαθὴ** μὲν ἡ μαλάχη βρωθῆναι, **γλυκὺς** δὲ ὁ ἀνθέρικος. Οὕτω ἄρα ἐκληπτέον τὸ *μέγ' ὄνειαρ*. Ἐνδιατρίβομεν τῷ στίχῳ, ὅτι τῷ Ἑλληνικῷ λαῷ ἀκαταφρόνητον μνημεῖόν πως τῆς οἰκιακῆς ἱστορίας ἀποτελεῖ· οὐδὲν γὰρ ἔθνος ἐν τῇ Εὐρώπῃ ὑπάρχει ὅ,τι μεθ' ὁμοίας ὀλιγαρκείας ἁπάντων τῶν φυομένων οὐδὲ τοὐλάχιστον ἀπορρίπτει — βεβαίως μέν τοι οὐδεμία ἄλλη χώρα τοιαῦτα ὁμοίως ἐξαίρετα γεννᾷ. Ὁ στίχος λοιπὸν μαρτυρεῖ, ὅτι ταῦτα τὰ *ἀγριόχορτα* (λάχανα, πορίκια, ὧν τὰ λαϊκά τε καὶ ἐπιστημονικὰ ὀνόματα ἅπαντα συλλέγονται ἐν τῷ τοῦ Heldreich βιβλίῳ «die Nutzplanzen Griechenlands» σ. 74 κἑ.) καὶ πάλαι ποτὲ ὑπὸ τοῦ λαοῦ ἐκαρποῦντο, μηκέτι ἀναγκαζομένου τῷ αὐστηρῷ τῆς νηστείας νόμῳ ἢ τῇ τῆς χώρας καταστροφῇ. Πρὸς τῷ ἀνωτέρω μνημονευθέντι Ἀριστοφανείῳ στίχῳ ἄλλο χωρίον τοῦ «Πλούτου» ἀξιομνημόνευτον (στ. 253=283), ὅπου οἱ σχολιασταὶ σημειοῦνται: «Οἱ Ἀττικὴν οἰκοῦντες πένητες ἤσθιον θύμους, οὓς οἱ κοινοὶ βόλβους ἢ ἀγριοκρόμμυα φασί». Οἱ πολυφάγοι λεγόμενοι Βοιωτοὶ οὐχ ἧττον μετριόφροφες ἦσαν, π. χ. ἤσθιον τὸν καρπὸν νυμφαίας τῆς Κωπαΐδος (Θεοφράστ. Ἱστ. Φυτ. 9, 13, 1).—Κατ' ἀφαίρεσιν τῆς ἐννοίας ὁ τὸν Ὀρφέα ὑποκρινόμενος ἐν τῷ εἰς Μουσαῖον τῶν ὕμνων προοιμίῳ (στ. 14) μεταποιεῖ τὸν στίχον· «καὶ τὸ δικαιοσύνης καὶ εὐσεβίης μέγ' ὄνειαρ». Τὴν ὑφ' Ἡσιόδου ἀποσιωπωμένην ἀντίθεσιν χορηγεῖ Σολομῶντος παροιμία ἑτεροσήμαντος (15, 17). «Κρείσσων ξενισμὸς μετὰ **λαχάνων** πρὸς φιλίαν καὶ χάριν ἢ παράθεσις **μόσχων** μετὰ ἔχθρας».

42-105. Μυθικὴ αἰτιολογία τῆς ἀνθρωπίνης ταλαιπωρίας.

42. Ὁ μὴ Ἕλλην ζητῶν, πρὸς τί τὸ *γὰρ* μόριον, συνάπτει τὰ ἑξῆς πρὸς τοὺς 30-32, ὅθεν τὰ μεταξὺ θεωρεῖ μετὰ πλείστης ὑποψίας ὡς παρείσακτα. Ἀλλὰ ὑπάρχει συνέχειά τις τῶν ἐννοιῶν· μαλάχη καὶ τὰ λοιπὰ ἀγριόχορτα πολὺ ὠφελοῦσιν, **ἐπειδὴ** οἱ θεοὶ τὰ ἄριστα δυσέντευκτα ἐποίησαν. Καὶ δὴ ἐν τῇ Ἑλλάδι ἄκρος λιμὸς ἐξ ἀκαρπίας ἴσως οὐ δύναται γίνεσθαι, διότι τὰ ἀγριόχορτα ὁπωσδήποτε ἀντικαθίστανται.

*κρύψαντες ἔχουσι*] Περιφράζει τὸν παρακείμενον, ὅπερ συχνάζει παρὰ τοῖς ποιηταῖς, π. χ. Ἰλ. Α 356: ἑλὼν γὰρ ἔχει γέρας, καὶ καθάπερ ἐνταῦθα Θέογν. 1061: κακότητα κατακρύψαντες ἔχουσι. Τὸ ῥῆμα *ἔχουσι* ἐπιτηδειότατόν ἐστι, καθότι οἱ θεοὶ ἔχουσι τὸ ἀγαθὸν παρ' ἑαυτοῖς ἐν τῷ οὐρανῷ.

*βίον*] Ἴδε 31.-Διογένης ὁ Κύων «ἐβόα πολλάκις λέγων τὸν τῶν ἀνθρώπων βίον ῥᾴδιον ὑπὸ τῶν θεῶν δεδόσθαι, ἀποκεκρύφθαι δ' αὐτῶν ζητούντων μελίπηκτα καὶ μύρα καὶ τὰ παραπλήσια» (Διογέν. Λαέρτ. 6, 44). Πολέμων δὲ μετήλλαξε «βίον» εἰς «νόον» (Εὐσεβ. Εὐαγγ. Παρασκ. 14, 4, σ. 726 d).

Ῥηϊδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσσαιο,
ὥστε σέ κ' εἰς ἐνιαυτὸν ἔχειν καὶ ἀεργὸν ἐόντα·
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,
ἔργα βοῶν δ' ἀπόλοιντο καὶ ἡμιόνων ταλαεργῶν.

43. Ὑπεννοητέον 43-46: «εἰ ἦν ὁ κόσμος καθάπερ προτοῦ». Ἡσίοδος ἀδύνατον ὑπολαμβάνει, ὅτι τὸ καματῶδες τοῦ βίου ἀνέκαθεν τοῖς ἀναιτίοις ἐπῆλθεν.

*ἐπ' ἤματι*] Ἐν μιᾷ ἡμέρᾳ (καθάπερ Ἰλ. Κ 48, Ὀδ. 6 284).

*ἐργάσσαιο*] Ἀφορᾷ εἰς τὸ θερίζειν, φανταζόμενος ὡς ἡ γῆ πρότερον ἀκατέργαστος οὖσα ὅμως ἔφερε τὸν σῖτον. Πρὸς τὴν σημασίαν παράθες Ἡροδότ. 1,34: ἐργασάμενος χρήματα μεγάλα, καὶ τὴν φράσιν «οὐδὲν ἔργον» ἀντὶ τοῦ «οὐδὲν κέρδος».

44. *ὥστε*] Ὥσπερ εἴπομεν εἰς Θ. 831, ἡ σύνδεσις παρὰ τοῖς παλαιοτάτοις ποιηταῖς οὐκ εὐχρηστεῖ ἐν τῇ ἣν ἴσμεν σημασίᾳ· ἐνταῦθα Ἀττικός τις ἔθηκεν ἂν «ὅσον» μετὰ τοῦ ἀπαρεμφάτου.

*σέ*] Οὐ σολοικίζει, καί τοι ἡ κυρία πρότασις τὸ αὐτὸ ὑποκείμενον ἔχει, διότι οἱ ἐπικοὶ τὸν Ἀττικὸν κανόνα οὐ φυλάσσουσιν· ἔπιθι λ. χ. Ἰλ. Η 198. Ν 269. Ὀδ. θ 221.

*εἰς ἐνιαυτόν*] Ἐννοεῖται, εἰς τὸν ἐνιαυτὸν ὁλόκληρον.

*ἔχειν*] Βίον δηλαδή.

*καὶ ἀεργὸν ἐόντα*] Καί περ μηδὲν ἐργαζόμενον τὰς λοιπὰς ἡμέρας.

45. «Εἰώθεσαν γὰρ νεωλκήσαντες τὰ πηδάλια ὑπὲρ τῶν καπνιζομένων κρεμμανύναι τόπων ξηρανθησόμενα τοῦ μὴ σῆψιν ὑπομεῖναι χάριν τῆς ἐγκειμένης αὐτοῖς ὑγρότητος» (Πρόκλος). Ὁ προσεκτικὸς ναύτης τοῦτο ἐποίει, ὅτε διέκοπτε τοὺς πλοῦς (Ἀριστοφ. Ὄρνιθ. 711 μετὰ σχολίων). Τὸ πηδάλιον δὲ ἐξήρει, ἵνα μή, γενόμενον σαπρόν, ἐν τρικυμίᾳ διαρραγῇ. - Πρῶτον πάντων λοιπὸν ὁ γεωργὸς ἔπαυεν ἂν τοὺς κινδυνώδεις ἐπὶ τὴν θάλασσαν πλοῦς.

Νῦν εἰσέτι ὁ Ἕλλην, πλὴν τῶν νησιωτῶν, συνετώτερος καὶ προμηθέστερός ἐστιν ἢ ὥστε ῥιψοκινδύνως πλεῖν τὴν θάλασσαν, πόσῳ δὲ μᾶλλον πάλαι, ὅτε ταῖς εὐθραύστοις ναυσὶ πολὺ μείζονες κίνδυνοι ἐπέκειντο. Ἵνα μηδεὶς τούτων ἄπειρος καταγελάσῃ τὸν ποιητήν, ἐπικαλούμεθα ἐκ τῶν θαλασσοκρατούντων Ἀθηναίων μάρτυρας, πρῶτον μὲν Ἀντιφάνη τὸν κωμῳδοποιὸν (Διογενιαν. Παροιμ. 4,83 κά.) ἐκφωνοῦντα: «ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν», ἔπειτα δὲ τὸν συνάδελφον αὐτοῦ Φιλήμονα (Διόδωρ. 12, 14, 2): «νόμῳ τεθαύμακ' οὐκ ἐπεὶ πέπλευκε, ἀλλ' εἰ δὶς πέπλευκε». Ἐπίσης ὁ σοφὸς Σόλων ὑποδηλοῖ τί φρονεῖ περὶ τῆς ναυτιλίας (Ἐλεγ. 13,43-46). Παράλληλον ἐντελῶς τοῦ Ἡσιοδείου Ἀράτου χωρίον (110-1): «χαλεπὴ δ' ἀπέκειτο θάλασσα καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον», ὅτε οἱ ἄνθρωποι ἔζων ἐν εὐδαιμονεστέρῳ αἰῶνι. Ἀναλόγως λέγεται: «Ὅποιος 'ς τὴν ξέρα περ(ι)πατεῖ καὶ θάλασσα(ν) γυρεύει, ὁ διάβολος ὀπίσω του κουκιὰ τοῦ μαγερεύει» (Βενιζ. Παροιμ. Ο 605) καί: «θάλασσα, φωτιὰ καὶ γυναῖκα κακὰ τρία» (ὅπερ ἤκουσα ἐν τῇ Ἀχαΐᾳ).

46. Πρὸς τὰ κατ' ἐξοχὴν «ἔργα», ἤγουν τὰ γεωργικά, ἐχρῶντο βουσὶ καὶ ἡμιόνοις (αἳ κατ' Ἰλ. Κ 351 κέ. προφερέστεροι ἦσαν)· «ἔργα βοῶν» λοιπὸν οἱ κεκαλλιεργημένοι ἀγροί, οἷον Ὀδ. κ 98: «ἔνθα μὲν οὔτε βοῶν οὔτ' ἀνδρῶν φαίνετο ἔργα», ἤτοι οὔτε ἀγροί, οὔτε ἀμπελῶνες.

Ἀλλὰ Ζεὺς ἔκρυψε, χολωσάμενος φρεσὶν ᾗσιν
ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης·
τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά,
κρύψε δὲ πῦρ· τὸ μὲν αὖτις ἐὺς παῖς Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποισι Διὸς πάρα μητιόεντος
ἐν κοΐλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
Τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
«Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
χαίρεις πῦρ κλέψας καὶ ἐμὰς φρένας ἠπεροπεύσας,
σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι·
τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακὸν ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες».

*ἀπόλοιντο*] Ἡ λέξις ἐν κατάραις, οἷον «ἀπόλοιο», «εἴθ' ἀπόλοιτο βοῶν γένος» (Ὕμν. Ὁμ. 3, 309).

*ταλαεργῶν*] Ὁ κύριος ὁμολογεῖ τὴν τῶν ζῴων καρτερίαν, ὥσπερ καθ' ἡμᾶς ὁ ἀροτρεὺς βοῦς *καματερὸ* ὀνομάζεται.

47. Τί Ζεὺς μόνος ποιεῖ, τί οἱ θεοὶ ἅπαντες, οὐδέποτε ἀκριβῶς διακρίνεται.

*ἔκρυψε*] Βίον.

48. Αἰνίττεται Θ. 535 κἑ.

*ἀγκυλομήτης*] Ἴδε Θ. 19.

50. *κρύψε*] Πρβλ. Θ. 562 κἑ., ὅθεν τὸ δεύτερον ἡμιστίχιον (1=565) ἐπανείληπται.

51. *Διὸς μητιόεντος*] Ἔπιθι τὴν εἰς Θ. 286 σημείωσιν.

*πάρα*] Ἀπὸ τῆς τοῦ Διὸς ἑστίας (Ὑγίν. ποιητ. ἀστρον. 2,10 Μῦθ. 144).

52. *ἐν κοΐλῳ νάρθηκι*]=Θ. 567.

*λαθών*] Ἀνθρωπομορφικὴ ἐξήγησις τοῦ πῶς κλέψαι ἐδυνήθη.

*τερπικέραυνος*] Ἐπίθετον Ὁμηρικόν. Ἡ μεγαλοπρεπὴς θέα Ἑλληνικῆς θυέλλης τοῖς μὲν θνητοῖς φοβερά, ἀθανάτῳ δέ, ὅστις ἂν ᾖ φόβου ἐλεύθερος, πάντως ἔκλαμπρος.

53. Ὀλίγον παραλλάσσει τοῦ Θ. 558.

54]=Θ. 559.

55. *ἠπεροπεύσας*] Ἐξαπατήσας. Ἡ ἐτυμολογία ἧττον σαφὴς ἢ ἡ σημασία. Ἀναφέρεται εἰς 48.

56. Τὸ πρωτότυπον Ἰλ. Γ 50: «Πατρί τε σῷ μέγα πῆμα πόληί τε παντί τε δήμῳ». Ἡ σύνταξις ἡ αὐτή. Ἡ τιμωρία παραλείπεται, προϋποτιθεμένης τῆς ἐν Θ. 521 κἑ. διηγήσεως.

57. Ὁμοιάζει Θ. 570 καὶ ἀφορᾷ εἰς Θ. 590 κἑ.

58. *ἑὸν κακόν*] Τὸ ἑαυτοῦ ἕκαστος κακόν. Πρβλ. ὅσα εἴπομεν περὶ τοῦ *σφέτερον* (2).

*ἀμφαγαπῶντες*] Τὸ ἐν τῇ συνηθείᾳ συνώνυμον εὑρίσκομεν παρὰ Σιμωνίδῃ τῷ Ἀμοργίνῳ (7,77)· «Ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται». Τὸ χωρίον πολὺ ἦν καὶ πολυπληθῆ ἀπομιμήματα ἐγέννησε, λ. χ. Ἀντιφάνους δίστιχον (Ἀθην. Δειπνοσ. 13,567d ἐκ τοῦ Ἀγροίκου: «Ἔστι δ' ἑταίρα τῷ τρέφοντι συμφορά· εὐφραίνεται γὰρ κακὸν ἔχων ἐν οἰκίᾳ», καὶ τὸ νενοθευμένον Σουσαρίωνος ἀπόσπασμα: «Κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται, οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ», ἔτι δὲ Λατινιστὶ τὸ Σενέκα ἀπόφθεγμα (Ἐπιστ. 39): «mala sua, quod malorum ultimum est, amant».

Ὣς ἔφατ'· ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἥφαιστον δ' ἐκέλευσσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδὴν
καὶ σθένος, ἀθανάτῃς δὲ θεαῖς εἰς ὦπα ἐΐσκειν
παρθενικῆς καλὸν εἶδος, ἐπήρατον· αὐτὰρ Ἀθήνην
ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσέην Ἀφροδίτην,

59. *ἐκ δ' ἐγέλασσε*] Καὶ τοῦτο προῆλθεν ἐκ τοῦ ἀνθρωπομορφισμοῦ. Ὁ θεὸς χαίρει ἐπὶ τῷ ὀξυμώρῳ ἐπινοήματι. Οὐ θέλομεν ὅμως ἀποσιωπῆσαι ὅτι Ἀπολλώνιος ὁ Ῥόδιος τὸν γέλωτα ὀργίλον ὑπέλαβεν (1,485).

60. *περικλυτός*] Ἴδε Θ. 571.

*ὅττι τάχιστα*] Ἀκροτελεύτιον τετριμμένον τῶν ἐποποιῶν.

61. *ὕδει*] Δοτικὴ τοῦ ὕδος=ὕδωρ. Οἱ ἄνθρωποι ἐπλάσθησαν ἐκ γῆς καὶ ὕδατος· τῆς γνώμης συμμετέχουσιν Ὅμηρος (Ἰλ. Η 99: πάντες μὲν ὕδωρ καὶ γαῖα γένοισθε) καὶ ὁ φιλόσοφος Ξενοφάνης (:πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεσθα, Σχόλ. Ἡσιόδ.). Ἥφαιστος ποιεῖ τὴν κυριωτέραν ἐργασίαν καὶ διευθύνει τὸ ἅπαν. Ἐνταῦθα δὲ ὁ ποιητὴς οὐκ ἀπονέμει ἄλλοις εἰ μὴ τὰ διανοητικά.

62. Τὸ πρωτότυπον Ἰλ. Γ 158: «αἰνῶς ἀθανάτῃσι θεαῖς εἰς ὦπα ἔοικε». Πρὸς τὴν ἔννοιαν παράθες Θ. 142.

*ἐΐσκειν*] Ἀφομοιοῦν, μεταβατικῶς.

63. *παρθενικῆς*] Παρθένου.

*καλόν*] Τὸ α παρὰ τὴν ἐπικὴν διάλεκτον βραχύ (ἴδε Θ. 585).

*εἶδος*] Ἡρμηνεύσαμεν εἰς Θ. 153.

64. Αἱ εὐγενεῖς Ἑλληνίδες ἅπασαι ἠπίσταντο ἐργασίας πολυτέχνους, ὅπερ διὰ τῶν Βυζαντίνων διῆλθεν εἰς τοὺς νεωτέρους μύθους. Προστάτις ἦν, ὡς εἴδομεν ἀνωτέρω (Θ. 573-4), ἡ Παλλάς.

*διδασκῆσαι*] Ἀντὶ τοῦ διδάξαι, ὥσπερ ἐκδιδάσκησε Πινδάρ. Πυθ. 4, 217. Βοιώτιος ἆρά γε ὁ τύπος; Ἡ σημασία ἀφήρηται ἐπὶ τῆς θείας εἰσηγήσεως, ὥσπερ γινώσκομεν παραθέντες Ὀδ. ζ 116-7: ὅ οἱ πέρι **δῶκεν** Ἀθήνη ἔργα τ' ἐπίστασθαι περικαλλέα καὶ φρένας ἐσθλάς, οὗ σαφέστερον Ὕμν. Ὁμηρ. 4, 14-5: ἣ (Ἀθηνᾶ) δέ τε παρθενικὰς ἁπαλόχροας ἐν μεγάροισιν ἀγλαὰ ἔργ' ἐδίδαξεν, **ἐπὶ φρεσὶ θεῖσα ἑκάστῃ**. Πρβλ. καὶ Ὕμν. Ὁμηρ. 20 (19), 3.

*ἔργα*] Διασαφηνίζεται διὰ τοῦ δευτέρου ἡμιστιχίου, καθάπερ Ὀδ. α 356-7: τά σ' αὐτῆς ἔργα κόμιζε, ἱστόν τ' ἠλακάτην τε.

65. *χάριν ἀμφιχέαι*] Ναὶ μὲν ἡ μεταφορὰ προπαρεσκεύασται ὑφ' Ὁμήρου (ἀντικείμενά εἰσιν ἄχος, θάνατος, ὕπνος), πρὸς τὴν χάριν ὅμως Ἡσίοδος πρῶτος φαίνεται αὐτὴν μεταχειρισάμενος. Διότι ἀλλόκοτός πώς ἐστι κατὰ τὴν νεωτέραν φιλοκαλίαν, βοηθοῖς χρώμεθα Πινδάρῳ, παρ' ᾧ πολλὰ τοιαῦτα (οἷον Ὀλ. 6, 76: οἷς . . . αἰδοία ποτιστάξῃ χάρις εὐκλέα μορφάν, Ἴσθμ. 4,72: σὺν Ὀρσέᾳ δέ νιν κωμάξομαι τερπνὰν ἐπιστάζων χάριν), καὶ τοῖς τῆς Ἀνθολογίας ἐρανισταῖς (Φιλοδήμῳ 5, 13, 5+6: χρὼς πάσας ἔτι στάζει μυριάδας χαρίτων, Ῥιανῷ Ἐπιγρ. 2: Ὧραί τοι χάριτες κατὰ γλυκὺ χεῦαν ἔλαιον, Χριστοδώρῳ Ἐκφρ. 322, 23: αὐτῷ πλειοτέρην ἔσταξε χάριν, 78: ἔλειβε ἀγλαΐης ῥαθάμιγγας χαλκῷ, 146: ἀ-

καὶ πόθον ἀργαλέον καὶ γυιοβόρους μελεδώνας·
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείαν ἤνωγε, διάκτορον Ἀργειφόντην.
Ὣς ἔφαθ'· οἱ δ' ἐπίθοντο Διὶ Κρονίωνι ἄνακτι.
Αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς.
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη·
ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήνγε

γλαΐης πνείουσα σοφῇ περιλείβεται), ἔτι δὲ τῷ τὰ Λιθικὰ ποιήσαντι Ὀρφικῷ (528: Θέλγητρον ἰδόντι αἰὲν ἐπὶ πραπίδας καταλείβεται).

65. *χρυσέην*] Ἴδε Θ. 822.

Τὰ ἀντικείμενα κατὰ ζεῦγμα προσάπτονται.

*πόθον*] Ὁ Ἵμερος Ἀφροδίτης ἀκόλουθός ἐστιν (Θ. 201).

*ἀργαλέον*] Εἰ ἤθελεν ἐκφράσαι τὴν ἔννοιαν ἀκριβέστερον, εἰρητέον ἦν ὡς Ὀδ. δ 397: ἀργαλέον δαμῆναι (δυσκαταμάχητον).

**γυιοβόρους*] Βιβρώσκοντας τὰ γυῖα· «αἱ λῦπαι (ἡ πίκραις) κόφτουν γόνατα» (Βενιζέλου Α 33. Η 186). Οἱ Ζαγορίσιοι ὀνομάζουσι τὴν φροντίδα «κωλοκαψίδα» ἢ «κωλοστρούμωξι» (Ἑλλ. Φιλολ. Σύλλ. τόμ. ΙΔ', σ. 238 α).

* *μελεδώνας*] Φροντίδας τοῦ ἔρωτος.

67. *κύνεον*] Ἡ κύων τότ' ἤδη τῆς ἀναιδείας σύμβολον ἦν. Τοῖς γνωστοῖς τῶν Ὁμηρικῶν ποιημάτων χωρίοις (Ἰλ. Γ 180. Ὀδ. δ 145. λ 424. σ 338. τ 91) συνείρομεν τὴν εἰκόνα τῆς κυνικῆς γυναικός, ἣν Σιμωνίδης ὁ Ἀμοργῖνος ἐν τοῖς πολυθρυλήτοις ἰάμβοις ἐζωγράφησεν (Ἀπόσπ. 7 στ. 12 κἑ.).

*ἐπίκλοπον*] Ἑρμηνευθήσεται ἐν τοῖς ἑξῆς (374). Ὁ Ἑρμῆς πρὸς τοῦτο ἐπιτηδειότατός ἐστιν, αὐτὸς δοκῶν «κλεψίφρων» (Ὕμν. Ὁμηρ. 3, 413).

68. *διάκτορον*] Παρὰ τὸ διάγω ὡς ψυχοπομπόν.

*Ἀργειφόντην*] Παρὰ τὸ Ἄργος, ἀφ' οὗ παράγεται ἀργεννός (λαμπρός), καὶ φαίνομαι· διὸ παρῴδηται ὑπ' Ἀλκμᾶνος (Ἀθην. 11, 498): τυρὸν ἐτύρησας μέγαν ἄτρυφον ἀργ(ε)ιφόνταν (ἤτοι ἐπίλευκον μυζήθραν). Ἡ λέξις ἄρα ἐσχημάτισται ὁμοίως τῷ ἀργείλοφος (ἀσπρόβουνο). Πρὸς τὸν μυθολογικὸν νοῦν, ἐπέχομεν· οὐδὲν γὰρ πρὸς τὸν Ἡσίοδον.—Μετὰ πλείστης φιλοκαλίας καὶ ἀστειότητος ὁ «κύνεος» καὶ «ἐπίκλοπος» Ἑρμῆς παρίσταται ἐν τῷ τρίτῳ τῶν Ὁμηρικῶν ὕμνων.

70. Ὅμηρος μὲν ἂν ἐπαλιλλόγησεν ἅπαντα αὐτολεξεί, Ἡσίοδος δὲ τὴν διήγησιν ποικίλλει, ὀρθῶς τοῦτο ποιήσας, ἐπειδὴ τὸ ποίημα τοῦ ἐπικοῦ εἴδους οὐκ ἂν εἴη. Εἰς ἐναντιολογίας ὅμως οὐκ ἐμπίπτει, ἀλλὰ ὅσα Ζεὺς ἐπέταξεν Ἡφαίστῳ, διαμερίζει εἰς πλείονας θεούς, τὰ δὲ ἐν 63-66 περιεχόμενα οὐκ ἐπαναλαμβάνεται, ἐπειδὴ ἡ ἐκτέλεσις ἐννοεῖται· μόνον τὸν 67 στ. ὁ μισόγυνος διλογεῖ, μᾶλλον δὲ ἐντείνει.

70-72. Πρβλ. Θ. 571-3.

73. *Χάριτες*] Ἴδε Θ. 907.

*πότνια*] Πρβλ. Θ. 11.

*Πειθώ*] Ἡ ἐν Θ. 349 μνημονευομένη, ἣ Ἀφροδίτην πάντοτε συνοδεύει· προσωποποιεῖται ἡ τοῦ Θ. 205 ἔννοια.

74. *ὅρμους*] Τὸν τοῦ κόσμου τού-

Ὧραι καλλίκομαι στέφον ἄνθεσιν εἰαρινοῖσι·
πάντα δέ οἱ χροῒ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.
Ἐν δ' ἄρα οἱ στήθεσφι διάκτορος Ἀργειφόντης
ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
τεῦξε Διὸς βουλῇσι βαρυκτύπου· ἐν δ' ἄρα φωνὴν
θῆκε θεῶν κῆρυξ· ὀνόμηνε δὲ τήνδε γυναῖκα
πανδώρην, ὅτι πάντες Ὀλύμπια δώματ' ἔχοντες
δῶρον ἐδώρησαν, πῆμ' ἀνδράσιν ἀλφηστῇσι.
Αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσε,
εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην
δῶρον ἄγοντα, θεῶν ταχὺν ἄγγελον· οὐδ' Ἐπιμηθεὺς
ἐφράσαθ', ὥς οἱ ἔειπε Προμηθεὺς μήποτε δῶρον
δέξασθαι πὰρ Ζηνὸς Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν
ἐξοπίσω, μή πού τι κακὸν θνητοῖσι γένηται.
Αὐτὰρ ὁ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ', ἐνόησε.
Πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων

του τόπον δηλοῦσιν Ὕμν. Ὁμηρ. 4, 88: «ἀμφ' ἀπαλῇ δειρῇ» καὶ 6,10. 11: «δειρῇ δ' ἀμφ' ἀπαλῇ καὶ στήθεσιν ἀργαλέοισι (δηλαδὴ σταυροειδῶς, ὅπερ ὁρῶμεν ἐν πολλαῖς εἰκόσιν) ὅρμοισι χρυσέοισι ἐκόσμεον».

*χροΐ*] Πρβλ. Θ. 5.

75. *Ὧραι*] Αἱ ἐν Θ. 901 ἀπαριθμούμεναι. Ἅμα ταῖς Χάρισιν ὁμοίως κοσμοῦσιν Ἀφροδίτην (ἴδε τὸ γ' ἀπόσπ. τῶν Κυπρίων).

76. Γυνή τις οὐκ ἂν ὠβέλιζε τὸν στίχον τοῦτον, ὥσπερ πολλοὶ κριτικοί. Ὁ καλλωπισμὸς γὰρ οὐ γίνεται ἄνευ πολλῶν δοκιμῶν. Πρὸς τούτοις ὁ στίχος ἀφορᾷ εἰς τὴν Θεογονίαν, ὅπως μὴ ἐναντιωθῶσιν αἱ παράλληλοι περιγραφαί (Πρβλ. Θ. 576-7).

77. *διάκτορος Ἀργειφόντης*] = 68.

78. Πρβλ. 67· *αἱμυλίους λόγους*] Ἴδε Θ. 890.

79. *βαρυκτύπου*] Ἴδε Θ. 388.

*φωνήν*] = Αὐδὴν 61.

80. Ἑρμῆς ἀστεΐζεται ὅτι «ἡ γυνὴ πανδώρη ἐστί». Οὕτως ἐτυμολογεῖ ὁ ποιητὴς τὸ Πανδώρας ὄνομα. Τῆς αὐτῆς αἰτίας ἕνεκα νῦν εἰσήγαγε πολὺ πλέονας θεοὺς ἢ ἐν τῇ Θεογονίᾳ.

82. Ἐπανάγει εἰς στ. 56.

*ἀλφηστῇσι*] Ἔπιθι τὴν ἡμετέραν εἰς Θ. 512 σημείωσιν.

83. Πρβλ. Θ. 589.

84. *εἰς*] Ἡ ἐν τῇ νεωτέρᾳ συνηθείᾳ ἐπὶ προσώπων χρῆσις τῆς εἰς καὶ τῆς ἐπικῆς διαλέκτου ἦν (π. χ. Ἰλ. Η 312 κά.).

*Ἐπιμηθέα*] Οἱ ἀκροαταὶ αὐτὸν ἐγνώρισαν ἀπὸ Θ. 511.

*πατήρ*] Ἑρμοῦ ἤτοι Ζεύς.

*κλυτόν*] Ἴδε Θ. 215.

*Ἀργειφόντην*] Πρβλ. 68.

85. *δῶρον ἄγοντα*] Λείπει «αὐτήν».

86. *ἐφράσαθ'*] Διεσκέψατο.

89. *δή*] Ἤδη, κατὰ τὴν ἀρχαιοτάτην σημασίαν.

90. Νῦν ἐπιστρέφεται πρὸς τὴν διά-

νόσφιν ἄτερ τε κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο
νούσων τ' ἀργαλέων, αἵτ' ἀνδράσι γῆρας ἔδωκαν.
[αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι].
Ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
ἐσκέδασ'· ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
Μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισι
ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε

νοιαν, ἀφ' ἧς ἐξελθὼν τὸν μῦθον κατεχώρησεν.

*ζώεσκον*] Περὶ τοῦ τύπου εἴπομεν Θ. 157.

*ἐπὶ—ἀνθρώπων*='Οδ. η 307.

91. *νόσφιν ἄτερ τε*] Αἱ δύο προθέσεις ἐντείνουσι τὸν νοῦν: «παντάπασι χωρίς».

92. *Τὸ ὀλοὸν γῆρας*, Ὁμηρικῶς εἰπεῖν, τοὺς πρώτους ἀνθρώπους οὐκ ἐβάρυνεν (ἴδε 114).

*ἔδωκαν*] Τὸ κατ' ἀόριστον γνωμικὸν τιθέμενον ῥῆμα μέσην σημασίαν ἔχει, οἷον Ἰλ. Α 96: ἄλγε' ἔδωκε.

93]. = Ὀδ. τ 360.

94. *γυνή*] Πανδώρα ὡς πρώτη καὶ μόνη γυνή.

*πίθου*] (Ἡ λέξις σῴζεται ἐπὶ Θήρας, τῶν ἄλλων Ἑλλήνων μεταχειριζομένων τὸ παράγωγον *πιθάρι*) Καὶ τὸν πίθον οἱ πρὸς οὓς Ἡσίοδος εἶπεν ἀκροαταὶ ἐγνώριζαν ποῖος ἦν. Ἡμεῖς δὲ ἐπάναγκες ἀρκούμεθα ὅσοις Πρόκλος (σχόλ. εἰς 89) καὶ ὁ Αἰσώπειος Βάβριος παρέδοσαν. Κατ' ἐκεῖνον μὲν Προμηθεὺς «τὸν τῶν κακῶν πίθον παρὰ τῶν Σατύρων λαβὼν καὶ παραθέμενος τῷ Ἐπιμηθεῖ παρήγγειλε τὴν Πανδώραν μὴ δέξασθαι». Ὡς δὲ οὗτός φησι (Μῦθ. 58), Ζεὺς τοῖς ἀνθρώποις τὸν πάντων ἀγαθῶν ἀνάπλεων πίθον ἔδωκεν. Ὁ γὰρ τῶν θεῶν βασιλεύς, ὥσπερ οἱ γεωργοὶ τὸ ἔλαιον καὶ τὸν οἶνον, ὡσαύτως τὰ ἀγαθὰ καὶ τὰ κακὰ ἀπεθησαύρισεν ἐν πίθοις (Ἰλ. Ω 527-8: δοιοὶ γάρτε πίθοι κατακείαται ἐν Διὸς οὔδει δώρων, οἷα δίδωσι, κακῶν, ἕτερος δὲ ἐάων, Πρβλ. Νόνν. Διον. 7, 56-7: οὐράνιον κεῖνον πίθου κρήδεμνον). Διὸ ἐπαροιμιάζετο «κρατὴρ κακῶν» (Ἀριστοφ. Ἀχαρν. 937). Ἡ τῶν ἑξῆς συμπλοκὴ ἀποδεικνύει, ὅτι συγκαταθετέον τῷ Βαβρίῳ.

*μέγα πῶμα*] Τοῦτό τε καὶ ἡ μεταφορὰ *δόμοισι* (96) ὑπαινίττονται τὸ τοῦ πίθου μέγεθος, ὁποίους ἀνηῦρεν ὁ Σχλίεμανν ἀκεραίους ἐν Τροίᾳ. Ἐν ὁμοίῳ κατῴκει Διογένης ὁ Κυνικός, ἰσομεγέθεις δὲ καὶ ἀντὶ δεσμωτηρίου ἐχρημάτιζον (Ἰλ. Ε 387, πρβλ. Ἡσύχ. *σιρός*] πίθος, δεσμωτήριον). Ἐπίσης ὁ τῶν Δαναΐδων πίθος ἐν τῇ ζωγραφίᾳ ἀρχαϊκοῦ ἐν Μονάχῳ ἀγγείου (ἀπεικ. ἐν τῷ μυθολογικῷ λεξικῷ τοῦ Roxher στήλ. 950) τοῦ ἐδάφους ἐξέχει ὑπὲρ ἀνδρὸς ὕψος. Οἱ πίθοι ὥσπερ νῦν ἐπιβλήματι (*πώματι*) ἐσκεπασμένοι ἦσαν (Ἀρχιλόχ. Ἀπόσπ. 4, 2).

95. *ἐσκέδασ'*] Τὰ ἀγαθά, ἅπερ ἐπανῆλθον εἰς τὸν Ὄλυμπον (ἴδε Μακεδόνιον, Ἀνθολογ. 10, 71)· ἐκφράζει, ὅτι ἡ τῆς γυναικὸς πρᾶξις, ἐπακόλουθος πρότασις, (πρὸς ἣν παράθες 49), προῆλθεν οὐκ ἐξ ἐλαφρονοίας, ἀλλ' ἐθελοκακίας.

96. *ἀρρήκτοισι*] Ἄθραυστος ἦν ἅτε δῶρον τῶν θεῶν.

*δόμοισι*] Ἀναλόγως Εὐριπίδης (Ἄλκηστ. 160) μεγάλην κίστην ὀνομάζει «κεδρίνους δόμους». Τῇ μεταφορᾷ ἁρμόζει τὸ ἑπόμενον *θύραζε*.

ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο,
αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο.
Ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται·
πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα.
Νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ, αἳ δ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητιέτα Ζεύς·
οὕτως οὔτι πη ἔστι Διὸς νόον ἐξαλέασθαι.
Εἰ δ' ἐθέλεις, ἕτερόν τοι ἐγὼ λόγον ἐκκορυφώσω

98. *ἐξέπτη*] Τὸ ῥῆμα ἀφορᾷ εἰς τὴν ψυχολογικὴν μεταφορὰν «πέτομαι ἐλπίσιν» (Σοφ. Οἰδ. Τυρ. 487) ἢ «πτηνὰς ἐλπίδας» (Εὐριπ. Ἀπόσπ.) «τὰ πτερὰ τῶν χρηστοτέρων ἐλπίδων» (Θεοφύλακτος ὁ Βουλγαρίας Ἐπιστ. 1). Ἐπικός τις τὴν θεὸν αὐτὴν ὁμοίως τῷ Ἡσιόδῳ ἐπτέρωσεν, ἐξ οὗ τινος Ἔννιος ὁ Ῥωμαῖος ἠρύσατο τὸ «Fides apta pinnis» (Ἐλπὶς πεπροικισμένη διὰ πτερῶν, ἴδε Κικέρωνα περὶ τῶν καθηκόντων 3, 29).

*ἐπέμβαλε*] Πανδώρα.

99. *αἰγιόχου*] Πρβλ. Θ. 11.

*Διὸς νηφεληγερέταο* (=Ἰλ. Ε 631 κά.) ἡρμήνευται εἰς Θ. 558. Οὐχ αὐτὴ ἡ Πανδώρα εἶχεν οἶκτον, ἀλλὰ Ζεὺς οὐκ ἤθελεν ἀποστερῆσαι τοὺς ἀνθρώπους τῆς ἀπὸ τῆς ἐλπίδος παρηγορίας: «Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν· ἄλλοι δ' Οὔλυμπόν δ' ἐκπρολιπόντες ἔβαν» (Θεογνίδεια 1135-36). «Ἐλπὶς δὲ πάντας κἀπιπενθείη τρέφει» (Σιμωνίδης ὁ Ἀμοργ. Ἀπόσπ. 1, 3). Ἀλλὰ μακρόν ἐστι τὸ συνείρειν ἐγκώμιον τῆς ἐλπίδος ἐκ τῶν παλαιῶν.

100. *Ἄλλα*] Ἐκτὸς τῶν γυναικῶν, ἃς ὠνόμασε κακὸν (89). Πανδώρα γὰρ οὐκ αἰτία τῶν νόσων, μᾶλλον δὲ ἕνεκα τῆς τοῦ πυρὸς κλοπῆς εἰσέφρησαν (Ὁράτιος Ὠδ. 1, 3, 29-33).

*ἀλάληται*] Τὴν κοινὴν λέξιν Αἰσχύλος (Προμηθ. 275-6) παρέχει: «**πλανωμένη** . . . . . Πημονὴ προσιζάνει». Ἄλλοτε δηλ. ἀλλαχοῦ τῆς γῆς καὶ τῆς θαλάσσης ἐκφαίνονται.

102. *Νοῦσοι*] Προσωπικῶς εἰσάγονται καθάπερ παρὰ Σοφοκλεῖ (Φιλοκτ. 758-9), ὅς, Ἡσιόδου ἴσως μνησθείς, τὸ ῥῆμα *φοιτῶ* αὐτόθι μετεχειρίσατο (808 πρβλ. Ε. 103), ἔτι δὲ ἀναλόγους εἰκόνας ἔπλασεν (Οἰδ. Τύρ. 303: οἵᾳ νόσῳ ξύνεστι, Αἴαντι 611: μανίᾳ ξύναυλος).—Τὸ τῶν νόσων κακὸν Ἡσίοδος παθητικῶς διακριβοῖ. Πρῶτον μὲν οὐδεμιᾷ ὥρᾳ οἱ ἄνθρωποι ἀκινδύνως ἔχουσι, δεύτερον δὲ ἄνευ αἰτίας τοῦ κακομοίρου ἡ νόσος αὐτὸν αἱρεῖ (ὁ τῆς ἰατρικῆς ἄπειρος τὴν τῆς νόσου αἰτίαν οὐδέποτε ἑαυτῷ ἀποδίδει), τρίτον δὲ ὁ ἄνθρωπος ἀδύνατος ἐκφεύγειν, διότι ἀψόφως προσέρχονται (104).

* *αἳ δ'*] Λείπει ἡ ἑτέρα ἀντίθεσις (αἳ μήν), ὥσπερ Ἰλ. Χ 157: φεύγων, ὃ δ' ὄπισθε διώκων.

104. *μητιέτα*] Πρβλ. Θ. 56.

105. Ὁμοιάζει Θ. 613, ἀναφέρεται ὅμως μόνον εἰς τὸν προηγούμενον στίχον.

*πη*] Πῶς.

*ἐξαλέασθαι*] «Ἐκκλίνειν» (Ἡσύχ.).

106-173. Περὶ τῆς τῶν ἀνθρώπων βαθμηδὸν παρακμῆς.

106. *Εἰ δ' ἐθέλεις*] Μέλλων παρεκβῆναι ὀλίγον τῆς ὑποθέσεως, αἰτεῖται ἄδειαν.

εὖ καὶ ἐπισταμένως (σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι),
ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι.
Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες.

*ἐκκορυφώσω*] Παράγεται ἀπὸ τοῦ κορυφή, ὥσπερ τὸ συνώνυμον *ἀνακεφαλαιῶ* παρὰ τὸ κεφάλαιον (κεφαλή).

107. Ὁ στίχος ὁλόκληρος Ὁμήρου ἐστί, τὸ μὲν γὰρ ἡμιστίχιον ἀπαντᾷ ἐν Ἰλ. Κ 265. Ὀδ. υ 161. ψ 197, τὸ δὲ ἐν Ἰλ. Α 297 κἑ.

108. *ὁμόθεν*] Διασαφηνίζεται τοῖς ἀκολούθοις. Διὸ ἀδύνατον ἀφορᾶν εἰς τὴν ἐκ ταὐτοῦ γένεσιν (ὥσπερ Ὕμν. Ὁμ. 4, 135 ἐπὶ ἀδελφῶν κτλ.). Οὐδὲν γὰρ ἀναγινώσκομεν ἐν τοῖς Ἡσιόδου ποιήμασιν, οἷον τὸ Πινδάρου (Νεμ. 6, 1): «ἓν ἀνδρῶν, ἓν θεῶν γένος, ἐκ μιᾶς δὲ πνέομεν ματρὸς ἀμφότεροι». Ἡσίοδος οὐδὲν ἐν νῷ ἔχει, εἰ μὴ τὸ θεοειδὲς οὐδὲ ἄλλο τι λέγει πλὴν ὅ,τι Δικαίαρχος (παρὰ Πορφυρίῳ περὶ ἀποχῆς 4, 2), καθ' ὃν «οἱ παλαιοὶ **ἐγγὺς** θεῶν ἐγεγόνεσαν». Ἡ ἀκριβεστάτη μετάφρασις λοιπὸν ἂν εἴη: «ὁμοίως εἶχον». — Οἱ ἄνθρωποι ἅπαντες τὸ παρελθὸν φαντάζονται πολὺ εὐδαιμονέστερον καὶ μακαριώτερον τοῦ παρόντος, μάλιστα δὲ ἂν δυσχεραίνωσι τῇ τῶν πραγμάτων καταστάσει. Ἀκολουθίαν δὲ ἱστορικὴν γενῶν ἀνομοίων οὐδεὶς λαὸς ἀνέπτυξεν, εἰ μὴ οἱ συγγενεῖς Ἰνδοὶ καὶ Πέρσαι καὶ μάλιστα οἱ Ἕλληνες, οἳ τὴν «προεθνικὴν» παράδοσιν μετὰ πλείστης φιλοσοφίας ἐξηκρίβωσαν. Ἐκ τῶν τὴν αὐτὴν ὑπόθεσιν περιγραφόντων μνημονεύομεν Ἄρατον (ἐν τοῖς Φαινομένοις στ. 100 κἑ.) καὶ Βάβριον ἐν τῷ τῶν Αἴνων προοιμίῳ καὶ τὴν Σίβυλλαν (ἐν Χρησμῶν Α', σ. 65 κἑ.)· ἔτι δὲ τοὺς Ἑλληνίζοντας ποιητὰς τῶν Ῥωμαίων, Βιργίλιον (Γεωργικῶν Α',125 κἑ) Ὀβίδιον (Μεταμορφώσεων Α',189 κἑ.), Ἰουβενάλην Σάτ. 13,25 κἑ.), οἳ ἅπαντες τὸν μῦθον κατὰ τὸ μᾶλλον ἢ ἧττον μετέβαλον. Πῶς δὲ ὁ ἁπλοῦς Βοιωτὸς τοιοῦτό τι θέμα, ὅπερ μεθύστερον τοὺς σοφωτάτους τοῦ λαοῦ ἠσχόλει, ἀνίχνευσεν; Ἐν τῇ πατρίδι αὐτοῦ μάλιστα τὴν φαντασίαν ἤγειραν πλὴν τῶν Κυκλωπείων τειχῶν τῆς Καδμείας, ἅτινα οὐδεὶς ἂν τῶν κατ' αὐτὸν κτίσαι ἐδυνήθη, αἱ παμπάλαιοι πόλεις, ἃς ἡ δυσοιώνιστος Κωπαῒς κατέσπασεν εἰς τὴν ἄβυσσον; Ἆρά γε πιθανόν, ὅτι οἱ πολυπληθεῖς ποιμένες, οἵτινες τὰ ζῷα ἐβουκόλουν περὶ τὴν λίμνην, οὐδὲν ἐμυθολόγουν περὶ τῆς Ὠγυγίας, ἧς τὸ ὄνομα ἀναπολεῖ τὴν τοῦ κόσμου ἀρχήν; (Πρβλ. Στράβωνα 9, 2, 18, σ. 407).

*χρύσεον*] Μόνον ἐκ τῶν μετάλλων ἐστὶν ἄξιον τῶν θεῶν, διὸ χαρακτηρίζει τοὺς θεοειδεῖς ἀνθρώπους. Πρὸς τούτοις παροιμίαι συνέπραξαν τὴν μεταφοράν, οἷον «κ' χρυσὸς δοκεῖ, φαίνεται, ἀποδείκνυται» (Κόνων Ἱστ. 13, Δίων Κάσσιος Ἱστ. Ῥωμ. 47, 15, Ψευδοπλάτων Ἐπιστ. 7, Εὐνάπιος παρὰ Σουίδᾳ λ. μακρῷ καὶ λ. Καρῖνος) καὶ «χρυσοῦς», ᾧπερ ὅμως ἐν τῷ παρακμάσαντι Ἑλληνισμῷ οἱ λόγιοι εἰρωνικῶς τὰ μάλιστα ἐχρήσαντο. Οὐδενὸς ἧττον ὁ λαὸς τὴν παλαιὰν φιλοχρυσίαν ἐτήρησε καὶ εἰσέτι θωπευτικῶς ᾄδει: «χρυσέ μου καπετάνιο» (Passow 15, 16), «χρυσὸν υἱόν» (284, 12), «χυρὰ χρυσῆ» (294, 22) κτλ. Ἡ παράδοσις οὕτως οὐδέποτε διεκόπη· οὐ γὰρ μόνον τοιουτότροποι φράσεις εἰς τὸν τῶν Βυζαντίνων αἰῶνα ἀνήκουσιν (οἷον ἐν τοῖς Μανουὴλ Ὁλοβόλου ἐπιγράμμασιν ἀπαντῶμεν 4,8: «τὸ χρύσεόν σου σῶμα» καὶ 15,13: «ἡμέρας χρυσᾶς»), ἀλλὰ καὶ οἱ παλαιοὶ ἐπι-

Οἳ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευε·
ὥστε θεοὶ δ' ἔζωον ἀκηδέα θυμὸν ἔχοντες,
νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδέ τι δειλὸν
γῆρας ἐπῆν, αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων·
θνῆσκον δ' ὥσθ' ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα

γραμματοποιοὶ ἐνεκωμίασαν «χρυσέην Καλλίστων» (Φιλόδημος Ἀνθολογ. 5, 123, 3) καὶ ἀνάλογα. Ἐπίσης οἱ ἀκροαταὶ τοῦ ἁγίου Χρυσοστόμου σπουδαίως τὸν λόγον αὐτοῦ ἐξελάμβανον (Ὁμιλ. εἰς τὸ Ἰωάννου Εὐαγγ. Α', 3): «ἔξεστιν ἄφνω μεταθέσθαι καὶ γενέσθαι χρύσεον ἀντὶ πηλίνου» (ἤτοι ἐνάρετον ἀντὶ κακοῦ). — Λουκιανὸς ἀστεΐζεται ἐν τῷ Κρόνῳ (8), ὅτι οἱ ἄνθρωποι τότε «ὁλόχρυσοι» καὶ «χρυσήλατοι» ἦσαν.

*μερόπων ἀνθρώπων*] Παρ' Ὁμήρῳ (Ἰλ. Α 250 κἑ.) συχνάζει· ἐν τούτοις ἡ ἐτυμολογία οὐ διηυκρίνηται. Τοσοῦτό γε ὁρῶμεν, ὅτι ἡ λέξις σύνθετος, καθάπερ Δρύοπες, Δόλοπες κτλ.

111. *Οἳ μέν*] Τὸ μόριον οὐκ ἀγγέλλει ἀντίθεσιν, ἀλλὰ ἐντείνει τὴν ἀντωνυμίαν (Πρβλ. Ὀδ. α 144 = υ 160).

112. *ὥστε*] Ἐπικῶς ἀντὶ τοῦ ὥσπερ. Πρὸς τὸ δεύτερον ἡμιστίχιον παράθες Θ. 61.

113. Πρβλ. 91.

*δειλόν*] Φοβερόν, ὃ δέδιέ τις.

114. *ἐπῆν*] Ἐπέκειτο κάμπτον τὸν ἄνθρωπον. Καὶ τοῦτο θεοειδές, ἐπειδὴ οἱ θεοὶ ἀγήρῳ. Ἔτι δὲ ἐπίσης εἴληπται ἐκ τῶν δημωδῶν προλήψεων, τοῦ λόγου λέγοντος «Κρόνιον γῆρας» ἐπὶ τῶν πολυχρονίων.

*ὁμοῖοι*] Εἰς τὴν ῥώμην. Νέστωρ καὶ ὁ μεταμορφωθεὶς Ὀδυσσεὺς θρηνοῦσι τὰ μάλιστα τὴν τῶν βραχιόνων καὶ ποδῶν παρακμήν. Σιμωνίδης ὁμοίως τὸ σῶμα περιφράζει ἐν τῷ πολυμνήστῳ στίχῳ (5, 2): Χαλεπὸν χερσίν τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον.

115. *θαλίῃσι*] Πρβλ. Θ. 65. Τὸ ἡμιστίχιον φαίνεται ἀπήχησις τοῦ Ὁμηρικοῦ: «τέρπεται ἐν θαλίῃσι» (Ὀδ. λ 602), οὗπερ χρῆσις ἐγένετο καὶ ἐν τῷ πασιγνώστῳ Σαρδαναπάλλου ἐπιταφίῳ (:τερπόμενος θαλίῃσι).

*κακῶν ἔκτοσθεν ἁπάντων*] Ἐπιγραμματογράφος τις Ῥωμαῖος ἤνεγκε τὸ ἡμιστίχιον εἰς τὸ Ἠλύσιον (Corpus Inscriptionum 6279 = Kaibel 649, 41), ἅμα δὲ ἐν τῷ δευτέρῳ στίχῳ ἐμιμήθη τὰ προηγούμενα (:καὶ ναίεις μακάρων νήσους θαλίῃ ἐνὶ πολλῇ).

116. Εὐθανασία ἦν ἐκ τῶν Ἑλληνικῶν εὐχῶν· τότε λοιπὸν εἰσέτι ὁ Θάνατος ὡς ἀληθῶς ἀδελφὸς ἐπεφαίνετο τοῦ Ὕπνου (Πρβλ. Θ. 756).

*δεδμημένοι*] Ἡ ἰδέα εἰς Ὅμηρον ἀνήκει (Ἰλ. Κ 2 = Ω 678. Ὀδ. ν 119. ο 6).

*ἐσθλά*] Ἡ λέξις οὐ περιωρίσθη ἤδη εἰς τὸ ἠθικόν, ἀλλὰ σημαίνει οἱονδήποτε ἐξαίσιον, λ. χ.: ἐσθλὰ κτήματα (Ὀδ. ϐ 312).

117. *καρπόν*] Καρπὸς κατ' ἐξοχὴν ὀνομάζεται ἐνταῦθα ὁ Δημητριακός, ὅπερ σῴζεται ἐν διαλέκτοις τισὶ τῆς Ἑλλάδος (οἷον τῶν Ζακώνων, Ἠπειρωτῶν, Ἀμοργίνων, ὅθεν *ἀκαρπία* ἐπὶ Κυθήρων σίτου ἀφορίαν δηλοῖ).

*ζείδωρος*] Τὸ Ὁμηρικὸν ἐπίθετον οὐχὶ τῶν τυχόντων, ἀλλὰ ἁρμοδιώτα-

αὐτομάτη, πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
ἥσυχοι ἔργ' ἐνέμοντο σὺν ἐσθλοῖσιν πολέεσσι,
ἀφνειοὶ μήλοισι, φίλοι μακάρεσσι θεοῖσι.
Αὐτὰρ ἐπεὶ μὲν τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς
ἐσθλοί, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων,
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι πάντη φοιτῶντες ἐπ' αἶαν,
πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.

τον εἰς τὴν τῶν ἐννοιῶν συμπλοκήν. Τὸ πρῶτον τῆς συνθέσεως μέρος ἐγένετο ἀπὸ τοῦ ζεά, ὃ κατ' ἀρχάς, ὡς διδάσκουσιν οἱ γλωσσολόγοι, οὐκ ἐσήμαινεν εἶδος σίτου, ἀλλὰ σῖτον ἐν γένει.

118. *ἐθελημοί*] Οὐχὶ ἀκούσιοι, ὥσπερ οἱ Ἡσιόδου σύγχρονοι.

119. *ἥσυχοι*] Ἀναπέμπει εἰς 112.

*ἔργ' ἐνέμοντο*] Οὐκ ἐκαλλιέργουν, ἀλλ' ἐκαρποῦντο τοὺς ἀγρούς (Πρβλ. Ὀδ. λ 185: Τηλέμαχος τεμένη νέμεται).

*σύν*] Ἀτυχία τε καὶ εὐτυχία καὶ τὰ λοιπὰ τῷ Ἕλληνι φαίνονται ἑταῖροι «συνοικοῦντες». Ἡ μεταφορὰ αὕτη συχνάζει παρὰ πολλοῖς ποιηταῖς καὶ συγγραφεῦσιν.

120. *ἀφνειοὶ μήλοισι*] Ἐκτὸς τοῦ σίτου πρόβατα ἀπετέλουν τοὺς μεγάλους πλούτους, πρὶν τὰ νομίσματα ἀνευρεθῶσι· τὰ ζῷα γὰρ ἐχορήγουν τὰς ἐσθῆτας. Τὴν αὐτὴν ἰδέαν εὑρίσκομεν καὶ 163. 234. 308. Θεογ. 284, ἔτι δὲ ἐν τῷ ἡρωϊκῷ ὀνόματι Εὔμηλος.

*φίλοι*] Τοῦτο αἰτιολογεῖ καὶ δικαιολογεῖ τὴν εὐτυχίαν αὐτῶν· ὁμοίως ἐν τῇ Ὀδυσσείᾳ (κ 2) περὶ τοῦ δαιμονίου Αἰόλου Λακωνικῶς, ἀλλὰ ὁλοτελῶς εἴρηται: «φίλος ἀθανάτοισι θεοῖσι».

121. *τοῦτο γένος*] Τὰ σώματα, ὡς ἐκ τῶν ἑπομένων ἐξάγεται. Τὴν τοῦ θανάτου αἰτίαν Ἡσίοδος ἀγνοεῖ.

122. *δαίμονες*] Ἴδε Θ. 991.

123. *ἐσθλοί*] Τὸ ἐπίθετον ὑποδεικνύει, ὅτι καὶ κακὰ δαιμόνια ἐδοξάζοντο· οὐδενὸς ἧττον δὲ οἱ παλαιοὶ σπανίως αὐτὰ ὀνομάζουσι ῥητῶς (π. χ. Χαρίτων 6, 2: ὑπὸ δαίμονος κακοῦ, ὁ βάσκανος δαίμων).

*ἐπιχθόνιοι*] Ἑρμηνείας τυγχάνει ἐξ 125. Οὐδὲ μετὰ τὸν θάνατον οἱ χρυσοῖ ἄνθρωποι ἠτύχησαν· ὁ κάτω κόσμος δηλαδὴ κακὸν τῶν κακῶν.

Τὸ *φύλακες* οὐκ ἂν ἐνενοοῦμεν, εἰ μὴ ὁ ποιητὴς αὐτὸς ἐν τοῖς ἑξῆς τὴν ἐξήγησιν προσέθηκεν. Οἱ γὰρ «φύλακες ἄγγελοι» (περὶ ὧν Ν. Πολίτης ἐν τῇ Μελέτῃ Α', σ. 493 κέ. πολλὰ συνέλεξε), τοῖς ἐθνικοῖς ἄγνωστα ἦσαν. Πλὴν οἱ Δελφοὶ ἕνα καὶ μόνον ἥρωα «Φύλακον» προσεκύνουν (Παυσαν. 10, 8, 7)· ἆρά γε τούτου χάριν οἱ Παρνάσσιοι τὸν οἰκουρὸν ὄφιν ὀνομάζουσι *φύλακα*;

124. Ἐν παρόδῳ τοὐλάχιστον Ἡσίοδος τὴν τοῦ ποιήματος ὑπόθεσιν ἀναπολεῖ. Ὅμηρος ταύτην τὴν φύλαξιν τοῖς θεοῖς ἀπονέμει (Ὀδ. ρ 485 κέ.).

*σχέτλια ἔργα*] Ὕβρεις· παράθες Ὀδ. ξ 83-4.

*ἠέρα ἑσσάμενοι*] Ὡς ἐσημειώθη εἰς Θ. 9, ληπτέον «ἀόρατοι». Ἐπίσης ἡ Ἐριννὺς «ἠεροφοῖτις» ἐστιν (Ἰλ. Ι 571. Τ 87).

125. *ἐπ' αἶαν*] Ἐπὶ γῆς, ὡς Ἰλ. Ψ 742.

126. *πλουτοδόται*] Δεικνύουσι θη-

Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν,
ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,
χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα·
ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ' ἀττάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ,
ἀλλ' ὅτ' ἄρ' ἡβήσαι τε καὶ ἥβης μέτρον ἵκοιτο,
παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες
ἀφραδίῃς· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν

σαυροὺς ἀποκεκρυμμένους· ἧς προλήψεως μετεῖχεν Αἰσχύλος, ὅσπερ τὰ Λαυρεωτικὰ μεταλλεῖα καλεῖ «ἑρμαίαν δαιμόνων δόσιν» (Εὐμεν. 946 ἢ 926). Ὁμοίως ἰδιώτης, θησαυρόν, ὡς φαίνεται, ἀνασκάψας, ἀνάθημα ἀφιέρωσεν «ἥρωνι πλουτοδότῃ» (ἴδε τὸ Δελτίον τῆς Ἑλληνικῆς Ἀνταποκρίσεως Γ', σ. 327). Ταὐτὸ ἤλπιζον οἱ Ῥωμαῖοι ἀπὸ τῶν οἰκιακῶν δαιμόνων καὶ τῶν ἐφιαλτῶν (ἔπιθι τὴν κωμῳδίαν Querolus καὶ τὸ μυθιστόρημα τοῦ Πετρωνίου κ. 38).

*γέρας βασιλήϊον*] Προνόμιον τῶν βασιλέων ἦν τὸ τιμωρεῖν μὲν τοὺς ἀδίκους, τιμᾶν δὲ τοὺς ἀγαθούς.

127. Τῷ χρυσῷ γένει ἐπισυνάπτει τὸ ἀργυροῦν, καθότι ἐν τῇ τῶν μετάλλων τάξει ὁ χρυσὸς ἀκολουθεῖ τὸν ἄργυρον.

129. *φυὴν* ἀναφέρεται εἰς 114 καὶ διασαφηνίζεται διὰ τῶν ἀκολούθων στίχων, *νόημα* δὲ ἀντιστοιχεῖ τῷ 120 καὶ διακριβοῦται ἐν τοῖς 134-9.

130. *ἑκατὸν*] Ἀδιόριστον πλῆθος.

*κεδνῇ*]=Αἰδοίῃ. Μέχρι τῆς ἥβης οἱ παῖδες ἐτρέφοντο ὑπὸ τῆς μητρὸς ἐν τῇ γυναικωνίτιδι (:ᾧ ἐνὶ οἴκῳ). Ὅμοιόν τι ἔθος καὶ νῦν καθέστηκε, π. χ. ἐπὶ τῆς Εὐβοίας ἡ μήτηρ φυλάσσει τὸν παῖδα μέχρι τοῦ δωδεκάτου ἔτους (οὕτω Δροσίνης ἐν Ἀγροτικαῖς Ἐπιστολαῖς σ. 102).

131. *ἀττάλλων*] (Παίζων) παρὰ τὸ ἀταλός, περὶ οὗ λόγος ἐγένετο εἰς Θ. 989.

*νήπιος*] Ἐνταῦθα κατὰ τὴν κυρίαν σημασίαν ἐκδεχόμεθα παιδαριώδη.

*ᾧ ἐνὶ οἴκῳ*]=Ἰλ. Ζ 500 κἀ.

132. Μετὰ τὸ εἰπεῖν «ἡβήσαι» ὁ ποιητὴς ἐνεθυμήθη τῆς Ὁμήρου φράσεως «ἥβης μέτρον ἵκοντο» (Ὀδ. λ 317) καὶ «ἥβης μέτρον ἱκάνεις» (Ὀδ. σ 217. τ 532. Πρβλ. δ 668).

133. Ὁ περιληπτικὸς ἑνικὸς εὐκόλως εἰς τὸν πληθυντικὸν μεταλλάσσεται.

*παυρίδιον*] Παρὰ τὸ παῦρος (parvus). Κοινότερον Μουσαῖος ταὐτὸ ἐξέφρασεν: «ἀλλ' ὀλίγον ζώεσκον ἐπὶ χρόνον» (290).

134. *ἀτάσθαλον*] Ἴδε Θ. 164.

*ἐδύναντο*] Ἔτλησαν.— Νυνδὴ προβάλλομεν τὸ ζήτημα διὰ τί Ἡσίοδος τοὺς περιέργους στίχους 130-1 ἐποίησεν. Ὁ μισογύνης, ὥς γε φαίνεται, τὴν αἰτίαν τῆς κακοηθείας ἀπονέμει τῇ πολυετεῖ τῶν γυναικῶν ἀγωγῇ· ᾧ συνῆδε τὸ λεγόμενον «μαμμόθρεπτος» ἢ «βλιτομάμμας» ἢ «τηθαλλαδοῦς» (κανακάρης), συμφωνεῖ δὲ καὶ ὁ φιλόσοφος Σενέκας, καθ' ὃν οὐδὲν μᾶλλον ποιεῖ ὀργίλους ἢ ἀνατροφὴ μαλακὴ καὶ ἠπία (Περὶ ὀργῆς 2, 2, 2).

135. *θεραπεύειν*] Ὁ λάτρις δηλ. τότε ὠνομάζετο *θεράπων* (Ἴδε Θ. 100).

ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
ἣ θέμις ἀνθρώποισι κατ' ἤθεα. Τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε χολούμενος, οὕνεκα τιμὰς
οὐκ ἐδίδουν μακάρεσσι θεοῖς οἳ Ὄλυμπον ἔχουσι.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν ὑποχθόνιοι *μάκαρες θνητοὶ* καλέονται,
δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
χάλκειον ποίησ', οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον,
ἐκ μελιᾶν, δεινόν τε καὶ ὄβριμον· οἷσιν Ἄρηος

136. *ἔρδειν*] Λείπει «ἱερά» (Ἰλ. Λ 707).

137. *ἣ θέμις*] (Ὡς δίκαιον) παρὰ τὴν Ὁμηρικὴν φράσιν: ἣ θέμις ἐστί.

*κατ' ἤθεα*] Παρ' Ἡσιόδῳ σημαίνει τὰ κατοικητήρια τὰ ἔξω τῆς πόλεως (222). Κατ' αὐτὸν ναοὶ πάνυ ὀλίγοι ὑπῆρχον, οἱ δὲ εὐσεβεῖς γεωργοὶ πανταχοῦ τῶν ἀγρῶν καὶ χωρίων βωμοὺς ἔκτισαν, καθὼς νῦν τὰ «ἐξωκκλήσια» ἐν μέσῳ τῶν ἀγρῶν δεικνύονται.

141. *ὑποχθόνιοι* (ὄντες)] Ἀντίκειται τῷ ἐπιχθόνιοι (123)· εἰς τιμωρίαν γὰρ ἐν τῷ Ἅδου διάγουσι, τοῦ ἡλιακοῦ φωτὸς ἀμοιροῦντες. Ἀλλ' ὅμως «*μάκαρές*» εἰσιν. Τοῦτο τὸ ὄνομα καθ' αὑτὸ οὐκ ἂν αὐτοὺς διέκρινεν ἀπὸ τῶν μακάρων θεῶν, διὸ ὠνομάζοντο ἤτοι «μάκαρες θνητοὶ» ἢ συνωνύμῳ ὀνόματι οἷον *ἀνθρωποδαίμων* (Εὐριπ. Ῥῆσος 971, ᾧ συμφωνεῖ *μάχαιρα δαίμων* Ἄλκηστ. 1003) ἢ *βροτοὶ δαίμονες* (Μανέθων 6 [3], 570). Πρὸς τὴν λέξιν ἀντιπαραβάλλομεν τὸ μὲν τὸ ἡμέτερον *μακαρίτης*, ὃ πολὺ παλαιότερον τοῦ Χριστιανισμοῦ (Ἴδε Αἰσχύλ. Πέρσ. 633. Θεόκριτ. 2, 79, Ἰουλιαν. Ἐπιστ. 23, Ἡσύχ. Λεξ. *μακαρίτης*, ὁ τεθνεώς, ὁ μακάριος, ὁ νεκρός, Πρβλ. Ἀρτεμίδωρ. 4, 72: μακάριος, Corpus Inscriptionun 2610: εὐδαίμων), τὸ δὲ τὸ τῶν στοιχείων εὐφημιστικὸν ὄνομα «καλότυχοι». Ἡ Ἡσιόδου δοξασία οὔτε οἰκεῖον αὐτοῦ οὔτε ἰδιωτικόν ἐστιν, ἀλλὰ Αἰσχύλος (Πέρσ. 628 [ ; ]: δαίμονες χθόνιοι), Στράβων (5, 244: καταχθόνιοι δαίμονες, ἐπὶ τῶν Κιμμερίων), Παυσανίας (10,28,7): Χαρίτων (1,9: οἱ ὑποχθόνιοι 5,10: οἱ κάτω δαίμονες), ἀποδεικνύουσιν, ὅτι ἅπαντας τοὺς Ἕλληνας ἐφόβιζεν.

142. *δεύτεροι*] Ὑποδεέστεροι τοῦ χρυσοῦ γένους. Μὴ παρίδῃς τὸ πρὸς τὸ **δεύτερον** γένος λογοπαίγνιον.

*ἀλλ' ἔμπης*] Ὁμηρικῶς (π. χ. Ἰλ. Θ 33), ἀντὶ τοῦ ἀλλ' ὅμως.

*τιμὴ — ὀπηδεῖ*] Πρβλ. Ἰλ. Ρ 251: ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ. Ἐπ' ἀληθείᾳ τιμὴ αὐτοῖς ἀπενέμετο, λ. χ. οἱ Κρῆτες θυσίας προσέφερον (Πλουτ. Ζητ. Ἑλλην. 21). — Τῶν Ἡσιοδείων οὐ πολὺ ἀπᾴδουσιν, ὅσα οἱ ἄγροικοι περὶ τῶν «Ἑλλήνων» μυθολογοῦσιν, ὅτι δῆθεν ὁ θεὸς αὐτοὺς ἐξωλόθρευσεν, ἐπειδὴ τὸν διάβολον ἐλάτρευον.

143. *ἄλλο*] Πλησιάζει κατ' ἰδιότητα Ἑλληνικήν.

*μερόπων ἀνθρώπων*] = 109.

144. Ὁ χαλκὸς ἦν εὐτελέστερος μὲν τοῦ ἀργύρου, πολυτιμότερος δὲ τοῦ ἀμαυροῦ σιδήρου.

Τὸ δεύτερον ἀρνητικὸν ἐπιτείνει τὴν ἄρνησιν.

145. *μελιᾶν*] Ὁ μὲν τύπος δεδη-

ἔργ' ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμόν,
ἄπλητοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσι.
Τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,

λωται εἰς Θ. 41, ἡ δὲ ὑπόνοια εἰς Θ. 187, ὅπου παρελίπομεν εἰπεῖν, διὰ τί ἐκ τῶν μελιῶν μάλιστα αἰχμὰς ἐποίουν. Φιλόστρατος γοῦν ἐγκωμιάζει αὐτῶν «τὸ ἰθὺ ὁμοῦ καὶ τὸ μὴ κλᾶσθαι ἐν τῇ αἰχμῇ» (Εἰκόν. 2, 3). Τίς δὲ οἶδεν, ἂν ὁ πολὺς ὄχλος ἐν τῷ πολέμῳ ἀνέκαθεν τὰς λόγχας εἶχε χαλκᾶς καὶ οὐχὶ ξυστὰ ὀξέως ἠκονημένα καὶ ἐστομωμένα ἐν τῷ πυρί;

*ὄβριμον*] Πρβλ. Θ. 148.

*Ἄρηος ἔργα*] Συνώνυμον τὸ Ὁμηρικὸν «πολεμήϊα ἔργα».

146. *σῖτον*] Ἡ ὕλη κεῖται ἀντὶ τῶν ἐξ αὐτῆς ποιουμένων, ἄρτου καὶ μάζης (Ἴδε Ἰλ. Ε 341. Θ. 507).—Ἀναλόγως Διόδωρος (4, 30, 5) περὶ τῶν Ἰολαείων γράφει, ὅπως ἀποδείξῃ, ὅτι ἐκβεβαρβάρωνται· «ἐθίσαντες δ' ἑαυτοὺς τρέφεσθαι γάλακτι καὶ κρέασι καὶ πολλὰς ἀγέλας κτηνῶν τρέφοντες οὐκ ἐπεδέοντο σίτου». Δημήτηρ Θεσμοφόρος δηλαδὴ ὑπελαμβάνετο ὅτι ἔθηκε τὰ θεμέλια τῆς Ἑλληνικῆς παιδείας. Διὸ ὁ ἄγριος Πολύφημος οὕτω δεινότατα περιγράφεται: «οὐδὲ ἐῴκει ἀνδρί γε σιτοφάγῳ» (Ὀδ. ι 190).

147. *ἀδάμαντος*] Πρβλ.: «ὃς μὴ πόθῳ κυμαίνεται ἐξ ἀδάμαντος ἢ σιδήρου κεχάλκευται μέλαιναν καρδίαν ψυχρᾷ φλογί» (Πινδάρ. Ἀπόσπ. 123 [88], στ. 3-5), «ἀδάμαντος καρδίαν» (Ἀνώνυμος ἐν Πλουτάρχου Ἠθικῶν τ. Β', σ. 91a), «τίς οὕτως ἀδαμάντιος ἢ σιδηροῦς τὴν καρδίαν;» (Ἡλιόδωρ. 3, 4, σ. 139, ἔκδ. Κοραῆ), «τίνα λίθον, τίνα σίδηρον, ποῖον ἀδάμαντα οὐχ εὑρήσει νικηθέντα παρὰ σοῦ;» (ἐπὶ γυναικὸς ἀντιτεινούσης πᾶσαν ἀντίστασιν πρὸς τὰ κακά) Ἰωάνν. Χρυσοστόμ. Ἐπιστ. 2, τ. Γ', σ. 539 e), «τίς οὕτω λίθινος, τίς ἀδαμάντιος ὅτῳ μὴ τὴν ψυχὴν ἔτερπεν ὁ λόγος;» (Λιβάνιος ἐν μονῳδίᾳ εἰς Νικομ. τ. Γ', σ. 341). Ἀλλὰ Ἡσίοδος τὴν ἰδέαν ἠρύσατο ἐκ τῆς συνωνύμου μεταφορᾶς, περὶ ἧς ἔνια συνελέξαμεν εἰς ἐξήγησιν τοῦ 764 Θ., νῦν δὲ προστίθεμεν Θεόκριτ. 13, 5: Ὠμφιτρύωνος ὁ χαλκεοκάρδιος υἱός, καὶ χαλκεόθυμος παρὰ Πολέμωνι (σ. 14, 24) καὶ Τζέτζῃ (Ὁμηρ. 325) καὶ «πετρόστερνε χαλκῆ καρδία» (Νικήτας Εὐγεν. 4, 149).

148. *ἄπλητοι*] Πρβλ. Θ. 151· πρὸς ὃ ἕνεκα αἰτιολογίας ἡ διὰ τοῦ *δὲ* πρότασις ἐπάγεται. Καὶ ταύτην τὴν δοξασίαν μεταφορὰ ἐγέννησεν, ἤτοι «χάλκεα γυῖα» (Ὀρφ. Λιθικῶν 38) καὶ «παγχάλκεος» (=ἀκαταμάχητος, ἐν χρησμῷ, ὅντινα Διόδωρος 8,21 ἀναφέρει). Πρὸς τούτοις ὁ ποιητὴς ἐμνήσθη τῶν χαλκῶν Σπαρτῶν, ἅμα δὲ ἴσως τῶν ὁμογενῶν Κόλχων τοῦ Ἀργοναυτικοῦ μύθου καὶ τοῦ φυλάσσοντος τὴν Κρήτην Τάλω.

149. =Θεογ. 152.

150. Ὁ χαλκοκορυστὴς Ἄρης ἔστιν ὅτε ἁπλῶς ἐπονομάζεται «χάλκεος» (Ἰλ. Ε 704. 859). Πρὸς δὲ τοὺς οἴκους, οἱ Ἕλληνες τῷ ὄντι τὰς τῶν ἡρώων κατοικίας τοιουτοτρόπως ὑπελάβον, ὅθεν ἐν Αὐλίδι ἐδεικνύετο ὁ χαλκοῦς οὐδὸς τῆς Ἀγαμέμνονος κλισίας (Παυσαν. 9, 19, 7) καὶ ἐπὶ Χίου ὑπόγειον «ἡφαιστότευκτον», ὅπερ Ποσειδῶν προυξένησεν Οἰνοπίωνι (Ἀπολλόδωρ.

χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
Καὶ τοὶ μὲν χείρεσσιν ὕπο σφετέρῃσι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ Ἀΐδαο,
νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας

1, 4, 3, 4). Οὐχὶ μόνον τὸ Ἀλκινόου «χαλκοβατὲς δῶ (Ὀδ. γ 14, πρβλ. η 83, 89) ἔδωκεν αὐτοῖς ἀφορμήν, ἀλλὰ καὶ αἱ χαλκαῖ πλάκες, αἷς οἱ λεγόμενοι «θησαυροὶ» τῶν Μυκηναίων βασιλέων περιεβέβληντο (νῦν δὲ ὀλίγος ἰὸς καὶ δύο ἢ τρεῖς ἐκκλεφθέντες γόμφοι τὴν πάλαι λαμπρότητα οἰκτρῶς μηνύουσιν). Ὁ τρόπος οὗτος τῆς ἀρχιτεκτονικῆς διακοσμήσεως οὐδὲ μετὰ τὸν Ἡσιόδου αἰῶνα ἐξέλιπεν· ἐν Σπάρτῃ μὲν ἡ Χαλκίοικος Παλλὰς προσεκυνεῖτο, οὕτως ἐπονομασθεῖσα ἕνεκα τῶν χαλκῶν τοῦ ναοῦ τοίχων (Παυσαν. 3, 17, 3), οἱ δὲ Σικυώνιοι ἐν τῷ θησαυροφυλακείῳ, ὃ Ὀλυμπίασιν ἀνήγειραν, δύο θαλάμους ὁμοιοειδῶς ἐκόσμησαν (Παυσαν. 6,19, 2). Οὐ περιττὸν ἴσως μνημονεύειν ἐν τέλει τὸν εἰς ὃν Δανάη ἐρρίφθη χαλκοῦν θάλαμον (Φερεκύδης παρὰ Σχολ. Ἀπολλων. Ῥοδ. 4, 109 κἑ.). Ἀναλόγως οἱ Κύπριοι περὶ τοῦ ἥρωος Διγενοῦς μυθολογοῦσι (Σακελλαρίου Κυπριακῶν Γ', 48 στ. 48): «Κὴ ὁ Δι(γ)ενὴς ψυχομαχεῖ σὲ σιδερᾶ παλάτια, σὲ σιδερᾶ παπλώματα, σὲ σιδερᾶ κρεββάτια» καὶ οἱ Πελοποννήσιοι μεσαιωνικὸν ἱππέων μέγαρον, πλησίον Κυπαρισσίας κείμενον, «Σιδερόκαστρο» ὀνομάζουσιν.

150. *εἰργάζοντο*] Ἐπειδὴ οὐκ ἐγεώργουν (146), Ἡσίοδος ἀφορᾷ εἰς τοὺς τεχνίτας. Τὰ ὄργανα ἅπαντα ἐν τοῖς κατ' αὐτὸν χρόνοις ἐκ σιδήρου ἦσαν, διότι ὁ χαλκὸς τὸ μὲν περισσότερον ἐστοίχιζε, τὸ δὲ ἧττον διακαρτερεῖ.

Τὸ *δὲ* πάλιν αἰτιολογεῖ.

*μέλας*] Οἱ παλαιοὶ τὰ χρώματα οὐκ ἀκριβῶς εἰς τὰς λέξεις διέκρινον, τὴν ἀπόχρωσιν μᾶλλον συλλογιζόμενοι ἢ τὸ ἰδιαίτερον χρῶμα. Οὕτω δὴ μέλας, κυανοῦς, πολιὸς ἀνταλλάσσουσιν· ὅθεν *μέλας* καλεῖται ὁ κύανος (Ἰλ. Λ 24) καὶ τὸ σιδηροῦν «ἄορ» (Κοΐντ. Σμυρν. 2, 543). Ἢ ἐννοητέον ταῦτα ὥσπερ τὸ παρ' Ἀλ. Ῥ. Ῥαγκαβῇ «Μαῦρό του μαχαῖρι» (Ὁ κλέφτης;)

*ἔσκε*] Τὸν τύπον ἡρμηνεύσαμεν εἰς Θ. 157.

152. Τοῦτο ἔλαβεν ἐκ τῶν περὶ τοὺς Σπαρτοὺς καὶ Κόλχους μύθων.

153. *βῆσαν*] Ὅμηρος τὴν ψυχῶν κάθοδον ἐναργῶς διαζωγραφεῖ ἀρχόμενος τῆς ω τῆς Ὀδυσσείας.

*εὐρώεντα* καὶ *δόμον* καὶ *κρυεροῦ* καὶ *Ἀΐδαο* ἐξηγούμεθα εἰς τὰ κατάλληλα χωρία τῆς Θεογονίας (731. 767. 657. 311). Πρὸς τὸ τρίτον, ἐπάγομεν παραλληλισμὸν χριστιανικὸν ἐκ τοῦ Χρονικοῦ τοῦ Ἁμαρτωλοῦ λεγομένου Γεωργίου (Γ', σ. 330): «τὸ δὲ κατώτατον, ὕδωρ ψυχρότατον ὂν καὶ εἰς βώλους κρυστάλλου πεπηγός, ὃ καὶ Τάρταρος λέγεται».

154. *νώνυμνοι*] Ἀνώνυμοι καὶ ἀκλεεῖς, ᾧπερ διέφερον τῶν ἄλλων γενῶν (122. 141. 159). Καὶ τοῦτο τοῖς φιλευδόξοις Ἕλλησι τῶν μεγίστων κακῶν ἦν. Ἡ ἰδέα αὕτη Ἡσιόδῳ ἐπῆλθε, καθότι ἐν πόλεσιν ἐνίαις νεκροὶ ἀπολλύουσι τὸ οἰκεῖον ὄνομα (Ἴδε τὰς ἐπιγραφάς, ἃς ἀπαριθμεῖ Köhler ἐν τοῖς Πρακτικοῖς τῆς Γερμανικῆς Σχολῆς τ. Β', σ. 246).

*ἐκπάγλους*] Ἐκδέχονται ὡς ἐκπλάγους ἤτοι ἐκπλήττοντας. Ἰδοὺ Ἡσίοδον οὐδεμίαν εὐκαιρίαν διδασκαλίας ἠθικῆς παραλείποντα.

εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
αὖτις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε, δικαιότερον καὶ ἄρειον,
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι, προτέρῃ γενεῇ κατ' ἀπείρονα γαῖαν.
Καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ
τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ,
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο,
τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
ἐς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠϋκόμοιο·
ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε,

155. *μέλας*] Ὁ μαῦρος Χάρος· ἐπὶ τῆς τῶν Κυψελιδῶν λάρνακος ὁ θεὸς διὰ μέλανος χρώματος κεχαρακτηρισμένος ἦν (Παυσαν. 5, 18, 1).

*λαμπρὸν ἔλιπον φάος ἠελίοιο*] Ἀπηχεῖ τὸ Ὁμηρικὸν «λιπὼν φάος ἠελίοιο» (Ἰλ. Σ 11. Ὀδ. λ 93) καὶ «λαμπρὸν φάος ἠελίοιο» (Ἰλ. Α 605. Ε 120. Θ 485).

156 = 140.

157. *ἄλλο*] Κεῖται καθὼς 143.

158. *ἄρειον*] Τοῦ συγκριτικοῦ χρῆσιν ποιεῖται, διότι οὐκ ἦσαν ἄμωμοι· οἷον οἱ ἐπὶ Θήβας Ἑπτὰ (Ἰλ. Δ 409) «σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο».

159. *ἡρώων*] Πρβλ. Θ. 970, συνδεδεμένον μετὰ τοῦ *ἀνδρῶν*, ὥσπερ Ὀδ. α 101.

*θεῖον γένος*] Ὅτι οἱ πλεῖστοι ἐκ θεῶν ἐγένοντο.

160. *ἡμίθεοι*] Τότε δηλαδὴ τὸ ἡρώων ὄνομα οὔπω εἰλήφει τὴν ἐν τῇ συνηθείᾳ σημασίαν.

*προτέρῃ γενεῇ*] Κατὰ τὴν πρὸ ἡμῶν ἡλικίαν, πρβλ. Ἰλ. Ψ 790: προτέρης γενεῆς.

*κατ' ἀπείρονα γαῖαν*] Παρέλκει· ὁ ποιητὴς καταχρῆται ἐνταῦθα τοῖς ἐπικοῖς ἀκροτελευτίοις (Ἴδε Θ. 187).

161. Μιμεῖται τὸ Ὁμήρου «πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνήν» (Ὀδ. ω 475).

*φύλοπις*] Παρὰ τὸ φῦλον καὶ ὄψ (βοή).

162. *ἑπταπύλῳ*] Διαστολῆς ἕνεκα πρὸς τὴν ἑκατόμπυλον τῆς Αἰγύπτου.

*Καδμηΐδι*] Πρβλ. Θ. 937.

*γαίῃ*] Ἴδε Εὐριπ. Φοιν. 245 (: ἑπτάπυργος ἅδε γᾶ) καὶ τὸ αὐτόθι σχόλιον τοῦ Δ. Βερναρδάκη.

163. *μήλων*] Ἔπιθι ὅσα εἴπομεν ἀνωτέρω (120) περὶ τῶν προβάτων.

*Οἰδιπόδαο*] Οἱ ποιηταὶ χρῆσιν ποιοῦνται τοῦ μακροτέρου σχήματος «Οἰδιπόδης» (οἷον Ἰλ. Ψ 679. Ὀδ. λ 271 καὶ παρὰ τοῖς μεταγενεστέροις).

164. *ὑπὲρ-θαλάσσης* = Ὀδ. ι 260.

*λαῖτμα*] Συγκρίνεται τῷ λαιμός, οἷα λέγουσι «πόντου στόμα» (Εὐριπ. Ῥῆσος 436, πρβλ. Νικήταν Εὐγεν. Η', 172: τῆς θαλάσσης ἀγριώτατον στόμα) καὶ τουρκιστὶ *μπογάζ*.

165. *ἀγαγών*] (Ὁ πόλεμος δηλαδή).

*Ἑλένης ἕνεκ' ἠϋκόμοιο*] Ἀντηχεῖ τὸ ἡμιστίχιον (Ἰλ. Γ 329): «Ἑλένης πόσις ἠϋκόμοιο».

166. *ἔνθ'*] Ἐν τῇ Τρωάδι. Πρὸς τὰ λοιπά, καρποῦται Ὁμηρικὰς φρά-

τοὺς δὲ δίχ' ἀνθρώπων, βίοτον καὶ ἤθε' ὀπάσσας,
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης,
τηλοῦ ἀπ' ἀθανάτων, τοῖσιν Κρόνος ἐμβασίλευε.
Καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
ἐν μακάρων νήσοισι παρ' Ὠκεανὸν βαθυδίνην,
ὄλβιοι ἥρωες, τοῖσιν μελιηδέα καρπὸν
τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα.
Μηκέτ' ἔπειτ' ὤφελλον ἐγὼ πέμπτοισι μετεῖναι
ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι.
Νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον· οὐδέ ποτ' ἦμαρ

σεις («θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψε» Ἰλ. Π 350, «τέλος θανάτοιο κάλυψε» Ε 553. Π 502. 855. Χ 361). Ἡ γενικὴ *θανάτου* ἐξηγητική.

167. *τοῖς*] Οὐχὶ μόνον Μενελάῳ μεθ' Ἑλένης, ὡς Ὅμηρος δηλοῖ (Ὀδ. δ 561-9), ἀλλὰ καὶ τοῖς ἄλλοις ἡμιθέοις· τὰ γὰρ μόρια *μὲν* καὶ *δὲ* οὐ μᾶλλον ἐναντίωσιν ἐκφράζουσιν ἢ Θ. 83-4.

*βίοτον καὶ ἤθε'*] Ὑλικῶς πάντῃ εἰσάγει Δία ποϊζοντα τροφὴν καὶ κατοικίαν (Ἴδε 137).

168. *κατένασσε*] Κατῴκισεν.

169. Ὅστις ἂν γνωρίζῃ τὴν Θεογονίαν, τὰ «πείρατα γαίης» ζητήσει πλησίον τοῦ Ταρτάρου, ἤγουν τῶν πεφυλακισμένων Τιτάνων· πρὸς τοῦτο Ἡσίοδος ἐμβάλλει τὸν στίχον, τὸν Τάρταρον κατ' εὐφημισμὸν περιφράζων.

170. Πρβλ. 112. Πίνδαρος ἐν ᾠδῇ Ὀλυμπιακῇ Β' (στ. 70 κἑ.) τὴν μακαριότητα αὐτῶν περιγράφει.

171. *ἐν μακάρων νήσοισι*] Ἐν ταῖς τῶν θεῶν οὔσαις νήσοις· αὐτόθι ἔχουσιν, ὡς εἴπομεν εἰς Θ. 216, καὶ κήπους.

*παρ'*] Οὐ τίθεται *πέρην* καθὼς Θ. 274, 292, 294, διότι, περισσότεραι οὖσαι, ἀποτελοῦσι σειρὰν παρὰ τὴν Ὠκεανοῦ ὄχθην.

*Ὠκεανὸν βαθυδίνην*] = Θ. 133.

172. *τοῖσιν*] Οἷσπερ (δημοτικῶς ὅπου, πού). Ἡ αἰτιολογία πρὸς τὸ ὄλβιοι.

*μελιηδέα*] «Διὰ τοῦτο καὶ τὴν ἡδονὴν αὐτῶν μέλιτι πολλάκις παραβάλλειν εἴωθεν, οὐχ ἐπειδὴ τοσοῦτον αὐτῆς τὸ μέτρον μόνον, ἀλλ' ὅτι τούτου οὐδέν ἐστιν ἕτερον ἥδιον παρ' ἡμῖν» (Ἰωάνν. Χρυσοστ. Ὁμιλ. 1, 2 εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον).

*καρπόν*] Ἴδε 117.

173. *τρὶς ἔτεος*] Ταῦτα πολλὰ ἐν τοῖς μύθοις, οἷον Ὀδ. δ 86: τρὶς γὰρ τίκτει μῆλα τελεσφόρον εἰς ἐνιαυτόν.

*φέρει*] Αὐτομάτως, ἐννοεῖται, καθάπερ τῷ χρυσῷ γένει (117).

174. Ἐνταῦθα συμπερασμός πως ἐκ τῶν ἀνωτέρω γίνεται. Ἀφοῦ τὰ γένη ἐκεῖνα παρῆλθον, ἡμεῖς κατ' ἀνάγκην ζῶμεν κατὰ τὸν σιδηροῦν αἰῶνα. Ἀλλ' ὅμως Ἡσίοδος οὐκ ἐκτραγῳδεῖ τὰ παρόντα, ἄστοχον τοῦτο θεωρῶν, ἀλλὰ μᾶλλον εἰκόνα τῶν ἀποβησομένων ἐξ αὐτῶν πλάσσει, ὅπως ἐκπλήξῃ τὰς τῶν ἀκροατῶν ψυχὰς καὶ παρασκευάσῃ πρὸς τὰς παραινέσεις.

175. *ἔπειτα γενέσθαι*] Ἅμα τῷ 180 στ. ὑποδηλοῖ τὴν βελτιώσεως ἐλπίδα.

176. *νῦν δή*] Νῦν ἤδη ἐστίν, ἤτοι νῦν ἤρξατο.

*σιδήρεον*] Τοῦτο τὸ ἐπίθετον οὐχ ἧτ-

παύσονται καμάτου καὶ ὀϊζύος οὐδέ τι νύκτωρ
φθειρόμενοι, χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας·
ἀλλ' ἔμπης καὶ τοῖσι μεμείξεται ἐσθλὰ κακοῖσι.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσι
οὐδὲ πατὴρ παίδεσσιν ὁμοίϊος οὐδέ τι παῖδες·
οὐδὲ ξεῖνος ξεινοδόκῳ καὶ ἑταῖρος ἑταίρῳ
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ·

τον τῶν ἄλλων ἐκ τῆς συνηθείας ἠρύσατο· πρὸς τοῖς ἀνωτέρω (Θ. 764."Ε.κ. Ἡ 147) συλλεχθεῖσι χωρίοις προστίθεμεν τὴν Ὁμηρικὴν χρῆσιν (σιδηρέη κραδίη, θυμός, ἦτορ), *σιδηρόφρων* (Αἰσχύλ. Προμηθ. 242 καὶ Ἑπτὰ ἐπὶ Θήβ. 52): ὡς ἄρ' ἦσθα πέτρος ἢ σίδαρος (ἡ παιδοκτόνος Μήδεια, Εὐριπ. Μήδ. 1279), ἀναίσχυντος ὢν σιδηροῦς δ' ἀνήρ (Ἀριστοφ. Ἀχαρν. 491), κτλ. παρὰ ποιηταῖς καὶ κομπώδεσι συγγραφεῦσιν. Σιδηρῷ καλεῖται πενθερά τις κακόφρων ἐν Σοφοκλέους τραγῳδίᾳ (Ἀπόσπ. 592). Ὃ δὲ μέγιστον, ἡ νεωτέρα συνήθεια πιστῶς ἐφύλαξε καὶ φυλάσσει τὰς φράσεις «σιδεροκάρδιος» (Passow δίστιχ. 784. 992,1), «σιδερὴ καρδιά» (Passow 437, 8), «καρδιὰ 'πὸ σίδερο» (Ἀραβαντ. δίστ. 192, σ. 314).

Τὰ κῶλα παράλληλα, ἀντιστοιχούντων τὸ μὲν *ἦμαρ* πρὸς τὸ *νύκτωρ*, τὸ δὲ *καμάτου καὶ ὀϊζύος* πρὸς τὸ *φθειρόμενοι*.

177. Πρβλ. 113.

178. *δὲ*] Ἡ αἰτιολογία πρὸς τὸ νύκτωρ φθειρόμενοι. Αἱ φροντίδες, φησίν, οὐδὲ νυκτὸς ἡμᾶς ἀφιᾶσιν ἡσύχους.

179. *ἀλλ' ἔμπης*] = 142.

180. *μερόπων ἀνθρώπων*] = 109. 143.

181. Ἡ περίοδος, ὡς τὸ *καὶ τότε δὴ* (197) δηλοῖ, ἐκτείνεται μέχρι τοῦ 196. Ἀλλ' ἐκ τῆς συνδέσεως ἀμέσως οὐκ ἐξήρτηται εἰ μὴ ὁ προκείμενος καὶ ὁ ἑπόμενος στίχος.

*πολιοκρόταφοι τελέθωσι*] Ὑπερβολικῶς χαρακτηρίζει τὴν ἄκραν προπέτειαν τῶν νέων. Ἐκ τούτων δῆλον γίνεται, ὅτι ὁ ποιητὴς τὴν ἡλικίαν προβέβηκεν.

182. Βραχύτερον εἰπεῖν ἔξεστιν, «ὅταν πατὴρ καὶ παῖδες ἀλλήλοις μὴ ὁμοιάζωσιν». Οἱ παλαιοὶ δηλαδὴ τὰ ὅμοια μόνον παιδία ἡγοῦντο γνήσια, ὅθεν οἱ Ἀμφικτύονες ἄλλα τε κατηρῶντο τῶν ἀσεβῶν καὶ τόδε: «μήτε γυναῖκα τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα». Οἱ ἀνόμοιοι υἱοὶ ἔστιν ὅπου οὐ μετεῖχον τῆς κληρονομίας (Ἀνθολογ. 11, 75). Ἅπαντα ἐν γένει ἀλλόκοτα ὑπελαμβάνοντο τῆς νοθείας σημεῖα (Πρβλ. Ἡλιόδωρ. 3, 14: ἀπὸ τοῦ κηλῖδα φέρειν ἐπὶ τοῦ σώματος νόθος εἶναι γνωρισθείς). Παράλληλοι τῶν νεωτέρων παροιμίαι ἀφορῶσιν εἰς τὴν ψυχικὴν μᾶλλον ὁμοιότητα, οἷον «γέννησ' με νὰ σοῦ μοιάζω» (Ἀραβαντ. Παρ. 202, πρβλ. 512. 1342).—Τὸ ἐναντίον εὑρήσομεν ἐν τοῖς κατωτέρω (235).

183. *ξεινοδόκῳ*] Ταὐτό ἐστι τῷ ξενοδόχῳ, καίτοι ἐνταῦθα τὸν ξενιστὴν σημαίνει· πανδοχεῖα γὰρ τότε οὐκ ἦσαν.

184. *κασίγνητος*] Λείπει ἡ ἀντιστοιχοῦσα δοτική, ἐπειδὴ ἡ τῆς ποιήσεως ἐλευθερία τὴν πλεόνων κώλων ἀνταπόκρισιν παρεκκλίνει.

αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας,
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντε ἔπεσσι,
σχέτλιοι οὐδὲ θεῶν ὄπιν εἰδότες, οὐδὲ μὲν οἵγε
γηράντεσσι τοκεῦσιν ἄπο θρεπτήρια δοῖεν,
χειροδίκαι· ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει·
οὐδέ τις εὐόρκου χάρις ἔσσεται οὔτε δικαίου
οὔτ' ἀγαθοῦ, μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσί, καὶ αἰδὼς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα

*ὡς τὸ πάρος περ*] Ἐκ τῶν κερματίων, ὡς εἰπεῖν, τῶν ἐποποιῶν ἐστιν.— Ὁ ἀνώνυμος, ὃς τὴν τῆς Μάνης ἱστορίαν συνέγραψεν, ἐξεικονίζει μετὰ περιέργου συμφωνίας τὴν τῆς Μέσης Μάνης κατάστασιν (249-50): «Κὴ γείτονας τὸν γείτονα, κουμπάρος τὸν κουμπάρον καὶ ἀδελφὸς τὸν ἀδελφὸν τὸν βλέπει σὰν τὸν Χάρον».

185. *αἶψα*] «Αὐτίκα δὴ» Ἀττικῶς (πρβλ. Θ. 87), κοινῶς δὲ «ἔξαφνα». Μισανθρωπικώτερον Θέογνις ἔγραψε, τὸν στίχον μεταπλάσας ἐπὶ τὸν παρόντα καιρόν (821): «οἳ δ' ἀπογηράσκοντας ἀτιμάζουσι τοκῆας».

186. *βάζοντε*] Τὸ ῥῆμα ὀνοματοποιητικὸν ἐπὶ λόγων μὴ σωφρόνων, φα-φλα-τίζω, ὥσπερ ἀκριβέστερον συνᾴδει τὸ *βαβάζω*. Ὁ δυϊκὸς κατὰ τοὺς Ὁμήρου ἤδη καιροὺς ἐμφανίζεσθαι ἤρξατο, ὅθεν ἐνίοτε παρεχρήσθη.

187. Καὶ ταῦτα ἐποίησε ζήλῳ Ὁμηρικῷ· παράθες Ὀδ. φ 28: «σχέτλιος οὐδὲ θεῶν ὄπιν ᾐδέσατ' οὐδὲ τράπεζαν». Ἡ δὲ τοῦ στίχου μεταβολὴ οὐκ ἀνεπιλήπτως ἐκτετέλεσται· «ὄπιν εἰδότες» γὰρ οὐ κυρίως εἴρηκεν, ὁμοιάζει μέντοι ἡ φράσις «οὐκ ὄπιδα φρονέοντες ἐνὶ φρεσίν» (Ὀδ. ξ 82). Περὶ τοῦ ὀνόματος ζήτει σημείωσιν εἰς Θ. 222.

188. Ἡ γηροκομία συνεζήτηται Θ. 605. Πρὸς τούτοις μνήμης ἄξιον καὶ τοῦτο, ὅτι ἐν Ἀθήναις ἐνομοθετήθη ὑπὸ Σόλωνος· ἂν δὲ ἐπὶ Χίου εἰσέτι ταὐτὸ ἔθος, νόμου ἰσοδύναμον ἐπικρατῇ, ἀγνοοῦμεν, ἀρυσάμενοι τὴν σημείωσιν ἐκ τῆς τῶν νόμων καὶ ἐθίμων συλλογῆς, ἣν οἱ ἐπὶ Ὄθωνος ἡγεμονεύσαντες διέταξαν.

*γηράντεσσι*] Ἡ μετοχὴ *γηρὰς* (Ἰλ. Ρ 197) ἀνήκει εἰς τὸν δεύτερον ἀόριστον *ἐγήρα* τῆς ἐπικῆς διαλέκτου.

189. *χειροδίκαι*] Οὐχ ὁμολογοῦσι δηλαδὴ δίκην εἰ μὴ τὴν χειροκρατίαν (Πρβλ. 192).

190. Ἡ ἀλλόκοτος φράσις ἠράνισται ἐκ χωρίου Ὁμηρικοῦ, ὅπου κυριώτερον κεῖται (Ὀδ. δ 65): «Οὐδέ τις ἔστι χάρις μετόπισθ' εὐεργέων» καὶ «οὐκ ἔστι χάρις μετόπισθ' εὐεργέων» (Ὀδ. χ 319).

191. Μετὰ τοῦ *κακῶν ῥεκτῆρα* (κακοποιὸν) συντάσσεται *ὕβριν ἀνέρα*, ὅπερ Ἡσίοδος ἠρύσατο ἐκ τῆς χυδαίας διαλέκτου. Αὕτη γὰρ οὐ μόνον τῶν ὄλεθρος, φθόρος, λοιμὸς κτλ. ἐπὶ προσώπων χρῆσιν ποιεῖται, ἀλλὰ καὶ ἑτέρῳ ὀνόματι ἐπισυνάπτει· Ἐπίχαρμος π.χ. λέγει: «Σκύθης τις ὄλεθρος» καὶ Εὐριπίδης, οὐχὶ ἐπὶ τῆς τραγικῆς σκηνῆς, ἀλλ' ἐν τῷ σατυρικῷ (104): «ἄνδρα κρόταλον».

192. *δίκη δ' ἐν χερσί*] Ἡ συνάφεια ἀποδεικνύει, ὅτι τὸ ἀρνητικὸν εἰς ταῦτα οὐκ ἀφορᾷ· τὸ ῥῆμα ὅμως εἰς τὰ κῶλα ἀμφότερα ἀνήκει. Ἴσως ὁ

μύθοισι σκολιοῖς ἐνέπων, ἔπι δ' ὅρκον ὀμεῖται,
Ζῆλος δ' ἀνθρώποισιν οϊζυροῖσιν ἅπασι
δυσκέλαδος, κακόχαρτος ὁμαρτήσει, στυγερώπης.
Καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,
λευκοῖσιν φάρεσσι καλυψαμένα χρόα καλόν,
ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρὰ

ποιητὴς νῦν ἤδη τὴν ἣν μέλλει προφέρειν (220-1) ἀλληγορίαν ἐν νῷ ἔχει.

*αἰδώς*] Σωφροσύνη.

194. *σκολιοῖς*] Οὐκ ὀρθοῖς. Πρβλ. 9. Τὸ δεύτερον ἡμιστίχιόν ἐστιν Ὁμήρου (:ἐπὶ δὲ μέγαν ὅρκον ὀμεῖται Ἰλ. Ι 274).

195. *Ζῆλος*] Συνωνυμεῖ τῇ κακῇ Ἔριδι.

196. *δυσκέλαδος*] Ἡσίοδος ἐνθυμεῖται τὸν ἀηδῆ θόρυβον τῶν φιλονίκων.

*κακόχαρτος*] Πρβλ. 28.

*στυγερώπης*] Ἡ κακία ὑπὸ τῶν Ἑλλήνων δύσμορφος ὑπολαμβάνεται.

197. Ἡ ἀνὰ χεῖρας ἀλληγορία μεγάλην αἴσθησιν παρεῖχεν εἰς τοὺς ποιητὰς καὶ φιλοσόφους (οἷον Πλούταρχον ἐν τῷ περὶ τῶν ἐκλελοιπότων χρηστηρίων 7). Ἦσαν δὲ οἳ ἐξ ἀπαισιοφροσύνης διϊσχυρίζοντο, ὅτι τὸ προαγγελθὲν πρᾶγμα ἤδη συμβέβηκεν (λ. χ. Ἄρατος ἐν τῷ τῶν Φαινομένων προοιμίῳ).

*Καὶ τότε δή*] Ὅταν ταῦτα ἅπαντα τελεσθῶσιν.

*χθονὸς εὐρυοδείης*]=Θ. 119 κτλ.

198. *φάρεσσι*] Ἐπειδὴ οἱ Ἕλληνες τὴν λινουργίαν παρὰ τῶν Αἰγυπτίων ἔμαθον, τὸ παλαιότατον ὄνομα τοῦ ὀθονίου ἦν Αἰγυπτιακόν (*φᾶρ*)· διὸ οὐδὲ οἱ Ἴωνες τὸ μακρὸν α κατὰ τὸν ἑαυτῶν κανόνα μετέβαλον εἰς ἦτα. Δηλοῖ δὲ ἡ λέξις ἐνταῦθα τὴν λινῆν καλύπτραν, τῆς ἐξ ἐρίου στολῆς ὀνομαζομένης *πέπλος*. Ἡ λευκότης μᾶλλον ἀλληγορικῶς κεῖται ἐν τῷ παραλλήλῳ χωρίῳ Ὁρατίου (1, 35, 21): albo rara Fides velata panno.

*καλυψαμένα*] Ἀπὸ βδελυγμοῦ, ἵνα μὴ εἰσίδωσι πλέον τὰ ἄδικα.

*χρόα*] Ἔπιθι ἃ εἴπομεν εἰς Θ. 5. Ἐνταῦθα σημαίνει μάλιστα τὸ πρόσωπον.

*καλόν*] Ἡ ἀρετὴ εὐειδής ἐστιν οὐχ ἧττον ἤ περ ἡ κακία ἀσχήμων.

199. *ἴτον*] Ὅτι ὁ ἐνεστὼς τοῦ εἶμι ῥήματος συμπεριλαμβάνει τὸν μέλλοντα, οὐ χρήζει μαρτυριῶν.

*προλιπόντ'*] Περὶ τῆς ἀρσενικῆς καταλήξεως πρότερον (Θ. 826) εἴπομεν. Ὅστις ἂν ἀγανακτήσῃ πρὸς τὴν τῶν μετοχῶν ἀσυμφωνίαν, ἐπίτω Σοφοκλ. Οἰδ. Κολων. 1676: ἰδόντε καὶ παθούσα.

200. *Αἰδὼς* ἐν τῇ Θεογονίᾳ οὐ μνημονεύεται· οἱ Ἀθηναῖοι βωμὸν αὐτῇ ἀνήγειραν (Παυσαν. 1, 17, 1. Ἡσύχ. λ. Αἰδοῦς βωμός, Κικέρων περὶ νόμων 2, 11, 28, πρβλ. Σοφοκλ. Οἰδ. Κολ. 1267).

*Νέμεσις*] Ἴδε Θ. 223. Τὴν σύνδεσιν ἔλαβεν ἐξ Ὁμήρου (Ἰλ. Ν 122: αἰδῶ καὶ νέμεσιν) ἢ τῶν Κυπρίων (Ἀπόσπ. 6, 6), ὅθεν τῇ τῆς δικαιοσύνης καὶ εὐνομίας θεῷ τοῦτο τὸ ὄνομα ἀπένειμεν· οἱ μεταγενέστεροι ὅμως τὸν νοῦν μᾶλλον ἢ τὴν λέξιν ὑπ' ὄψιν ἔλαβον (Πρβλ. Ἡλιόδωρ. 1,14: οὐ παντάπασιν ἐκλέλοιπεν ἡμᾶς ἡ **Δίκη** καθ' Ἡσίοδον, Ἰουβενάλην Σάτυρ. 6, κέ., ὃς ἐκτὸς τῆς Αἰδοῦς τὴν Ἀστραίαν εἰσ-

θνητοῖσ' ἀνθρώποισι· κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.
Νῦν δ' αἶνον βασιλεῦσιν ἐρέω νοέουσι καὶ αὐτοῖς.
Ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον,

ἄγει, ἐπίγραμμα ἐκδ. ἐν τοῖς Epigrammata Graeca τοῦ Kaibel 1110: Αἰδώς τ' Εὐνομίη τε.

*λείψεται*] Λέγει μετὰ πικρᾶς εἰρωνείας· τὰ κακὰ οὐκ ἀποφεύγουσιν ἅμα τῇ Αἰδοῖ.

201. Πρὸς τὴν ἔξοδον παράθες Θ. 876.

202-273. Κατηγορία τῶν ἀδίκων βασιλέων καὶ τῶν δικορράφων.

202-212. Τίς δὲ αἴτιός ἐστι τῶν παρόντων τε καὶ μελλόντων κακῶν; Οἱ ἄδικοι δικασταὶ καὶ βασιλεῖς. Ἀλλὰ ὅπως καὶ ἂν δικάζωσι, κατέχουσι τὴν δύναμιν ἐν ταῖς Θεσπιαῖς καὶ Ἡσίοδος αὐτοῖς ὑποχείριός ἐστιν. Ὅθεν περικαλύπτει τὰς κατηγορίας εἰς μῦθον. Τὸ μυθικὸν εἶδος ἀπησχόλησε τὴν ἀνθρώπων φαντασίαν ἐκ παμπαλαίων χρόνων, τῶν δὲ ἀναγεγραμμένων μύθων ὁ προκείμενός ἐστιν ὁ παλαιότατος, ὅσπερ εἰς τὴν παλαιότητα καὶ τοὺς παρ' Ἀρχιλόχῳ μύθους καὶ τὸν ἐν τῷ ὑφ' Ἡροδότου παραδοθέντι χρησμῷ (5,92) ὑπερνικᾷ. Ἡσίοδος τὸν μῦθον ὀνομάζει *αἶνον*, ἣ λέξις παρὰ τοῖς μεταγενεστέροις τὸ εἶδος ἐνέφαινεν. Ἐν τῇ παλαιᾷ μέντοι διαλέκτῳ δηλοῖ ὁντινοῦν συμβολικὸν λόγον, οἷον τὸ σκόπιμον διήγημα τοῦ μεταμορφωθέντος Ὀδυσσέως (Ὀδ. ξ 508)· διὸ ἐξ αὐτῆς τὸ *αἰνίσσω, αἴνιγμα* παρῆκται. Καὶ δὴ Θέογνις ἀνάλογόν τινα μῦθον πολιτικὸν (667-682) χαρακτηρίζει διὰ τῆς φράσεως *ᾐνίχθω* (681).

*νοέουσι καὶ αὐτοῖς*] Σκωπτικῶς, καθὼς Θέογνις ἐκείνῳ κολοφῶνα ἐπέθηκε διὰ τῶνδε: «γιγνώσκοι δ' ἄν τις καὶ κακὸς ἦν σοφὸς ᾖ».

203. * *ἴρηξ*] Ἀντὶ τοῦ ἱέραξ, κατὰ τὴν Ἰωνικὴν διάλεκτον. Καθ' ἡμᾶς ἡ σημασία ὀλίγην μεταβολὴν ἔπαθε, καθότι ὁ κατ' ἐξοχὴν ἱέραξ (Falco subbuteo L.) ὑπὸ τῶν πλείστων Ἑλλήνων *ἀνεμογάμης* ἢ *κιρκινέζι* ἢ *τσιχλοϊέρακο* ὀνομάζεται (ὑπὸ τῶν Ὀφιτῶν ὅμως *ἀγέρακας*), τῆς παλαιᾶς *ἱεράκι* μεταφερομένης εἰς εἶδος ἐξηλλαγμένον. Ἐκ τῶν ῥωμαλέων πτηνῶν, πρὸς ἃ τοὺς βασιλεῖς ἀντιπαραβαλεῖν πρέπει, ὁ ἱέραξ ἐστὶν ὁ ἁρπακτικώτατος· διὸ παροιμιάζεται: «διψᾶν.. .τὰ γιεράκια γιὰ πουλιά» (Ἀραβαντ. Συλλογὴ 235, 1, 2).

*ἀηδόνα*] Οἱ διϊσχυριζόμενοι τὴν Ἡσιόδου διαρπαγὴν τὴν ἀηδόνα θεωροῦσι σύμβολον τοῦ ἀοιδοῦ (πρβλ. Ἀνθολογ. 7, 43, 3. Πλιν. Φυσ. Ἱστ. 10, 8,2)· ἀλλὰ ἐν ταῖς παλαιαῖς καὶ νεωτέραις παροιμίαις τὸ γλυκὺ πτηνὸν ἀντιπροσωπεύει τὰ ἀβλαβῆ καὶ τέρποντα τὸν ἄνθρωπον: «Ἀηδὼν μὴ εἰς μῶλον καλέσῃ ἀετόν» καὶ «νὰ παίζ' ὁ λύκος μὲ τ' ἀρνὶ κὴ ὁ γκιόνης μὲ τ' ἀηδόνι» (Ἀραβαντινοῦ δίστιχ. 332, 491). Ὁ ποιητὴς ἐξεπίτηδες ὀνομάζει τὸ ἀγαπητὸν πτηνὸν τῆς Ἑλλάδος, «τῆς ἄνοιξις τ' ἀηδόνι», ὅπερ τὸν ὡραιότατον μῆνα τοῦ ἔτους διὰ τῆς ᾠδῆς αὐτοῦ ἐκλαμπρύνει· ἐν Ἑλλάδι δηλαδὴ οὐ ζηλοῦσι τὴν τῶν ἀηδονοφόνων Ἰταλῶν ὠμότητα. Τοσούτῳ μᾶλλον τοῦ ἱέρακος ἡ αἱμοδιψία ἐκφαίνεται. — Ἀμφοτέρους ὡσαύτως συνάγει νεώτερός τις μῦθος, ὃς ἔδωκεν ἀφορμὴν τῆς παροιμίας «φωνὴ κὴ ὄχι ἄλλο» (Βενιζέλου Παροιμ. Φ 75, σ. 336, ἔκδ. 6΄).

**ποικιλόδειρον*] Αἰλιανὸς (περὶ ζῴων 12, 28) παραδίδωσι τὴν τοῦ λαοῦ πρόληψιν, ὅτι «ἡ ἀηδὼν διὰ τοῦ θέρους καὶ τὴν χρόαν ἐκτρέπει εἰς εἶδος ἕτερον

ὕψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς·
ἡ δ' ἐλεόν, γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι,
μύρετο· τὴν δ' ὅγ' ἐπικρατέως πρὸς μῦθον ἔειπε·
«Δαιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων·
τῇ δ' εἶς ᾗ σ' ἂν ἐγώ περ ἄγω, καὶ ἀοιδὸν ἐοῦσαν·
δεῖπνον δ', αἴ κ' ἐθέλω, ποιήσομαι, ἠὲ μεθήσω.
Ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν,
νίκης τε στέρεται πρός τ' αἴσχεσιν ἄλγεα πάσχει».

καὶ μεταβάλλει τὸ φώνημα», ᾧ συνᾴδει Κλήμης ὁ Ἀλεξανδρείας ἐν τῷ Παιδαγωγικῷ (2, 10), πρβλ. Ἀριστοτέλ. π. ζῴων 9,39. Πλίν. Ἱστ. Φυσ. 10, 43. Θεόφραστ. Φυτ. 2,4, 4). Ἴσως ἐννοοῦσι τὴν Aëdon galactodes Temm., ἣ ἐν τῇ Στερεᾷ ἀπάσῃ συχνάζει καὶ οὐ σπανίως εἰς τὰ ᾠὰ ὑποστρωννύει δέρμα ἀποσεσυρμένον ὑπ' ὄφεως. Ἐκτὸς τούτων, τὸ πτηνὸν τοῖς Ἕλλησι μᾶλλον ἀρέσκει εἰς τὴν μορφὴν ἢ τοῖς ἄλλοις Εὐρωπαίοις· λ. χ. ἐν ᾄσματι (Ἀραβαντ. Συλλ. 491, 15) κόρη πρὸς τὴν ἀηδόνα λέγει: «νᾶχα καγὼ τὴν χάρι σου, νᾶχα τὴν ὠμορφιά σου».

204. *μεμαρπώς*] Μετοχὴ τοῦ παρακειμένου τοῦ *μάρπτω* (αἱρῶ) ῥήματος.

205. *ἐλεόν*] Οἰκτρῶς· καὶ τῆς φωνῆς ἕνεκα ἡ ἀηδὼν μνημονεύεται, ὅτι ὁ θρηνῶν, κατὰ τὸ λεγόμενον, *ἀηδονολαλεῖ*.

205. *πεπαρμένη ἀμφ' ὀνύχεσσι* ] Ὥσπερ ἐγέννησε τὴν νεωτέρων ἐποποιῶν φράσιν «πεπαρμένος ἀμφ' ὀδύνῃσι» (Ἀπολλών. Ῥόδ. 4, 1066, Ὀρφ. Λιθικῶν 490), οὕτως αὐτὴ μετεπλάσθη ἐκ παλαιοτέρας, ὅπου ἡ πρόθεσις ἐν τῇ κυρίᾳ σημασίᾳ ηὕρητο· τὰ Ὁμηρικὰ ποιήματα οὐ παρέχουσιν εἰ μὴ ἐλάττονας ὁμοιότητας· «ἀμφ' ὀβελοῖσιν ἔπειραν» καὶ «περὶ δουρὶ πεπαρμένη» (Ἰλ. Φ 577).

206. *ἐπικρατέως*] Δεσποτικῶς.

207. *δαιμονίη*] Κατ' εὐφημισμὸν ἀντὶ τοῦ κακοδαίμων (κακόμοιρος) τίθεται.

*λέληκας*] Ὁ παρακείμενος ἐγένετο ἀπὸ τῆς ῥίζης ΛΑΚ (ἠχέω), ἧς ὁ ἐνεστὼς λάσκω.

*ἀρείων*] Οὐχὶ ἠθικῶς, ἀλλὰ ὑλικῶς ληπτέον (ἰσχυρότερος).

209. *αἴ*] Συνωνυμεῖ τῷ *εἰ*, οὗπερ ἴσως παλαιότερον σχῆμά ἐστιν.

210. Ἀρίσταρχος τοὺς δύο στίχους ὡς ἀνεπιτηδείους ὀβελίζει· ἡμῖν δὲ δοκοῦσιν ἄμεμπτοι, εἴπερ καθόλου παραδεχόμεθα τὸ λαλεῖν ζῷα ἄλογα, ἔτι δὲ ὁ τὸν ἱέρακα ὑποκρινόμενος ἐχάλασεν ἤδη τὸ πρόσωπον, εἰπὼν «ἠὲ μεθήσω». Ἂν δὲ ζητήσῃς παραδείγματα τοῦ φιλοσοφεῖν τὰ ζῷα αὐτά, ἐκτὸς τῆς Τζέτζου ἐν τοῖς σχολίοις μαρτυρίας, ἀναφέρομεν δύο μύθους τοῦ Λατινιστὶ γράψαντος Φαίδρου (1, 26. 3, 15).

*κρείσσονας*] Τοὺς προὔχοντας καὶ ἄρχοντας, ὡς Πλάτ. Πολιτ. 1,339 e. Νόμ. 718 a. 917 a. Διογέν. Λαέρτ. 1, 92 κά.

*ἀντιφερίζειν* ] Ἀντιφέρεσθαι, ἤτοι ἀντιλογεῖν, κατ' ἰδιωτισμόν (Πρβλ. ἀντιφάρα] ἀντιλογία, Συρακούσιοι. Ἡσύχιος).

211. *νίκης*] Τοῦ νικᾶν δίκην (Θ. 434).

*αἴσχεσιν*] Οὐκ ἀφορᾷ εἰς τὴν τῶν χαιρεκάκων χλεύην, ἀλλὰ ὠμοὺς νόμους τῶν παλαιοτάτων νομοθετῶν, οἵτινες πρὸς τῇ ζημίᾳ καὶ χλευασμὸν ἐπέθεσαν.

Ὣς ἔφατ᾽ ὠκυπέτης ἴρηξ, τανυσίπτερος ὄρνις.
Ὦ Πέρση, σὺ δ᾽ ἄκουε δίκης, μηδ᾽ ὕϐριν ὄφελλε·
ὕϐρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ᾽ ὑπ᾽ αὐτῆς,
ἐγκύρσας ἀάτησιν· ὁδὸς δ᾽ ἑτέρηφι παρελθεῖν

Ἀφιέντες ὅσα Χαρώνδας ἐνομοθέτησε, παραπέμπομεν τὸν ἀναγνώστην εἰς Βοιωτικὸν νόμον, καθ᾽ὃν τοῖς καθυστεροῦσι χρεώσταις ἐπετίθετο κόφινος ἐν τῇ ἀγορᾷ· τοῦτο ηὕρομεν παρὰ Ἰωάννῃ τῷ Στοϐαίῳ (Ἀνθολ. 44, 41, ἐκ Νικολ. Δαμασκηνοῦ). Ἡ τυχαίως σωθεῖσα αὕτη σημείωσις ὀξέως καὶ πικρῶς διαφωτίζει τὸ προκείμενον χωρίον ἅμα καὶ ὅμοια (Θέογν. 388: τολμᾷ δ᾽οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν, Κόϊντ. Σμυρν. 2, 40. 50 κά.).

212. Μετ᾽εἰρωνικοῦ πάθους τελευτᾷ τὸν λόγον, ὅτι ταῦτα οὐ λέγω ἐγώ, ἀλλὰ ὁ ἱέραξ κτλ.

*τανυσίπτερος*] Τὸ ἐπίθετον ἑρμηνεύσαντες εἰς Θ. 523 καὶ 525, τὴν ἐπὶ τοῦ ἱέρακος χρῆσιν δικαιολογοῦμεν ἐκ τοῦ βιϐλίου Ἰώϐ (39, 26): «Ἕστηκεν ἱέραξ ἀναπετάσας τὰς πτέρυγας ἀκίνητος». Στοχάζεται ἄρα χαρακτηριστικῆς ἰδιότητος τοῦ ἱέρακος.

213. Αἱ ἔννοιαι οὕτω συμπλεκονται· ἡ αἰτία οὐχὶ μόνον τῶν δικαστῶν, ἀλλὰ καὶ τῶν ἀδίκως δικαζομένων.

*σὺ δ᾽*] Ἡ αὐτὴ θέσις ἀπαντᾷ ἐν τοῖς ἀνωτέρω (27). Πρὸς τὰ λοιπὰ παράθες 33. Τῇ «δίκῃ» ἐναντιοῦται «ὕϐρις» ὡς ἰσοδύναμος τῇ ἀδικίᾳ (Ἀρχίλοχ. 88,4. Ξενοφάν. Ἐλεγ. 1,15 κἑ.).

214. *δειλῷ*] Τῷ κοινῷ ἀνθρώπῳ, ὅσπερ τοὺς ἄρχοντας φοβεῖται. Ἡ λέξις ἀπαντᾷ καὶ ἐν ταῖς Θεόγνιδος πολιτικαῖς ἐλεγείαις (214), ὥσπερ ἡ ἀντικειμένη *ἐσθλός* (57), ἣν ἐν τῇ παλαιᾷ συνηθείᾳ ἀντικατέστησε *χρηστός* (Ἔπιθι π. χ. τὸ «περὶ τῆς Ἀθηναίων πολιτείας», ὃ Ξενοφῶντος ἐπιγράφεται σύγγραμμα). Ἑρμηνεύεται ὑπὸ Πλουτάρχου ἐν τοῖς σχολίοις ὀρθῶς «ὁ τῇ τύχῃ καὶ δυνάμει προέχων». Παρὰ Θεόγνιδι εὑρήσεις πολλὰ ἀνάλογα ὅσα οἱ πλούσιοι καὶ οἱ δυνατοὶ αὐταρέσκως ἢ καταφρονητικῶς ἐπενόησαν.

215. *βαρύθει*] Ἐσχημάτισται παρὰ τὸ *βαρύς*, καθάπερ μινύθω (6). Ὁ νοῦς· βαρέως αὐτὴν φέρει, ἡ γὰρ ἄτη «βαρεῖα» (Ἰλ. Β 111). Ἄλλως δὲ ἔξεστι τὴν φράσιν ἐξηγεῖσθαι κατὰ Ἰλ. Π 519: «βαρὺς δέ μοι ὦμος ὑπ᾽ αὐτοῦ».

216. *ἐγ-κύρ-σας ἀάτησιν*] Ἐντυχὼν ἢ ἐμπεσὼν εἰς βλάϐας καὶ ζημίας. Τοῦτο δηλονότι ἐμφαίνει *ἀάτη* ἢ *ἄτη*, καθὼς 230. 352. 413, Θέογν. 133, 631-2 καὶ ἐν τῷ Χίλωνος ἀξιώματι «ἐγγύα, πάρα δ᾽ ἄτα». Εἰδικῶς δὲ ἐν τῷ Γορτυνίῳ νόμῳ *ἄτα* σημαίνει τὸ ἐνέχυρον, ὅπερ ἀπόλλυσιν ὁ νικώμενος ἐν τῇ δίκῃ.

Τὰ ἑξῆς ἀναλύομεν μεταθέντες τὰς λέξεις. «Ὁδὸς δὲ ἔστι κρείσσων ἕνεκα τοῦ ἑτέρηφι παρελθεῖν εἰς τὰ δίκαια». Τὸ *ὁδός*, μεταφορικῶς εὐχρηστοῦν ἐπὶ δικαίων καὶ ἀδίκων, εὑρίσκομεν ἐν τῇ εἰκονολογίᾳ τοῦ Προφητάνακτος (1,6) καὶ τοῦ υἱοῦ αὐτοῦ (Παροιμ. 17, 23: ὁδοὶ δικαιοσύνης). *Ἑτέρηφι* (= ἑτέρῃ ἤ, κατὰ τὴν κοινὴν διάλεκτον, ἑτέρᾳ) ἐναργῶς παρίστησι δύο διαφόρους ὁδούς, ἃς ἐν τοῖς κατωτέρω (288 κἑ.) διεξέρχεται. Ἐκ τούτων καταλαμϐάνομεν τὸ ***παρελθεῖν***· διότι ἡ κακότης «ἐγγύθι ναίει» (288), ὥστε ὁ προχωρῶν πρὸς τὴν ἀρετὴν ἐκείνην παρέρχεται.

κρείσσων ἐς τὰ δίκαια· δίκη δ᾽ ὑπὲρ ὕβριος ἴσχει
ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.
Αὐτίκα γὰρ τρέχει Ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.
Τῆς δὲ Δίκης ῥόθος ἑλκομένης, ῇ κ᾽ ἄνδρες ἄγωσι
δωροφάγοι, σκολιῇς δὲ δίκῃς κρίνωσι θέμιστας.

217. *ὑπὲρ ὕβριος ἴσχει*] Ὑπερέχει τῆς ὕβρεως.

218. *ἐς τέλος ἐξελθοῦσα*] Ἡ μεταφορὰ ἀπὸ τῶν σταδιοδρόμων (Πρβλ. 324). Τέλος ἡ Δίκη ἀπολείπει τὴν Ἀδικίαν. Ὁ Ἡσίοδος τοὺς μικροψύχους παρηγορεῖ δι᾽ ἐλπίδων τῆς τελευτῆς, οὐκ ἀπᾴδων τοῦ λαϊκοῦ σοφοῦ, ὅστις ἡμῖν ὑπισχνεῖται: «Ὁ Θεὸς ἀργεῖ, ἀλλὰ δὲν λησμονεῖ».

*παθὼν δέ τε νήπιος ἔγνω*] Ὁ ἄπιστος γνωρίζει τὴν ἀλήθειαν τῶν λόγων μου, ἂν λάβῃ πεῖραν. Τῇ *νήπιος* λέξει χρῆται, διότι ἐρανίζεται δημώδη παροιμίαν, ἣ ἐν τοῖς Ἑλληνικοῖς γράμμασι πολλή ἐστιν. Ὁμηρ. Ἰλ. Ρ 32=Υ 198: ῥεχθὲν δέ τε νήπιος ἔγνω, Ἐπιγρ. 14,1: τὸν μέν τε παθών τις φράσσεται αὖθις, Ἡρόδοτ. 1,207: τὰ δὲ . . . παθήματα ἐόντα, ἀχάριστα μαθήματα γέγονε, Πλάτ. Συμπόσ. σ. 222 b: κατὰ τὴν παροιμίαν, ὥσπερ νήπιον παθόντα γνῶναι, Αἰσχύλ. Ἀγαμ. 177: τῷ πάθει μάθος θέντα, Νικήτ. Εὐγεν. 3,194: παθοῦσα καὶ μαθοῦσα νῦν, *τὸ τοῦ λόγου*, καὶ ἄλλοι Βυζαντῖνοι,ὧνπερ μαρτυρίας ἀναφέρει Nauck εἰς τὸ Lexicon Vindobonense σ. 244,16,ἔτι δὲ τὰ παλαιὰ καὶ τὰ νεώτερα παροιμιαστήρια τοιούτων γέμουσιν« Ἁλιεὺς πληγεὶς νοῦν οἴσει (φύσει») (Paroemiographi Graeci τ. Β΄, σ. 10, 61, ἴδε τὴν ὑποσημείωσιν), «Τὰ παθήματα μαθήματα» (Ἀραβαντ. 1267. Βενιζ. Τ 99),«ἔπαθε καὶ ἔμαθε» (Βενιζ. Ε 218), «ὁ παθὸς εἶνε ἰατρός» (Sanders Volksleben σ. 220, 4), «ὑστερνή μου γνῶσι νά σ᾽εἶχα πρῶτα» (Ἀραβαντ. 1451), «ἀφ᾽οὗ τὴν ἔπαθ᾽ ἡ γρηά, ἐτράβαγε τὸ μάνταλο» (Ἀραβαντ. 162) κτλ.

219. *Αὐτίκα*] Συνάφειαν ἔχει μετὰ τοῦ *ἅμα σκολιῇσι δίκῃσιν*.

*τρέχει*] Ἁπλοϊκῶς ἐκφράζει τὸ εὐθὺς ἀπαγγέλλεσθαι τὸ πρᾶγμα πρὸς τὸν Δία.

*Ὅρκος*] Ἴδε Θ. 231. Παρατηρητέον ὅτι ἐν πολλαῖς πόλεσιν οὐχὶ μόνον οἱ μάρτυρες, ἀλλὰ καὶ οἱ δικασταὶ ὅρκον ὤμνυον. Ἐκτὸς τῶν Ἀθηνῶν, πρὸς ἃς πολλαὶ μαρτυρίαι ἀναφέρονται, ἐπιγραφαὶ τὸν αὐτὸν νόμον ἐν Ἐρέσῳ (Collitz Dialektinschriften 241,B, 45), Ἁλικαρνασσῷ (Dittenberger sylloge 5, 21), Ζελείᾳ (αὐτόθι 113, 31), Κνίδῳ (; Newton, Ancient greek iscriptions Β΄, 299) διαβεβαιοῦσιν.

*σκολιῇσι*] Πρβλ. 194. *Δίκαι* αἱ κρίσεις.

220. *ῥόθος*] Ὡς Πλούταρχος (Σχλό. Ἡσ. καὶ ἐν τῷ Γουδιανῷ Ἐτυμολογικῷ σ. 493, 59 κἑ.)· οἱ Βοιωτοὶ ὠνόμαζον «τὴν ὀρεινὴν ὁδὸν τὴν στενὴν καὶ δυσάντη», ὅθεν ἐν τοῖς Νικάνδρου Θηριακοῖς (672) «αἰγὸς ῥόθος» εὑρίσκεται· δεχόμεθα λοιπὸν τὸν στίχον ἀναλόγως τῷ 208: «τῇδ᾽ εἶς, ῇ σ᾽ ἂν ἐγώ περ ἄγω»· τοῦτον γὰρ ἡ ἀναφορικὴ πρότασις ἐξεπίτηδες ἡμῖν ἀναπολεῖ. Τὸ ῇ λοιπὸν ἐπίρρημα τοπικόν.

*ἄνδρες*] Εὐλαβῶς τίθησιν, ἀντὶ βασιλέων.

221. *δωροφάγοι*] Πρβλ. 39.

*δὲ*] Κατὰ τὴν ἔννοιαν ἡ πρότασις ὑποτέτακται τῇ προηγουμένῃ· τὸ *δὲ* λοιπὸν ἀναλύομεν «*διὰ τοῦ κρίνειν*».

*κρίνωσι θέμιστας*] Ἴδε Θ. 85. Τὸ

Ἡ δ' ἕπεται κλαίουσα πόλιν καὶ ἤθεα λαῶν,
ἠέρα ἑσσαμένη κακὸν ἀνθρώποισι φέρουσα,
οἵτε μιν ἐξελάσωσι καὶ οὐκ ἰθεῖαν ἔνειμαν.
Οἳ δὲ δίκας ξείνοισι καὶ ἐνδήμοισι διδοῦσι
ἰθείας καὶ μή τι παρεκβαίνουσι δικαίου,
τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ·
Εἰρήνη δ' ἀνὰ γῆν κουροτρόφος, οὐδέ ποτ' αὐτοῖς
ἀργαλέον πόλεμον τεκμαίρεται εὐρυόπα Ζεύς·
οὐδέ ποτ' ἰθυδίκῃσι μετ' ἀνδράσι λιμὸς ὀπηδεῖ
οὐδ' ἄτη, Θαλίῃς δὲ μεμηλότα ἔργα νέμονται.
Τοῖσι φέρει μὲν γαῖα πολὺν βίον, οὔρεσι δὲ δρῦς

τοῦ χωρίου πρωτότυπον παρέσχεν ἡ Ἰλιάς (Π 387-8): «ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες».

222. *ἤθεα λαῶν*] Πρβλ. 167.

223. *ἠέρα ἑσσαμένη*] Ἐξήρτηται ἀπὸ τῆς ἑπομένης μετοχῆς. Ἀφοῦ ἡ Δίκη ἀόρατον ἑαυτὴν ἐποίησεν, ἐξαίφνης καὶ ἀνεκφεύκτως αἱρεῖ τοὺς κακούς.

224. *ἰθεῖαν*] Ἴδε 9. Ἐνταῦθα ἡ Δίκη λαμβάνεται ὡς οὐσιαστικόν, εἰ μὴ τὸ *ἰθεῖαν* ἐδεχόμεθα ὀνοματῶδες, καθάπερ Ἰλ. Ψ 580 ἐλλειπτικῶς τίθεται.

*ἔνειμαν*] Ὁ γνωμικὸς ἀόριστος τὴν μετὰ τῆς ὑποτακτικῆς σύνταξιν οὐκ ἀποστρέφεται, ἐνταῦθα δὲ ἐπάναγκες κεῖται, ἵνα δηλωθῇ τὸ προηγεῖσθαι τὸ δεύτερον.

225. *ξείνοισι*] Κατὰ τὴν Ἀττικὴν διάλεκτον, τοῖς μετοίκοις καὶ τοῖς ξένοις.

*ἐνδήμοισι*] Πολίταις.

*διδοῦσι*] Ὁ τύπος συνεζήτηται ὑπὸ Κόντου ἐν τῷ Λογίῳ Ἑρμῇ (Α',343).

Πρὸς 225-237 ἐνθυμηθῶμεν, ὅτι οἱ καλοὶ κἀγαθοὶ τότε οὐκ ἤλπιζον οὐρανίαν μετὰ τὸν θάνατον ἀνταμοιβήν· διὸ Ζεύς, φασίν, αὐτοῖς ἀνταμείβει τὰ καλὰ ἔργα ἐπὶ γῆς. Διὰ τῶν ἐλπίδων τούτων ἔβοσκον πολλοὶ τοὺς ἀκροατάς, οἷον ὁ τὴν Ὀδύσσειαν ποιήσας (τ 109 κἑ.), Ὁμηρικὸς ὑμνογράφος (30,9 κἑ.), Καλλίμαχος (Ὕμν. 3, 129-135) καὶ ἄλλοι αἰσιόφρονες.

228. *Εἰρήνη*] Ἴδε Θ. 902.

*κουροτρόφος*] Τὸ ἐπίθετον, ὃ ἀνήκει εἰς τοὺς ὕμνους (Πρβλ. Ὀρφ. Ὕμν. 19, 22. 65, 9. Εὐριπ. Βάκχ. 420), ἐγκωμιάζει Εἰρήνην ἕνεκα τοῦ μὴ φθείρεσθαι τοὺς νέους ἐν τοῖς πολέμοις.

229. *τεκμαίρεται*] Παρὰ τὸ τέκμαρ ἢ πέρας· τὴν ἔννοιαν ἐσημειωσάμεθα εἰς 218.

*εὐρυόπα*] Ἡρμήνευται εἰς Θ. 514.

230. *ἰθυ-δίκῃσι*] Τὴν κοινὴν φράσιν εὑρήσεις ἐν τοῖς ἔμπροσθεν (9).

*ὀπηδεῖ*] Ἀκολουθεῖ κατὰ προσωποποίησιν ὡς 142. Πῶς Λιμὸς καὶ Ἄτη συγγενεῖς εἰσιν, ἐμάθομεν ἐκ Θ. 230· ἔπιθι καὶ τὰ εἰς 216 σημειωθέντα.

909. *Θαλίῃς μεμηλότα*] Τὸ ὄνομα προσωπικῶς εἴληπται, καθότι Θαλίη τῶν Χαρίτων μία ἐστίν (Θ. 909). Τῇ Θαλείᾳ γὰρ οἱ γεωργοὶ ὀφείλουσι «φυτῶν καὶ σπερμάτων εὐθαλούντων καὶ βλαστανόντων ἐπιμέλειαν καὶ σωτηρίαν» (Πλουτάρχ. Συμποσ. 9, 14, 4).

232. *Γαῖα* ἡ γῆ κατ' ἐξοχὴν ὑπὸ τῶν γεωργῶν ὀνομάζεται ἡ καρποφόρος καὶ καλλιεργουμένη· ᾗ ἀντίκεινται τὰ δασώδη *ὄρη*.

ἄκρη μέν τε φέρει βαλάνους, μέσση δὲ μελίσσας,
εἰροπόκοι δ' ὄϊες μαλλοῖς καταβεβρίθασι·
τίκτουσιν δὲ γυναῖκες ἐοικότα τέκνα τοκεῦσι·
θάλλουσιν δ' ἀγαθοῖσι διαμπερές· οὐδ' ἐπὶ νηῶν
νείσονται, καρπὸν δὲ φέρει ζείδωρος ἄρουρα.

233. *βαλάνους*] Οἱ Ἀρκάδες καὶ οἱ Πελασγοὶ ἤσθιον τὰς βαλάνους (Ἡρόδοτ. 1, 66) καὶ ἐπειδὴ νῦν εἰσέτι οἱ ἄγροικοι τρώγουσι τοὺς καρποὺς τῆς φηγοῦ (βελανιδιᾶς, Quercus ægilops καὶ Quercus ballota), οἱ Βοιωτοὶ κατὰ τοὺς παλαιοὺς ἐκείνους χρόνους ἴσως καὶ αὐτοὶ εἰς βαλάνους χάριν τινὰ ἠσθάνοντο. Ἀλλὰ ἐπίσης δυνατὸν Ἡσίοδον ἐκτιμᾶν τοὺς τῆς δρυὸς καρποὺς ὡς τρέφοντας τὰ πρόβατα (Αἰσωπ. Μύθ. Συναγ. 123, ἔκδ. Κορ., 378 Halm) καὶ τὰς ὗς (Πλιν. Φυσ. Ἱστ. 16, 6, 25). Οὐκ ἀποσιωπῶμεν δέ, ὅτι ἴσως καὶ ἐννοεῖ τὰ τῶν δένδρων ἐκφύματα, ἅτινα Θεόφραστος ἐν τοῖς περὶ φυτῶν ἀπαριθμεῖ (3, 7, 4 κἑ.)· ἠσθίοντο γὰρ καὶ αὐτὰ— πῶς γὰρ ἂν ἠπίστατο ὁ φιλόσοφος, ὅτι ἓν ἐξ αὐτῶν (§ 4) μελιτοειδὲς ἦν; Πρὸς τούτοις, οἱ ἐπὶ Κρήτης ποιμένες γεύονται τῶν τῆς Salvia pomifera παραφυμάτων (Siebert, Reise nach der Insel Kreta 1, 194). Τοῦτο καὶ πιθανώτερον τῆς πρώτης γνώμης, ἐπειδὴ βάλανοι, οἶμαι, πανταχοῦ τῆς Ἑλλάδος συχνάζουσιν. Τὸ δὲ τρίτον, ἂν *δρῦς* παραδεχώμεθα ἐν γένει *δένδρον* (Ἴδε Θ. 35), πρὸς ἐξήγησιν παρέχονται τὰ *ἀκρόδρυα* ἢ ὀπωρικά· ἥμερα δένδρα δηλαδὴ τότε οὐκ ἐφύοντο, ἀλλὰ συνέλεγον τοὺς ἀγρίους καρπούς. Πρόσκρουσμα ὅμως φαίνεται ἡ λέξις *βαλάνους*, ἧς ἡ σημασία, ὅσον γ' ἡμᾶς εἰδέναι, ἧττον γενικὴ ἦν. Ἔτι δὲ ἡ δρῦς ἐξαίρεται, ἅτε Διὸς οὖσα ἱερά.

*μελίσσας*] Αἱ μέλισσαι, ἐλεύθεραι οὖσαι, ἀναζητοῦσιν ὀπὰς (Ἴδε Θεογ. 594) ἢ κοῖλα δένδρα, διὸ ἔφυγον ἀπὸ τοῦ ἐν χρῷ κεκαρμένου Ὑμηττοῦ. Τούτου ἕνεκα αἱ λιτόταται κυψέλαι ἦσαν τμήματα στελεχῶν, ὅθεν Ὀφιτικῶς καλοῦνται *κορμερά*. Ἡ μελισσοκομία τότε ἄγνωστος ἦν· προστίθεμεν ὅτι κατὰ τὴν τῆς ἐπαναστάσεως ἐποχὴν πολλοὶ Ἕλληνες εἰσέτι (οἷον οἱ Μανιᾶται καὶ οἱ Τραπεζούντιοι) τὸ ἄγριον μέλι συνέλεγον.— Ὅτι θεοφίλητος ἀληθῶς ἡ χώρα, ὅπου γάλα καὶ μέλι ῥέουσιν, αὕτη καὶ Ἑβραϊκὴ (Β' Μωϋσ. 3, 8) καὶ Ἑλληνικὴ δοξασία (Εὐριπ. Βάκχ. 142. Θεοκρίτ. Εἰδύλλ. 5, 124, ἐκ τούτων καὶ Ὀβιδ. Μεταμορφ. 1, 111).

234. *εἰροπόκοι*] Ὁμηρικὸν ἐπίθετον (Ἰλ. Ε 137. Ὀδ. ι 443) παρὰ τὸ εἶρος (ἔριον). Τοῦ ἐρίου ἕνεκα ἡ τῶν προβάτων τιμή, ὡς εἴπομεν (120), μεγάλη ἦν. Ἡ μεταφορὰ ἐκίνησε τὸν ζῆλον τῶν μεταγενεστέρων (Διονύσ. Περιηγ. 1033: πώεα. . . . ἅδην βεβριθότα μαλλοῖς, Φίλων περὶ τῆς κοσμοπ. σ. 58: κριοὶ δὲ βρίθοντας βαθέσι μαλλοῖς ὑπόποκοι, Ἡλιόδωρ. 5, 14: εἶπεν ἄν τις αὐτὰ καὶ χρυσοῖς βεβριθέναι τοῖς μαλλοῖς).

*καταβεβρίθασι*] Καταπιέζονται ἀπὸ τῆς πυκνότητος· οἷον «ἄχθος οἱ μαλλοί» (Φιλοστράτ. Εἰκόν. 1, 9, σ. 387, 12: εἴπερ ὀρθῶς γέγραπται).

235. Τὸ ἐναντίον ἀνέγνωμεν 182, ἀφελέστερον. Ἡσίοδος κοσμεῖ τὴν ὑπόσχεσιν διὰ τοῦ ἀλληγορικοῦ σχήματος.

236. *διαμπερές*] Ἴδε Θ. 402.

*οὐδ' ἐπὶ νηῶν*] Ἐκ τῶν εὐτυχιῶν ἐνομίζετο τοῦτο, ὡς ἐμάθομεν ἐκ 45.

237. *νείσονται*] Ἔρχονται (φράσις ἐκ τῆς καθωμιλημένης διαλέκτου). Πρὸς

Οἷς δ' ὕβρις τε μέμηλε κακὴ καὶ σχέτλια ἔργα,
τοῖς δὲ δίκην Κρονίδης τεκμαίρεται εὐρυόπα Ζεύς.
Πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπεύρα,
ὅστις ἀλιτραίνει καὶ ἀτάσθαλα μηχανάαται.
Τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν, ἀποφθινύθουσι δὲ λαοί·
οὐδὲ γυναῖκες τίκτουσιν, μινύθουσι δὲ οἶκοι
Ζηνὸς φραδμοσύνῃσιν Ὀλυμπίου· ἄλλοτε δ' αὖτε
ἢ τῶνγε στρατὸν εὐρὺν ἀπώλεσεν ἢ ὅγε τεῖχος,

τὰ λοιπὰ παράθες 117· αἰτιολογεῖ διὰ τί οὐ χρῄζουσι ναυτιλίας.

238. Πρβλ. 124.

239. *δέ*] Ἐπαναλαμβάνει τὸ προηγούμενον *δέ*. Τὸ δεύτερον ἡμιστίχιον ἀπαντᾷ 229.

240. Πάλιν ὑπαινίττεται τοὺς βασιλεῖς.

*καί*] Καὶ μάλιστα.

* *ἀπεύρα*] Ἀπέλαυσεν· ὁ τύπος ἡρμήνευται εἰς Θ. 423.

241. Τὸ ἀκροτελεύτιον πεποίηται παρὰ τὸ Ὁμηρικὸν «ἀτάσθαλα (Πρβλ. Θ. 164) μηχανόωνται» (Ἰλ. Λ 695 κἑ.).

242. Πλημμύραι, νόσοι, λιμοὶ ὑπὸ τῶν ἡστινοσοῦν θρησκείας ὀπαδῶν δοξάζονται θεῖαι ζημίαι, πρβλ. Ἰλ. Α καὶ Π 384 κἑ. Πολιτ. Ἀθην. 2, 6: νόσους τῶν καρπῶν, αἳ ἐκ Διός εἰσιν. Καλλιμάχ. Ὕμν. 3, 123 κἑ. Σχόλ. Εὐριπ. Μήδ. 273 κἑ. Παρατίθεμεν μόνον τὴν τῶν Ἀμφικτυόνων κατάραν ὡς δημόσιον μνημεῖον τῶν προλήψεων (Αἰσχίν. 2, 111): «μήτε γῆν καρποὺς φέρειν μήτε γυναῖκας τέκνα τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα, μηδὲ βοσκήματα κατὰ φύσιν γονὰς ποιεῖσθαι, ἥτταν δὲ αὐτοῖς εἶναι πολέμου καὶ δικῶν καὶ ἀγορῶν, καὶ ἐξώλεις εἶναι καὶ αὐτοὺς καὶ οἰκίας καὶ γένους τὸ ἐκείνων». Πᾶς τις κατανοεῖ, ὅτι Ἡσίοδος ἐν τοῖς ἑπομένοις τὸν ἀναθεματικὸν τύπον παραφράζει.

242. *τοῖσιν*] Ἀναφέρεται εἰς τὴν περιληπτικὴν λέξιν *πόλις* ἢ εἰς 238-9.

*ἐπήγαγε*] Ὁ ἀόριστος γνωμικός.

243. *ἀποφθινύθουσι δὲ λαοί*] = Ἰλ. Ε 643. Πρὸς τὰ προηγούμενα ἔχει ὡς ἀποβαῖνον ἐκ τούτων.

244. *μινύθουσι δὲ οἶκοι*] Τὴν αὐτὴν συνέχειαν πρὸς τὴν ἔμπροσθεν πρότασιν ἔχει· ἐν ἄλλῃ σημασίᾳ κεῖται Ἰλ. Ρ 738.

245. Οὐ τυχαίως τοῦτο γίνεται, ἀλλ' ἐκ προνοίας τοῦ θεοῦ (Πρβλ. Θ. 626). Ἡ ἀτοκία ἐπίσης τῶν θείων βλαβῶν νομίζεται (Ἡρόδοτ. 6, 139. Γενέσεως κεφ. 20, 18, πρβλ. Βερναρδάκην εἰς Εὐριπ. Φοιν. 14).

*ἄλλοτε δ' αὖτε*] Πλείονες στίχοι Ὁμήρου π. χ. Ἰλ. Σ 159) οὕτω τελευτῶσιν.

246. *εὐρύν*] Τὸ ἐπίθετον οὐ πάνυ ἐπιτηδείως εἴληπται ἀπὸ τοῦ τῶν Ἀχαιῶν στρατοῦ (Ἰλ. Α 229 κἑ.).

*ὅγε*] Ἡ ἔκτακτος αὕτη θέσις ἀπαντᾷ καὶ 733, καὶ Ἰλ. Γ 403: εἰσόκε ἢ ἄλοχον ποιήσεται ἢ ὅγε δούλην, Ὀδ. 6 327.

*τεῖχος*] Δύο τῆς ἐξηγήσεως ὁδοὶ πάρεισι· τὸ μὲν *τεῖχος* ὠνομάζετο ἡ τετειχισμένη πόλις (ὥσπερ Σάρδεις «τὸ τεῖχος τῶν Λυδῶν» Ἡρόδοτ. 1, 83), τὸ δὲ τὰ χωρία ὑπερησπισμένα ἦσαν· ἤτοι διὰ πύργων ἢ δι' ἄλλων ὀχυρωμάτων, εἰς ἅτινα οἱ πολεμούμενοι κατέ-

ἢ νέας ἐν πόντῳ Κρονίδης ἀποτίνυται αὐτῶν.
  Ὦ βασιλεῖς, ὑμεῖς δὲ καταφράζεσθε καὶ αὐτοὶ
τήνδε δίκην· ἐγγὺς γάρ, ἐν ἀνθρώποισιν ἐόντες
ἀθάνατοι λεύσσουσιν, ὅσοι σκολιῇσι δίκῃσι
ἀλλήλους τρίβουσι, θεὸν ὄπιν οὐκ ἀλέγοντες.
Τρὶς γὰρ μυρίοι εἰσὶν ἐπὶ χθονὶ πουλυβοτείρῃ
ἀθάνατοι Ζηνὸς φύλακες θνητῶν ἀνθρώπων·
οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι πάντῃ φοιτῶντες ἐπ' αἶαν.
Ἡ δέ τε παρθένος ἐστὶ Δίκη, Διὸς ἐκγεγαυῖα,

φευγον. Καὶ δὴ Ἄσκραν «ἔκτισαν» Οἴοκλος καὶ οἱ Ἀλωέως παῖδες (Παυσαν. 9, 29, 1), οὐ πάντως ἀσχολούμενοι περὶ ξύλινα καλύβια, ἀλλὰ ἀνεγείροντες τεῖχος καθὼς κατὰ τὸν μῦθον Ζῆθος καὶ Ἀμφίων τὸ τῆς κώμης Εὐτρήσεως (Στέφαν. Βυζ. λ. Εὔτρησις) ἵδρυσαν. Πλούταρχος ὁ Βοιωτὸς ἀξιολόγως αὐξάνει τὴν περὶ τούτων τῶν ἀμνηστευμάτων γνῶσιν ἡμῶν τῷ διηγεῖσθαι (Ζητ. Ἑλλην. 37) ὡς Ποίμανδρος, ἐκδιωχθεὶς ὑπὸ τῶν Ἀχαιῶν ἐκ τῶν ἑαυτοῦ χωρίων, ἐπολιορκήθη ἐν τῷ καλουμένῳ «Στέφοντι», ὃ συνωνυμεῖ τῷ στεφάνη (στεφάνι). Τοιαῦτα τείχη ἀρχαιοπρεπῆ, ἅτινα ἔστεφον λόφον, μέχρι τοῦ νῦν οὐδεὶς ἀνίχνευσεν ἐντὸς τῶν ὁρίων τοῦ Ἑλληνισμοῦ εἰ μὴ ἐν τῇ πρὸς μεσημβρίας Ἰταλίᾳ, τῇ Μεγάλῃ Ἑλλάδι (ἔπιθι Richter ἐν τοῖς Denkmäler des klasischen Alterthums τοῦ Baumeister, σ. 1695-6)· οὐδὲν ἧττον δὲ τὴν ἐλπίδα οὐκ ἀποβάλλομεν, ἐπειδὴ καὶ ἐκεῖνα οὐχὶ πρὸ πολλοῦ ἀνευρέθησαν. Ὁμοίως τῷ Ἡσιόδῳ Ὅμηρος ταὐτὰ αἰνίττεται (Ἰλ. Δ 308: ὧδε καὶ οἱ πρότεροι πόλιας καὶ τείχε' ἐπόρθεον).

248. Συμπεραίνων ἀξίωμα ἐκ τῶν 238-47, ἐπιστρέφεται πάλιν πρὸς τοὺς βασιλεῖς ὅπως καταστοχασθῶσι τὸν ἑαυτῶν τρόπον.

*ὑμεῖς δέ*] Πρβλ. 213.

249. *τήνδε δίκην*] = 39.

Τὴν ἐξήγησιν τοῦ *ἐγγὺς* καὶ *ἀθάνατοι* Ἡσίοδος αὐτὸς ἀμέσως ἐπάγει.

250. *λεύσσουσιν*] Παρατηροῦσι τούτους ὅσοι σκολιῇσι δίκῃσι (=221) κτλ. Τὴν πανταχοῦ παρουσίαν καὶ τὴν πάντων γνῶσιν τῆς θεότητος παρέστησε δι' αἰσθητῶν.

251. *θεῶν ὄπιν οὐκ ἀλέγοντες*] Ἡσίοδος ἐδανείσθη ἐξ Ἰλ. Π 386· πρὸς τὸν νοῦν, ἔπιθι τὸν ὅμοιον στ. 187.

252. Πρβλ. 157.

253-55. Ἀναφέρονται εἰς 123-25, ἐξ ὧν δύο στίχοι ἐπαναλαμβάνονται. Ἐνταῦθα πάντως ἀπαραίτητοί εἰσιν, ἀλλὰ καὶ αὐτόθι καλῶς κεῖνται.

256. *Δίκη* συνεπῶς θυγάτηρ καλεῖται Διός ὡς προστάτου τοῦ δικάζειν. «*Παρθένος* δὲ εἶναι λέγεται κατὰ σύμβολον τοῦ ἀδιάφθορος εἶναι καὶ μηδαμῶς ἐνδιδόναι τοῖς κακούργοις μηδὲ προσίεσθαι μήτε τοὺς ἐπιεικεῖς λόγους μήτε παραίτησιν καὶ δέησιν μήτε κολακείαν μήτε ἄλλο μηδὲν τῶν τοιούτων». (Ὁ λόγος Χρυσίππου τοῦ Στωϊκοῦ, ὅνπερ Γέλλιος ἐν τῶν Ἀττικῶν Νυκτῶν 14, 4, 4 ἀναφέρει, ἐντεῦθεν δὲ ὠφελήθη Πλούταρχος ἐν τῷ πρὸς βασιλέα ἀπαίδευτον σ. 781 b καὶ ἐν τοῖς περὶ Ἡσιόδου, ὅθεν Πρόκλος τὸ ὁμοιόση-

κυδρή τ' αἰδοίη τε θεοῖς οἳ Ὄλυμπον ἔχουσι.
Καί ῥ' ὁπότ' ἄν τίς μιν βλάπτῃ σκολιῶς ὀνοτάζων,
αὐτίκα πὰρ Διὶ πατρὶ καθεζομένη Κρονίωνι
γηρύετ' ἀνθρώπων ἀδίκων νόον, ὄφρ' ἀποτείσῃ
δῆμος ἀτασθαλίας βασιλέων, οἳ λυγρὰ νοεῦντες
ἄλλῃ παρκλίνωσι δίκας, σκολιῶς ἐνέποντες.
Ταῦτα φυλασσόμενοι, βασιλῆες, ἰθύνετε μύθους
δωροφάγοι, σκολιῶν δὲ δικῶν ἐπὶ πάγχυ λάθεσθε.
Οἷ τ' αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,

μον σχόλιον ἠρύσατο καὶ Σουΐδας ὁ λεξικογράφος τῶν περὶ «Δίκης» τινά). Ὁρῶμεν ἄρα, ὅτι Ἡσίοδος, πλάσας τὴν ἀλληγορίαν ἐπέτυχεν· ἐκπρεπέστατον δὲ μιμητὴν εἶχεν Αἰσχύλον, παρ' ᾧ ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβας ταὐτὰ εὑρίσκομεν (664: Διὸς παῖς παρθένος Δίκη). Παράθες καὶ Ἄρατον (στ. 133 κέ.), Μακεδόνιον ἐπιγρ. 38, 1, Θεοφύλακτον Σιμοκάττην Ἐπιστ. 17 (:ἡ παρθένος Δίκη διέφθαρται).

257. *κυδρή*] Ἴδε Θ. 318.

Τὸ *αἰδοίη* ἐξαίρει ὁ θεῖος Πλάτων (Νόμ. 12, 943 e), καθότι «ψεῦδος αἰδοῖ καὶ δίκῃ νεμεσητὸν κατὰ φύσιν».

258. *σκολιῶς ὀνοτάζων*] Παρὰ τὸ ὀνο-τὸς καὶ ὄνο-μαι, οὗ ἡ κυρία σημασία οὐ διασεσαφήνισται. Συνώνυμον ὅμως ἡγούμεθα τὸ *σκολιῶς ἐνέποντες* (262).

259. Πρὸς τὴν ζωηρὰν ταύτην εἰκόνα Ἡσίοδος παρωτρύνθη διὰ τοῦ ἐπιθέτου *πάρεδρος Διός* (Πινδάρ. Ὀλ. 8, 28: Διὸς ξενίου πάρεδρος Θέμις, πρβλ. Σοφ. Οἰδ. Κολ. 1382: Δίκη ξύνεδρος Ζηνός, Δημοσθ. (;) 25,11: τὴν ἀπαραίτητον καὶ σεμνὴν Δίκην, ἣν . . . Ὀρφεὺς παρὰ τὸν τοῦ Διὸς θρόνον φησὶ καθημένην πάντα τὰ τῶν ἀνθρώπων ἐφορᾶν, Αἰλιαν. Ἀπόσπ. 25: ἀκούω δὲ αὐτὴν καὶ παρ' αὐτοῦ Διὸς καθῆσθαι θρόνῳ).

260. *γηρύετ'*] Γηρύεται (Πρβλ. Θ. 28). Οἱ ἀκολουθοῦντες στίχοι ἀφορῶσιν εἰς 240-1.

261. *ἀτασθαλίας*] = Ἀτάσθαλα 241.

*λυγρά*] Ἴδε 49.

262. *ἄλλῃ παρκλίνωσι*] Τὰ ἀπὸ τοῦ *ἄλλος* ἐπιρρήματα συχνάζουσι παρὰ τοῖς εὐφημοῦσιν. Πρότερον μὲν ἀπηντήσαμεν *σκολιός*, νῦν δὲ εὑρίσκομεν τὸ ἀνάλογον ῥῆμα.

*σκολιῶς ἐνέποντες*] Δικάζοντες ἢ ἀκριβέστερον, ἀποφαινόμενοι τὴν γνώμην καὶ κρίσιν. Ἡ διαδικασία δηλαδὴ ἀπὸ στόματος γίνεται.

263. Διὸ καὶ ἡ κρίσις ὀνομάζεται *μῦθος* ἀναλόγως τῷ Λακωνικῷ *ῥήτρα* ἤτοι νόμος (= ῥῆ-μα).

*ἰθύνετε*] Ἀντίκειται τῷ ἄρτι ἑρμηνευομένῳ ῥήματι.

264. *δωροφάγοι*] Ἴδε 39. Τἆλλα προσποιητά πως φαίνονται, ἐπειδὴ Ἡσίοδος φράσεως ἐπικῆς χρῆσιν ποιεῖται (Ἰλ. Κ 99: φυλακῆς ἐπὶ πάγχυ λάθωνται, Τυρταίου Ἀπ. 12, 17: φυγῆς ἐπὶ πάγχυ λάθηται).

265. Ἀλλὰ μὴ ἐλπίσητε ὡς τὴν ζημίαν φέρει μόνος ὁ δῆμος (261) οὐδὲ ἅμα ὑμεῖς, οἵπερ αὐτῷ κακῶν αἴτιοί ἐστε. Πλούταρχος ὡς Ἡσιόδειον ἀναφέρει ὁμοίαν γνώμην: «Ὃς δ' ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχει» (π. τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων κ. 9), ὃ Εὐστάθιος (Ἰλ. Ε 64) Καλλιμάχειον ἡγεῖται καὶ Λουκίλ-

ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας
καί νυ τάδ', αἴ κ' ἐθέλῃσ', ἐπιδέρκεται, οὐδέ ἑ λήθει,
οἵην δὴ καὶ τήνδε δίκην πόλις ἐντὸς ἐέργει.
Νῦν δὴ ἐγὼ μήτ' αὐτὸς ἐν ἀνθρώποισι δίκαιος
εἴην μήτ' ἐμὸς υἱός· ἐπεὶ κακόν, ἄνδρα δίκαιον
ἔμμεναι, εἰ μείζω γε δίκην ἀδικώτερος ἕξει·
ἀλλὰ τάγ' οὔπω ἔολπα τελεῖν Δία τερπικέραυνον.
Ὦ Πέρση, σὺ δὲ ταῦτα μετὰ φρεσὶ βάλλεο σῇσι,
καί νυ Δίκης ἐπάκουε, βίης δ' ἐπιλήθεο πάμπαν.
Τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων—

λιος εἰς ἐπίγραμμα (Ἀνθολ. Παλατ. 11, 183, 5) ἀφήρπασεν. Ἄλλος τις Ῥωμαῖος τὸν ἑπόμενον στίχον μετέφρασε· Malu'm consi'lium co'nsulto'ri péssimu'm(e)st (Γελλ. Ἀττ. Νύκτ. 4,5,5, πρβλ. Βάρρωνα Γεωργικ. 3, 2). Ὁ Σολομῶν εἰς τὴν γνώμην συγκατατίθεται (Παροιμ. 3, 5).

267. *Διὸς ὀφθαλμός*] Παρὰ τοῖς παλαιοῖς ἡ μεταφορὰ αὕτη οὐ τοσοῦτον ἐσύχναζεν, ὅσον παρὰ τοῖς Χριστιανοῖς *ὁ θεοῦ ὀφθαλμός*· πλὴν εὑρίσκεται ἐν ὑψηλῷ χορικῷ τοῦ ἐπὶ Κολωνῷ Οἰδίποδος (704-5) : ὁ εἰς αἰὲν ὁρῶν κύκλος μορίου Διός).— Ὁ ἀόριστος πρὸς τὰ μέχρι τοῦ τότε πραχθέντα.

268. *τάδε*] Κατ' εὐφημισμόν, καθάπερ τὸ τρίτον *τήνδε δίκην* (269, πρβλ. 39. 249).

269. *δὴ καί*] = καὶ δή, ἤτοι νῦν δή.

*πόλις*] Πρβλ. ἃ ἐσημειωσάμεθα ἐπὶ τοῦ ἀντικειμένου *αὖθι* 35.

*ἐντὸς ἐέργει*] Ἐντὸς τῶν τειχῶν ἔχει.

270. *Νῦν δή*] Ὀλίγον παραλλάττει τοῦ *δὴ καὶ* ἢ *καὶ δή*. Τοῦτο μὲν πρὸς τὰ τετελεσμένα σχέσιν ἔχει, ἐκεῖνο δὲ εἰς τὰ μέλλοντα ἀφορᾷ. Ἡσίοδος γὰρ ἀναπολεῖ τὴν ἀπὸ τοῦ 174 περιγραφὴν τῆς μελλούσης ἀναρχίας καὶ ἀνομίας. Ἐκ ταύτης γὰρ ἀρχόμενος, τῶν βασιλέων κατηγόρησεν.

272. *μείζω δίκην ἕξει*] Νικήσει.

273. *τελεῖν*] Ἀντιστοιχεῖ τῷ ἀνωτέρω *ἐς τέλος* (218).

*τερπικέραυνον*] Ἴδε 52.

Ἂν καὶ σκυθρωπῶς θεωρῇ τὰ πράγματα, ὅμως οὐκ ἐμπίπτει εἰς ἀσεβῆ ἀπιστίαν καὶ ἀπόγνωσιν, ἀλλὰ ἐν τῷ τοῦ κατηφοῦς κεφαλαίου πέρατι τὴν εὐσεβῆ ἐλπίδα καὶ πίστιν ἐκφράζει. Ὥσπερ τὸ προοίμιον ἀρχὴν ἔλαβεν ἐκ Διός, οὕτως εἰς αὐτὸν καταλήγει. Ἂν γὰρ διατάξαι θέλωμεν τὸ ποίημα, τὰ μέχρι τοῦ 273 ὀνομάσομεν προοίμιον ἢ προπαρασκευὴν τῶν παραινέσεων. Ἐν τοῖς ἑξῆς αἱ παραινέσεις ἄρχονται, καὶ πρῶτον μὲν (274-380) γενικώτεραι, αἵτινες στενῆς συνοχῆς κατὰ μέρος ἀμοιροῦσιν.

274. Ὁμοιάζει 107 καὶ 213. 275 δὲ 213 καὶ 264.

276. Οὐκ ἐπεράτωσε τὴν γνώμην, διότι παραβολὴ αὐτῷ ἐπῆλθεν, ἐξ ἧς ἐξῆλθε παροιμία «ἰχθύων βίον» (Πολύβ. 15,20,3)· τοῦτο διηκρίβωσεν Ὀππιανὸς ἐν τοῖς Ἁλιευτικοῖς (2,43 κἑ.), ἐτήρησαν δὲ οἱ Ἕλληνες δι' αἰώνων· νῦν δηλονότι λέγουσιν ἀναλόγως: «Τὸ μεγάλο ψάρι τρώγει τὸ μικρό».

ἰχθύσι μὲν καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς,
ἐσθέμεν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶν ἐν αὐτοῖς·
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη
γίγνεται· εἰ γάρ τίς κ' ἐθέλῃ τὰ δίκαι' ἀγορεῦσαι
γιγνώσκων, τῷ μέν τ' ὄλβον διδοῖ εὐρυόπα Ζεύς·
ὃς δέ κε μαρτυρίῃσιν ἑκὼν ἐπίορκον ὀμόσσας
ψεύσεται, ἐν δὲ δίκην βλάψας νήκεστον ἀασθῇ,
τοῦ δέ τ' ἀμαυροτέρη γενεὴ μετόπισθε λέλειπται·
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

277. *οἰωνοῖς πετεηνοῖς*] Τὸ ὄνομα διεκόσμησε κατὰ τὸν Ὁμηρικὸν τρόπον (: ὀρνίθων πετεηνῶν Ἰλ. Β 459. Ο 690).

279. *πολλὸν ἀρίστη*] Ἤτοι τὸ κάλλιστον δῶρον αὐτοῦ.

280. *ἐθέλῃ*] Πρβλ. 39.

*ἀγορεῦσαι*] Ἐνταῦθα κυρίως σημαίνει τὸ ἐν τῇ ἀγορᾷ, ἤγουν ἐν τῷ δικαστηρίῳ, λέγειν.

281. *γιγνώσκων*] Συνωνυμεῖ τῷ *ἑκών* (282).

*ὄλβον*] Ἴδε 172.

*διδοῖ*] Ἀντὶ τοῦ δίδωσιν, ὅπερ ὑπολαμβανόμενον ὡς διδεῖ, τὴν πρώτην ἀφορμὴν τοῦ ἐν τῇ συνηθείᾳ *δίδω* ἔδωκεν.

*εὐρυόπα*] Πρβλ. Θ. 514.

282. *μαρτυρίῃσιν*] Ἐν μαρτυρίᾳ τινί.

283. *ψεύσεται*] Ὁ ὑποτακτικὸς τοῦ ἀορίστου ἐσχημάτισται κατὰ τὸν ἀρχαϊκὸν τύπον.

*ἐν δέ*] Τὴν τῶν ἐννοιῶν συμπλοκὴν ἅμα καὶ τὸν τῆς προτάσεως νοῦν Μόσχος σαφῶς ἀποδεικνύει, ἐπιτεμὼν τοὺς στίχους τούτους (4,76): «Ὅς κε **μέγα βλαφθείς** τις ἑκὼν ἐπίορκον ὀμόσῃ». Τὸ *ἐν δὲ* οὐ διαφέρει πολὺ τοῦ ἁπλοῦ *καί*, ὡς ἐξάγεται ἐκ χωρίου μᾶλλον εὐκαταλήπτου τοῦ τῆς ἱστορίας πατρός (2,79): «ὥστε πολλὰ μὲν καὶ ἄλλα ἀποθαυμάζειν με τῶν περὶ Αἴγυπτον ἐόντων, **ἐν δὲ** δὴ καὶ τὸν Λίνον ὁκόθεν ἔλαβον». Τὸ ἐμφαντικὸν *νήκεστον ἀάσθη* ἴσως ἔλαβε παρὰ τοῦ ποιήσαντος τὸν εἰς Δήμητρα Ὕμνον, ὅπου (259) τὸ *νήκεστον ἀάσθης* εὐστοχώτερον κεῖται.

284. *δέ τ'*] Ἀνταποκρίνεται τῷ *μέν τ'* (281).

*ἀμαυροτέρη*] Κατὰ τὸν περιώνυμον χρησμόν, ὃς Γλαύκῳ ἐδόθη (Ἡρόδοτ. 6, 86, 3), ὁ τῆς ἐπιορκίας ἐκδικητὴς «πᾶσαν συμμάρψας ὀλέσει γενεὴν καὶ οἶκον ἅπαντα»· τούτοις ὁ θεὸς ἐπήγαγε τὸν ἑπόμενον στίχον. Ὅμοια ἀπειλεῖ ὁ Ψαλμῳδός (109, 13): «Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ».

285. Ἡ ἀντίθεσις ὑφ' Ἡροδότου ἀκριβέστερον ἐκτελεῖται ἤπερ ὑπὸ τῶν χρησμολόγων· οὐδενὸς ἧττον οὐ τολμῶμεν διϊσχυρίζεσθαι, ὅτι οὗτοι ἀπὸ τῶν Ἡσιοδείων ὠφελοῦντο, ἐπειδὴ ἐν τῷ ἀκολούθῳ στίχῳ ἄλλη ἀπήχησις χρησμοῦ ἀπαντᾷ. Λέγομεν τὴν προσφώνησιν *μέγα νήπιε*, ἥν, ὡς πάντες ἴσασι, Κροῖσος ἔπαθεν (Ἡρόδοτ. 1, 85). Οὐ θέλομεν καταβιβάσαι τὴν Ἡσιόδου χρονολογίαν ὑπὸ τὴν Κροίσου ἐποχήν, πολλοῦ γε καὶ δεῖ, ἀλλὰ αἱ φράσεις ἴσως παρὰ τοῖς Δελφοῖς πατροπαράδοτοι ἦσαν.

*ἀμείνων*] Τοῦτο εὔχεται πᾶς τις Ἕλλην· διὸ Ἕκτωρ ἐκφωνεῖ: «Καί ποτέ τις εἴποι: Πατρὸς ὅγε πολλὸν ἀ-

Σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω, μέγα νήπιε Πέρση.
Τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηϊδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐν αὐτὴν
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
ῥηϊδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.
Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσῃ,

μείνων». Οὐδὲ οἱ Σπαρτιᾶται ἠγανάκτουν ἐπὶ τοῖς νέοις, οἵτινες τοῖς γέρουσι καὶ ἀνδράσιν ἀντῆδον: « Ἁμὲς δέ γ' ἐσσόμεσθα πολλῷ κάρρονες» (Πλουτάρχ. Λυκοῦργ. 21).

286. Θέογνις χρῆται τῷ λόγῳ ὀλίγον μεταβεβλημένῳ (27): «σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι».

287. *ἰλαδόν* ] = Κατὰ ἴλας, ὡς Αἰλιανὸς ἐν τῷ Α' (κ. 16) περὶ ζῴων, ὃς περὶ ἰχθύων τὸν λόγον ποιεῖται. Πιθανῶς καὶ Ἡσίοδος εἰς τούτους ἀφορᾷ, ἐννοεῖ δὲ ἴσως καὶ τὸ αἱρεῖν πτηνὰ κατὰ σμήνη.

288. Τίς ἂν ἀγνοήσειε τὴν ὁμοίαν παραβολὴν τοῦ κατὰ Ματθαῖον εὐαγγελίου (ζ,' 13);

*λείη ὁδός*] Ἁμαξιτός, ὡς μανθάνομεν ἐξ Ὀδ. κ 103-4. Τὸ ἐναντίον *τρηχὺς* εὑρίσκεται 291.

289. *προπάροιθεν ἔθηκαν*] Διώρισαν ἱδρῶσαι πρὸ τοῦ ἀναβῆναι εἰς τὸ ἄκρον. Κόϊντος ὁ Σμυρναῖος τοῦτο ὀρθῶς ἐξεδέξατο λέγων: «Παῦροι δ' ἱερὸν οἶμον (πρὸς τὴν Ἀρετὴν) ἀνήϊον ἱδρώοντες» (5,56).

290. *ὄρθιος*] Ἀπότομος.

*οἶμος*] Ἀτραπός («μονοπάτι»).

*ἐν*] Ἴδε Θ. 487.

291. *ἐς ἄκρον*] Κατοικεῖ ἐπὶ ὄρους, ὅπερ Κέβης ἐξηκρίβωσεν ἐν τῷ Πίνακι. Ἐπειδὴ ἡ ἀλληγορία ὑπὸ τῶν φιλοσόφων ἐπατεῖτο, Λουκιανὸς (Ἀληθ. Ἱστ. 2, 18) σκώπτει τοὺς Στωϊκούς: «Ἔτι γὰρ ἐλέγοντο ἀναβαίνειν τὸν τῆς ἀρετῆς ὄρθιον λόφον». Πρὸς τοιουτοτρόπους ψυχρολογίας ἀντιτίθεμεν τὸ λαμπρὸν Σιμωνίδου ἀπόσπασμα (58): «Ἔστι τις λόγος ποτὲ τὰν Ἀρετὰν ναίειν δυσαμβάτους ἐπὶ πέτραις, νῦν δέ μιν θεῶν χῶρον ἁγνὸν ἀμφέπειν, οὐδ' ἁπαντᾶν βλεφάροις θνατῶν ἔσοπτον, ᾧ **μὴ δακέθυμος ἱδρὼς ἔνδοθεν μόλῃ, ἵκῃ τ' ἐς ἄκρον ἀνδρείας»**. Ἡ πλαστικὴ ἰδέα ἐξεγένετο ἐκ τῆς μεταφορᾶς «πρὸς *ἄκρον ἀρετᾶν* ἦλθον» (Πινδάρ. Νεμ. 6, 24), «ἀρετῆς εἰς ἄκρον ἱκέσθαι» (Τυρτ. Ἀπόσπ. 12,43).— Τὸ ἀκροτελεύτιον στερεότυπον (:ἄκρον ἱκέσθαι Ἰλ. Ψ 339. Ὀδ. ι 483. 540).

*ἵκηται*] Περὶ τῆς τοῦ τρίτου προσώπου χρήσεως εὑρήσεις σημείωσιν εἰς Θ. 437.

292. Ἡσίοδος ἐνταῦθα ἑαυτὸν ἐπιδεικνύει ἔμπειρον τῆς εὐρυθμίας. Ἐν τῷ 291 δηλαδὴ ἀπετύπωσε τὸν πόνον καὶ κάματον διὰ ὀγκωδῶν σπονδείων, νῦν δὲ καθαροὶ δάκτυλοι τὴν ἀνακούφισιν ἀντηχοῦσιν.

293. Ἐν τοῖς ἔμπροσθεν Ἡσίοδος τὰς δυσκολίας, ὧν διδάξειν μέλλει, οὐκ ἀπέκρυψεν· ἐνταῦθα δὲ φοβηθείς, ὡς φαίνεται, μὴ ἀποθαρρυνθῇ διὰ τούτων, ὁ ἀδελφὸς ἐπαινεῖ τοὺς ἐπιδεκτικοὺς ὠφελίμων συμβουλῶν. Ταὐτὰ καὶ ἀνάλογα παρὰ πολλοῖς εὑρίσκονται.

φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται·
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ.
Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς
ἐργάζευ, Πέρση, δῖον γένος, ὄφρα σε Λιμὸς
ἐχθαίρῃ, φιλέῃ δέ σ' ἐϋστέφανος Δημήτηρ
αἰδοίη, βιότου δὲ τεὴν πιμπλῇσι καλιήν·
λιμὸς γάρ τοι πάμπαν ἀεργῷ συμφόρη ἀνδρί.
Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργήν,

294. *φρασσάμενος*] Στοχασθείς.

*ἔπειτα*] Οὐχὶ μόνον παραχρῆμα, ἀλλὰ καὶ εἰς τὸ μέλλον.

*ἀμείνω*] Ὑπεννοεῖ, τῆς ὕβρεως.

297. *ἐν θυμῷ βάλληται*] Ἐπίσης Ἰλ. Ο 566 ἄρχεται: ἐν θυμῷ δὲ βάλοντο. Παράθες καὶ 274.

*δ' αὖτ'*] Ἀντιστοιχεῖ τῷ *δ' αὖ* (295) καὶ *μὲν* (293).

*ἀχρήϊος*] ἄχρηστος («τιποτένιος»).

298.-316. Ἐγκώμιον τῆς φιλοπονίας. Αἱ προφερόμεναι ῥοπαὶ καὶ ἀφορμαί εἰσιν αὗται α') τὸ τοῦ πατρὸς παράδειγμα (299)· β') ὁ τοῦ λιμοῦ φόβος (299-302)· γ') ἡ τοῦ ὀκνηροῦ ἀτιμία (303-6)· δ') ἡ πλούτου ἐλπίς (306-308)· ε') ἡ τῶν θεῶν καὶ ἀνθρώπων ὑπόληψις (309-316). Ἐναλλὰξ λοιπὸν διαδέχονται ἠθικαὶ καὶ ὑλικαὶ αἰτίαι.

298. *ἐφ-ε-τμή*] (Ἐντολή), ἐγένετο παρὰ τὸ ἐφίημι.

299. *δῖον γένος*] Ταὐτὸ βούλεται τῷ *διογενές*, ὥσπερ Ἰλ. Ι 538. Μὴ δὲ θαυμάσῃς, ὅτι ὁ γεωργοῦ υἱός τούτου τοῦ ὀνόματος ἀξιοῦται· οὐκ ἐν τῇ Ὀδυσσείᾳ ὁ συβώτης καὶ Φιλοίτιος *δῖοι* προσαγορεύονται;

*Λιμός*] Πρβλ. Θ. 227· χαρίεν τὸ ὅτι ὁ Λιμὸς τὸν εὔπορον μισεῖ.

300. *ἐϋστέφανος* ἢ *καλλιστέφανος* (Ὕμν. Δήμητρ. 268) Δημήτηρ ἐπικαλεῖται, καθότι οἱ θερισταὶ αὐτῇ ἀφιεροῦσι στεφάνους ἐκ σταχύων· διὸ καὶ οἱ ζωγράφοι τὸν τοιοῦτον κόσμον αὐτῇ ἀπονέμουσιν ὡς χαρακτηριστικὸν σύμβολον.

301. *βιότου*] Ἴδε 31.

*καλιήν*] Ἡ λέξις συγγενὴς οὐχὶ τῷ κᾶλον, ὡς Ἡσύχιος διατείνεται — τὸ Α γὰρ βραχύ —, ἀλλὰ τῷ κάλαμος, ὅθεν ἐμφαίνει ἄλλοθι μὲν τὰς τῶν πτηνῶν φωλεάς, ἐν δὲ τοῖς Ἔργοις ἤτοι τοὺς πλεκτοὺς καλάθους, ἐν οἷς τὸν σῖτον εἰς τὸν οἶκον ἐκόμιζον καὶ ἐφύλαττον, ἤ, — ἀλλὰ Δροσίνης αὐτός, οὗ αἱ Ἀγροτικαὶ Ἐπιστολαὶ (σ. 38) ἡμᾶς τοῦτο ἐδίδαξαν, ἐχέτω τὸν λόγον: « Πλησίον ἑκάστου ἀλωνίου κεῖται μικρὰ πλεκτὴ καλύβη, ἥτις χρησιμεύει ὡς ἀχυραποθήκη διὰ τὸν χειμῶνα».

302. * *συμφόρη*] Πρβλ. Θ. 593. Ὁμοίως Θέογνις (526) τῇ φράσει χρῆται: « Ἡ πενίη δὲ κακῷ σύμφορος ἀνδρὶ φέρειν». Πρὸς δὲ τὸ γένος, «λιμὸς θηλυκῶς λέγεται παρὰ τοῖς Δωριεῦσι» (Σχόλιον).

304. Παράθες Θ. 594 κἑ. Ἡ παρα-

οἵτε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες. Σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί·
ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε.
Καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισι
ἔσσεαι ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργούς·
ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος·
εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργὸς
πλουτεῦντα, πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ·
δαίμονι δ' οἷος ἔησθα, τὸ ἐργάζεσθαι ἄμεινον,

βολὴ ἀστείως πεπαρῴδηται ὑπ' 'Αριστοφάνους ἐν τοῖς Σφηξίν (1114 κέ.).

*κοθούροις*] Σύνθετον μετὰ τοῦ *οὐρά*, ὥσπερ κέρκουροι. Δηλοῖ τοὺς ἀκέντρους.

* *ὀργήν*] Δηλοῖ κατὰ τὴν παλαιὰν διάλεκτον ὁτιοῦν ἦθος ἢ θυμόν.

305. *κάματον*] "Ιδε Θ. 699.

*τρύχουσι*] Καταναλίσκουσιν.

306. *ἔσθοντες*] 'Επάγει μετ' ἐμφατικοῦ πλεονασμοῦ πρὸς τὸ ἀεργοί.

*φίλ'*] Ἡ σύνταξις ἡ αὐτή, ὥσπερ 'Οδ. ρ 15: ἦ γὰρ ἐμοὶ φίλ' ἀληθέα μυθήσασθαι. 'Αντὶ τοῦ λέγειν· Φίλον ἐστὶ (τὸ) κοσμεῖν ἔργα μέτρια, προσωπικῶς εἴρηται. "Εργα μέτριά ἐστι φίλα (πρὸς τὸ) κοσμεῖν.

*μέτρια*] "Αμα τὸ πολυθρύλητον 'Ελληνικὸν μέτρον αἰνίττεται καὶ ὅσα ὁ 694 στ. ὑποδηλοῖ.

*κοσμεῖν*] Κοσμίως ἐκτελεῖν, ὡς 'Οδ. η 13: δόρπον ἐκόσμει.

307. *ὡραίου βιότου*=32.

*καλιαί*] "Επιθι τὴν εἰς 301 σημείωσιν.

308. *πολύμηλοι*] "Ιδε 120.

311. *ἔργον*] 'Επειδὴ ἦσαν οἱ ἐπήνεσαν τὸν ποιητὴν ἕνεκα τῆς ἐλευθεροδοξίας ὡς μὴ ἐκφαυλίζοντα τὰς «βαναύσους» τέχνας, παρατηροῦμεν, ὅτι *ἔργον* καθ' αὐτὸ ἐν τοῖς "Εργοις οὐδὲν ἐμφαίνει εἰ μὴ τὴν γεωργίαν. Πρὸς τούτοις 'Αριστοτέλης παραδίδωσιν, ὅτι οἱ Θεσπιεῖς πολὺ μᾶλλον τῶν πλείστων 'Ελλήνων τὰς τέχνας ἤκμαζον· τοῖς πολίταις γὰρ ἀπηγορευμένον ἦν τὸ χειρωνακτεῖν ('Αριστοτέλ. Πολιτ. 3, 3,4).

312. Πρβλ. 23-4.

313. *ἀρετὴ καὶ κῦδος ὀπηδεῖ*] Κατὰ τὴν σύνεσιν οὐ παραλλάσσει τοῦ ***τιμὴ*** *καὶ κῦδος ὀπηδεῖ* 'Ιλ. Ρ 251 (Πρβλ. Π 84. 'Οδ. ξ 402: εὐκλείη τ' ἀρετή τε). Περὶ τῆς ἀρετῆς χρώμεθα τῷ Πλουτάρχου ὁρισμῷ (Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν 6): «Καὶ τὸ *πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ*, μὴ καθήσθω τοὺς πλουσίους ἐκπεπληγμένους καὶ τεθηπὼς καθάπερ ὤνιον εὐθὺς ἀργυρίου τὴν ἀρετὴν ἔχοντας, μηδ' ἐπὶ τῇ τύχῃ κεῖσθαι τὴν αὐτοῦ φρόνησιν αὔξειν ἢ κολούειν νομίζων· ἀλλ' ἀντὶ δόξης ἢ δυνάμεως ἢ εὐτυχίας ἤ τινος ὁμοίου τῇ ἀρετῇ κεχρῆσθαι τὸν ποιητὴν ἡγείσθω». 'Αρετὴ δηλαδὴ κυρίως λέγεται παρὰ τὸ ἀρέσκω. Διὸ Θέογνις σχηματίζει τὴν ὁμόφωνον φράσιν: «ἀρετὴ καὶ *κάλλος* ὀπηδεῖ» (933).

314. *δαίμονι δ' οἷος ἔησθα*] «'Οποῖος ἂν ἑκάστῳ τυγχάνῃ βίος ἀποδεδομένος» (Σχόλ.) ἤτοι, ἄν τε εὐδαίμων ἄν τε κακοδαίμων ᾖ. "Αν ὅμως γράφωμεν *ἔησθα*, *δαίμονι* λαμβάνομεν ὡς δαήμονι ἢ ἐχέφρονι (Πρβλ. 'Αρχίλοχον

εἴ κεν, ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμὸν
εἰς ἔργον τρέψας, μελετᾷς βίου, ὥς σε κελεύω.
Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
αἰδώς, ἥτ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι·
αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ.
Χρήματα δ' οὐχ ἁρπακτά, θεόσδοτα πολλὸν ἀμείνω·
εἰ γάρ τις καὶ χερσιβίῃ μέγαν ὄλβον ἕληται

παρὰ Πλουτ. Θησ. 5. Πλάτ. Κρατύλ. σ. 398 6. Ἐτυμ. Μέγ. σ. 35, 24).

315. Θέογνις (1149) πρὸς τὴν ἐναντίωσιν ὠφελήθη ἀπὸ τοῦ στίχου: αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα.

*ἀεσίφρονα*] Ἤτοι ἀπὸ τοῦ *ἄημι*, ὥστε σημαίνειν «ματαιόφρων» ἢ ἀπὸ τοῦ Ὁμηρικοῦ *ἄεσα* (ἐκοιμήθην), ὥστε ἡ λέξις οὕτως ἔχει ὥσπερ τὸ Παύλου πρὸς τοὺς Ῥωμαίους (13, 11): «Ὥρα ἤδη ὑμᾶς ἐξ ὕπνου ἐγερθῆναι».

316. *μελετᾷς βίου*] Μετὰ τῆς γενικῆς συντάσσεται κατὰ τὸ συνώνυμον «σὲ μέλει βίου» ἢ «φροντίζεις βίου».

317. Ἀναφέρεται εἰς 311. Μεταχειρίζεται τὴν λέξιν *αἰδώς*, διότι πρὸ αὐτοῦ Ὅμηρος εἶπεν (Ὀδυσσ. ρ 347): Αἰδὼς οὐκ ἀγαθὴ κεχρημένῳ ἀνδρὶ παρεῖναι, ἀνατρέπει ὅμως τὴν ὑπόνοιαν ἄρδην· Ὁμήρου γὰρ εἰπόντος ὅτι «κέρδος αἰσχύνης ἄμεινον», «Ντροπαλὸς διακονιάρης ἔχει τὸ σακκούλι του ἀδειανό» (Ἀραβαντ. 430): «Ὅποιος ἐντρέπεται, πολλὰ καλὰ στερεύεται» (938): «Ἡ ἐντροπίτσα τρώγει πετρίτσα» (1655), Ἡσίοδος διακρίνει παραλλήλως τῇ διπλῇ Ἔριδι αἰδῶ μὲν ἀγαθὴν ἥτις τοὺς ἄνδρας «μέγα ὀνίνησι», αἰδῶ δὲ οὐκ ἀγαθὴν ἥτις αὐτοὺς σίνεται. Εὐκρινέστερον λέγει ὁ σοφὸς Σειρὰχ (4,21): «Ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν καὶ ἐστὶν αἰσχύνη δόξα καὶ χάρις». Καὶ Θουκυδίδης (5, 111, 3): τὴν κακὴν αἰσχύνην μεμψιμοιρεῖ ὡς «ἐν τοῖς αἰσχροῖς καὶ προύπτοις κινδύνοις πλεῖστα διαφθείρουσαν ἀνθρώποις».

*κομίζει*] Περιποιεῖται, οἷον λέγομεν **νοσοκομέω**.

318. Ἐκτὸς τῆς πρώτης λέξεως οὐκ ἐστὶν Ἡσιόδου, ὃς αὐτολεξεὶ τὸν στίχον ἠρύσατο ἐκ τῆς Ἰλιάδος (Ω 45)· οὐ μέν τοι περιττός, ἵνα μὴ κατηγορήσῃ τις ἐναντιολογίαν τοῦ ποιητοῦ.

319. *τοι*] Τὸ μόριον ἐντείνει.

*πρὸς ἀνολβίῃ*] Πρόσεστι τῇ πενίᾳ.

*θάρσος*] Ἡ εἴτε καλὴ εἴτε κακὴ αὐταρέσκεια.

320. «Ἀφοῦ δὲ εἶπον *θάρσος*, μοὶ ἀντιτάσσεις ἴσως· Ἀφ' οὗ δύναμαι πλούσιος γενέσθαι ἀπὸ θράσους ὥσπερ μέχρι νῦν προυθυμήθην;» Πρὸς τοῦτο ὁ ποιητὴς ἐν τοῖς 320-326 λογομαχεῖ, ἅπερ Θέογνις (199 κέ.) μετὰ ζήλου ἀνέγνω.

*θεόσδοτα*] Ἐσχημάτισται κατὰ τὸ Διόσδοτος.

321. *χερσιβίῃ*] Χειροκρατίᾳ· τὸ ἀνάλογον *χερσιμαχία* ἀντιγραφεῖς παρέχουσι Πλάτ. Νόμ. 1,633 b, παράθες δὲ *ἁρματινίκα* (Πινδάρ. Πυθ. 6,17) καὶ ἰχθυσιλη-*ιστῆρα* (Λεωνίδ. Ταραντ. ἐπιγρ. 91). Οἱ μὲν κριτικώτατοι τὴν διαίρεσιν αὐτῶν ἀξιοῦσιν, ὁ δὲ φροντίζων περὶ τῆς ὡς εὐκολωτάτης ἀναγνώσεως τοσούτῳ μᾶλλον τὴν συστολὴν προτιμήσει, ὅσῳ πάμπολλοι δοτικαὶ μετ' ὀνομάτων συνεφύησαν.

ἢ ὅγ' ἀπὸ γλώσσης ληΐσσεται, οἷάτε πολλὰ
γίγνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ,
ῥεῖα δέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκον
ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
Ἶσσον δ' ὅς θ' ἱκέτην ὅς τε ξεῖνον κακὸν ἔρξῃ,
ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνῃ
κρυπταδίῃς εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων,
ὅς τέ τευ ἀφραδίῃς ἀλιταίνεται ὀρφανὰ τέκνα,

322. *ἀπὸ γλώσσης*] Διὰ ἐπιορκίας. *Ληΐσσεται* (ὁ τοῦ ἀορίστου ὑποκείμενος) σκυλεύσῃ· ἡ Ἡσιόδου οἰκεία μεταφορὰ ἀπαντᾷ τὸ δεύτερον στ. 702.

*οἷά τε πολλὰ*] *γίγνεται*=Ὀδ. λ 536.

324. *κατοπάζῃ*] Τὸ στάδιον καὶ ταύτην τὴν εἰκόνα ἐχορήγησεν, ὅπως 218. Ἡ ἀναίδεια παρατρέχει καὶ ἀπολείπει τὴν αἰδῶ. Ἄλλη ὅμως ἐξήγησις *ὠθεῖ ὀπίσω*) στηρίζεται ἐπὶ τῆς Ὁμηρικῆς χρήσεως (Ἰλ. Θ 341: ὡς Ἕκτωρ ὤπαζε κάρη κομόωντας Ἀχαιούς). «Θεὸς ἡ Ἀναίδεια» τὸ λεγόμενον, οὐχ ἧττον ἤπερ ἡ Αἰδώς (Ζηνοβ. Παροιμ. 4, 36).

325. *ῥεῖα*] Πρβλ. Θ. 254. Ἐντεῦθεν ἡ ἀπόδοσις ἄρχεται. Τὸ *δὲ* κατὰ τὴν ποιητικὴν σύνταξιν προστίθεται.

*μαυροῦσι*] Ἐπανάγει τὸν ἀναγνώστην πρὸς στ. 284 (:ἀμαυροτέρη).

*μινύθουσι*] Πρβλ. 6.

326. *παῦρον*] Ἴδε Θ. 780.

*ὄλβος ὀπηδεῖ* (=Θεόκριτ. 17, 75). Τὸ ῥῆμα ἐξηγήθη εἰς Θ. 80.

327. *Ἶσσον*] Ἴσον αὐτοῖς .... Τί ὑπεννοεῖται, συμπεραίνομεν ἐξ Ὀδ. ο 72-3: Ἶσσον τοι κακόν ἐσθ', ὅς τ' οὐκ ἐθέλοντα νέεσθαι ξεῖνον ἐποτρύνει καὶ ὃς ἐσσύμενον κατερύκει.—Τὴν συνέχειαν τῶν γνωμῶν Ἡσίοδος αὐτὸς δεδήλωκεν ἱκανῶς.

*ὅς*] Ἅ τις, ὡς Θ. 419.

Καὶ ἐνταῦθα χρῆσιν ποιεῖται τοῦ τῶν ἐννοιῶν χιασμοῦ, καθότι ἀλλάσσει ἁμαρτίας πρὸς τοὺς ξένους καὶ πρὸς τοὺς οἰκείους, ἐκείνοις μὲν μονάδας στίχων ἀπονέμων, τούτοις δὲ δυάδας.

*ἱκέτην*] Ὅστις ἂν καταφύγῃ πρὸς βωμόν, φυγὰς τὰ μάλιστα ὧν ἕνεκα φόνου· ἐπειδὴ τοῖς συγγενέσιν ἡ φόνου ἐκδίκησις συνεχωρεῖτο. Τὸ ἔθος τοῦτο ἐν Ἑλλάδι τοσοῦτο ἐρριζοβόλησεν, ὥστε ἐν τοῖς ἀποκέντροις ὄρεσι τῆς Λακωνικῆς καὶ Κρήτης διήρκεσε μέχρι τοῦ καθ' ἡμᾶς αἰῶνος. Πάντοτε ὅμως ἡ θρησκεία ὑπερήσπισε τρόπον τινὰ τὸν πρόσφυγα· διὸ Ζεὺς προσεκαλεῖτο *ἱκέσιος* ἢ *ἱκετήσιος*, ὥσπερ καὶ *ξένιος*.

328. Ζεὺς ἐπίσης φυλάσσει τὰ τῆς συγγενείας δεσμὰ ὡς *ὁμόγνιος*.

329. Τῆς συμμετρίας χάριν Ἡσίοδος διεκτείνει τὸ κῶλον· ἤρκεσεν ἂν ὅ,τι ὁ Φωκυλίδην ὑποκρινόμενος Ἑβραῖος παρέχει (194): Μηδὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν. Προσέθηκε λοιπὸν πρῶτον **κρυπταδίῃς εὐνῆς*, καθάπερ ὁ Εὐριπίδειος χορὸς ᾄδει (Ἠλέκτρ. 720): κρυφίαις γὰρ εὐναῖς πείσας ἄλοχον φίλαν Ἀτρείδα, πρὸς τούτοις δὲ τὸ ἄτονον *παρακαίρια ῥέζων* («παραφύσικα» δηλαδή).

330. *Τευ*-(τινός)] Συντακτέον μετὰ τοῦ τέκνα.

*ἀλιταίνεται*] Ἴδε 241.

ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσι·
τῷ δ' ἤτοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν·
ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσίφρονα θυμόν.
Κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσι

331-2. Συλλαμβάνουσι τὰ ἐν 185 κἑ. περιεχόμενα.

*ἐπὶ γήραος οὐδῷ*] Ὁμήρῳ κατ' εὐφημισμὸν εἴρηται ἀντὶ τοῦ ἐπὶ τῷ βίου οὐδῷ (Ἰλ. Χ 60. Ω 487. Ὀδ. ο 348. Ὕμν. 4, 106 κἀ.), ηὔξηται δὲ τῷ ἐπιθέτῳ· ὅτι γὰρ τὸ γῆρας κακόν, τοσούτῳ μᾶλλον ὁ πατὴρ ἐλέου ἄξιός ἐστιν.

332. *καθαπτόμενος ἐπέεσσι*] Κυρίως σημαίνει· ψαύων λόγοις, καθότι ἐντύπωσιν ἤτοι ἠδεῖαν (οἷον Ὀδ. κ 70: μαλακοῖσι καθαπτόμενος ἐπέεσι) ἢ δυσάρεστον καταλείπουσιν.

333. *αὐτός*] Ζεὺς αὐτὸς ὀργισθεὶς τιμωρεῖ τοὺς παραβάτας οὐχὶ φύλακες αὐτοῦ. Τὰ κακουργήματα ταῦτα, Χριστιανικῶς εἰπεῖν, «βοῶσι πρὸς τὸν οὐρανόν». Περίεργον ἐκ πρώτης ὄψεως, ὅτι ὁ προαιρετὸς φόνος ἀποσιωπᾶται. Ἀλλὰ τοῦτον, ὡς εἴπομεν, οἱ συγγενεῖς ἐτιμώρουν, μὴ προσμένοντες τὴν θείαν ἐκδίκησιν.

*ἐς δὲ τελευτήν*] Τοῦτο ἀκόπως ἐπαναλαμβάνει (ἴδε 218).

334. *χαλεπήν*] Δύσφορον.

*ἐπέθηκεν*] Γνωμικῶς.

335. Διὰ τούτων ἐπιστρέφεται πρὸς 315-6. Οὐκ ἤδη ὅμως ἐπιχειρεῖ τοῖς **ἔργοις,** ἀλλὰ προτάσσει, ὡς εἰπεῖν, τὰ τῆς εὐτυχίας προερείσματα, εὐσέβειαν (336-41), φιλίαν (342-60. 370-2), οἰκιακὴν εὐταξίαν (373-80), περιδεξίως δραττόμενος τῆς εὐκαιρίας τοῦ ἐγκωμιάζειν ἅμα τὴν οἰκονομίαν (361-9).

336. *Κὰδ δύναμιν*] Ἐκ τῶν ἐνόντων. Σωκράτης τοῦτον τὸν στίχον συχνάκις διὰ στόματος εἶχε καὶ ἐσχολίαζεν (Ξενοφ. Ἀπομνημ. 1, 3, 3).

Τὸ ἀπαρέμφατον ἐν πολλαῖς παραινέσεσιν εὑρήσομεν ἀντὶ τοῦ προστακτικοῦ, ἐπειδὴ κατ' ἀρχὰς πτῶσις ὀνόματος ῥηματικοῦ ἦν, σημαίνουσα τὴν φοράν.

336. *ἁγνῶς καὶ καθαρῶς*] Ἀπαντᾷ Ὕμν. Ὁμηρ. 1, 121 (: λόον ὕδατι καλῷ ἁγνῶς κ. κ.) καὶ ἐν τρισὶ χρησμοῖς· α') Εὐσεβ. Παρασκ. Εὐαγγ. 5,28 σ. 225 b· β') παραφλέγοντι ἐν τῷ περὶ θαυμασίων 10· γ') Σχόλ. Εὐριπ. Φοιν. 608 = Ἀριστοφάν. Βάτρ. 1249 στ. 14. Αἱ αὐταὶ λέξεις ὅμως ὑπὸ ἄλλων ἄλλως ἐλαμβάνοντο. *Καθαρῶς* μὲν εὔδηλον, διότι ἔξισμεν, ὅτι οἱ παλαιοὶ πρὸ τῆς εὐχῆς τὰς χεῖρας ἔλουον (Ὀδ. β 261: χεῖρας νιψάμενος πολιῆς ἁλὸς εὔχετ' Ἀθήνῃ, μ 336 κἀ.)· ὅθεν οἱ Χριστιανοὶ ἐν ταῖς τῶν ἐκκλησιῶν εἰσόδοις τοὺς καλουμένους λουτῆρας ἢ ἁγιασμοὺς ἀνήγειραν (ἴδε τὸν Thesaurum τοῦ Suicerus). Ἀλλὰ τί βούλεται τὸ *ἁγνῶς;* Ἐπὶ τοῦ ἐν Ἐπιδαύρῳ ναοῦ ἐπεγέγραπτο (Κλήμ. Ἀλεξ. Στρωμ. 5,1, σ. 652. Πορφυρ. π. ἀποχ. 2,19, σ. 136): «Ἁγνὸν χρὴ ναοῖο θυώδεος ἐντὸς ἰόντα ἔμμεναι· ἁγνείη δ' ἐστὶ **φρονεῖν ὅσια**». Ταῦτα γενναῖα μέν, ὡς πρὸς τὸν Ἡσίοδον ὅμως ἄγαν ἀφῃρημένα. Ὑλικώτερον λαμβάνομεν τὴν λέξιν ἐπὶ τῆς *ἁγνείας* ἢ ἀκεραιότητος τῶν θυμάτων (Πλάτ. Νόμ. Ι', σ. 909 d).

*ἀγλαὰ μηρία*] Ἀντιστοιχεῖ τῷ Ὁμηρικῷ «πίονα μηρία» (Θέογνις δὲ ἠκολούθησε τῷ Ἡσιόδῳ: καὶ ἀγλαὰ μη-

ἁγνῶς καὶ καθαρῶς, ἔπι δ' ἀγλαὰ μηρία καίειν·
ἄλλοτε δὲ σπονδῇσι θύεσσί τε ἱλάσκεσθαι,
ἠμὲν ὅτ' εὐνάζῃ καὶ ὅτ' ἂν φάος ἱερὸν ἔλθῃ,
ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσι,
ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.
Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι,
τὸν δὲ μάλιστα καλεῖν, ὅστις σέθεν ἐγγύθι ναίει·
εἰ γάρ τοι καὶ χρῆμ' ἐγκώμιον ἄλλο γένηται,
γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί·
πῆμα κακὸς γείτων ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ,

ρία καίων 1145). Πῶς ἐννοητέον *μηρία* Θ. 541 καὶ 557 δεικνύουσιν.

338. *σπονδῇσι*] Οἴνῳ.

*θυέεσσι*] Θυμιάμασιν. Ναὶ μὲν λιβανωτὸν τότε οὔπω εἶχον· ἡ Ἑλλὰς ὅμως καὶ ἄλλα προφέρει.

*ἱλάσκεσθαι*] Τοὺς θεούς (πρβλ. Θ. 91. 417). Ἡ φράσις διασαφηνίζεται ἐκ τοῦ 340 στ.

339. *φάος ἱερόν*] Ἡλίου. Τῆς μὲν ἑσπέρας ἡ σπονδὴ ἀπετέλει τὸ τοῦ δείπνου πέρας, τὸ δὲ πρωῒ διεμέριζον μετὰ τῶν θεῶν τὸ ἀκράτισμα.

341. *κλῆρον*] Ἴδε 37.

342. Τὴν συνάφειαν τῶν στίχων πολὺ ἐπιτηδείαν θεωροῦμεν, ἐπειδὴ τὴν *δαῖτα* τὰ μάλιστα ἀφορᾷ τὰ ἱερὰ ἀπὸ ζῴων τυθέντων δεῖπνα. Οἱ Ἕλληνες οὐχ ἥδοντο μονήρεσι δείπνοις καὶ ἔψεγον τοὺς μὴ προσκαλέσαντας φίλον. Διὸ τὸ μὴ προσκαλεῖσθαι ἦν σημεῖον τῆς ἀπαξιώσεως ἢ τῆς μὴ φιλίας, ὡς Πλούταρχος δεισιδαιμ. 10, ἀλλὰ τοῦτο ἐννοεῖται καὶ δίχως μαρτύρων.

*ἐᾶσαι*] «Χαίρειν ἐᾶν» ἐκέλευον οἱ Ἀττικοί.

344. *χρῆμ'*] Χρεία, κατὰ τὴν κυρίαν σημασίαν, ἤτοι πρᾶγμα.

*ἐγκώμιον*] Ἐν τῇ κώμῃ. Ἄσκρα δηλαδὴ κώμη ἢ χωρίον ἦν.

*ἄλλο*] Πλεονάζει Ἑλληνικῶς.

345. *ἄζωστοι*] Ἡ σπουδὴ ἐναργέστερον παρασταθῆναι οὐκ ἐδύνατο ἢ διὰ τοῦ ὅτι οὐ λαμβάνουσι καιρὸν πρὸς ζῶσιν τῆς ἐσθῆτος, ἀλλὰ ἄζωστοι ἐπέρχονται. Ἐπὶ γυναικῶν εὐπρεπέστερον λέγεται *ἀπέδιλος* (Αἰσχύλ. Προμηθ. 135, πρβλ. Θεόκριτ. 24, 36: ἄνστα μηδὲ πόδεσσι τεοῖς ὕπο σάνδαλα θείης).

*πηοί*] Οἱ προσήκοντες. Ἡσίοδος οὐκ αὐτογνωμόνως τούτους κατακρίνει· συμφωνοῦσι γὰρ παροιμίαι (Πλανουδείου Συλλογῆς 116 b: μετὰ προσήκοντός σοι φάγε καὶ πίε, συνάλλαγμα δὲ μὴ ποιήσῃς, Ἀραβαντ. 727: μὲ τὸν 'δικόν σου φάγε καὶ πιὲ καὶ συντροφιὰ μὴν κάμῃς)· καὶ νοστιμώτατος μῦθος Αἰσώπειος, ὃν Γέλλιος ἐν ταῖς Ἀττικαῖς Νυξὶ (2,29) Λατινιστὶ ἔσωσεν.

346. *μέγ' ὄνειαρ*] = 41. Καὶ τοῦτο παροιμιάζεται ὑπὸ τῶν καθ' ἡμᾶς (κάλλιο κακὸς χρόνος παρὰ κακὸς γείτονας, διότι: «Ὁ κακὸς χρόνος περνᾷ κὴ ὁ κακὸς ὁ γείτονας μένει». Ἀραβαντ. 854, ὁ σταλαῖτός καὶ ὁ κακὸς γείτονας βγάνει τὸν ἄνθρωπο ἀπὸ τὸ σπίτι Νεοελλ. Ἀν. Α΄, σ. 152, ἀρ. 187: Κὴ ἂν ἦναι κακογείτονας, κακὴ φωτιὰ ν' τὸν καύσῃ. Ἑλλην. Φιλολ. Σύλλ. Η΄, σ. 423) καὶ παρὰ τοῖς Βυζαντίνοις (ἐν τοῖς Ψευδοπλάτωνος Νόμοις, οὓς Πίκκολος ἐν τῷ Supplément de l'Anthologie grec-

ἔμμορέ τοι τιμῆς ὅστ' ἔμμορε γείτονος ἐσθλοῦ,
οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη·
εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι,
αὐτῷ τῷ μέτρῳ, καὶ λώϊον, αἴ κε δύνηαι,
ὡς ἂν χρηΐζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς·
μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἀάτῃσι.
Τὸν φιλέοντα φιλεῖν, καὶ τῷ προσιόντι προσεῖναι·

que σ. 214 ἐξέδωκε: φοβοῦ σκαιοὺς γείτονας καὶ ζηλοτύπους).

347. *ἔμμορε τιμῆς*] Ἡ τῆς κτήσεως τιμὴ αὐξάνεται. Παραδείγματος χάριν ὁ Πλούταρχος (Ἀποφθέγμ. βασιλ., σ. 185 e καὶ ἐν τοῖς Πρόκλου σχολίοις) διηγεῖται, ὅτι «Θεμιστοκλῆς χωρίον πιπράσκων, ἐκέλευσε κηρύττεσθαι, ὅτι ἀγαθὸν ἔχει γείτονα». Ἦττον χρηματικῶς οἱ λυρικοὶ τὴν αὐτὴν γνώμην ἐκφράζουσιν (Ἀλκμ. Ἀπόσπ. 50: μέγα γείτονι γείτων, Πίνδαρος Νεμ. 7, 87: φαῖμέν κε γείτον' ἔμμεναι νόῳ φιλήσαντ' ἀτενέϊ γείτονι χάρμα πάντων ἐπάξιον).

348. *ἀπόλοιτ'*] Ἤτοι κλέπτοιτο. Ἡρακλείδης ὁ Ποντικὸς ἐν ταῖς Πολιτείαις (11, 4) ἄλλους τε νόμους τῶν Κυμαίων καταλέγει καὶ τὸν ἑπόμενον: «Ἔθος ἦν αὐτοῖς εἰς τὰ **κλοπιμαῖα** συμβάλλεσθαι τοὺς γείτονας· διὸ καὶ ὀλίγα **ἀπόλλυνται**· πάντες γὰρ ὁμοίως ἐτήρουν» (Πρβλ. τὸ Πρόκλου σχόλιον). Ὃ ἀξιολογώτατον, ἐπειδὴ ὁ Ἡσιόδου πατὴρ Κυμαῖος ἦν. Ζῳοκλόποι πάλαι ποτὲ ὑπῆρχον πολλοὶ καὶ ἀξιότιμοι· ὅθεν ἡ ζῳοκλοπία καὶ τοὺς ἥρωας αὐτῆς εἶχε, τὸν νέον Ἑρμῆν δῆθεν καὶ τὸν Ἡρακλέα.

349. *μετρεῖσθαι*] Ταὐτὸ βούλεται ὃ δανείζεσθαι, ὥσπερ μετρεῖν καὶ δανείζειν συνωνυμοῦσιν (ἴδε τὸν κωμικὸν Θεόπομπον ἐν σχολ. Ἀριστοφ. Ἀχαρν. 1034 καὶ Σουΐδαν λ. μετρεῖν)· οὐχὶ γὰρ χρήματα ἐδανείζοντο, ἀλλὰ καρπούς, εἰ ἐπέλειπον πρὸ τοῦ θέρους. Ἀναλογεῖ ᾧπερ Ἡσύχιος λ. *στήσασθαι* γράφει: «τὸ δανείσασθαι οὕτως ἔλεγον· ἐπὶ σταθμῷ γὰρ πάλαι ἐδάνειζον, καὶ *στάσιμον* τὸ δεδανεισμένον». Ἆρά γε ἴχνος τι σῴζεται ἐν τῷ νεωτέρου ποιητοῦ στίχῳ: «Τὄνα σου χέρι νὰ μετρᾷ καὶ τἄλλο νὰ δανείζῃ (Passow 296, 15, πρβλ. δίστ. 322, Ἀραβαντ. δίστ. 403;). Ἡσίοδος καὶ ἐνταῦθα ἐπὶ παροιμίας στηρίζεται (Λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν, Δανείσου καλοπλέρωσε νὰ σοῦ ξαναδανείσουν Ἀραβαντ. 226 = Βενιζέλ. Δ 5, Δανείζου καλοπλήρωνε καὶ πάλι στρέφου καί παιρνε Βενιζέλ. Δ 2, Ποιὸς καλοδανείζεται; Ὅποιος καλοπληρώνει Βενιζέλ. Π 170).

350. *αὐτῷ τῷ μέτρῳ*] Ἡ Ἀττικὴ τάξις ἐστὶ «τῷ αὐτῷ μέτρῳ».

*λώϊον*] Δαψιλέστερον, ὡς Ὀδυσσ. ρ 417: δόμεναι καὶ λώϊον σίτου.

351. *ἄρκιον*] Παρὰ τὸ ἀρκέω (βοηθῶ).

352. Ἀναφέρεται εἰς 350. Μὴ ἐξαπατήσῃς ἐν τῷ μετρεῖσθαι ἢ ἀποδοῦναι. Παραπέμπομεν τοὺς ἀναγνώστας εἰς ἱστορίαν ὡραίαν, ἣν Σωζομενὸς εἰς τὴν Ἐκκλησιαστικὴν Ἱστορίαν (1, 11, σ. 416 α) κατεχώρισε περὶ τοῦ ἁγίου Σπυρίδωνος.

*ἀάτῃσι*] Ζημίαις (πρβλ. 216).

353. *φιλέοντα*] Ἐνταῦθα ἴσως ἐκληπτέον κατὰ τὴν στενωτέραν σημασίαν, ἐπειδὴ ἐπισυνάπτεται «τῷ προσιόντι προσεῖναι». Οἱ γὰρ φίλοι ἐπὶ τῆς

καὶ δόμεν' ὅς κεν δῷ, καὶ μὴ δόμεν' ὅς κεν μὴ δῷ·
δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔτις ἔδωκε.
Δὼς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα·
ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅγε καὶ μέγα δώῃ,
χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν·
ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας,
καίτε σμικρὸν ἐόν, τόγ' ἐπάχνωσεν φίλον ἦτορ.

ὁδοῦ ἀλλήλοις «προσήεσαν». Χάριν τῆς μετρικῆς εὐκολίας χρῆται τῷ παρεῖναι ἀντὶ τοῦ παριέναι, διότι ἡ παλαιὰ γλῶσσα τὰ δύο ῥήματα οὐκ ἀκριβῶς διακρίνει, οἷον εὑρίσκομεν *παρείη* (=παρέλθοι Ξενοφ. 'Ανάβ. 1,10,16): τῇ αὔριον *παρεῖναι* ἐπὶ τὴν θυσίαν τὸν βουλόμενον (Ξενοφ. 'Ανάβ. 6, 2, 15) καὶ πολλὰ ὁμοιότροπα.

354. Πρὸ τῶν ἀναφορικῶν λείπουσιν αἱ τῶν δεικτικῶν δοτικαί.

355. Δικαιολογεῖ τὰ προηγούμενα.

*δώτης* οὐχ ἁπλῶς ὁ δούς, ἀλλὰ ὁ συχνῶς καὶ προθύμως διδούς. Τὸ ἀντιτεθειμένον *ἀ-δώτης* ὁ ποιητής, παίζων ἴσως, ἔπλασεν. Τὸ παροιμιακὸν εἶδος τοιαῦτα φιλεῖ, π. χ. ἡ ζ(ητ)ήτρα δὲν γίνεται δώτρα. 'Αλλὰ τὸ ἀνὰ χεῖρας ἀξίωμα ἄλλοθι διὰ κοινοτέρων λέξεων προφέρεται (:δός τι καὶ λάβε τι 'Επίχαρμος παρὰ Πλάτ. [;] 'Αξιοχ. 366 c καὶ Εὐστάθ. Θεσσαλ. λόγ. 18, 4: ἅμα δίδου καὶ λάμβανε Παροιμιογρ., ἐπήραμε κὴ ἐδώσαμε 'Αραβαντ. 1626, δοῦδε καὶ νὰ δούδω Γιανναράκ. 37, οὔτε ἔδωκας οὔτε ἔλαβες Πλανούδ. Συλλ. 122).

355. Τὸ δωρεῖσθαι ἐπαινεῖ ἐν τοῖς ἑξῆς ἐκ τοῦ ἐναντίου, ὅπερ οὐ περιττὸν ἦν ἐνώπιον τοῦ φιλύβριδος ἀδελφοῦ.

*δώς*] Δῶρον (Λατινιστὶ dos, dotis).

*ἅρπαξ*] 'Αντὶ τοῦ ἁρπαγή, κατὰ τὸν τύπον τοῦ *φρίξ* καὶ *βήξ*.

*θανάτοιο δότειρα*] Τὸ λογοπαίγνιον (δώς-δότειρα) ἠνάγκασε τὸν ποιητὴν πρὸς ἀλλόκοτον φράσιν· ἢ βεβαίως οὐ προσκρούσει τῇ τῶν 'Ελλήνων εὐαισθησίᾳ, ἂν μεταφράσωμεν *φαρμακερή*. 'Εκτὸς τούτου, Σοφοκλῆς ὁ τῆς 'Αττικῆς ἁρμονίας πατριάρχης δύο παραδείγματα παρέχει: «Θάνατος μὲν τάδ' ἀκοῦσαι» (Οἰδίπ. Κολ. 529): «θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσει (Αἴαντι 215).

357. Τὴν πρότασιν ἀναλύομεν. Ὅστις γὰρ ἂν ἐθέλων (ἤτοι ἑκουσίως) δῷ καὶ ἂν μέγα δῷ, παρέχει τὸ δῶρον μετὰ χαρᾶς.

*ὅγε*] 'Εν ἐμφαντικῷ λόγῳ τὸ δεικτικὸν τὴν μετοχὴν ὑποδέχεται, οἷον στ. 360 καὶ «Ὁ τὸ σπέρμα παρασχὼν **οὗτος** τῶν φύντων αἴτιος» Δημοσθέν. 18, 159, πρβλ. Ξενοφ. 'Απομν. 4, 6, 5. Κύρου Παιδ. 6, 2, 33. Ἡρόδοτ. 6, 58: τὸν ὕστατον αἰεὶ ἀπογενόμενον τῶν βασιλέων **τοῦτον δὴ** γενέσθαι ἄριστος.

358. *ὃν κατὰ θυμόν*] Ὁμηρικὸν ἀκροτελεύτιον.

359. *αὐτός*] Αὐθαιρέτως.

*ἀναιδείηφι πιθήσας*] Ἡ *φι* κατάληξις μετὰ τοῦ ῥήματος *πιθήσας* ἀντὶ τῆς δοτικῆς τίθεται· παράλληλα *ἦφι βίηφι* π. 'Οδ. ξ 151. 'Ιλ. Χ 107: χερσίν τε βίηφί τε ἦφι π. 'Οδ. φ 315.

360. *καίτε*] Καίτοι.

*ἐπάχνωσεν*] Ὁ τρόπος εἴληπται ἀπὸ τῆς πάχνης, κατὰ τὸ Ὁμηρικὸν «τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ παχνοῦται» ('Ιλ. Ρ 14), ὁ ἀόριστος γνωμικός.

Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο
καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο,
ὃς δ' ἐπ' ἐόντι φέρει, ὁ δ' ἀλύξεται αἴθοπα Λιμόν·
οὐδὲ τό γ' ἐν οἴκῳ κατακείμενον ἀνέρα κήδει·
οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφι·
ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι, πῆμα δὲ θυμῷ
χρηΐζειν ἀπεόντος· ἅ σε φράζεσθαι ἄνωγα·
ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐν πυθμένι φειδώ.
Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω·

*φίλον ἦτορ*] Ἀπηχεῖ τὰ Ὁμηρικὰ ἔπη.

361. Πρβλ. 335.

362. *θαμά*] Κυρίως πυκνά, ἢ συχνά, ὅθεν *θάμνος*. Ἡ φράσις ἀνήκει εἰς τὰς τῶν γεωργῶν ἀποθήκας. Εἰδικώτερον ἡ γνώμη καθ'ἡμᾶς ἐν Ἠπείρῳ «Φασούλι τὸ φασούλι, γιομίζει τὸ σακκούλι» (Ἀραβαντ. Παροιμ. 1452) ἐκφράζεται κ. ἀ.

363. *ἐόντι*] Συνηθέστερον ὁ πληθυντικὸς *ὄντα* τὴν οὐσίαν δηλοῖ.

*ὁ δ'*] Οὗτος· τὸ *δὲ* ἐπαναλαμβάνει τὸ πρότερον, ὡς 239. 283. 297.

*ἀλύξεται*] Παρὰ τὸ ἀλύσκω (ἐκφεύγω).

*αἴθοπα*] Ὁ τῆς κακῆς Ἔριδος υἱός (227) καὶ τῆς Νυκτὸς ἔγγονος μέλας φαντάζεται καθὼς Αἰθίοψ.

364. *ἐν οἴκῳ*] Ἴδε 31.

*κήδει*] Ἡσίοδος ἀστεΐζεται, ὅτι τὸ ἔχειν οὐ παρέχει φροντίδας.

365. = Ὕμν. Ὁμηρ. 3, 36, ὅπου παρῳδικῶς κεῖται. Τὸν νοῦν αὐτὸς ἐν τοῖς ἑξῆς ἐξηγεῖται.

*θύρηφι*] Ἀντιστοιχεῖ τῷ θύραζε (97), σημαῖνον τὴν τοποθεσίαν.

366. *παρεόντος ἑλέσθαι*] Παράδειγμα τῆς génitif partitif, ἣ καθ' ἡμᾶς τῇ *ἀπὸ* προθέσει διασαφηνίζεται. Ἐπίσης εὑρίσκομεν ἐν τῇ Ὀδυσσείᾳ τὴν φράσιν *χαριζομένη παρεόντων*.

*πῆμα*] Θλῖψις.

367. Ἀναπληροῖ τὸν ἑξάμετρον διὰ Ὁμηρικοῦ ἡμιστιχίου (σὲ δὲ φ. ἄ. Ὀδ. α 269. π 312, τὰ δέ σε: φ. ἄ. ρ 279, τά σε φ. ἄ. υ 43).

368. Τὴν παραίνεσιν τροποποιεῖ πρὸς τὴν ἄκραν τέρψιν τῶν Ἀσκραίων (συλλογιζόμεθα δὲ τοῦτο ἀπὸ τῶν καθ'ἡμᾶς αὐτόθι κατοικούντων), τὸν οἶνον.

*πίθου*] Δηλαδὴ τοῦ οἴνου· ἔλαιον γάρ, πλὴν ἀγρίου, οὐκ εἶχον.

*κορέσασθαι*] Μέχρι κόρου πιεῖν.

369. *φείδεσθαι*] Οἰκονομεῖν.

*δειλή*] Ἔξωρος (πασίγνωστον τὸ οὐσιαστικὸν *δείλη*=δεῖλι, δειλινόν). Σενέκας ὀρθῶς μεταφράζει (Ἐπιστ. 1,4). Sera parsimonia in fundo est. «Τίς γὰρ οὐκ οἶδεν ὅτι τοῦ μὲν οἴνου τὸ μέσον γίνεται βέλτιστον, τοῦ δὲ ἐλαίου τὸ ἀνωτάτω, τὸ δὲ κατωτάτω τοῦ μέλιτος;» (Πλουτάρχ. Ζητ. Συμποσ. 7,3, 1, πρβλ. Μακροβίου Saturnalia 7,12, Γεωπονικῶν 7,6, 9). Τὸ μὲν ἀνωτάτω δηλαδὴ διαφθείρεται ἀπὸ τοῦ ἀέρος, τὸ δὲ κατωτάτω ἀπὸ τῆς ὑποστάθμης.

370. Περὶ τῆς ἀκολουθίας καὶ συνεχείας τῶν ἐννοιῶν εἴρηται εἰς 335. Πλούταρχος (Θησ. 3) μαρτυρεῖ ὅτι, «λέγουσιν» ὅτι Πιτθεὺς ὁ Θησέως πάππος τοῦτο εἶπεν· ἀλλὰ Ἀριστοτέλης ἤδη

καί τε κασιγνήτῳ γελάσας ἔπι μάρτυρα θέσθαι·
πίστεις δ' ἤ ῥα ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.
Μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω
αἱμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν·
ὃς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φηλήτῃσι.

('Ηθ. Νικομ. 9,1) τὸν στίχον ηὗρεν ἐν τοῖς Ἡσιόδου ποιήμασιν. Τὴν βάσιν ἐχορήγησεν Ὅμηρος τῷ: «μισθὸς δέ οἱ (τοι) ἄρκιος ἔσται ('Ιλ. Κ 304. 'Οδ. σ 358).

*μισθός*] Τὸ ἡμερομίσθιον. Νῦν μὲν τὸ «ξενοθερίζειν» καταλαμβάνεται, ἀλλ' ἆρά γε καὶ τότε ἀναγκαῖον ἦν; Ἐπ' ἀληθείᾳ ὁ ἀστρολόγος Μάξιμος (στ. 470-1) ταὐτὸ ὑποδηλοῖ. Ἀλλὰ τί τὸ τῶν δούλων πλῆθος; Τότε ἐν τῇ στερεᾷ Ἑλλάδι πολλοὶ ὀλίγοι ὑπῆρχον· οἱ Πελοποννήσιοι κατὰ τὸν πέμπτον εἰσέτι αἰῶνα δούλους οὐκ εἶχον (Θουκυδ. 1, 141, 3), κατὰ δὲ τὸν τέταρτον τὸν Φωκέα Μνάσωνα οἱ συμπολῖται ἐμεμψιμοίρησαν ὡς διὰ τῆς δούλων εἰσαγωγῆς τοσούτους πολίτας τοῦ ζωῆς πόρου ἀπεστέρησεν (οὕτω Τίμαιος παρ' Ἀθηναίῳ 6,264 c).

*εἰρημένος*] Διωμολογημένος· παράθες τὸ Ὁμήρου «μισθῷ ἐπὶ ῥητῷ» ('Ιλ. Φ 445) καὶ «ῥήτρη» (ὁμολογία, 'Οδ. ξ 393 Ϝράτρα Ἠλειακῶς).

*ἄρκιος*] Βέβαιος, ὡς *ἄρκιον* μετὰ τοῦ ἀπαρεμφάτου συνδεδεμένον 'Ιλ. Β 393 καὶ Ο 502 ἀπαντᾷ: — «Τὸν δουλευτή σου πλέρονε καὶ ψυχικὸ μὴ κάνῃς» (Ἀραβαντ. Παροιμ. 1350).

371. *καί τε*] Ἀφ' ἑτέρου δέ.

*γελάσας*] Ὡς παίζων.

372. Ἡ αἰτιολογία πρὸς τοὺς στίχους ἀμφοτέρους.

*πίστεις*] Ἐμπιστοσύνη, οἷον Θέογν. 831: πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα.

*δ' ἤ ῥα*] Συνώνυμον τῷ συχνοτέρῳ *δ' ἤτοι* καὶ *δ' ἄρα*.

*ἀπιστίαι*] Ἡ κακοπιστία. Φαῖδρος λοιπὸν οὐχὶ μετέφρασεν, ἀλλὰ μετέβαλε τὸν στίχον γράφων (Μῦθ. 3, 10, 1): Periculosum est credere et non credere (τὸ δυσπιστεῖν).

*ὤλεσαν*] Γνωμικῶς.

373. *σε νόον*] Τὸ σχῆμα καθ' ὅλον καὶ μέρος.

*πυγοστόλος*] «Γυναῖκα ὁποῦ περπατεῖ καὶ **τὰ 'πισινὰ κουνεῖ,** θώριέ την χωρὶς τιμή» (Βενιζ. Γ 119, πρβλ. Ἀριστοφάν. Πλοῦτ. 149-52, Ἄλεξιν παρ' Ἀθηναίῳ 13,568). Ἴσως ἡ Κυπριακὴ λέξις «κωλοκοσεῖνα» (Σακελλαρ. Κυπρ. 3, 322) τὸ αὐτὸ αἰνίττεται. Ὁ μισογύνης τὸν ἀκκισμὸν διὰ τῆς ἀκομψοτάτης λέξεως ἐμφαίνει.

374. *αἱμύλα*] Ἴδε Θ. 890.

*καλιήν*] Πρβλ. 301. Τὴν τῶν γυναικῶν λιχνείαν καὶ ἐν τοῖς κατωτέρω (704-5) δεινολογεῖται. Ἀπολογία ὅμως οὐ δύσκολός ἐστι· τὸ μὲν γὰρ τὰ τῶν ἀποθηκῶν κλειδία οὐκ εἶχον, ἀλλὰ ὁ ἀνὴρ ἢ ἡ ταμία, τὸ δὲ παρὰ τῶν ἀνδρῶν τροφὴν μόλις ἐπαρκῆ ἐλάμβανον. Διαβεβαιώσεως χάριν ἀναφέρομεν τὸν Λυκούργου νόμον, καθ' ὃν διώριστο ἕκαστον κλῆρον κατ' ἔτος «ἀποφορὰν φέρειν ἀνδρὶ μὲν ἑβδομήκοντα κριθῶν μεδίμνους, γυναικὶ δὲ δώδεκα» (Πλουτάρχ. Λυκοῦργ. 8). Ἡ γυνή, ἅτε ἄπροικος οὖσα, πάντως εἰς τὴν τροφὴν ἐξήρτητο ἀπὸ τῆς τοῦ ἀνδρὸς ἐλευθεριότητος.

375. *πέποιθε*] Ἤτοι αὐταῖς διαπιστεύει τὰ ταμιεύματα.

*φηλήτῃσι*] Τὸ πρωτότυπον φηλός (ἀπατηλός, κλεπτικός), οὗ ἡ ῥίζα ἴσως

Μουνογενὴς δὲ πάϊς οἶκον πατρώϊον εἴη
φερβέμεν· ὣς γὰρ πλοῦτος ἀέξεται ἐν μεγάροισι·
γηραιὸς δὲ θάνοι ἕτερον παῖδ' ἐγκαταλείπων·
ῥεῖα δὲ καὶ πλεόνεσσι πόροι Ζεὺς ἄσπετον ὄλβον·
πλείων μὲν πλεόνων μελέτη, μείζων δ' ἐπιθήκη.
Σοὶ δ' εἰ πλούτου θυμὸς ἐέλδεται ἐν φρεσὶν ᾗσι,
ὧδ' ἔρδειν, καὶ ἔργον ἐπ' ἔργῳ ἐργάζεσθαι.
Πληϊάδων Ἀτλαγενέων ἐπιτελλομενάων

ἡ αὐτὴ καὶ τοῦ σφάλλω. Ὁ πρὸς τὸν ἑνικὸν ἀναφερόμενος πληθυντικὸς συχνάζει παρὰ τοῖς πολλοῖς, οἷον: «'ς τοὺς . . . μὴ 'μπιστεύεσαι γιατ'εἶν' ὀχθρὸς κρυμμένος» (Ἀραβαντ. Συλλ. 111, 5). — Λαϊκὴ δέ τις παροιμία λέγει: «Ὅποιος πιστεύει ἐχθρὸ γιὰ κέρδος καὶ γυναῖκα ἄπονη, εἶνε χαμένος» (Βενιζέλ. Ο 584).

376. Ἡσίοδος οὐκ εὔχεται πλὴν ἕνα μόνον υἱόν ὥσπερ Πλάτων (Νόμ. 5,740 d), Ἀριστοτ. (Πολιτ. 7,14,10), Ξενοκράτης καὶ Λυκοῦργος (ἔπιθι τὰ σχόλια). Ὕστερον δὲ ἐν Θήβαις Φιλόλαος τὴν Ἡσιόδου συμβουλὴν νόμον ἐποίησε «καὶ τοῦτ' ἐστὶν ἰδίως ὑπ' ἐκείνου νενομοθετημένον, ὅπως ὁ ἀριθμὸς σῴζηται τῶν κλήρων» (Ἀριστοτ. Πολιτ. 2,9,8, πρβλ. καὶ 2,7,7).

377. *φερβέμεν*] Κυρίως δηλοῖ τὸ τρέφειν, ἐνταῦθα δὲ τὸ αὐξάνειν. Τὸ ἀπαρέμφατον ἐξήρτηται ἀπὸ τοῦ εἴη (ἤτοι παρείη).

*ἐν μεγάροισι*] Τὴν μὲν καθ' ἡμᾶς χρῆσιν ηὕρομεν Θ. 384· ἐνταῦθα δὲ ὁρῶμεν, ὅτι καὶ ὁ τυχὼν οἶκος οὕτως ὀνομάζεται, π. χ. «οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψας ἔχειν» (Πινδάρ. Νεμ. 1,31), τί δὲ εἰ καὶ ὁ ἴδιος συβώτης «μέγαρα» κατῴκησεν (Ὀδ. ρ 521);

378. Πόσον ἀπροσποιήτως καὶ ἐγκαρδίως ἡ εὐχὴ ἐπισυνάπτεται «γηραιὸς δὲ θάνοι»· καθ' ἡμᾶς ἔτι οὐδεμία μᾶλλον εὐχρηστεῖ ἢ «εἰς πολλὰ ἔτη» ἢ «πολλὰ τὰ ἔτη σου».

*ἕτερον*] Εἴθε ἔχοι καὶ αὐτὸς υἱόν· ἡ τοῦ ῥήματος πρόθεσις ἀνήκει εἰς τὸν πατρῷον οἶκον.

379. Τὸ παράγγελμά μου ὅμως οὐκ ἀπαράβατον· ὁ Ἡσίοδος ἐν γένει ἀποστρέφεται τὸν ὁριστικὸν τρόπον, μάλιστα δὲ ὁσάκις θεοφόβως ἐνθυμεῖται περὶ τῆς τῶν θεῶν παντοδυναμίας, οἷον 273.

*ῥεῖα*] Ἴδε Θ. 254.

*ἄσπετον ὄλβον*] Ὁ παντοκράτωρ οὐχὶ μόνον ἀρκετὴν περιουσίαν, ἀλλὰ καὶ ἀναρίθμητον πλοῦτον παρέχειν δύναται.

380. Ἰδοὺ πάλιν τὸν ἁπλοῦν γεωργόν! Πλείονες υἱοὶ κατὰ τοῦτο ὠφέλιμοί εἰσιν, ὅτι ὁ κύριος πρὸς τὰς ἐργασίας οὐ χρῄζει τοσούτων ἡμερομίσθων καὶ ὀλιγώτερον δαπανᾷ. ***Ἐπιθήκη*** ἐν τοῖς ἔμπροσθεν (361) ἀπαντᾷ.

381-617. Ἔργα.

381. *ᾗσι*] Ἡ *ὅς* ἀντωνυμία, ὡς ἐν τοῖς ἀνωτέρω (2) εἴρηται, καὶ ἐπὶ τοῦ δευτέρου προσώπου κεῖται. Ὁ πλεονασμὸς «θυμὸς . . . . ἐν φρεσὶν» προπαρεσκεύασται ὑφ' Ὁμήρου (Ἰλ. Θ. 202).

382. Ὡς πρὸς τὸν νοῦν τὸ δεύτερον κῶλον ὑποτέτακται· λογικώτερον γὰρ ἂν εἴποιμεν: «Ὧδε ποίει, ἐργάζου ἀδιακόπως».

383. *Πληϊάδων Ἀτλαγενέων*] Τῶν Ἄτλαντος θυγατέρων. Ἡ σύνθεσις ἐγένετο ὥσπερ ἂν εἰ τὸ πρῶτον συνθετικὸν

ἄρχεσθ' ἀμήτου, ἀρότοιο δὲ δυσομενάων.

τῆς πρώτης ἦν κλίσεως. Οἱ παλαιοὶ τὸ ὄνομα ἠτυμολόγουν Πελειάδες, διὸ καθ' ἡμᾶς *πούλεια* λέγεται, καὶ τοῦτο ἑνικῶς, καθάπερ *Πλειὰς* παρὰ τοῖς παλαιοῖς οὐ σπανίως ηὕρηται (π.χ. Θεόφραστ. π. ἀνέμων 10, π. σημείων 6). Κόραι δὲ ὑπελαμβάνοντο αἱ Πλειάδες χάριν τῆς καλλονῆς αὐτῶν, ἥνπερ καὶ ὁ λαὸς ἐξυμνεῖ: «Σὰν τὴν πούλεια τὸ ταχύ, τὄνα καὶ τἄλλο (ὀμμάτι) φέγγει» ('Αραβαντ. Συλλ. σ. 301, δίστ. 7).

*ἐπιτελλομενάων*] Ἦτοι ὅταν ἐπιτέλλωσι τὸ πρῶτον ἅμα τῷ ἡλίῳ. Ἐννοεῖται, ὅτι ὁ Ἡσίοδος οὐ λέγει τὴν ἀληθῆ ἀνατολήν, ἀλλὰ τὴν φαινομένην, ἐπειδὴ οὔτε αὐτὸς εἰς τὰ ἀστρονομικὰ δεινὸς ἦν, οὔτε πρὸς τοιούτους τὸ ποίημα ἀπήγγελλεν. Ὅπερ κατὰ τὸν Πλίνιον (18, 26, 66), ἐν μὲν τῇ Ἀττικῇ συμβαίνει «III. Nonas Apriles» (τῇ 3 τοῦ Ἀπριλίου), ἐν δὲ τῇ Βοιωτίᾳ τῇ ἑπομένῃ ἡμέρᾳ. Ὁ Ἀράτου σχολιαστὴς ὅμως ἀπὸ τοῦ Μαΐου τὴν ἑῴαν ἀνατολὴν ἀριθμεῖ (σ. 254, ἔκδ. Bekker), ὡσαύτως ὁ ἱσπανὸς Κολουμέλλας (9,14,4 circa V. idus Maias).— Ἡσίοδος πρὸς τὸ διορίζεσθαι τοὺς καιροὺς ἐκλέγει πασίγνωστον ἄστρον, καθ' ὃ οἱ Ἀχαιοὶ τὴν ἀρχὴν τοῦ πολιτικοῦ ἐνιαυτοῦ ἔταξαν (Πολύβ. 4, 37, 2. 5, 1, 1). Ὁμοίως κατὰ τὸν Ἱπποκράτειον Ἀσκληπιάδην, ὅστις περὶ διαίτης ἔγραψεν, «ἔαρ ἀπὸ ἰσημερίης μέχρι Πλειάδων ἐπιτολῆς» (Γ' κατὰ τὴν ἀρχήν, πρβλ. Γαληνὸν εἰς Ἱπποκρ. ἐπιδ. Α', Ἀράτ. Φαινόμ. 266. Ἐτυμ. Μέγ. σ. 675, 51)· «διχοτομεῖ δὲ τὸν ἐνιαυτὸν Πλειάς τε δυομένη καὶ ἀνατέλλουσα» (Θεόφραστ. π. σημείων 6).

384. *ἀμήτου*] Τὸν καιρὸν τοῦ θερισμοῦ, ὀλίγον παρακατιόντες (387) παραθήσομεν.

*δυσομενάων*] Ὅταν δύωνται περὶ τὴν τοῦ ἡλίου ἐπιτολήν. Τοῦτο νῦν ἀστρονομικῶς μὲν τῇ 18 (30) Νοεμβρίου συμβαίνει, κατὰ δὲ τὸν λαὸν τῇ 11 (23): «Ὁ ἅϊ-Μηνᾶς ἐμήνυσε· Πούλεια μὴ ξημερώσῃ». Τοῦτο ἐντελῶς συμφωνεῖ τῇ παλαιᾷ χρονολογίᾳ, ἣν παρὰ Πλινίῳ καὶ ἐν τοῖς «Γεωπονικοῖς» εὑρίσκομεν (2, 14, 3) «τῇ πρὸ γ' Εἰδῶν Νοεμβρίων» (τῇ 11). Ὅπως δοκιμάσωμεν τὴν χρονολογίαν καὶ ἀπὸ ἄλλου μέρους, ἐξετάσωμεν τὴν τοῦ ἀρότου. Οἱ παλαιοὶ ἐπανέλαβον τὸ Ἡσιόδου ἀξίωμα (Θεοφράστ. Ἱστ. Φυτ. 8, 1,2. π. φυτ. αἰτιῶν 3, 23,1) καὶ ᾐτιολόγησαν αὐτό: «ἐπιγίνεσθαι γὰρ ὕδατα τὰ πολλὰ τῇ ἑβδόμῃ μετὰ τὴν δύσιν». Ἐπάναγκες δὲ ταῦτα προσμένειν, ἐπειδὴ τὸ Ἑλληνικὸν καῦμα θαυμαστὸν ὅσον τὰς βώλους διαξηραίνει καὶ απολιθοῖ. Οὕτω καὶ νῦν μετὰ βροχὴν ἄρχονται τοῦ ἀρότου. Εἰσὶ δὲ καὶ οἳ τὴν Πλειάδα εἰσέτι θεωροῦσιν. «Ἡ πούλεια βασιλεύοντας κὴ ὁ καλὸς γεωργὸς ἀποσπέρνοντας» (Mommsen, Jahreszeiten) Α', σ. 92-3 συλλέγει τὰς ἀναλόγους γνώμας). Ἡ τῶν ἐργασιῶν ἀρχὴ ἑορτάζεται ἅμα τῇ ἑορτῇ τοῦ Σταυροῦ (τῇ 14/26 Σεπτεμβρίου). Τὰ «πρωΐμα» ὅμως σπείρουσι καὶ τὸν Ὀκτώβριον, τὰ δὲ «ὄψιμα» κατὰ τὸν Νοέμβριον καὶ Δεκέμβριον. Ἵνα μηδὲν ἀπολίπωμεν ἀξιομνημόνευτον, ἀναφέρομεν τὰς παροιμίας: «Τὸν Νοέμβριον μῆνα σπεῖρε» (ἐν Ἀττικῇ), «Τὸν Νοέμβρη νόει καὶ σπέρνε, Δεκέμβρη δίκαια καὶ ἂν σπείρῃς ἂν ἔχῃς ἀκόμα σπεῖρε» (ἐν Χαλκίδι), «Τὸν Νοέμβρη νόει καὶ σπέρνε, τὸν Δεκέμβρη δίκαια σπέρνε» (ἐν Μεσολογγίῳ)· πάντων δὲ τούτων ἀξιολογώτατον ὅπερ ὁ Πλίνιος (18 § 201) περὶ τῆς Βοιωτίας παραδίδωσι καὶ ἠκούσαμεν ἐν Ἐρημοκάστρῳ, ὅτι δῆθεν αὐτόθι οὐ σπείρουσιν εἰμὴ «ὄψιμα», τοῦ χειμῶνος ὄντος κακοῦ. Ἡσίοδος ἄρα πρὸ τοῦ Νοεμβρίου οὐκ ἔσπειρεν.

Αἱ δ' ἤτοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα
κεκρύφαται, αὖτις δὲ περιπλομένου ἐνιαυτοῦ
φαίνονται τὰ πρῶτα χαρασσομένοιο σιδήρου.
Οὗτός τοι πεδίων πέλεται νόμος, οἵ τε θαλάσσης
ἐγγύθι ναιετάουσ' οἵ τ' ἄγκεα βησσήεντα,
πόντου κυμαίνοντος ἀπόπροθι, πίονα χῶρον
ναίουσιν. Γυμνὸν σπείρειν, γυμνὸν δὲ βοωτεῖν,

385. *τεσσαράκοντα*] Οἱ καθ' ἡμᾶς ἀστρονόμοι τὸν ἀριθμὸν εἰς μδ' ἐπηύξησαν· πάλαι ὅμως καὶ οἱ λόγιοι Ἡσιόδῳ συγκατέθεντο (ἴδε Γέμινον ἐν τῇ εἰσαγωγῇ κ. 16, σ. 69 b, ἔκδ. Petavius).

386. *περιπλομένου ἐνιαυτοῦ*='Οδ. λ 184. Τὴν φράσιν ἡρμηνεύσαμεν εἰς Θ. 184.

387. *χαρασσομένοιο σιδήρου*] Ὅταν θήγηται τὸ σιδηροῦν δρέπανον (πρβλ. 573). Θερίζουσιν ἐν τῇ Ἀττικῇ ἀπὸ τοῦ μέσου Μαΐου μέχρι τοῦ μέσου Ἰουνίου. Ἀλλ' ἡ ἀρχὴ ἔστιν ὅτε ἕνα μῆνα πρότερον γίνεται. Ἐν δὲ ταῖς πλείσταις διαλέκτοις, καὶ δὴ τῇ Βοιωτικῇ, ὁ Ἰούνιος *θεριστὴς* καλεῖται. Εἰς τὸν Μάϊον ἀνήκει ἡ παροιμία: «Πῶχει κατάρα(ν) γονική(ν), τὸ(ν) Μάϊ(ον) εἶν' ἀργάτης», ἣν τῶν Χίων, ἢ ἄλλων Ἀσιανῶν ἡγούμεθα.

388. *πεδίων*] Οὐχὶ τῶν ὑψηλῶν τόπων, ὅπου ὁ σῖτος πρὸ τοῦ Αὐγούστου οὐχ ὡριμάζει, οἷον ἐν τοῖς χωρίοις τῆς Παρνασσίδος.

*οἵ*] Λείπει *τούτων*.

389. Οἱ μὲν πρὸ τῆς θαλάσσης ἀγροὶ ἀμμώδεις καὶ λεπτόγεοί εἰσι, λιπαρώτεροι δὲ οἱ περὶ τὰς Θεσπιὰς κείμενοι οἰνωποὶ τὸ χρῶμα, ὅπως τὸ κάλλιστον μέρος τοῦ Βοιωτικοῦ πεδίου.

*ἄγκεα βησσήεντα*] Ἔπιθι Θ. 860. Ἡ πέριξ πρὸς τὰς Θήβας καὶ τὴν Λεβάδειαν ἐκτεινομένη χώρα δι' ὀρῶν καὶ λόφων διαμερίζεται εἰς κοιλάδας, ὁποίας ὁ Ἕλλην ὀνόμασειεν ἂν «σελλία».

390. *κυμαίνοντος*] Προσφυέστατον ἐπίθετον τῆς ἀεικινήτου Κορινθιακῆς θαλάσσης.

*ἀπόπροθι*] Μακρὰν ἀπὸ τῆς θαλάσσης ὑπάγει τις τὸ πρόσω πρὸς τὰ χωρία ταῦτα.

*πίονα*] Ἴδε Θ. 971.

391. *γυμνόν*] Νῦν εἰσέτι ἡ λέξις δισσὴν ἔννοιαν ἔχει· δηλοῖ γὰρ οὐχὶ μόνον τὸν ἀνένδυτον, ἀλλὰ καὶ τὸν μὴ ὁλοτελῶς ἐνδεδυμένον. Εὑρήσομεν ἐν τῇ Ἀσπίδι (287) τὸ εὐκρινέστερον ἡμιστίχιον «ἐπιστολάδην δὲ χιτῶνα ἐστάλατο» καὶ παρ' Εὐσταθίῳ τῷ Μακρεμβολίτῃ (4, 9, 2) ἐπὶ θεριστοῦ «τὸν πάντα χιτῶνα περὶ τὴν ὀσφὺν ἀνεζώσατο καὶ τὸ πᾶν τοῦ σώματος πλὴν τῆς αἰδοῦς ἐξεγύμνωσεν». Διὸ Χριστὸς προστάσσει (Ματθ. κδ', 18): «ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ». Ὁμοίως νῦν ἐργάζονται ἄζωστοι καὶ *χωρὶς γελέκι*, ἐνδεδυμένοι μόνον τὰ *βρακιὰ* καὶ τὸ (ὑ)*ποκάμισο*. Ἀλλ' ἐνίοτε καὶ τὸν χιτῶνα ἀπέδυον (Μόσχ. Εἰδύλλ. 4, 98, Baumeister Denkmäler, πίν. Α', εἰκ. 12). — Διὰ τί Ἡσίοδος τοῦτο ἀξιοῖ; Ἵνα ἐργάσηται ὁ Θεσπιεὺς κατ' αἰθρίαν, ὡς Βιργίλιος ἐν τῇ παραφράσει ἐξακριβοῦται (Γεωργ. 1, 299): Nudus ara, sere nudus· hiems ignava colono. Τὸ μὲν γάρ, ἂν ἀροῖ καὶ σπείρῃ τις ὕοντος τοῦ θεοῦ, ἡ ἄγρωστις (ἀγριάδα) πανταχοῦ ἐκφύεται καὶ τὸν σῖτον ἀποπνίγει· τὸ δέ, ἂν ἐν ψυχρῷ καιρῷ, ἡ γῆ ἀνεπιτήδειος εἰς βλάστησιν.

γυμνὸν δ' ἀμάειν, εἴ χ' ὥρια πάντ' ἐθέλῃσθα
ἔργα κομίζεσθαι Δημήτερος· ὥς τοι ἕκαστα
ὥρι' ἀέξηται, μή πως τὰ μέταζε χατίζων
πτώσσῃς ἀλλοτρίους οἴκους καὶ μηδὲν ἀνύσσῃς.
Ὣς καὶ νῦν ἐπ' ἔμ' ἦλθες· ἐγὼ δέ τοι οὐκ ἐπιδώσω,
οὐδ' ἐπιμετρήσω· ἐργάζευ, νήπιε Πέρση,
ἔργα, τά τ' ἀνθρώποισι θεοὶ διετεκμήραντο,
μή ποτε σὺν παίδεσσι γυναικί τε, θυμὸν ἀχεύων,
ζητεύῃς βίοτον κατὰ γείτονας, οἱ δ' ἀμελῶσι.
Δὶς μὲν γὰρ καὶ τρὶς τάχα τεύξεαι· ἢν δ' ἔτι λυπῇς,
χρῆμα μὲν οὐ πρήξεις, σὺ δ' ἐτώσια πόλλ' ἀγορεύσεις,

*βοωτεῖν*] «Ζευγοπιάζειν», διότι μετὰ ζεύγους βοῶν ἠροτρίων.

392. *ὥρια*] Ὥριμα.

393. *ἔργα Δημήτερος*] Ὁ μὲν γεωργὸς τὴν σπορὰν εἰς τὴν γῆν, τὰ δὲ λοιπὰ ἐκτελεῖ ἡ θεός, ὥστε ὁ καρπὸς ἔργον αὐτῆς καλεῖται οὐκ ἄλλως ἢ π. χ. ἡ Ἀχιλλέως ἀσπὶς Ἡφαίστου.

394. *ὥρι' ἀέξηται*] Λαμβάνῃ τὴν φυσικὴν ἐν καιρῷ ἀνάπτυξιν. Ψύχους γὰρ ὄντος, τὰ σπέρματα μετὰ τεσσαράκοντα μόλις ἡμέρας ἀναβλαστάνουσιν.

* *τὰ μέταζε*] Παρὰ τὴν μετὰ ὡς Ἀθήναζε, χαμάζε. Δηλοῖ λοιπὸν «κατόπιν».

*χατίζων*] Ἔπιθι 21·

395. *πτώσσῃς*] Ἐπαιτῇς ὡς πτωχός, ὅστις κύπτει ἐνώπιον τῶν πλουσίων· παράθες ὅσα εἴπομεν εἰς 7· Ὁμήρου εἰπόντος «πτώσσειν κατὰ δῆμον» (Ὀδ. ρ 227. σ 363), Θέογνις τὴν διπλῆν αἰτιατικὴν διαβεβαιοῦται (922): «Πτωχεύει φίλους πάντας».—Κρής τις τὴν αὐτὴν δυσπιστίαν ἐκφράζει: «Ἀλλοῖ 'ς τὸν παντεχούμενον 'ς τῆς γειτονιᾶς τὸ δεῖπνον» (Βενιζ. Παροιμ. Α 94).

396. *ἐπιδώσω*] Πρὸς ὅ,τι Περσεὺς ἐθέρισεν ἀνεπαρκές.

397. *ἐπιμετρήσω*] Ἴδε 349.

*νήπιε Περσεῦ*] = 286.

398. *διετεκμήραντο*] 42 κέ. Ἤδη Ἡσίοδος ἐδίδαξεν, ὅτι οἱ θεοὶ ὡρίσαν τὴν ἐργασίαν. Πρὸς τὴν λέξιν ἔπιθι 229.

399. Ὑπαινίττεται τὴν τῆς οἰκίας ἀπώλειαν. Ἐπεὶ ἤρξατο δανειζόμενος, ὕστερόν που ἅπαντα ἂν ἀπολέσειεν. Ἡσίοδος οὐ δεινοποιεῖ τοὺς κινδύνους. Κατὰ τοὺς χρόνους ἐκείνους ἐπ' ἀληθείᾳ γεωργοὶ ἐκπεσόντες τῆς οὐσίας μετὰ γυναικὸς καὶ παιδίων περιεπλανῶντο (ἔπιθι τὴν συγκινητικὴν Τυρταίου ἐλεγείαν 10 στ. 3-10).

*θυμὸν ἀχεύων*] Παρ' Ὁμήρῳ συχνάκις ἀπαντᾷ· οἷον Ἰλ. Ε 869.

400. *ἀμελῶσι*] Οὐ μέλῃ αὐτοῖς.

401. *δὶς καὶ τρὶς*] Ὡσαύτως λέγομεν ἐπὶ μικροῦ πλήθους *δύο-τρεῖς*· ἡ σύνδεσις τηρεῖται ὑπὸ τῶν Κρητῶν (π. χ. ἀναγινώσκομεν ἐν ταῖς «Κρητικαῖς Ῥίμαις» σ. 23,στ. 536: δύο *καὶ* τρεῖς).

*τάχα*] Τυχόν.

*τεύξεαι*] Ὧν ζητεῖς.

*ἔτι*] Περισσότερον, περισσοτέρας φοράς.

*λυπῇς*] Ἐνοχλῇς διὰ ζητήσεων.

402. *χρῆμα*] Ὡς 344,ὅ,τι χρῄζεις.

*πρήξεις*] Διαπράξεις, κατορθώσεις.

ἀχρήϊος δ' ἔσται ἐπέων νομός. Ἀλλά σ' ἄνωγα
φράζεσθαι χρειῶν τε λύσιν λιμοῦ τ' ἀλεωρήν.
Οἶκον μὲν πρώτιστα γυναῖκά τε βοῦ τ' ἀροτῆρε
(κτητήν, οὐ γαμετήν, ἥτις καὶ βουσὶν ἕποιτο),
χρήματα δ' ἐν οἴκῳ πάντ' ἄρμενα ποιήσασθαι,

*σύ*] Ἡ ἀντωνυμία πλεονάζει καθάπερ 34.

*ἐτώσια*] Παράγεται ἀπὸ τοῦ ἐτὸς ἤτοι μάτην.

403. *ἐπέων νομός*] Τὸ νέμειν καὶ καταναλίσκειν λόγους, πρβλ. Ἰλ. Υ 249: ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.

*ἀλλά*] Ἀρξάμενος τῶν περὶ τῆς καλλιεργίας παραινέσεων, ὑπ' ὀργῆς ἐξαχθεὶς φαίνεται, παρέκβασιν ἐποίησε περὶ τῆς Περσέως ἀπορίας. Ἐνταῦθα λοιπὸν πρὸς τὴν ὑπόθεσιν ἐπιστρεφόμενος, μεταβάλλει τὴν διάταξιν τοῦ ποιήματος καὶ εἰσπλέκει *στ. 405-447*, ἐν οἷς τὰς ἀναγκαίας προπαρασκευὰς ἀπαριθμεῖ. Ἐκ τούτων ὑπισχνεῖται αὐτῷ «τῶν χρεῶν ἀπότισιν καὶ τῆς ἐνδείας κώλυσιν».

404. *Οἶκον*] Οἱ παλαιοὶ τὴν «οἰκογένειαν» ἁπλῶς οἶκον ἢ οἰκίαν ὠνόμαζον, διότι οὐδέποτε σχεδὸν δύο οἰκοδεσπόται τὴν αὐτὴν οἰκίαν ᾤκουν, οἷον οἱ πέντε Βουσέλου υἱοὶ πέντε ἐπίσης οἰκίας εἶχον (Δημοσθ. 43, 19), καὶ δὴ πτωχῶν ἁλιέων παῖδες οἰκοδεσπόται ἐγένοντο (Ἡλιόδωρ. 5, 18). Τὴν οἰκίαν ὁ νεόγαμος ἔκτιζεν (Ἀπολλ. Ῥοδ. Ἀργοναυτ. 3, 37-8. Θεόκριτ. 27, 35-6, πρβλ. Ἰλ. Β 701). Νῦν δὲ τὸ ἔθος ἤτοι ἐντελῶς ἐξηφανίσθη ἢ περιωρίσθη — ἐν τῇ στερεᾷ Ἑλλάδι ὡς ἐπὶ τὸ πλεῖστον ὁ πρωτότοκος μένει ἐν τοῦ πατρός, ἐν Ὕδρᾳ ὁ νεώτατος — ἢ ὁ οἶκος ἀνήκει εἰς τὸν πενθερὸν (οἷον ἐν ταῖς πρὸς Ἀσίας νήσοις). Ἀμετάβλητον ὅμως διατηρεῖται παρὰ τοῖς ἐπὶ Θράκης Ἕλλησιν (Ἑλλην. Φιλολ. Συλλ. πρακτικῶν τ. Η', σ. 547). Ἄλλοθι δὲ οἱ ἔγγαμοι παῖδες μετὰ τῶν γονέων συνοικοῦσιν, ὅπερ ἔνθεν μὲν ὁμονοίας δεῖγμά ἐστιν, ἔνθεν δέ, ὡς πρὸς τὰ ἀρχαῖα, τὴν τῆς πενθερᾶς φήμην δεινῶς ἔβλαψεν.— Οὐ παραλείπομεν στίχους, οἵτινες πρὸς τὰ Ἡσιόδεια σχέσιν ἔχουσι: «Τὸ παιδί σου (ὑ)πάνδρευσες; γείτονα τὸ ἔκαμες» (Ἀραβαντ. Παροιμ. 1367 =Βενιζ. Τ 413), καὶ «Καλὴ μάνα, 'πάνδρευσέ με, σπιτονοικοκύρευσέ με» (Sanders, Volksleben σ. 56, ἀρ. 11)·

*βοῦ*] Κατὰ συναλοιφὴν ἐκ τοῦ δυϊκοῦ βόε ἐγένετο, καθάπερ βοῦς ἐκ τοῦ βόες.

406. Ὅπως μηδεὶς παρεννοήσῃ τὸ *γυναῖκα*, διακριβοῦται τί ἐννοεῖ, δούλην δῆθεν, οὐχὶ κουριδίαν γυναῖκα. Ἀναλόγως Εὔμαιος ὡς κτῆσιν αὐτοῦ ἀπαριθμεῖ «οἶκόν τε κλῆρόν τε πολυμνήστην (εὔμορφόν) τε γυναῖκα» (Ὀδ. ξ 62-3). Νῦν μὲν αἱ γυναῖκες μετέχουσι τῆς καλλιεργίας, καὶ τοῦτο ἐνίοτε τῶν ἀνδρῶν φιλοπονώτερον, τότε δὲ ἡ ἐλευθέρα γυνὴ ἔξω τῆς οἰκίας οὐδὲν εἰργάζετο: «Οὐ λέγει οὖν παλλακήν, ἀλλὰ φύλακα τοῦ οἴκου καὶ τῶν βοῶν. Μάτην οὖν λέγουσιν οἱ περὶ Τίμαιον Ἡσιόδῳ τὸν Ἀριστοτέλη πειθόμενον μετὰ τὴν τῆς γυναικὸς τελευτὴν Ἑρπυλλίδι συνεῖναι τῇ θεραπαίνῃ, ἐξ ἧς αὐτὸν σχεῖν υἱόν» (Σχόλιον).

407. *χρήματα*] Χρήσιμα ἢ ἀναγκαῖα· τὸ *δὲ* πρὸς ἀντιδιαστολὴν τῶν *τε* ὑποδηλοῖ, ὅτι τὸ κῶλον οὐκ ἀναλογεῖ τοῖς προηγουμένοις, ἀλλὰ συμπεριλαμβάνει ταῦτα.

*ἄρμενα ποιήσασθαι*] Παρασκευάσαι.

μή σὺ μὲν αἰτῇς ἄλλον, ὁ δ' ἀρνῆται, σὺ δὲ τητᾷ,
ἡ δ' ὥρη παραμείβηται, μινύθῃ δέ τε ἔργον.
Μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς θ' ἔννηφιν·
οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιὴν
οὐδ' ἀναβαλλόμενος· μελέτη δέ τοι ἔργον ὀφέλλει,
αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἀάτῃσι παλαίει.
Ἦμος δὴ λήγει μένος ὀξέος ἠελίοιο
καύματος ἰδαλίμου, μετοπωρινὸν ὀμβρήσαντος
Ζηνὸς ἐρισθενέος, μέτα δὲ τρέπεται βρότεος χρὼς

408. *αἰτῇς*] Μετὰ ζωηρότητός τινος βραχυλογεῖ ἀντὶ τοῦ εἰπεῖν: μὴ ἔχῃς χρείαν τοῦ αἰτεῖν.

*τητᾷ*] Τὸ ῥῆμα παράγεται ἀπὸ τοῦ ὀνόματος *τήτη* «ἀπορία, ἔνδεια, στέρησις» (Ἡσύχ.).

409. *ὥρη παραμείβηται*] Ἵνα μὴ ἡ εὐκαιρία παρέλθῃ. Πάλαι ποτέ, οἶμαι, ἡ ἄλλοτε σπανία φράσις, ἐν τῇ ποιήσει πολλὴ ἦν· ἐν τοῖς ὀλίγοις ἀποσπάσμασι πάντως τοῦ λυρικοῦ Μιμνέρμου εὑρίσκομεν «ἐπὴν παραμείψεται ὥρη» (3, 1) καὶ «τέλος παραμείψεται ὥρης» (2,9).

*μινύθῃ*] Ἀμεταβάτως τίθεται, ὥσπερ 244.

*ἔργον*] Ἡ εἰσοδεία (πρβλ. 119). Πῶς τοῦτο συμβαίνει, αὐτὸς πλατύτερον ἐμφαίνει ἐν τοῖς κατωτέρω (479 κἑ.).

410. ἀναφέρεται εἰς 407.

*ἔννηφι*] Παρὰ τὸ ἔν(ν)η, ὅπερ εὑρήσομεν στ. 770. Συνωνυμεῖ τῷ ἐπιρρηματικῷ ἔνης (ἔνας) τῶν Ἀττικῶν καὶ Δωριέων (Ἀριστοφ. Ἐκκλ. 796. Θεόκριτ. 18, 14).

411. *ἐτωσιοεργός*] Ἔπιθι 402.

*καλιήν*] Ἴδε 301.

412. *μελέτη*] Πρβλ. 380.

*ὀφέλλει*] Τῆς αὐτῆς λέξεως χρῆσιν ἐποιήσατο 14.—Πίνδαρος τὸν στίχον ἐξετίμησε τῷ μνημονεύειν τὴν γνώμην διαρρήδην (Ἴσθμ. 5 (6), 66-7): «Λάμπων δὲ μελέταν ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτο ἔπος».

413. *ἀμβολιεργός*] Ὁ ἀναβαλλόμενος τὸ ἔργον.

*ἀάτῃσι* (ἴδε 216) *παλαίει*] Ἡ μεταφορὰ ἡμῖν μὲν οὐ τῶν τυχουσῶν φαίνεται, τότε δὲ ἕνεκα τῆς πανταχοῦ ὑπὸ πάντων ἀσκουμένης πάλης ἐκ τῶν πεπατημένων ἦν.

414. *μένος ὀξέος ἠελίοιο*] Τὸ ἡμιστίχιον ἐγένετο ἐκ τοῦ Ὁμηρικοῦ *μένος ἠελίοιο* (Ἰλ. Ψ 190. Ὀδ. κ 160) καὶ ἀπαντᾷ αὐτολεξεὶ Ὕμν. Ὁμηρ. 2, 196. Συνωνυμοῦσιν «αὐγὴ ἠελίου ὀξεῖα» (Ἰλ. Ρ 371) καὶ «αὐγὰς ὀξέος ἠελίου» (Θεόγνιδ. 426). Τὸ ἐπίθετον εἰς τὴν ποίησιν ἀνήκει (περὶ ὧν ἔπιθι τὸ λεξικόν), ὅθεν ἐν τῇ κοινῇ συνηθείᾳ οὐχ ὑπάρχει.

415. *ἰδαλίμου*] Παρὰ τὸ *ἴδος* (Ἀσπ. 397) ἢ ἱδρώς.

*μετοπωρινόν*] Μετὰ τὴν ὀπώραν ἢ κατὰ τὸ φθινόπωρον. Ἡσίοδος ἐννοεῖ τὰ πρωτοβρόχια, ἤτοι τὸν πρῶτον ὑετόν, ὅστις γίνεται κατὰ τὸν Σεπτέμβριον (ὃν ἐν τῇ Ἀττικῇ διὰ τοῦτο *πρωτοβρόχια* ὀνομάζουσιν), ἢ τὸν Ὀκτώβριον, ὃς *δροσερὸς* ἐπονομάζεται. Ἡ βροχὴ αὕτη ἀναψύχει τὰ ἀπὸ τοῦ καύματος ἀποκαμόντα σώματα.

416. *Ζηνός*] Βροχή, χάλαζα, νιφετός, βροντὴ ὑπὸ τῶν παλαιῶν οὐκ ἀπροσώπως ἐξεφράζετο, ἀλλ' ἀνήγετο

πολλὸν ἐλαφρότερος (δὴ γὰρ τότε Σείριος ἀστὴρ
βαιὸν ὑπὲρ κεφαλῆς κηριτρεφέων ἀνθρώπων
ἔρχεται ἠμάτιος, πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ),
τῆμος ἀδηκτοτάτη πέλεται τμηθεῖσα σιδήρῳ
ὕλη, φύλλα δ' ἔραζε χέει πτόρθοιό τε λήγει·
τῆμος ἄρ' ὑλοτομεῖν, μεμνημένος ὥρια ἔργα.

εἰς τὸν βασιλέα τοῦ οὐρανοῦ, τὸν «Ὑέτιον», ὃς καὶ ὑπὸ τῶν Βοιωτῶν ἐλατρεύθη (Παυσαν. 9,39,4). Πρβλ. 488. 565. Ἰλ. Κ 5 κέ. Μ 25: ὗε Ζεύς, Ε 91. Λ 493. Μ 286: Διός ὄμβρος κά. (ἔπιθι π.χ. τὰ συλλεχθέντα ὑπ Εὐαγγ. Κοφινιώτου ἐν ταῖς Τρισὶν ἀπαντήσεσιν, Ἀθήν. 1884,σ. 25). Οἱ Χριστιανοὶ τὰς εὐσεβεῖς ταύτας φράσεις οὐκ ἀπέβαλον, ἐπειδὴ Χριστὸς αὐτὸς εἶπε (Ματθ. ε',45): «Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει (ὁ πατὴρ) ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Ὅθεν καὶ νῦν ἀνάλογοι ἐν χρήσει διατελοῦσι: Βρέχει ὁ Θεός, μὴ στάξ' ὁ Θεὸς καὶ βρέξῃ (Ἀραβαντ. Παροιμ. 739), ἐκεῖνος ἀποῦ συννεφιᾷ, κὴ ἀποβροντᾷ καὶ βρέχει (Passow δίστ. 242 ἐκ Κρήτης), χιόνισε, Θεέ μου, χιόνισε, καί, ῥῆξε, Θεέ μου, ῥῆξε (Κοφιν.αὐτ.).

*ἐρισθενέος*] Τὸ αὐτὸ ἐπίθετον ηὕρομεν Θ. 4.

*μέτα δὲ τρέπεται*] Πρότερον κατὰ τὸ θέρος χαλαρὸν γενόμενον, τὸ σῶμα (Πρβλ. Θ. 5) νῦν συστέλλεται καὶ ὁ ἄνθρωπος αἰσθάνεται ὡς ἀνανεωθείς.

417. *ἐλαφρότερος*] Γίνεται πάλιν εὐκίνητος.

*Σείριος ἀστήρ*] Ἐπειδὴ κατὰ τὴν τοῦ ἐσχάτου καύματος ἀρχὴν ἐπιτέλλει, τούτου αἴτιος ἐδοξάσθη καὶ ἐχορήγησε τὸ ὄνομα τῶν κυνικῶν καυμάτων ἢ κυνάδων ἡμερῶν (ἀπὸ τῆς κ' Ἰουνίου μέχρι τῆς λ' Ἰουλίου), καὶ δὴ ἐπὶ τῆς Κέω θυσίαις κατεπραΰνετο (Ἀπολλων. Ῥοδ. Ἀργοναυτ. 2, 518 κέ.). Οἱ παλαιοὶ δηλαδὴ τοῖς ἄστροις δύναμίν τινα μετεωρολογικὴν ἀπένειμαν (Εὐριπ. Ἑκάβ. 1101 **Ὠρίων** ἢ Σείριος ἔνθα πυρὸς φλογέας **ἀφίησιν ὄσσων** αὐγάς), ὅπερ οἱ νεώτεροί πως φυλάσσουσιν (Πρβλ. τὸ ἐν Νεοελλ. Ἀναλ. Α', σ. 301, ἀρ. 582 δημοσιευθὲν δίστιχον: Αὐγερινὸς θὲ νὰ γενῶ, νὰ λάμψω 'σὰν ἀστέρι, νὰ καύσω μιὰ μελαχροινὴ ποῦ λέ' πῶς δέν με θέλει).

418. *βαιόν*] Ὀλίγον χρόνον.

*κηριτρεφέων*] Τῶν τρεφομένων πρὸς τὴν κῆρα (Θ. 211), κατὰ παρῳδίαν τοῦ Διιτρεφής.

419. *ἠμάτιος*] Τῆς ἡμέρας· ἐπειδὴ πρότερον, κατὰ τὸν Ἰούλιον συνανατέλλει τῷ ἡλίῳ καὶ ἅμ' αὐτῷ δύεται. Νῦν λοιπὸν ὁρᾶται μᾶλλον κατὰ τὴν νύκτα.

*ἐπαυρεῖ*] Κυρίως ταὐτὸ βούλεται, ὃ ἀπολαύει.

420. *ἀδηκτοτάτη*] Ἐπ' ἀληθείᾳ τὸ ξύλον, καλῶς ἀποξηρανθὲν κατὰ τὸ θέρος, στερεώτερόν ἐστιν ἢ κατὰ τὴν μετοπώραν καὶ χειμῶνα, ἐπεὶ αἱ βροχαὶ ὑγρὸν αὐτὸ ἀπετέλεσαν. Ἄλλας αἰτίας μνημονεύει ὁ ποιητὴς ἐν τῷ ἑπομένῳ στίχῳ.

*σιδήρῳ*] Κατὰ μετωνυμίαν ἀντὶ τοῦ σιδηροῦ πελέκεως.

421. *ὕλη*] Ξύλα.

*ἔραζε*] = χαμάζε. Κατὰ τὸν ἀστρονόμον Γέμινον, ἡ φυλλορροὴ ἄρχεται τῇ λ' Ὀκτωβρίου (σ. 179, 13, ἔκδ. Wachsmuth).

*πτόρθοιο*] Τῆς βλαστήσεως παύονται.

422. Πάλιν παραινεῖ τὸ ἐν καιρῷ ἐργάζεσθαι.

Ὅλμον μὲν τριπόδην τάμνειν, ὕπερον δὲ τρίπηχυν,
ἄξονά θ' ἑπταπόδην· μέγα γάρ νύ τοι ἄρμενος οὕτω.
Εἰ δέ κεν ὀκταπόδην, ἄπο καὶ σφῦράν κε τάμοιο.
Τρισπίθαμον δ' ἀψῖν τάμνειν δεκαδώρῳ ἁμάξῃ.
Πόλλ' ἐπικαμπύλα κᾶλα· φέρειν δὲ γύην, ὅτ' ἂν εὕρῃς,
ἐς οἶκον, κατ' ὄρος διζήμενος ἢ κατ' ἄρουραν,

423. *Ὅλμος*] (Ἄλλως δὲ ἴγδη ἢ ἰγδίον, ὃ καθ' ἡμᾶς προφέρουσι 'γδὶ ἢ γουδί) κατασκευάζεται νῦν εἰσέτι ἐν τῇ Ἑλλάδι ἀπὸ ξύλου (τὰ μάλιστα πλατάνου ἢ λεύκης), τὸ δὲ σχῆμα αὐτοῦ περιφερές, ἐπειδὴ μέρος τοῦ στελέχους ἀποτέμνεται, ὅπως ἐκκοιλαίνηται. Ὁ Ἡσιόδειος μέντοι ὅλμος διαφέρει ὀλίγον τι τοῦ νῦν ἐν χρήσει ὄντος. Οὗτος δηλαδὴ ποδιαῖος σχεδόν ἐστι καὶ εὐχρηστεῖ εἰς τὸ συντρίβειν καὶ πτίσσειν ἀμύγδαλα καὶ τἆλλα ὄσπρια (Πρβλ. καὶ Σχολ. Ἀριστοφάν. Σφῆκ. 238. Εὐστάθ. εἰς Ὁμ. Ἰλ. σ. 770). Ἡσίοδος δὲ πολὺ μείζονα ὅλμον ἀποζητεῖ, ὅπως δῆθεν κατατρίβηται ἡ κριθή (ἴδε Ἐτυμολογικὸν Γουδιανὸν σ. 425, 50, Κύριλλον ἔκδ. Βαλκεναρ. ἐν παραρτήματι τοῦ Ἀμμωνίου σ. 183 ὅλμος ἐν ᾧ πτίττουσι τὰς κριθάς, πρβλ. καὶ Ἀριστοφάν. Σφῆκ. 238: τῆς ἀρτοπώλιδος λαθόντ' ἐκλέψαμεν τὸν ὅλμον). Τούτους λοιπὸν ἔδει πολὺ εὐρυχωροτέρους εἶναι, καὶ δὴ τριπόδης φαίνεται ὁ ὅλμος, εἰς ὃν δύο γυναῖκες μετὰ μακρῶν κοπάνων κόπτουσιν, ἀπεικονισθεὶς ἐν ἀρχαίου ἀγγείου ζωγραφίᾳ (ἴδε Blümner, Technologie und Terminologie der Gewerbe Α΄, σ. 22). Μετὰ πλείστου θαύματος ἀνέγνωμεν ἐν τῇ Ἰωακεὶμ Βαλαβάνη περὶ Ἀραβανίου διατριβῇ (Παρνασσός τ. ΙΑ΄, σ. 324): «**Ὅλμος**. Οὕτω καλοῦσι τὸ μέγα λίθινον ἰγδίον τοῦ χωρίου, ἔνθα κοπανίζεται ὁ βεβρασμένος καὶ ἀπεξηραμμένος σῖτος, κατασκευαζόμενος εἰς *πληγοῦρι*, ἀναπληροῦν παρ' ἡμῖν τὴν *ὄρυζαν*». Κατωτέρω γὰρ εὑρήσομεν, ὅτι Ἡσίοδος ἐγίνωσκε τὸ «πληγοῦρι» καὶ μεθ' ἡδυπαθείας ἤσθιεν (590), ὅθεν καὶ τὸ πρὸς τοῦτο ὄργανον αὐτῷ διέφερεν. Προστίθεμεν, ὅτι εἰς τοιοῦτο σκεῦος Ἀνάξαρχος ὁ φιλόσοφος ἐμβληθείς, σιδηροῖς ὑπέροις κατειργάσθη (Διογέν. Λαέρτ. 9,10,59).

*τάμνειν*] Ἔξω τῆς Ἀττικῆς οἱ Ἕλληνες ἅπαντες οὕτω ἔλεγον ἀντὶ τοῦ τέμνω.

*ὕπερον*] Νῦν εἰσέτι τὸ *γουδοχέρι* ἢ *γουδόχερο* ἐκ ξύλου ποιεῖται (Πρβλ. Αἰνέαν ἐν Πολιορκητικοῖς 32,3, Λουκιαν. Φιλοψευδ. 35, Δημών. 48). Τὸ μῆκος καταλαμβάνεται ἐκ τοῦ ὅτι ὁ ὅλμος ἐπὶ τοῦ ἐδάφους ἕστηκεν, ὥσπερ ὁρῶμεν ἐν τῇ ζωγραφίᾳ ἐκείνῃ.

424. *ἄρμενος*] ἐπιτήδειος. Αἱ ἅμαξαι λοιπὸν ἦσαν πολὺ εὐρύχωροι.

425. Τὸ ῥῆμα ἀναφέρεται καὶ πρὸς τὴν ὑπόθεσιν. Ἂν εὕρῃς ξύλον ὀκτὼ ποδῶν, ὁ ὄγδοος εὐχρηστείτω ὡς σφῦρα, ἐργολαβίδος ἐννοεῖται ἐμβληθείσης.

426. *ἀψῖν*] Ἰδιωτικῶς ἀντὶ τοῦ ἀψῖδα (σῶτρον τροχοῦ).

*δεκαδώρῳ*] Δέκα δώρων, ἤτοι παλαιστῶν.

427. *ἐπικαμπύλα*] Ὀλίγον καμπύλον, ἵνα κυρτωθῶσιν ἐντελῶς.

*κᾶλα*] Ἢ κῆλα ὀνομάζονται τὰ ξύλα Πρβλ. τὸ νῦν «καλαπόδι».

*γύην*] Ἴδε 431.

428. Ὁ ἔμπειρος τῆς χώρας Πλούταρχος ἐπισημειοῦται: «Οὐ γὰρ εὔπορος Βοιωτοῖς ἡ πρῖνος, ἀλλὰ τοῖς πτελείνοις ἀντὶ τῶν πριvίνων χρῶνται, τὰς

πρίνινον· ὃς γὰρ βουσὶν ἀροῦν ὀχυρώτατός ἐστι,
εὖτ' ἂν Ἀθηναίης δμωός, ἐν ἐλύματι πήξας,
γόμφοισιν πελάσας προσαρήρεται ἱστοβοῆϊ.
Δοιὰ δὲ θέσθαι ἄροτρα, πονησάμενος, κατὰ οἶκον,
αὐτόγυον καὶ πηκτόν, ἐπεὶ πολὺ λώϊον οὕτω

γύας κατασκευάζοντες». Διὸ ἐξεπίτηδες αὐτὰς ἀναζητεῖν δέον. Νῦν, ἐπὶ τὰ δάση ὡς ἐπὶ τὸ πλεῖστον ἐκτέτμηνται ἢ ἐκκέκαυνται, ὁ γεωργὸς ἧττον σιχχός ἐστι λαμβάνειν ὅ,τι ἂν εὑρίσκῃ.

429. *πρίνινον*] Ἀναφέρεται εἰς γύην, κατέχον ἐπίσημον θέσιν· τὸ ξύλον τῆς πρίνου (*πουρνάρι*, ἡ δὲ παλαιὰ λέξις ἐπὶ Κρήτης ἀμετάβλητος ἔμεινεν) ἰσχυρότατόν ἐστιν (Θεοφράστ. Ἱστ. Φυτ. 5, 4, 8, 7, 6). Καθ' ἡμᾶς ἐν τῇ πολυξύλῳ Θράκῃ τὸ ἄροτρον ποιοῦσιν ἐκ λύγου, τὸ δὲ ζυγὸν ἐκ πεύκης (Ἑλλην. Φιλολ. Σύλλ. τ. Η', σ. 427, ἀριθ. 19, 5).

430. *Ἀθηναίης δμωός*] Ἀθηνᾶ καὶ τῶν ξυλουργῶν προστάτις ἦν, ἐπειδὴ διηύθυνε τὴν κατασκευὴν τοῦ Τρωϊκοῦ ἵππου καὶ τῆς Ἀργοῦς (Ἰλ. Ε 61. Ο 412 κἀ.)· ὃ δὲ μεῖζον ἐν τῷ εἰς Ἀφροδίτην Ὕμνῳ (12-3) εὑρίσκομεν τὰ ἑξῆς: «Πρώτη τέκτονας ἄνδρας ἐπιχθονίους ἐδίδαξεν σατίνας τε καὶ ἅρματα ποικίλα χαλκῷ». Ἀθηνᾶς λοιπὸν **Ἐργάνης** λατρευομένης ἐν Θεσπιαῖς (Παυσαν. 9, 26,8, πρβλ. Καλλιμάχ. Ὕμν. εἰς Παλλάδα 60), οἱ αὐτόθι ξυλουργοί, κατὰ τὸ παλαιὸν ἔθος, «σύνοδον» συνεκρότουν ἐν διωρισμένῃ ἡμέρᾳ θυσίας προσφέροντες τῇ Ἀθηνᾷ. *Δμωός* ἢ δοῦλος λοιπὸν ἀντιστοιχεῖ τῷ ἡμετέρῳ *προσκυνητής*.

*ἐλύματι*] Τὴν ἐξήγησιν ἀναβάλλομεν εἰς 431.

431. *πελάσας*] Συνδήσας.

*προσαρήρεται*] Ὑποτακτικὸς τοῦ ἀναδεδιπλασιασμένου ἀορίστου τοῦ μέσου γένους. Τὸ θέμα ΑΡ διεκτείνεται εἰς *ηρ*, ὥσπερ ΟΡ ἐν τῷ Ὁμηρικῷ ὀρώρεται.

Τὸ ἄροτρον (Κυπριακῶς *ἄλετρον* κοινῶς *ἀλέτρι*) συνέστηκε α') ἐκ τῆς *ἐχέτλης* (στ. 469, ἔχερη, ὄχηρι, χέρι, χερούλι, ἀλετρόχερο), ἣν κρατεῖ ὁ ἀρῶν, β') τοῦ *ἐλύματος* (Ἑλληνιστικῶς νύμφη, χυδαίως ἀλετροπόδι. Κυπρ. πόϊν, Κρητ. ποδάρι, Ἀττ. καὶ Ἀλβανιστὶ κουντοῦρι), εἰς ὃ ἐμβάλλεται ἡ μικρὰ ἐκ σιδήρου *ὕννις* (ὑννί, γυν(ν)ί, γενί, ἑνί, νί, Τραπεζουντ. γύννι), γ') τῆς *γύης* (σταβάρι, κλειδί, Ἀλβαν. δόστεζα), ἧς τὸ κυρτὸν μέρος ἐμπηγνύεται εἰς τὸ μέσον «ἔλυμα», ῥάβδου κυρτῆς πρὸς τούτοις διεμβαλλομένης δι' ἀμφοτέρων, δ') τοῦ *ἱστοβοέως* (τιμόνι, μάτισμα, Κυπρ. βουλά), ὃς παρατείνει τὴν γύην καὶ φέρει τὸ ζυγόν. Χειρόγραφα τῶν Ἡσιόδου καὶ Θεοκρίτου ποιημάτων, γραφέντα κατὰ τὸν ιϛ' αἰῶνα, περιέχουσιν εἰκόνα τῶν γεωργικῶν ὀργάνων, ἀλλὰ ταῦτα φαντάσματα, ὀρθότερον δὲ εἰπεῖν, οἱ ἀντιγραφεῖς ἀναχρονίζουσιν. Ἐκτὸς τῶν παλαιῶν μαρτυριῶν καὶ εἰκόνων, τὸ ἄροτρον, οἷον καθ' ἡμᾶς εἰσέτι εὐχρηστεῖ—εἰς τὴν Ἀργολίδα τὸ Εὐρωπαϊκὸν εἰσήχθη—κάλλιστα τὸ σχῆμα τοῦ ἀρχαίου προφαίνει. Ἐν τῇ μακρᾷ τῶν αἰώνων σειρᾷ οὐκ ἔπαθε μεταβολήν, εἰ μὴ μάλιστα προσῆλθον τὰ πτερὰ (φτερά, Κρητ. παρούτια, στραβόξυλα ξυλαύτια) ἕνεκα τοῦ πλατύνειν τὴν αὔλακα.

432. *Δοιά*] Παράγεται ἀπὸ τοῦ δύο διὰ τῆς ιός καταλήξεως.

433. *αὐτόγυον*] Οὗ ἡ γύη καὶ ὁ

(εἴ χ᾽ ἕτερον ἄξαις, ἕτερόν κ᾽ ἔπι βουσὶ βάλοιο)·
δάφνης δ᾽ ἢ πτελέης ἀκιώτατοι ἱστοβοῆες,
δρυὸς ἔλυμα, γύης πρίνου· βόε δ᾽ ἐνναετήρω
ἄρσενε κεκτῆσθαι—τῶν γὰρ σθένος οὐκ ἀλαπαδνόν—
ἥβης μέτρον ἔχοντε· τῷ ἐργάζεσθαι ἀρίστω,
οὐκ ἂν τώ γ᾽ ἐρίσαντ᾽ ἐν αὔλακι κὰμ μὲν ἄροτρον
ἄξειαν, τὸ δὲ ἔργον ἐτώσιον αὖθι λίποιεν.
Τοῖς δ᾽ ἅμα τεσσαρακονταετὴς αἰζηὸς ἕποιτο,
ἄρτον δειπνήσας τετράτρυφον ὀκτάβλωμον,

ἱστοβοεὺς πεποίηνται ἐξ ἑνὸς κόμματος καὶ οὐχὶ συνδέονται διὰ γόμφων, ὥσπερ ἐν τῷ *πηκτῷ* (περὶ τῆς λέξεως ἔπιθι τὴν εἰς Εὐρ. Φοιν. 492 σημείωσιν τοῦ Δ. Βερναρδάκη).

434. *ἕτερον*] Ἀντὶ ἀναπαίστου μετρεῖται, διότι τὸ ἄγνυμι εἶχε τὸ δίγαμμα.

*ἔπι βουσί*] Ἐπειδή, ὡς εἴπομεν, τὸ ζυγὸν κρέμαται ἐκ τοῦ ἱστοβοέως.

435. *πτελέης*] Τὸ ξύλον αὐτῆς καὶ νῦν ἐκτιμᾶται ὑπὸ τῶν ἁμαξουργῶν. Πρβλ. Θεοφράστ. Ἱστ. Φυτ. 5, 4, 3: «Ἄλλο πρὸς ἄλλο καὶ ἐν ἄλλῳ ἀσαπὲς οἷον πτελέα μὲν ἐν τῷ ἀέρι, δρῦς δὲ κατορυττομένη καὶ ἐν τῷ ὕδατι καταβρεχομένη».

*ἀκιώτατοι*] Παρὰ τὸ *κίς*, ὃ ἐνταῦθα ἐμφαίνει τὰς τερηδόνας. Τῷ ὄντι ἐν ταῖς δάφναις καὶ πτελέαις ὀλίγα ἔντομα κατοικοῦσιν. — Ἡ γενικὴ δηλοῖ τὴν ὕλην.

436. Ὁ στίχος, ὡς λέγουσιν οἱ μετρικοί, ἐκ τῶν ἀκεφάλων ἐστίν. Τὸ τῆς δρυὸς ξύλον, ὡς παρὰ Θεοφράστου μανθάνομεν, ἐν τῇ γῇ ἥκιστα σήπεται.

*βόε*] Δύο βοῦς καὶ νῦν ζευγνύουσιν εἰς τὸ ἄροτρον.

*ἐνναετήρω*] Μετὰ ἐννέα ἔτη οἱ βόες τέλειοι τὴν ἡλικίαν εἰσὶ καὶ ἐν τῇ τῆς ῥώμης ἀκμῇ. Ἡσίοδος τοῦτο προστάσσει, ὅτι οἱ γεωργοὶ συνήθως τοὺς τεσσάρων ἢ ἓξ ἐτῶν ὄντας βοῦς μεταχειρίζονται. Ταὐτὸ ἔτος μνημονεύεται Ὀδ. κ 19 (:ἀσκὸν βοὸς ἐννεώροιο).

437. Ὁ στίχος ἀναπληροῦται δι᾽ Ὁμηρικοῦ ἡμιστιχίου (Ὀδυσσ. σ 373: τῶν τε σθ. οὐκ ἀ.).

*ἀλαπαδνόν*] Παρὰ τὸ ἀλαπάζω (ἐξολοθρεύω).

438. *ἥβης μέτρον*] Τὸ καλὸν μέτρον τῆς ἡλικίας. Ἐκ τῆς αἰτιολογίας (439) γινώσκομεν ὅτι ἀντιτίθησι νεωτέρους βοῦς, οἵτινες ταραχωδῶς καὶ ἀνωμάλως σύροντες τὸ ἄροτρον πρὸς ἀλλήλους ἐρίζουσιν.

439. *κάμ* ] Τὸ *κατὰ* ἀφωμοίωται πρὸς τὸ ἑπόμενον σύμφωνον.

440. *ἐτώσιον*] Ἀτελείωτον.

*αὖθι λίποιεν*] Αὐτόθι, ἐν τῇ αὔλακι.

441. *αἰζηός*] Πρβλ. Θ. 863.

*τεσσαρακονταετής*] Ἡ ἡλικία αὕτη κατὰ τοὺς παλαιοὺς ἀκμὴ τῆς διανοίας ἐστίν.

442. Λαμβανέτω δὲ πολλὴν τροφήν, ὅπως μήτε ἀδύνατος ᾖ μήτε κλέπτῃ σπέρμα.

*δειπνήσας*] Ἤτοι δειπνήσας τῇ προτεραίᾳ ἑσπέρᾳ ἢ καὶ δεξάμενος τὸν ἄρτον ὡς ἑστίαμα πρὸ τοῦ ἐξελθεῖν, ὥσπερ οἱ τῆς Θεσσαλίας ποιμένες· ἐν ταῖς Ὁμηρικαῖς ἐποποιΐαις δηλαδὴ ἡ λέξις γενικωτέραν σημασίαν ἔχει ἢ ὕστερον.

*τετράτρυφον*] Παρὰ τὸ τρύφος, ου (κλάσμα ἄρτου, Ἡσύχ.) ἢ θρύπτω·

ὅς κ' ἔργου μελετῶν ἰθείην αὔλακ' ἐλαύνοι,
μηκέτι παπταίνων μεθ' ὁμήλικας, ἀλλ' ἐπὶ ἔργῳ
θυμὸν ἔχων· τοῦ δ' οὔτι νεώτερος ἄλλος ἀμείνων
σπέρματα δάσσασθαι καὶ ἐπισπορίην ἀλέασθαι,
κουρότερος γὰρ ἀνὴρ μεθ' ὁμήλικας ἐπτοίηται.
Φράζεσθαι δ', εὖτ' ἂν φωνὴν γεράνου ἐπακούσῃς
ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης,

δὲ *ὀκτάβλωμον* παράγεται ἀπὸ τοῦ βλωμός, ὅπερ Ἡσύχιος καὶ ὁ Ἐτυμολόγος ἐξηγοῦνται ψωμός· τὸ δὲ σχῆμα Ἀθήναιος ὁ Ναυκρατίτης (Δειπνοσ. 3, 114 e) ἀποδεικνύει: «βλωμιλίους ἄρτους (Φιλήμων) λέγει τοὺς ἔχοντας ἐντομάς, οὓς Ῥωμαῖοι κοδράτους λέγουσι». Ἐκ τούτων ἐξάγεται, ὅτι οἱ ἄρτοι τετράγωνοι καὶ διὰ τεσσάρων διαγωνίων εἰς ὀκτὼ μέρη διῃρημένοι ἦσαν. Τὸ δὲ τετράτρυφον ἀναφέρεται συγχρόνως εἰς τὸ θλίβεσθαι καὶ φυρᾶσθαι τοὺς ἄρτους (Πρβλ. Συμεὼν Σὴθ κεφ. 1, σ. 18,12: παρὰ δὲ τὴν ἐργασίαν, ὅτι ὁ μάλα ἐζυμωμένος καὶ τεθλιμμένος ἄρτος εὔπεπτος· καὶ δὴ ἐζυμωμένοι ἦσαν, ὡς μαρτυρεῖ Φιλόστρατος Εἰκόν. 2,26, σ. 430, 1 Kayser: ζυμίτας ἄρτους — ἢ ὀκταβλώμους). Ὁ θεριστὴς νῦν ἐσθίει, ἐκτὸς τῶν κρομμύων, ἐλαῶν κτλ., ἥμισυ «καρβέλι», ἤτοι ἡμίσειαν «ὀκὰν» ἄρτου (641 γρ.).

443. Τὸ τοῦ *ἔργον* δίγαμμα διεκτείνει τὸ ἀναφορικόν.

* *ἰθείην*] Ἐν τῇ Ἰωνικῇ διαλέκτῳ τὰ θηλυκὰ τῶν εἰς υς ἐπιθέτων ἐνίοτε καθ' ὁμοιότητα τῶν εἰς ος τὴν κατάληξιν η παραλαμβάνουσιν.

444. *μηκέτι*] Ὥσπερ νεώτερος γεγονώς.

445. *ἄλλος*] Πλεονάζει.

446. «Ἐπισπορία ἐστὶν ὅταν τις εἰς τὸ αὐτὸ σπέρμα σπέρμα ἕτερον ἐπεμβάλῃ, ὃ δεῖ φυλάττεσθαι» (Πολυδεύκους Ὀνομαστ. 1,223). Ἡ λέξις λέγεται ὅτι εἰσέτι ὑπάρχει. Αἱ Ἡσιόδου παραινέσεις ἀπέριττοί εἰσι καὶ νῦν ἂν ἐνθυμηθείη περὶ αὐτῶν ὅστις ἂν περιπατῇ μεταξὺ ἀγρῶν ἔνθεν μὲν δασέων, ἔνθεν δὲ γυμνῶν. Ὀλίγοι γὰρ ἐπίστανται τὸ σπείρειν εἰς γραμμὰς ὀρθὰς καὶ δίχως ἐπισπορίας. (Περιηγητής τις τοὺς Κρῆτας μνημονεύει, ὅτι «ἄκροις δακτύλοις» σπείρουσιν). Πάλαι ποτὲ ἡ τέχνη αὕτη πολὺ σπουδαιοτέρα ἦν, διότι τὰς «σβάρνας» οὐκ εἶχον.

447. Ἐκφράζει τὸν 444 θετικῶς. *Κουρότερος* γὰρ ταὐτὸ βούλεται τῷ νεώτερος, *ἐπτοίηται* δὲ (παρὰ τὸ πτοιάομαι, ὃ ἀνήκει εἰς τὴν ῥίζαν τοῦ πτήσσω, πτώσσω) χυδαιότερόν πως ἐμφαίνει τὸ περιέργως παπταίνειν.

448. Δευτέρα ἀρχὴ τῶν Ἔργων.

Πρῶτον μὲν οὖν προσέχειν χρὴ εἰς τὰς γεράνους, αἵ, πλησιάζοντος τοῦ χειμῶνος, ἐκ τῶν πρὸς βορρᾶ χωρῶν φεύγουσιν εἰς τὴν Ἀφρικήν. Τὴν Ἑλλάδα λοιπὸν διέρχονται «φθινοπώρου ἤδη μεσοῦντος» (Αἰλιαν. π. ζῴων 3, 13) ἤτοι τοῦ Μαιμακτηριῶνος (Ἀριστοτέλ. Ἱστ. ζῴων 9, 12), ὅσπερ ἀντιστοιχεῖ τῷ Ἑλληνικῷ Ὀκτωβρίῳ.

449. *ὑψόθεν*] Ἡ γέρανος ἐν καλῷ καιρῷ ὑψηλῶς ἵπταται, διὸ *ὑψιπέτης* καλεῖται (Ἀντιπάτρ. Σιδον. ἐπιγρ. 105, 2, πρβλ. Ἀριστοτέλ. Ἱστ. ζῴων 9,10. Ἄρατ. 299. Αἴσωπ. 397 b: ἀστέρων ἐγγύτατα φωνῶ καὶ εἰς τὰ οὐράνια ὕψη ἵπταμαι).

Ἡσίοδος οὐ μιμεῖται δουλικῶς τὸν Μαιονίδην, καίτοι οὗτος ἐν ἀρχῇ τῆς

ἥτ' ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην
δεικνύει ὀμβρηροῦ, κραδίην δ' ἔδακ' ἀνδρὸς ἀβούτεω·
δὴ τότε χορτάζειν ἕλικας βοῦς ἔνδον ἐόντας·
ῥηΐδιον γὰρ ἔπος εἰπεῖν «Βόε δὸς καὶ ἄμαξαν»,
ῥηΐδιον δ' ἀπανήνασθαι «Πάρα δ' ἔργα βόεσσιν».
Φησὶ δ' ἀνὴρ φρένας ἀφνειὸς πήξασθαι ἄμαξαν,

Γ τῆς Ἰλιάδος πασιγνώστους στίχους περὶ τοῦ αὐτοῦ πράγματος ἐποίησεν.

450. *σῆμα φέρει*] Τοῦτο οὐχ Ἡσίοδος ἀνηῦρεν, ἀλλὰ ἐκ τῆς λαϊκῆς σοφίας ἠρύσατο. Ἀριστοφάνης τὰ «πρώϊμα» μετὰ τῆς τῶν γεράνων ἀποχωρήσεως συνάπτει: «σπείρειν μέν, ὅταν γέρανος κρώζουσ' εἰς τὴν Λιβύην μεταχωρῇ, καὶ πηδάλιον τότε ναυκλήρῳ φράζει κρεμασάντα καθεύδειν· διὸ φίλος τοῦ ἀρότρου (Θεόκριτ. 10, 30) καὶ Δήμητρος ἄγγελος (Πορφυρ. π. ἀποχῆς) προσαγορεύεται καὶ ἐν ἀγγείου ζωγραφίᾳ παραστάτις αὐτῆς ἐκφαίνεται (Gerhard, Antike Vasenbilder, πίν. 46).

*χείματος*] Αἱ γέρανοι καὶ κατὰ τὸν τῶν αὐτοκρατόρων αἰῶνα «χείματος ἀμφίπολοι» (Τρυφιόδωρ. 352) ὑπελαμβάνοντο καὶ νῦν, κατὰ Λελέκον (ἐν τῷ τοῦ Δέφφνερ Ἀρχείῳ σ. 237) τὸν χειμῶνα μηνύουσιν. Πρβλ. καὶ τὸ Ἀράτου ποίημα στ. 1075-81.

451. *ὀμβρηροῦ*] Ἡ ὑετία δηλαδὴ ἀπὸ τοῦ Ὀκτωβρίου διεκτείνεται μέχρι τοῦ Μαρτίου.

Ἡσίοδος οὐδαμοῦ τὰ ἠθικὰ παραλείπει, ὑπομιμνήσκων τὸν ἀδελφόν, πόσον λυπηρὰ ἡ μνεία τῆς παραμεληθείσης εὐδαιμονίας. Θέογνις δὲ παθητικῶς τὸ χωρίον αἰνίττεται (1197 κἑ.), ὅτι αὐτὸς πεῖραν ἔλαβε τῆς ἀληθείας: «Καί μοι κραδίην ἐπάταξε μέλαιναν ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρόν» (1199-1200).

*ἀβούτης*] Ἀντιτίθεται τῷ *βούτῃ* ἤτοι βουφορβῷ, ὥσπερ ἀδώτης (355) τῷ δώτῃ. Πολλοὶ οὐδὲ ἕνα βοῦν κέκτηνται, ὅθεν ἐπὶ ἐνδεεστάτων λέγουσι: «Μ' ἕνα βόϊδι ὅλοι κά(μ)νουμε(ν)» (Ἀραβαντ. Παροιμ. 1736, Βενιζ. Μ 65).

452. Κομιστέον τοὺς ἔξω νεμομένους βοῦς εἰς τὴν οἰκίαν («ἔνδον»), ὅπως ἀποβάλωσι τὸ ἀχαλίνωτον.

*χορτάζειν*] Ἐνταῦθα κυρίως κεῖται, ἀπὸ τοῦ χόρτου (606-7), οὗ τὰ εἴδη Θεόφραστος (Αἰτ. φυτ. 2,17,6) ἀπαριθμεῖ: «. . . ἡ ἰξία καὶ ἡ στελὶς καὶ τὸ ὑφέαρ· τούτοις γὰρ δὴ καὶ τοὺς βοῦς καὶ τὰ ὑποζύγια χιλεύουσι καὶ τρέφουσι μετὰ τοὺς θερισμούς».

*ἕλικας βόας*] Ἡ παρὰ Ὁμήρῳ συχνάζουσα φράσις ἑρμηνεύεται ἐν Ὕμν. Ὁμηρ. 3,192: «βοῦς . . . . κεράεσσιν ἑλικτάς» (καμπύλας τὰ κέρατα).

453-4. Χαριέντως καὶ ἀστείως μικρὸν εἰδύλλιον περιεμπλέκει τοὺς γεωργοὺς εἰσάγων διαλεγομένους.

*ἄμαξαν*] Πρὸς τὸ καταφέρειν ξύλα ἐκ τῶν δασῶν. Ὅτι χρεία ξύλων ἔσται πρὸς τὸν χειμῶνα, Περσεὺς οὐχ ἧττον ἐπίσταται ἢ ὁ ποιητής.

454. *δ'*] Οἱ λογογράφοι πρὸς ἀντιθετικὰς ἀποκρίσεις μεταχειρίζονται τὸ *ἀλλὰ* μόριον, οἱ δὲ ποιηταὶ καὶ τὸ *δέ*.

455. Οὐδὲ ἅμαξα εὐθὺς τελειοῦται, ἀλλὰ χρῄζει προπαρασκευῆς.

*φρένας ἀφνειός*] «Οὐκ ἀληθῶς ὢν εὔπορος, ταῖς ἑαυτοῦ φαντασίαις ταῖς κεναῖς οἴεται εἶναι εὔπορος» (Πρόκλος). Ἡ εὐφυολογία Ἡσιόδου οἰκεία.

*πήξασθαι*] (Πρβλ. πηκτὸν 433). Τὸ ἀπαρέμφατον τοῦ ἀορίστου συχνάκις ἀντικαθίστησι τὸ τοῦ μέλλοντος,

νήπιος, οὐδὲ τὸ οἶδ', ἑκατὸν δέ τε δούρατ' ἀμάξης·
τῶν πρόσθεν μελέτην ἐχέμεν, οἰκήϊα θέσθαι.
Εὖτ' ἂν δὲ πρώτιστ' ἄροτος θνητοῖσι φανήῃ,
δὴ τότ' ἐφορμηθῆναι, ὁμῶς δμῶές τε καὶ αὐτός,
αὔην καὶ διερὴν ἀρόων ἀρότοιο καθ' ὥρην,
πρωῒ μάλα σπεύδων, ἵνα τοι πλήθωσιν ἄρουραι·
ἔαρι πολεῖν, θέρεος δὲ νεωμένη οὔ σ' ἀπατήσει.
Νειὸν δὲ σπείρειν ἔτι κουφίζουσαν ἄρουραν·

καίτοι ἀξιολογώτατοι κριτικοὶ τὰ παραδείγματα ἅπαντα ἐξ εἰκασίας ἀφανίζουσιν. Ἀλλὰ κυρίως οὐχὶ ἡ κατάληξις τοῦ ἀορίστου, ἀλλ' ἡ αὔξησις ἐδήλου τὸ παρελθόν.

456. Πρὸς τὸ πρῶτον ἡμιστίχιον παράθες στ. 40 μετὰ τοῦ σχολίου. Ὁ μωρὸς οὐκ οἶδεν ὅτι ἀναρίθμητα (περὶ τοῦ *ἑκατὸν* ἴδε 130) ξύλα ἀναγκαῖα ἕνεκα τῆς τελειώσεως. Τὸ δεύτερον ἡμιστίχιον παρὰ τοῖς παλαιοῖς πολὺ ἦν, ἐξ οὗ ὁ Πλατωνικὸς Σωκράτης ὡς παροιμίᾳ αὐτῷ ἐχρήσατο (Θεαίτητ. σ. 207 a). Τὸ παρατακτικὸν *δέ τε* τῷ τὴν Ἑλληνικὴν γλῶσσαν ἐκ βιβλίων μαθόντι πολλὴν ἀπορίαν χορηγεῖ· ὁ δὲ Ἕλλην χαίρει, παράδειγμα ἀνευρὼν παλαιότατον τῆς συνήθους παρατάξεως (δέν το ξεύρει **καὶ** ἑκατὸ εἶνε τὰ ξύλα).

457. Περὶ τούτων φρόντιζε, ἤτοι περὶ τοῦ κομίζειν εἰς τὴν οἰκίαν. Ἐνταῦθα αἱ προπαρασκευαὶ τέλος ἔχουσι, διὸ ἐν τοῖς ἑξῆς ἄρχεται τὸ δεύτερον τῶν περὶ τὴν καλλιεργίαν.

458-492. Περὶ τοῦ ἀρότου.

458. *πρώτιστα*] Ἐντείνει τὴν σύνδεσιν (ἅμα).

*ἄροτος*] Ὁ τοῦ ἀρότου καιρός.

*φανήῃ*] Ὑποκείμενος, κατὰ τὴν Ὁμηρικὴν διάλεκτον.

459. Διαρρήδην παραινεῖ τὸ αὐτοπροσώπως ἐργάζεσθαι μετὰ τῶν δούλων.

460. Ἄν τε ἡ γῆ (αὔτη γὰρ λείπει) ξηρὰ ἄν τε τρυφερά· ἐπαναφέρεται εἰς 388-90.

461. *πρωΐ*] Δηλαδὴ πρωῒ τοῦ ἐνιαυτοῦ, ἤγουν τὸ ἔαρ, ὡς αὐτὸς ἐξηγεῖται ἐν τοῖς ἑπομένοις. Ἐπίσης τίθενται *πρώϊος* καὶ *πρωΐσπορος*.

462. *ἔαρι πολεῖν*] «Ὀργόνουσι» τὸ ἔαρ καὶ τὸν ἀγρὸν τοῦ θέρους ἐῶσιν ἀγεώργητον. Ὁ ἀγρὸς τοιουτότροπος προφέρει δαψιλῆ καρπὸν κατὰ τὸ ἑπόμενον θέρος.

*νεωμένη*] Οἱ Θηραῖοι εἰσέτι λέγουσι *νειάζω*, ἐπὶ δὲ τοῦ διπόλου καὶ τριπόλου ἀγροῦ (Θ. 971) αἱ λέξεις *διβωλίζω* καὶ *τριαλετρίζω* ἐπικρατοῦσιν. Ἡ περὶ τὰς Θεσπιὰς χώρα ὅμως ταῦτα οὐ συγχωρεῖ.

*ἀπατήσει*] Εὐφυῶς ὁ ἀγρὸς προσωποποιεῖται, ὃν καὶ ἐν τῷ πεζῷ λόγῳ *εὐπειθῆ* ἢ *ἀργὸν* ἐπικαλοῦσιν.

463. *κουφίζουσαν*] Νῦν τὴν γῆν λέγουσι *κούφιαν* ἐν ὅσῳ ἂν ὦσιν αἱ ξηραὶ βῶλοι ἠραιωμέναι ὑπὸ τῆς βροχῆς. Τῷ ὄντι καθ' ἡμᾶς σπείρουσι τῇ δευτέρᾳ ἢ τρίτῃ ἡμέρᾳ μετὰ τὰ πρωτοβρόχια, οὐ προσμένοντες ἕως ἂν γένωνται βαρεῖαι καὶ γλοιώδεις ἀπὸ τῶν χειμωνίων ὑετῶν· Σακελλάριος ἐν τοῖς Κυπριακοῖς (Γ', σ. 319) τὸ Κυπριακὸν *κουφίζω* (κοπρίζω) παραλληλίζει, ἀλλὰ Κάτων (ἐν τῷ φερωνύμῳ Κικέρωνος διαλόγῳ § 45), ὅσπερ τῆς γεωργίας ἐμπειρότατος ἦν, παρατηρεῖ ὅτι Ἡσίοδος σιωπᾷ περὶ τῆς κοπρίσεως, ὃ δὲ μεῖζον τὸ λεξείδιον *ἔτι* στερεῖται ἐξηγήσεως.

νειὸς ἀλεξιάρη παίδων εὐκηλήτειρα.
Εὔχεσθαι δὲ Διὶ χθονίῳ Δημήτερί θ' ἁγνῇ,
ἐκτελέα βρίθειν Δημήτερος ἱερὸν ἀκτήν,
ἀρχόμενος τὰ πρῶτ' ἀρότου, ὅτ' ἄν, ἄκρον ἐχέτλης
χειρὶ λαβὼν ὅρπηκα, βοῶν ἐπὶ νῶτον ἵκηται
ἔνδρυον ἑλκόντων μεσάβων. Ὁ δὲ τυτθὸς ὄπισθεν

464. Καὶ ἐνταῦθα προσωποποιεῖ τὴν νειόν, ἣν ἐγκωμιάζει μετὰ κωμικοῦ πάθους· ἡ νειὸς ἀμύνει τὴν ἀράν (τῆς πτωχείας δηλαδή), ὥσπερ Ζεὺς «ἀρῆς ἀλκτήρ» ἐγένετο (Θ. 657), καὶ καθησυχάζει τὰ παιδία, ἅτινα κλαίουσιν, ὅταν πεινῶσιν. Ἐν τοῖς ἔμπροσθεν (356) κεκινδύνευκε τὸ ἀνάλογον *θανάτοιο δότειρα*.

465. Ὁ εὐσεβὴς Ἡσίοδος ἄρχεται ἀπὸ εὐχῆς· ἐν Θεσπιαῖς δηλονότι οὐκ ἐθυσίαζον δημοσίως πρὸ τοῦ ἀρότου, ὥσπερ ἐν ἄλλαις πόλεσι τῆς Ἑλλάδος (ἴδε τὰς Ἡσυχίου γλώσσας· πρατασία] κατευχὴ ἀρχομένης ἀροτριώσεως, Προηροσία] θυσία Ἀθήνησι, Προηρόσια] τὰ πρὸ τοῦ ἀρότου θύματα. Κλείδημος (;) δὲ αὐτὰ Προαρκτούρια καλεῖ). Ἡ ὀρθόδοξος θρησκεία τὸ καλὸν τοῦτο ἔθος ἔσωσε, καθόσον τῇ τοῦ Σταυροῦ ἑορτῇ (τῇ 14/26 Σεπτεμβρίου) οἱ γεωργοὶ δράγμα σπέρματος εἰς τὴν ἐκκλησίαν φέρουσι χάριν καθαγιάσεως.

*Διὶ χθονίῳ*] Τὸ ἐντιμότατον ὄνομα τοῦ φοβεροῦ τοῦ κάτω κόσμου, ὅπερ οὐ μόνον παρὰ τοῖς ποιηταῖς (Σοφοκλ. Οἰδ. Κολων. 1606: ὥσπερ Ζεὺς καταχθόνιος Ἰλ. Ι 457: Ζεὺς κεκμηκότων Αἰσχύλ. Ἱκέτιδ. 164: χθονίων βασιλεὺς κτλ.), ἀλλὰ καὶ ἐν τῇ δημοσίᾳ θρησκείᾳ (Παυσαν. 2, 2, 8· ἐπιγραφὴ ἐν τῷ Ἀθηναίῳ Β', σ. 237) ὑπῆρχεν. Ὅτι τὰ σπέρματα, ὡς εἰπεῖν, θάπτονται εἰς τὴν γῆν, ὁ χθόνιος Ζεὺς αὐτὰ τρέφειν δοκεῖ· ὅθεν Πλούτων καλεῖται («πλουτοδοτῶν γενεὴν βροτέην καρποῖς ἐνιαυτῶν» Ὕμν. Ὀρφικ. 17 (18), 5) καὶ τὴν Δήμητρος θυγατέρα λέγεται ὅτι ἥρπασεν. Τῆς αὐτῆς αἰτίας χάριν καὶ ἡ μήτηρ, ὡς ὁρῶμεν, οὐ μισεῖ τὸν θεόν· ἀναλόγως ἐπὶ ἀναγλύφου ἐκ Γυθείου, φυλασσομένου ἐν τῷ Σπάρτης μουσείῳ, ὁ τοῦ Ἅδου κύων πλησίον αὐτῆς ἕστηκεν.

466. *ἐκτελέα βρίθειν*] Ἐν βραχέσι πολλὰ δηλοῖ· οἱ στάχυες καὶ ὡριμάζοιεν καὶ καταβαρύνοιντο τῷ καρπῷ.

*ἱερὸν ἀκτήν*] Ἴδε 32. Τὸ ἀρσενικὸν γένος οὐχ ἅπαξ ἐσημειωσάμεθα.

467. *ἄκρον ἐχέτλης*] Τὴν χειρολαβίδα (ἀλετροκράτημα, χερουλάτης).

468. *ὅρπηκα*] Κυρίως κλάδον, ἐνταῦθα δὲ ὄνομα τῆς χειρολαβίδος.

*ἐπὶ νῶτα ἵκηται*] Ἀντὶ τοῦ «τύψῃ τῷ βουκέντρῳ». Ἡ φράσις ὅμως οὐ χυδαία, ὅπως τὴν ἀρχὴν ἂν εἰκάσαιμεν (πρβλ. Λουκιαν. Συμποσ. 16), ἀλλ' ἀπαντᾷ ἐν τῇ τραγῳδίᾳ (Σοφοκλ. Οἰδ. Τύρ. 809: κάρα διπλοῖς κέντροισί μου καθίκετο. Τὸ βούκεντρον (*βουκέντρι*) ῥάβδος ἦν ἀπ' ἀμφοτέρων τελῶν ἔχουσα σιδηρᾶ κέντρα. — Τὸ ὑποκείμενόν ἐστιν «αἰζηός» ἤτοι ὁ ἀροτρεὺς (ἀλετρᾶς).

469. *ἔνδρυον μεσάβων*] «Τὰ μέσσαβα, τῶν μεσσάβων, λέγονται δὲ αἱ τοῦ ζυγοῦ γλυφαί· καὶ ὁ Καλλίμαχος: Μέσσαβα βοῦς ὑποδύς» (Πρόκλος, πρβλ. Ἡσύχιον, Σουΐδαν, Πολυδεύκην 1, 252, Σχόλια εἰς Λυκόφρονα 877): «Τοῦ δὲ ζυγοῦ τὰ τιθέμενα ἐπὶ τοὺς αὐχένας τῶν βοῶν οἱ μὲν *ζεύγλας* οἱ δὲ *βοείας* οἱ δὲ *μέσσαβα* καλοῦσι» (Ἐτυμολ. Μέγ. σ. 173, 27, ταὐτὰ

δμωός, ἔχων μακέλην, πόνον ὀρνίθεσσι τιθείη,
σπέρματα κακκρύπτων. Εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.
Ὧδέ κεν ἁδροσύνῃ στάχυες νεύοιεν ἔραζε —
εἰ τέλος αὐτὸς ὄπισθεν Ὀλύμπιος ἐσθλὸν ὀπάζοι —,
ἐκ δ' ἀγγέων ἐλάσειας ἀράχνια· καί σε ἔολπα

βραχύτερα ἐν τοῖς εἰς Ἀπολλωνίου Ἀργοναυτικὰ σχολίοις 3, 232, ὅπου ἡ πηγή, βιβλίον δῆθεν τοῦ ἐνδόξου Ἐρατοσθένους, μνημονεύεται). Ἐπειδὴ τὸ πρῶτον ὄνομα ἐν τῇ Ἀττικῇ καὶ ἐν Λευκάδι καὶ Κρήτῃ (ὅπου λέγουσι *ζεῦλες*) εἰσέτι ἀκμάζει, βεβαιούμεθα, ὅτι Ἡσίοδος ἐννοεῖ τὰ δύο ξύλα, ἅτινα ἐμπηγνύονται εἰς τὸν ζυγὸν καὶ περικλείουσι τὸν βοῦν, ὃν βαρύνει ἄνωθεν τὸ ζυγὸν ἤτοι αἱ «ἐπάνω-ζεῦγλες» (Κρητιστί). Ἡ λέξις ἔνδρυον αἰνίττεται ἄρα τὸ ἐμπηγνύεσθαι τὰ ξύλα.

*τυτθὸς δμωός*] Ὁ νέος ὑπηρέτης, ὅστις θεραπεύει τοὺς βοῦς καὶ συμβοηθεῖ εἰς τὸν ἄροτον, ὀνομάζεται νῦν ἀναλόγως *παιδί* (Ἴδε Πύρλα Γεωπονικὰ τ. Α', σ. 95).

471. *μακέλην*] Μάκελλαν.

*πόνον τιθείη*] Ἀστεΐζεται πάλιν. Δυσχεραίνοι τοῖς πτηνοῖς τὸ ἐκκολάπτειν τὰ σπέρματα, γῆν ἐπιρρίπτων. Τίς Ἕλλην ἀγνοεῖ ὅτι εἰς τοὺς ἐσπαρμένους ἀγροὺς αἱ καλούμεναι *σ(ι)ταρῆθρες* (Κυπριστὶ ζευκαλάτες) συναγείρονται; Καθ' ἡμᾶς «ὁ μικρὸς» ἄλλα πράγματα ἔχει, διότι καὶ ἡ «σβάρνα» τοῖς πτηνοῖς **πόνον τίθησι** καὶ οἱ γεωργοὶ αὐτὰ κυνηγοῦσι χρώμενοι τῷ κατόπτρῳ (καθρέφτη).

471. *Εὐθημοσύνη* — 478 ἀναφέρονται εἰς ἁπάσας τὰς περὶ τοῦ ἀρότου παραινέσεις. *Εὐθημοσύνη* ὁ σχολιαστὴς ἑρμηνεύει ὀρθῶς «τὸ καλῶς διατίθεσθαι». Ἡσίοδος καταλέγει τὰ ἀποβαίνοντα ἐξ αὐτῆς στ. 473-8.

473. *ἁδροσύνῃ*] *Ἁδρὸς καρπὸς* ὠνομάζετο ὁ πλήρης στάχυς, παρὰ τὸ σϝΑΔ, ἐξ οὗ *ἅδην* (ἅλις). Ἡ λέξις τηρεῖται ἐν Ἀραβανίῳ (ἀδρό=χονδρόν).

*νεύοιεν ἔραζε* (πρβλ. 421)] Ἡ φράσις ἐκ τῆς συνηθείας εἰλῆφθαι δοκεῖ (Ἴδε Πλούταρχον Ἠθ. τ. Η', σ. 257: τῶν σταχύων τοὺς κεκλιμένους καὶ νεύοντας ἐπὶ γῆς, Μάρκ. Αὐρήλ. πρὸς ἑαυτὸν 3,2: οἱ στάχυες δὲ κάτω νεύοντες).

474. Ὁ θεόφοβός τε καὶ ὁ δεισιδαίμων οὐδέποτε ἐλπίδα ἐκφωνεῖ, πλὴν περιορίζων κατὰ τὴν Θεοῦ θέλησιν. Ἡ πλεοναστικὴ πρότασις ταὐτὸ βούλεται τῷ ἁπλῷ «ἂν θέλῃ ὁ Θεός». Καὶ πρότερον ἐν πλείστοις χωρίοις εἴδομεν ὅτι Ἡσίοδος τὸ πέρας μάλιστα εἰς τοὺς θεοὺς ἀπονέμει.

*Ὀλύμπιος* κατ' ἐξοχὴν Ζεύς ἐστι, τὸ μὲν ὡς ἄναξ τῶν θεῶν, τὸ δὲ ὡς δωρητὴς τοῦ ὑετοῦ.

475. *ἀγγέων*] Οὐ διαφέρουσι βεβαίως τῶν καλιῶν (301).

*ἐλάσειας ἀράχνια*] Πανταχοῦ τῆς Εὐρώπης ὁ λαὸς τὸ σύμβολον τοῦτο τῆς ἐντελοῦς καὶ διαρκοῦς ἀχρηματίας γινώσκει. Ἐκ τῶν ποιητῶν μέντοι οὐδεὶς πλὴν Ἡσίοδος καὶ κωμικός τις (Φερεκράτης παρὰ Σουίδᾳ λ. ἀράχνη: ἆρ' ἀράχνι' ὥσπερ ταῖς σιπύαισι ταῖς κεναῖς) τὴν χυδαίαν φράσιν παρεκινδύνευσαν, ἔτι δὲ ἡ Ἡσιόδου δόξα αὐτὴν προσήγαγεν εἰς λόγον τοῦ ῥήτορος Θεμιστίου (18, σ. 221 b: οὔκουν αἱ σιτοθῆκαι μεσταὶ εὐρῶτος καὶ ἀραχνίων).

γηθήσειν, βιότου αἱρεύμενον ἔνδον ἐόντος.
Εὐοχθέων δ' ἵξεαι πολιὸν ἔαρ, οὐδὲ πρὸς ἄλλους
αὐγάσεαι· σέο δ' ἄλλος ἀνὴρ κεχρημένος ἔσται.
Εἰ δέ κεν ἠελίοιο τροπῇς ἀρόῃς χθόνα δῖαν,
ἥμενος ἀμήσεις, ὀλίγον πέρι χειρὸς ἐέργων,
ἀντία δεσμεύων, κεκονιμένος, οὐ μάλα χαίρων,

476. *βιότου*] Ἡ γενικὴ καὶ ἐνταῦθα ἐπὶ μέρους τίθεται.

*γηθήσειν*] Πάλιν διαυγάζει τὸ αἴσθημα τοῦ εὐδαίμονος γεωργοῦ.

*ἔνδον ἐόντος*] Ἀπὸ τοῦ οἰκείου, οὐ χρῄζοντα δανεισμάτων (πρβλ. 364 κἑ.).

477. *Εὐοχθέων*] Τὸ ῥῆμα ἐγένετο ἀπὸ τοῦ ἐπιθέτου *εὔοχθος* (δαψιλής).

*πολιὸν ἔαρ*] Τὸ ἐπίθετον οὐ πλεονάζει, ὡς δεικνύει στ. 492: ἔαρ **γιγνόμενον** πολιόν. Τὸ ἔαρ γὰρ πολιὸν ἢ λευκὸν (Καλλιμάχ. Ὕμν. 6,123, Θεοκρίτ. Εἰδύλλ. 18, 27) ἐπονομάζεσθαι δύναται, ὥσπερ τὸ θέρος (Καλλιμ. αὐτ.), ὅτε αἱ χῶραι «λευκαί εἰσι πρὸς θερισμὸν ἤδη» (Εὐαγγ. Ἰωάνν. δ', 35). Ὅτι γὰρ τοῦτο οὐκ ἐστὶ τῶν Ἑβραϊσμῶν, δεικνύει ὁ ὑπὸ Πλινίου μεταφρασθεὶς Σοφοκλῆς ἐν τῷ Τριπτολέμῳ (Φυσ. Ἱστ. 18, 12,1: et fortunatam Italiam frumento canere candido) καὶ Ὀππιανός (Ἁλιευτ. 4, 500: περιπλήθουσα δὲ πάντῃ πυροδόκος στεφάνη λευκαίνεται ἔνδον ἀλωῆς), καὶ μάλιστα ὁ Ἑλληνίζων Ὀβίδιος (Fasti 5, 357: maturis albescit messis aristis, Μεταμορφ. 1,110: ager gravidis canebat aristis). Ἡ τοῦ ἔαρος τελευτὴ κινδύνους φέρει τοῖς ὀλίγα θερίσασιν: «Ἀπρίλης γρίλης τιναχτοκοφινίδης» (Βενιζ. Α 397), «Ἀπρίλης Μάης κουκκιὰ μεστωμένα» (Βενιζ. Α 398), «Αὐγούστου τὰ δεκάλιτρα τὸν Μάϊο ἀναζητοῦνται» (Krumbacher, byzantinische Sprichwörter, ἀρ. 17).

478. *αὐγάσεαι*] Ὀφθαλμιάσεις παρὰ τὸ αὐγή (ὀφθαλμός).

479-482. Ἀναπτύσσει τὸ ἀποτέλεσμα τῆς «κακοθημοσύνης». Οὐκ ἄνευ περιεργίας ἀντιπαραβαλεῖ τις τὰ τοῦ Ψαλμῳδοῦ (128 ἢ 129, 7. 8): «Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων· καὶ οὐκ εἶπαν οἱ παράγοντες: Εὐλογία Κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι τοῦ Κυρίου».

479. *ἠελίοιο τροπῇς*] Κατὰ τοὺς Γεωπονικούς (2, 14, 3), δέον «παύσασθαι ἀμφοτέρων τῶν σπόρων (τῆς τε κριθῆς καὶ τοῦ σίτου) ταῖς τροπαῖς ταῖς χειμεριναῖς». Ὁ λαὸς λέγει ἐπὶ τοιουτοτρόπων: «Τοῦ Γεννάρη τὸ ζευγάρη, διάβολος θὲ νά το πάρῃ» (A. Mommsen, Jahrzeiten Α', σ. 10 ἐκ Χαλκίδος). Ἂν γὰρ σπείρῃ τις μετὰ τὴν τῶν Πληϊάδων δύσιν, ἡ σπορὰ ἀναβλαστάνει μετὰ τριάκοντα ἢ τεσσαράκοντα ἡμέρας ἀντὶ τῶν ὀκτώ.

*χθόνα δῖαν* (= Ἰλ. Ω 532)] Πρὸς τὸ ἐπίθετον, ζήτει Θ. 866.

480. *ἥμενος*] Ἐπ' ἀληθείᾳ ἐν ἔτεσι ξηροῖς οἱ στάχυες τοσοῦτο χαμηλοὶ καὶ ἀραιοὶ ἀναφύονται, ὥστε οἱ ἐργάται θερίζουσι καθήμενοι· ὅπερ οὐκ ἂν ἐπιστεύσαμεν, εἰ μὴ αὐτόπται ἐγενόμεθα.

*ὀλίγον χειρός*] Ἕνεκα τῆς ὀλιγότητος τῶν σταχύων ὁ θεριστὴς ὀλίγον μέρος τῆς χειρὸς μεταχειρίζεται, ἤτοι τοὺς δακτύλους μόνον ἀντὶ τῆς παλάμης ὁλοκλήρου. Ὅθεν προῆλθεν ἡ παροιμία «κενῇ χειρί» (Σχόλ.).

481. *ἀντία δεσμεύων*] Οἱ στάχυες

οἴσεις δ' ἐν φορμῷ· παῦροι δέ σε θηήσονται.
Ἄλλοτε δ' ἀλλοῖος Ζηνὸς νόος αἰγιόχοιο,
ἀργαλέος δ' ἄνδρεσσι καταθνητοῖσι νοῆσαι·
εἰ δέ κεν ὄψ' ἀρόσῃς, τόδε κέν τοι φάρμακον εἴη·
ἦμος κόκκυξ κοκκύζει δρυὸς ἐν πετάλοισι
τὸ πρῶτον τέρπει τε βροτοὺς ἐπ' ἀπείρονα γαῖαν,
τῆμος Ζεὺς ὕοι τρίτῳ ἤματι, μηδ' ἀπολήγοι,

ἐναλλὰξ συνδέονται, ὅπως τὰ δράγματα μακρότερα ἐκφαίνωνται. Νῦν ὅμως οἱ Ἀττικοὶ πάντοτε τοῦτο ποιοῦσιν· ὃ λέγουσι *λιμάρι*.

*κεκονιμένος*] Διὰ τὸ μὴ συνεσκιάσθαι ὑπὸ τῶν σταχύων τὸ πεδίον πολὺ μᾶλλον διαξηραίνεται, ὥστε πολλὴν κόνιν ἀναπέμπει.

*οὐ μάλα χαίρων*] Ἡ φράσις *οὔ τι* (οὔτοι) *χαίρων* ἢ *οὐ χαίρων* παρὰ λογογράφοις τε καὶ ποιηταῖς τετριμμένη ἐστίν (Πρβλ. Σοφοκλ. Φιλοκτ. 1299. Οἰδ. Τύρ. 363. Εὐριπ. Ὀρ. 1593. Ἀριστοφ. Ἀχαρν. 563. Βάτραχ. 843. Σφῆκ. 186. Ἡρόδοτ. 3, 20. Ξενοφ. Ἀνάβ. 5, 6, 32. Παυσαν. 4, 21, 10).

482. *οἴσεις*] Τὰ δράγματα.

*φορμῷ*] Ἐν **ἐνὶ** φορμῷ, ἐννοεῖται. Τὸ φορμοῦ σχῆμα ὁρῶμεν ἐν ἀρχαίῳ μνημείῳ, ἀπεικονισθέντι ἐν Baumeister Denkmäler, σ. 417· ἡ δὲ ἐξ ἧς αὐτοὺς ἐποίουν ὕλη ἦν φλοιὸς (Σχόλια εἰς Λουκιαν. Ἡσιόδ. 6 = Ἐτυμολ. Μέγ. σ. 798,52) ἢ ψίαθοι (Ἡσύχ. λ.) ἢ φοίνικος φύλλα (Θεοφράστ. Ἱστ. Φυτ. 2, 6, 11).

*παῦροι*] Τοῦ ῥήματος κατὰ τὴν ἐπικὴν χρῆσιν ἐμφαίνοντος τὸ θαῦμα, τὴν εἰρωνείαν δηλοῖ ὁ ἅγιος Χρυσόστομος (Ὁμιλ. εἰς εὐαγγ. Ἰωάννου 13, 1), χωρὶς εὐφημισμοῦ λέγων: «Ὑποστρέφει μετ' αἰσχύνης καὶ κατηφείας πρὸς τὴν οἰκίαν».

483. Οὐδὲ τοῦτο ἀποδεικτικῶς θέλει ἐξειπεῖν, ἐπειδὴ τῷ θεῷ οὐδὲν ἀδύνατον.

*αἰγιόχοιο*] Ἴδε Θ. 11.

485. Ἄνευ μυθολογίας ἐκδεχόμεθα τοὺς στίχους· ἡ μετεωρολογικὴ πρόγνωσις δύσκολός ἐστιν.

485. *φάρμακον*] Ἐπανορθώσειεν ἂν τὴν παραμέλησιν.

486. *πετάλοισι*] Φύλλοις.

487. *τέρπει*] Ὅτι ἀγγέλλει τὸ ἐπερχόμενον ἔαρ, ᾄδων ἀπὸ τῆς ἀρχῆς τούτου (Ἀριστοτ. π. ζῴων 9, 36, 4)· διὸ λέγει ὁ λαός: «Ἕνας κοῦκκος δὲν φέρνει (τὴν) ἄνοιξι, δὲν κάνει Μάη». Οὐκ ἄλλως οἱ ποιμένες τὸ ἔαρ παρεῖναι νομίζουσιν, ὅταν ἔλθῃ ὁ «ἀσπρομάγουλος» (Neophron percnopterius L.) ἢ «τοῦ κούκκου τὸ ἄλογο», καθότι οὗτος λέγεται ὅτι φέρει τὸν κόκκυγα. Εἰς τὴν Ἀττικὴν ὁ κόκκυξ ἀναχωρεῖ τῇ τρίτῃ δεκάδι τοῦ (Ἑλληνικοῦ) Μαρτίου. Τοὺς δὲ ἀνθρώπους οὐκέτι τέρπει, ἀλλὰ κυνηγεῖται, ἐπειδὴ αἱ ἀγέλαι τὴν φωνὴν αὐτοῦ φοβοῦνται.

*ἐπ' ἀπείρονα γαῖαν*] = Θ. 187.

488. *Ζεύς*] Ἔπιθι 415.

*τρίτῳ ἤματι*] Οἱ Ὑπερβόρειοι τοῦτο ἐκδέχονται ὡς διὰ τριῶν ἡμερῶν· ἀλλὰ βροχή, ἥτις διατελεῖ εἰς τὴν δευτέραν ἡμέραν ἐν τῇ Ἑλλάδι σπανιώτατα γίνεται. Ἡσίοδος εὔχεται μὴ πέσῃ ὁ ὑετὸς ἀμέσως μετὰ τὸν ἄροτον, διότι βλάπτει τὰ σπέρματα, μηδὲ πρὸ τοῦ ἀρότου (Θεοφράστ. Ἱστ. Φυτ. 8,7,1). Οἱ τακτικοὶ ἀριθμοὶ ἐν τῇ παλαιᾷ συν-

μήτ᾽ ἄρ᾽ ὑπερβάλλων βοὸς ὁπλὴν μήτ᾽ ἀπολείπων·
οὕτω κ᾽ ὀψαρότης πρωτηρότῃ ἰσοφαρίζοι.
Ἐν θυμῷ δ᾽ εὖ πάντα φυλάσσεο· μηδέ σε λήθοι
μήτ᾽ ἔαρ γιγνόμενον πολιὸν μήθ᾽ ὥριος ὄμβρος.
Πὰρ δ᾽ ἴθι χάλκειον θῶκον καὶ ἐπαλέα λέσχην
ὥρῃ χειμερίῃ, ὁπότε κρύος ἀνέρα ἔργων

ηθείᾳ τὸ χρονικὸν διάστημα δηλοῦσιν, οἷον ἐν ποιήματι Μάχωνος (Ἀθην. Δειπνοσοφ. Η΄, σ. 341 b) λέγει: «ἀποθανῇ γὰρ ὥρας ἑβδόμης» (ἤγουν μετὰ ἑπτὰ ὥρας).

*μηδ᾽ ἀπολήγοι*] Ἐν τῇ Ἑλλάδι συχνάκις νεφέλαι συμπυκνοῦνται, καὶ ψεκάζει, ὁ δὲ γεωργὸς χαρᾶς ἐμπίπλαται· ἀλλ᾽ ἰδοὺ αἱ νεφέλαι φεύγουσι καὶ ἁρπάζουσι τὴν ἐλπίδα αὐτοῦ. Ὡσαύτως ἄρα καθ᾽ ἡμᾶς παροιμιάζεται: «Μάρτης βρέχει; ποτὲ μὴν παύσῃ» (Ἀραβαντ. Παροιμ. 698=Βενιζέλ. Μ 31). Ταύτῃ ἐπισυνάπτομεν ἀμέσως τὰς ἀναλόγους πρὸς τὴν Ἡσιόδου διδασκαλίαν: «Ἂν κάμῃ ὁ Μάρτης δυὸ νερὰ κὴ Ἀπρίλης ἄλλο ἕνα, τότε χαρὰ 'ς ἐκεῖνον-ε (χαρὰ 'ς ἐκεῖνο τὸ γεωργό) πῶχει πολλὰ σπαρμένα», «Νὰ βρέξ᾽ Ἀπρίλης δώδεκα καὶ ὁ Μάης μιὰ καὶ φίνα», «Μάρτης ἔβρεχε, θερ(ισ)τῆς ἐχαίρονταν» κλ. (Ἴδε A. Mommsen, griechische Jahrzeiten Α΄, σ. 38 κἑ.).

489. Μὴ εἴη ῥαγδαία βροχή, ὁποία μεγάλους ὁλκοὺς διαρρηγνύει εἰς τοὺς ἀγροὺς καὶ ἐκπλύνει τὰ σπέρματα. Ἡ Πιρπιροῦνα εὔχεται: «Θεέ μου, βρέξε μιὰν βροχήν, μιὰν βροχήν, μιὰν σιγανήν» (Sanders, Volksleben, σ. 110, 11). Ὁ ἀπὸ τοῦ ὄνυχος διορισμὸς καὶ νῦν ἐν χρήσει ἐστίν. Ὁπλὴ δηλονότι ἐνταῦθα δηλοῖ τὴν ὄνυχα τῶν βοῶν (Ὕμν. Ὁμηρ. 3, 77. Ἀπολλιναρ. Ψαλμ. 69, 32), ὥσπερ ἄλλοθι τὴν τῶν ὑῶν (Ἀριστοφάν. Ἀχαρν. 768 (746) καὶ Σιμωνίδης ὁ ἰαμβοποιὸς ἐν τοῖς σχολίοις).

490. Τὰ σύνθετα εὔδηλα. Ἐξισωθείη ἂν (ἰσοφαρίζοι) οὐχὶ μόνον τῷ πρότερον αὐτοῦ ἀρόσαντι, ἀλλὰ καὶ τῷ πρῶτον ἁπάντων.

491. Ἡ φράσις μηνύει ἀλλαχοῦ τε καὶ ἐνταῦθα τὸ πέρας τοῦ κεφαλαίου· ἅμα δὲ ὁ ποιητὴς τὸ ἀξιολογώτατον πάλιν ἐξαίρει.

492. *πολιόν*] ἴδε 477. Ἡ πρότασις παρατακτικῶς ἐσχημάτισται ἀντὶ τοῦ *οὐδὲν μᾶλλον ἤ*. Τίς γὰρ ἂν παρίδοι τὴν ὡριμότητα τῶν σταχύων, ἣν ἅπαντες προσμένουσιν ἀνυπομόνως;

493-563. Περὶ τοῦ κατὰ τὸν χειμῶνα βίου.

493. *χάλκειον θῶκον*] Τὴν ἐν τοῦ χαλκέως (σιδηρᾶν) ἕδραν, διότι αὐτόθι πάντοτε πῦρ καίεται (Πρβλ. Ὀδ. σ 327-8). Ἀνάλογον τὸ ὅτι καθ᾽ ἡμᾶς οἱ πολλοὶ εἰς τὰ κουρεῖα περὶ τὰ «μαγγάλια» συναγείρονται· καὶ ἐν πάσῃ τοῦ ἔτους ὥρᾳ ὁ Ἕλλην ἐν ἐργαστηρίῳ καθήμενος ἀρέσκεται.

*ἐπαλέα*] Παρὰ τὸ *ἀλέα* «ἡ θέρμη ἡ περὶ τὸν ἥλιον, κυρίως ὕπαιθρος τόπος ὑπὸ ἡλίου θερμαινόμενος» (Πρόκλος), ἡ σήμερον κοινῶς «*λιακάδα*». Οἷον Θεοφύλακτος ὁ Σιμοκάττης (Ἐπιστ. 61, σ. 68 Boissonade) διηγεῖται, ὅτι ὁ γεωργὸς κατὰ τὸν χειμῶνα πρὸς τὴν «ἀλέαν» προσφεύγει.

*λέσχην*] Καὶ αὐτὴ ἐν τῷ ὃ ἀνεφέρομεν Ὁμηρικῷ χωρίῳ μνημονεύεται, σημαίνει δὲ δημόσιον οἰκοδόμημα καὶ εἰδικῶς ἐν τῇ Βοιωτίᾳ τὰ κοινὰ δειπνητήρια (Ἐτυμολ. Μέγ. πρβλ. Ἡσύχιον καὶ Φώτιον). Καθ᾽ ἡμᾶς οἱ χωρικοὶ ἀ-

ἰσχάνει (ἔνθα κ' ἄοκνος ἀνὴρ μέγα οἶκον ὀφέλλῃ),
μή σε κακοῦ χειμῶνος ἀμηχανίη καταμάρψῃ
σὺν πενίῃ, λεπτῇ δὲ παχὺν πόδα χειρὶ πιέζῃς.
Πολλὰ δ' ἀεργὸς ἀνήρ, κενεὴν ἔπι ἐλπίδα μίμνων,
χρηΐζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.
Ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος ἤῃ.
Δείκνυε δὲ δρώεσσι, θέρευς ἔτι μέσσου ἐόντος·
«οὐκ αἰεὶ θέρος ἐσσεῖται, ποιεῖσθε καλιάς».

γείρονται τὸ πρωῒ εἰς τὸ τῆς χώρας παντοπωλεῖον (μαγαζί). Ἀπὸ τῆς ἀργῆς ἐκεῖ διατριβῆς τὰ παράγωγα λεσχάζω, λεσχαίνω (ἀντι-),στενολεσχέω, ἔλλεσχος, περιλεσχήνευτος, ἀδολεσχέα κτλ. ἐπιτιμητικὴν ἔννοιαν ἔλαβον.

495. *ἰσχάνει*]=Ἴσχει ἤτοι ἀπέχει τῶν γεωργικῶν ἐργασιῶν.

*ἔνθα*] Τότε.

*ἄοκνος*] Θαυμαστὸν διὰ τί μετὰ τὸ *α* λείπει *ν*· ὅμοιοι τύποι ἐν τῇ συνηθείᾳ πολλοὶ εὑρίσκονται, οἷον ἀόμματος.

*οἶκον*] Ἀντίκειται τοῖς ἔξω ἔργοις.

497. *σὺν πενίῃ*] Ὁπωσδήποτε ἑταῖρον τῆς πενίας (πρβλ. 119),ἢ προσωπικῶς ἀπαντᾷ, π. χ. Θεόγνιδ. 649 καὶ ἐν τῇ φράσει «συζῶ πενίᾳ» (Ἀλκίφρων Ἐπιστ. 1,8. Ἱστορία τοῦ Βαρλαὰμ καὶ Ἰωάσαφ σ. 135). Ἡ αὐτὴ ἰδέα διαυγάζει ἐκ τῆς φράσεως· «Τότε θὰ 'ποῦμε: Ὄξω φτώχια».

*παχὺν πόδα:*] «Τῶν λιμωττόντων τοὺς πόδας φησὶ παχύνεσθαι· τὸ δ'ἄλλο σῶμα λεπτύνεσθαι. Καὶ εἷς νόμος ἐν Ἐφέσῳ μὴ ἐξεῖναι πατρὶ παῖδας ἀποθέσθαι, ἕως ἂν διὰ λιμὸν παχυνθῇ τοὺς πόδας» (Πρόκλος, μᾶλλον δὲ Πλούταρχος ἐν τοῖς σχολίοις, πρβλ. Ἡσύχ. λ. παχύποδα, Βιργίλ. Ἐκλογῶν 5, 40, Ἀσπ. 266. Ὀβιδ. Μεταμορφ. 8, 808).

*χειρὶ πιέζων*] Οὕτως τῇ χειρὶ περικλείοντας τὸ γόνυ οἱ παλαιοὶ πλάσται τε καὶ ζωγράφοι παρίστων τοὺς θλιβομένους.

499. *προσελέξατο*] Γνωμικὸς ἀόριστος τοῦ προσλέγομαι (συνοικῶ). Ἡ λέξις χορηγεῖ παρονομασίαν πρὸς τὸ *λέσχη*.

500. Οὐ πολὺ παραλλάσσει τοῦ 317. Ἡ ἐλπὶς τοῦ ἀργοῦ μόνον «οὐκ ἀγαθὴ» καλεῖται· πᾶς γὰρ «γεωργὸς ταῖς ἐλπίσιν εὐφραίνεται» (Γρηγόρ. Ναζιανζ. Λόγ. μγ'), αἳ οὐ βλάπτουσιν.

501. *ἄρκιος ἤῃ* (ᾖ)] Ἀρκῇ. Πρβλ. 30 κἑ.

502-3. Ἐν τούτῳ τῷ τόπῳ διακόπτουσί πως τὴν συνέχειαν, ἀλλά, ἂν ἐξαλείψωμεν αὐτούς, διασαφηνιστέον πῶς εἰσεβλήθησαν. Εἴπερ ὀρθῶς ἐξηγούμεθα, τὸ καλιὰς (503) ἄρχεται ἀπὸ τῶν τοῦ ψύχους ἀλεξημάτων.

*Δείκνυε*] Καὶ τὸ Ὁμηρικὸν «Πηλείδῃ ἐνδείξομαι» (Ἰλ. Τ 83) συνωνυμοῦσι τῇ συγγενεῖ λέξει τῶν Λατίνων dico (ἀρχαίως deico) ἤτοι λέγω.

503. *ἐσσεῖται*] Ὁ τοῦ μέλλοντος τύπος οὗτος Δωρικὸς λέγεται.

*καλιάς* (πρβλ. 301)] Τοῦ μὲν θέρους οἱ δοῦλοι ὑπαίθριοι κοιμῶνται, τοῦ δὲ χειμῶνος ἐν καλύβαις καλαμίναις (πρβλ. τὸν ἀνώνυμον ἐπικὸν Ἐ-

Μῆνα δὲ ληναιῶνα, κάκ' ἤματα, βουδόρα πάντα,
τοῦτον ἀλεύασθαι καὶ πηγάδας, αἵτ' ἐπὶ γαῖαν
πνεύσαντος Βορέαο δυσηλεγέες τελέθουσι,
ὅστε διὰ Θρήκης ἱπποτρόφου εὐρέϊ πόντῳ
ἐμπνεύσας, ὤρινε· μέμυκε δὲ γαῖα καὶ ὕλη,
πολλὰς δὲ δρῦς ὑψικόμους ἐλάτας τε παχείας

τυμ. Μέγ. σ. 60,63: ὀρφναίης ἐνὶ χαλκὸν ἀλετρεύουσα καλιῆς). Ταύτας ἄρα ἕνεκα κινδύνου πυρκαϊᾶς τοῦ ἔαρος κατέστρεφον. Τὴν ἑρμηνείαν ταύτην ὑποστηρίζει τὸ μέσον γένος τοῦ ῥήματος.

504. Ὥσπερ καθ' ἡμᾶς τά τε Ῥωμαϊκὰ ὀνόματα τῶν μηνῶν καὶ τὰ γεωργικὰ (θεριστής, ἀλωνάρης, τρυγητής, πρωτοβρόχια) εὐχρηστοῦσιν, οὕτω τὸ πάλαι δημόσια καὶ λαϊκὰ ὑπῆρχον. Ὁ οὖν προκείμενος μὴν (ὁ Ἑλληνικὸς Δεκέμβριος) ἐν τῇ Βοιωτίᾳ Βουκάτιος ἐκαλεῖτο, ὅπερ αἰνίττεται τὸ *βουδόρα*, ἅμα δὲ καὶ ἀπὸ τῆς τῶν ληναίων ἑορτῆς *Ληναιὼν* ἐπωνομάζετο.

*βουδόρα*] Οὐκ ἄλλως λέγομεν: «Μάρτης 'γδάρτης» ἢ καὶ «Μάρτης τὰ παληὰ βώδια τὰ 'γδέρνει», καθότι τῶν νεκρῶν βοῶν ἡ δορὰ ἀφαιρεῖται.

505. *τοῦτον*] Ὁ λαός, συχνάκις προθεὶς τὰ ἀντικείμενα, πλεοναστικὰς ἀντωνυμίας μετὰ τοῦ ῥήματος συντάσσει.

*πηγάδας*] Πάγος.

506. *Βορέαο*] Τὸ δριμύτατον κρύος ἐπ' ἀληθείᾳ, ὡς οἱ ἐπιστήμονες διαβεβαιοῦνται, ἐπικρατεῖ πνέοντος τοῦ Βορέα. Ἐν τῇ Ἑλλάδι οὐδὲν μᾶλλον λυπεῖ τοὺς ἀνθρώπους ἢ τὸ διαπεραστικὸν πνεῦμα αὐτοῦ, ὅπερ οὐδὲ οἱ τοῖχοι ἀπείργουσιν. Περὶ τὰς Θεσπιὰς ὁ Βορέας ἐπικρατεῖ τὸν χειμῶνα μετὰ τοσαύτης δυνάμεως, ὥστε αἱ ξύλιναι οἰκίαι τρέμουσιν.

*δυσηλεγέες*] Κακὰ ἄλγη ἐπιφέρουσαι.

*τελέθουσι*] Ἴδε 122.

507. Τὰ ἑξῆς μετ' εὐταξίας προφέρονται· πρῶτον μὲν γὰρ τί πάσχει ἡ φύσις (508-511), τί τὰ ζῷα (512-518), τρίτον δὲ τί οἱ ἄνθρωποι (518-23)· ἐναργῶς περιγράφει.

*Θρήκης ἱπποτρόφου*] Οἱ Ὁμηρικοὶ Θρᾶκες *ἱπποπόλοι* καὶ *ἱππόδαμοι* ἦσαν, ὅτι ἐν τοῖς πεδίοις τοῦ Ἕβρου καὶ τοῦ Νέστου ἡ ἱπποτροφία εὐκολωτέρα ἦν ἢ ἐν τῇ ὀρεινῇ Ἑλλάδι. Ὁ Βορέας κατὰ τοὺς ποιητὰς ἅπαντας (Ἰλ. Ι 5. Ψ 230. Ἴβυκ. 1, 7, Καλλιμάχ. Ὕμν. 3, 114) πνέει ἐκ τῆς Θράκης, ἐπὶ τοῦ Αἵμου ἔχων σπήλαιον (Καλλιμάχ. 4, 65)· ἐκ τούτων συμπεραίνειν οὐκ ἔξεστι, ποῦ ἡ τοῦ ποιητοῦ πατρὶς ἔκειτο· πρὸς τούτοις ὁ λαὸς οὐκ ἀκριβῶς τὰς τοῦ ἀνέμου διευθύνσεις διακρίνει, οἷον οἱ Ἠλεῖοι *Βορειᾶν* τὸν Καικίαν ὀνομάζουσιν, ᾧ ἀναλογεῖ ἡ παρὰ τοῖς Τούρκοις ὁμωνυμία τοῦ Βορέα καὶ τοῦ Ἀργέστου καὶ ἡ παρὰ τῷ Ῥωμαίῳ Λουκανῷ ἐπωνυμία Dalmaticus (ε', στ. 378).

508. *ἐμπνεύσας*] Κατὰ βραχυλογίαν εἴρηται ἀντὶ τοῦ «διὰ Θράκης πνεύσας καὶ ἐμπεσὼν τῷ πόντῳ». Ὁ *ὤρινε* ἀόριστος γνωμικός.

*μέμυκε*] Παρὰ τὸ μυκάομαι, μεταφορὰ κεκινδυνευμένη ἐπὶ τοῦ βομβοῦντος ἀνέμου.

509. *ὑψικόμους*] Ἐπειδὴ τὰ φύλλα αὐτῶν («ταὐτὰ τρίχες καὶ φύλλα», φησὶν Ἐμπεδοκλῆς 231), πλέον ἀπέχουσι τῆς γῆς ἢ οἱ τῶν ἐλατῶν κλάδοι.

*παχείας*] Δεκτέον ἐπὶ τῆς πυκνότητος τῶν κλάδων. Ταῦτα τὰ δύο δέν-

οὔρεος ἐν βύσσῃς πιλνᾷ χθονὶ πουλυβοτείρῃ
ἐμπίπτων, καὶ πᾶσα βοᾷ τότε νήριτος ὕλη.
Θῆρες δὲ φρίσσουσ', οὐρὰς δ' ὑπὸ μέζε' ἔθεντο,
τῶν καὶ λάχνῃ δέρμα κατάσκιον· ἀλλά νυ καὶ τῶν,
ψυχρὸς ἐών, διάησι δασυστέρνων περ ἐόντων·
καί τε διὰ ῥινοῦ βοὸς ἔρχεται, οὐδέ μιν ἴσχει,
καί τε δι' αἶγα ἄησι τανύτριχα· πώεα δ' οὔτι,
οὕνεκ' ἐπηεταναὶ τρίχες αὐτῶν, οὐ διάησι
ἶς ἀνέμου Βορέαο. Τροχαλὸν δὲ γέροντα τίθησι·

δρων εἴδη τὰ μάλιστα συχνάζουσιν ἐν τῷ Ἑλικῶνι καὶ αἱ ἐλάται ἀληθῶς πυκνότατον καὶ σχεδὸν ἀδιαχώρητον δάσος ἀποτελοῦσιν.

510. *οὔρεος ἐν βήσσῃς*] Πρβλ. Θ. 860. 865. Ἔ. κ. Ἡ. 157. 252.

*πιλνᾷ*] Ἀνήκει εἰς τὸ πίλνημι (πελάζω), ὥστερ τὸ Ὁμηρικὸν δαμνᾷ εἰς τὸ δάμνημι (δαμάζω).

511. *ἐμπίπτων*] Ἐπὶ τοῦ Βορέα (Ἡρόδοτ. 6, 44) καὶ ἄλλων ἀνέμων (Σαπφ. Ἀπόσπ. 42), οἵτινες κατὰ τὸ φαινόμενον ἄνωθεν βιαίως καταφέρονται, ὅπως καὶ Κρητιστὶ λέγεται: «πέφτει ἀνεμική» (π. χ. ἐν τῷ Γυπάρει πρ. Β', σ. 251).

*βοᾷ*] Ὁ δῆμος νῦν λέγει «βογκᾷ», τινὲς δὲ καὶ «βοΐζει» (Εἰς τὸ δάσος ποὺ ἄγρια βοΐζει, μὲ τῆς νύκτας τἀέρι μαλόνει, Ἀλέξανδρος Ῥαγκαβῆς ἐν τῇ ᾠδῇ «Ἐκείνη»).

*νήριτος ὕλη*] «Πρὸς ἣν οὐ δύναταί τις ἐρίσαι διὰ τὸ πλῆθος» (Τζέτζης), ὑπερβολικῶς τὴν πυκνότητα ἐκφράζει. Τῷ ὄντι τότε, οὔτε πυρκαϊῶν οὔτε πελέκεων ἐξολοθρευσάντων τὸ ἄπειρον δάσος, ταύτης τῆς ἐπωνυμίας πάντως ἄξιον ἦν.

512. *μέζε'*] = Μήδεα Θ. 180.

513. *καὶ*] Καίτοι.

515. *διὰ ῥινοῦ*] Προεφέρετο διαρρινοῦ, ὥσπερ ἀπὸ ῥινὸν Ἰλ. Ε 308. Ἂν ᾖ ὁ χειμὼν δριμύς, πολλὰ ζῷα ἀπόλλυνται, ὅτι ἐν ἀσκεπάστῳ αὐλῇ τὰς νύκτας διάγουσιν (Πρβλ. Ξενοφ. Οἰκον. 7, 19. Θεοφράστ. Ἱστ. Φυτ. 8,7,6. Δίωνα Χρυσόστ. 7,13).

*ἴσχει*] Ὁ ῥινός. Πρωτότυπον ἦν Ἰλ. Φ 303: οὐδέ μιν ἴσχει. Ἡ πλεοναστικὴ λιτότης ἐκ τῶν ἰδιοτήτων τῆς ἐποποιΐας ἐστίν.

516. *δι' αἶγα*] Παρὰ τοῖς ἐποποιοῖς ἡ σύνταξις τῆς *διὰ* προθέσεως ἀδιάφορός ἐστιν.

*τανύτριχα*] Δασύτριχον, διότι αἱ τῆς αἰγὸς τρίχες ἀνορθοῦνται καὶ ὁπωσδήποτε προτείνονται.

*πώεα*] Πληθυντικὸς τοῦ πῶυ (πρόβατον), οὗ ἡ ἐτυμολογία ἥκιστα πρόδηλός ἐστιν.

517. *ἐπηεταναί*] (Πυκναί), ἴδε 31.

*οὐ*] Ἐκδέχεται τὸ *οὔτι*.

518. *ἶς*] Ἡ περίφρασις κατὰ Ὁμηρικὰ παραδείγματα πέπλασται (Ἰλ. Π 213 = Ψ 713: βίαι ἀνέμων, Ε 524: μένος Βορέαο).

*τροχαλόν*] Πάλιν δεικνύει ὁ ποιητής, ὅτι οἱ τοῦ βίου πόνοι οὐκ ἠφάνισαν οὐδ' ἠμύδρωσαν τὴν ἔμφυτον ἑαυτοῦ φαιδρότητα, τὴν τοῦ κρύους ἐπιρροὴν περιγράφων κωμικῶς ἀπὸ τῆς λέξεως ἐκείνης μέχρι τοῦ 535 στ. Ὁ βραδὺς γέρων περιπατεῖ ταχύτερον, ὅταν ῥιγώσῃ.

καὶ διὰ παρθενικῆς ἁπαλόχροος οὐ διάησι,
ἥτε δόμων ἔντοσθε φίλῃ παρὰ μητέρι μίμνῃ,
οὔπω ἔργα ἰδυῖα πολυχρύσου Ἀφροδίτης,
εὖ τε λοεσσαμένη τέρενα χρόα καὶ λίπ' ἐλαίῳ
χρισαμένη μυχίη καταλέξεται ἔνδοθι οἴκου,
ἤματι χειμερίῳ, ὅτ' ἀνόστεος ὃν πόδα τένθῃ
ἔν τ' ἀπύρῳ οἴκῳ καὶ ἤθεσι λευγαλέοισι,
οὐδέ οἱ ἠέλιος δείκνυ νομὸν ὁρμηθῆναι,

519. *παρθενικῆς*] = Παρθένου, ὥσπερ 63.

520. *παρὰ μητέρι*] Ἐν τῷ θαλάμῳ ἢ τῇ γυναικωνίτιδι. Ἡ οἰκουρία τῶν Ἀττικῶν παρθένων ἐκ Ξενοφῶντος (Οἰκον. 7,5) καὶ ἄλλων πασίγνωστός ἐστιν. Ἐν τῇ Βοιωτίᾳ ἐφυλάσσοντο, εἴγε δυνατόν, αὐστηρότερον· αἱ γυναῖκες ἐκάλυπτον τὸ πρόσωπον ἐνώπιον τῶν ξένων καὶ ὡς σπανιώτατα ἐξήρχοντο ἐκ τῶν οἰκιῶν (ἴδε Δικαίαρχον ἐν τῇ Ἑλλάδος περιηγήσει καὶ Πλούταρχ. περὶ Σωκράτους δαιμονίου κ. 32 ἐν τέλει). — Οἱ προκείμενοι στίχοι ἤγειραν τὴν ζωγράφου φαντασίαν πρὸς εἰκόνα τῆς Σωφροσύνης· ἔπιθι περὶ ταύτης τὸ μυθιστόρημα τοῦ Εὐσταθίου τοῦ Μακρεμβολίτου (1,4,4.5).

521. *ἔργα πολυχρύσου* (ἴδε Θ. 822) *Ἀφροδίτης*] = Ὕμν. Ἀφροδίτ. 1.9, περιφράζει μυθολογικῶς τὸν γάμον καὶ ἔρωτα.

Πρὸς 522 παράθες Θ. 5.

*λίπ' ἐλαίῳ*] Ὁμηρικὴ φράσις· τὸ *λίπα* δηλοῖ *λιπαρῶς*.

523. *μυχίη*] Ἐν τῷ μυχῷ τῆς οἰκίας. Οὗτος γὰρ θερμός ἐστιν. Ἐν Ἐρημοκάστρῳ π. χ. ἡ οἰκία συνέστηκεν ἐκ δύο δωματίων, ὧν τὸ μέν, εἰς ὅπερ ἔρχονται ἀπὸ τῆς ὁδοῦ, πρὸς βορέα κεῖται, τὸ δέ, ὀλίγῳ ἀνώτερον πρὸς μεσημβρίαν κείμενον ἐν τῷ χειμῶνι τὰς τοῦ ἡλίου θερμαντικὰς ἀκτῖνας δέχεται. Ἐνταῦθα ὡς ἀληθῶς θερμὸς μυχός ἐστιν.

*καταλέξεται*] Ὑποτακτικὸς τοῦ ἀορίστου *κατελέξατο* κατὰ τὸν ἐπικὸν τύπον.

524. Πόσῳ κάλλιον ἔχει ἡ παρθένος ἢ ὁ πολύπους, οὗτινος ἐν τῇ οἰκίᾳ πῦρ οὐκ ἀνάπτεται!

*ἀνόστεος*] Χυδαίως αἰνίττεται τὸν πολύποδα· κατὰ τὸν σχολιαστὴν ταὐτὸ ὄνομα παρὰ τοῖς Λάκωσιν ἐν χρήσει ἦν. Τὸ λεκτικὸν εἶδος τούτων ἐν τῇ εἰσαγωγῇ βραχέως ἐχαρακτηρίσαμεν, ἀπεχόμενοι διατριβῆς ἀκριβεστέρας, ἵνα μὴ εἰσδύωμεν εἰς τὴν διαλεκτολογίαν καὶ τὴν ἱστορίαν τῆς κοινῆς συνηθείας· τὸ γὰρ μ(α)ιμῶ καὶ (γ)αείδαρος κτλ. εἰς αἰῶνας πρὸ πολλοῦ παρελθόντας ἀνήκουσιν.

**τένθῃ*] Μύζῃ. Παρῳδεῖ πως τὸν 497 στ., χρώμενος μύθῳ, ὅντινα οὐδεὶς ἀπέρριψε, πλὴν ὁ μέγας Σταγιρίτης (ἴδε τὰ σχόλια καὶ πρβλ. Πλίνιον Φυσ. Ἱστ.). Ἡσιόδῳ συμφωνοῦσι κωμικοὶ (Ἀθην. Δειπνοσ. 7,316 e f), Καρνεάδης (Στοβ. Ἀνθολ. κ. 81), Ἀντίγονος ὁ Καρύστιος (25: ὁ δὲ πολύπους ἐν τῷ χειμῶνι τὰς πλεκτάνας αὑτοῦ κατεσθίει), Αἰλιανὸς (π. ζῴων 1,27), Ἡσύχιος (λ. πολύποδος).

525. *οἴκῳ*] Καὶ παρ' Ὁμήρῳ *θαλάμη* ἐπὶ τοῦ πολύποδος κεῖται (Ὀδ. ε 432), ὃ κοινῶς ποτε ἐλέγετο (Ἀθην. Δειπνοσ. 7,316 f).

*ἤθεσι*] Ἴδε 137.

*λευγαλέοισι*] Ἔπιθι Θ. 602.

526. *δείκνυ*] Ὑποτακτικὸς συνει-

ἀλλ' ἐπὶ κυανέων ἀνδρῶν δῆμόν τε πόλιν τε
στρωφᾶται, βράδιον δὲ Πανελλήνεσσι φαείνῃ.
Καὶ τότε δὴ κεραοὶ καὶ νήκεροι ὑληκοῖται
λυγρὸν μυλιόωντες ἀνὰ δρία βησσήεντα
φεύγουσιν καὶ πᾶσιν ἐνὶ φρεσὶ τοῦτο μέμηλε,
οἳ σκέπα μαιόμενοι πυκινοὺς κευθμῶνας ἔχουσι
καὶ γλάφυ πετρῆεν· τότε δὴ τρίποδι βροτῷ ἶσσοι,

λημμένος, καθὼς ἀναγινώσκομεν Ἀσπ. 377: ῥήγνυνται, Ὀδ. ω 89: ζώννυνται, Ἱππώνακτ. Ἰαμβ. 19,4 ῥήγνῦται, καὶ ἄλλους ταυτοσχήμους τύπους παρὰ τοῖς μεταγενεστέροις πεζογράφοις (Πρβλ. Meineke, vindiciae Stravonianae σ. 194-5).

*νομὸν ὁρμηθῆναι*] Δεικνύει τὸν νομὸν ἤτοι τὴν νομήν, ὅπως ἐνθάδε ὁρμηθῇ—ὥσπερ ἂν εἰ ὁ πολύπους ἐξήγετο ἐπὶ τὴν νομήν, καθάπερ πρόβατα καὶ αἶγες.

527. *κυανέων*] Αἰθιόπων (πρβλ. Διονυσ. Περιηγ. 586: ἐπὶ κυανέους). Τὰ ἑπόμενα εἴληφεν ἐκ τῆς Ὀδυσσείας (λ 14), ὅθεν *δῆμον* εἶπεν ἀντὶ τοῦ ἀληθῶς Ἡσιοδείου *ἤθεα* (222). Ἡ τῶν χειμερίων ἡμερῶν βραχύτης ὑπὸ τῶν παλαιῶν ἡρμηνεύετο ἐκ τοῦ ὅτι ὁ ἥλιος περισσότερον χρόνον παρὰ τοῖς Αἰθίοψι διατρίβει. Ἡρόδοτος, καίπερ οὐκ ἄπειρος ὢν τῶν φυσικῶν ἐπιστημῶν, ὅμως γράφει (2,24), ὅτι «τὴν χειμερινὴν ὥρην ἀπελαυνόμενος ὁ ἥλιος ἐκ τῆς ἀρχαίης διεξόδου ὑπὸ τῶν χειμώνων, ἔρχεται τῆς Λιβύης τὰ ἄνω».

528. *στρωφᾶται*] Πολὺν χρόνον στρέφεται.

*βράδιον*] Ὅτι ἀνατέλλει ὕστερον.

*Πανελλήνεσσι*] Ἡ αὐτὴ λέξις εὑρίσκεται Ἰλ. Β 530 Πανέλληνας καὶ Ἀχαιούς, ἤτοι τοὺς κατοίκους τῆς κατ' ἐξοχὴν Ἑλλάδος καὶ τῆς Πελοποννήσου· ἐνταῦθα ὅμως ἐκδεχόμεθα τὸ ὄνομα ἐπὶ τῶν Ἑλλήνων ἁπάντων, καθάπερ 653. Ἑλλὰς τὴν Πελοπόννησον συμπεριλαμβάνει. Ἡσίοδος λοιπὸν πρῶτος τὴν ἐκτενεστέραν σημασίαν τοῦ ὀνόματος μαρτυρεῖ (Πρβλ. καὶ Στράβων. Γεωγρ. 8,370).

529. Ἐπιστρέφεται πρὸς τὰ θηρία, ἃ διακρίνει εἰς κερασφόρα καὶ ἄκερα. *Ὑληκοῖται* (παρὰ τὸ κοίτη, ὅπερ νῦν εἰσέτι περὶ θηρίων εὐχρηστεῖ) ἀναλογεῖ τῷ ἀνόστεος.

530. *μυλιόωντες*] Συγκρούοντες τοὺς «μυλόδοντας».

*δρία*] δρυμά. Τὸ ἐπίθετον ἐξηγούμεθα εἰς Θ. 130.

532. Ὁ περιορισμὸς λόγον ἔχει· ποῖ γὰρ φεύγουσι τὰ μὴ ἔχοντα ὁποιαδήποτε κατοικητήρια;

*σκέπα*] Ὁ τύπος ἐστὶν ὁ αὐτὸς καὶ ὁ παρ' Ὁμήρῳ δέπα, γέρα κτλ.

533. *γλάφυ*] Ἐξ οὗ παράγεται γλαφυρόν, δηλοῖ σπήλαιον.

*τρίποδι βροτῷ ἶσσοι*] Ὑπαινίττεται τὸ πασίγνωστον τῆς Σφιγγὸς αἴνιγμα (Ἀπολλόδωρ. 3, 5), ὥσπερ Αἰσχύλ. Ἀγαμ. 79: τὸ δ' ὑπέργηρων τρίποδας μὲν ὁδοὺς στείχει, Εὐριπ. Τρῳάδ. 275 (228): ἁ τριτοβάμονος χερὶ δευομένα βάκτρου, γεραιῷ κάρᾳ. Τὸ αἴνιγμα ζῇ εἰσέτι ἐν Ζακύνθῳ οὕτω μεταβεβλημένον, ὥστε βεβαίως οὐκ ἐξ ἀναγνώσεως προῆλθεν, ἀλλὰ τοῦ δήμου γέννημά ἐστιν: «Ἐχιονίσαν τὰ βουνά, οἱ μύλοι δὲν ἀλέθουν πλειά, **τὰ δυὸ γενῆκαν τρία**» (Νεοελλην. Ἀνάλεκτα Α', σ. 242).

οὔτ' ἔπι νῶτα ἔαγε, κάρη δ' εἰς οὖδας ὁρᾶται,
τῷ ἴκελοι φοιτῶσιν, ἀλευόμενοι νίφα λευκήν.
Καὶ τότε ἕσσασθαι ἔρυμα χροός, ὥς σε κελεύω,
χλαῖνάν τε μαλακὴν καὶ τερμιόεντα χιτῶνα
(στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι)·
τὴν περιέσσασθαι, ἵνα τοι τρίχες ἀτρεμέωσι
μηδ' ὀρθαὶ φρίσσωσιν ἀειρόμεναι κατὰ σῶμα·
ἀμφὶ δὲ ποσσὶ πέδιλα βοὸς ἶφι κταμένοιο

534. *ἔπι-ἔαγε*] Τὰ νῶτα συντετριμμένα φαίνονται, ὅτι οὐ δύναται αὐτὰ κρατεῖν ὀρθά. Ἡ φράσις ὀφθαλμοφανῶς ἐκ τῆς χυδαίας διαλέκτου εἴληπται. Οὕτω καὶ οἱ πλάσται τὸ γῆρας παρέστησαν, π. χ. ἐν τῇ περικαλλεῖ Ὀρχομενίᾳ στήλῃ.

*οὖδας*] Ἔδαφος.

535. *τῷ ἴκελοι*] Τῆς ἐπαναλήψεως αἰτία ἡ παρενθήκη.

*φοιτῶσι*] Τὸ ῥῆμα ἐμφαίνει τὸ ἔρχεσθαι εἰς οἰκίαν.

*νίφα*] Τὸν νιφετόν, ἤτοι ἵνα μὴ ἐπιρρίπτηται εἰς τὸ πρόσωπον.

536. *ἔρυμα χροός*] (=Ἰλ. Δ 137) ὡς σκέπην τοῦ δέρματος.

537. *χλαῖναν*] Ἱματίου χονδροτέρου εἶδος.

*τε*] Διεκτείνεται ἐν τῇ ἄρσει, ὥσπερ *δὲ* Ὀδ. α 56: δὲ μαλακοῖσι.

*καὶ τερμιόεντα χιτῶνα*] (=Ὀδ. τ 242). Ὡς πρὸς τὴν ἐτυμολογίαν, ἡ πρωτοφανὴς λέξις *τέρμις* δηλοῖ τὴν ἐσχατιάν· ὁ δὲ χειμὼν ἀπαιτεῖ ἤτοι χειρίδας (ἐσθῆτα χειριδωτὴν) ἢ ἐσθῆτα ποδήρη.

538. Τὸ ἀπαρέμφατον ἐνταῦθα κυριώτατα μεταφράζομεν διὰ τοῦ εἰς -τέον τύπου. Ἡσίοδος αὐτῷ χρῆται, διότι ὁ ἀνὴρ τὸ ἔριον χορηγεῖ. Ἡ γυνὴ δηλαδὴ ὕφαινε τὰς ἐσθῆτας, ὥσπερ νῦν ἔτι πολλαὶ φίλεργοι ποιοῦσιν.

*κρόκα*] Ἀντὶ τοῦ κοινοῦ κρόκη (Πρβλ. Ἀλκίφρ. Ἐπιστ. 3, 41, 2: τὰ δὲ χειμέρια ἐχέτω περιττῶς τῆς κρόκης).

*μηρύσασθαι*] Ἐν τῇ παλαιᾷ συνηθείᾳ ἔλεγον τὴν κρόκην «διάγω, διαφέρω, διαβάλλω, κερκίζω, τῷ στήμονι ἐπιπλέκω, ἐπὶ στήμονι ἐμβάλλω». Τότε μετεχειρίζοντο ὀρθοὺς ἱστούς, οἵους οἱ Ἀθηναῖοι καθ' ἡμᾶς εὑρίσκουσι «'ς τὰ Γύφτικα».

540. Ὁ λαὸς τὸ δριμὺ κρύος ἀστείως ὀνομάζει ἀνατριχίλα ἢ ὡς οἱ Κρῆτες ἀνατρίχιασμα. Ἐν τῇ φαντασίᾳ τῶν παλαιῶν ὁ Βορέας καὶ αἱ φρίσσουσαι κόμαι τοσοῦτο στενὴν συνάφειαν εἶχον, ὥστε ἐκεῖνος ταύτας ὡς χαρακτηριστικὸν εἶχεν ἐν ταῖς τῶν Ἀττικῶν ἀγγείων ζωγραφίαις.

541. Πρὸς τὰ ἑπόμενα σημειωτέον, ὅτι καθ' ἡμᾶς ἔτι ὁ μὴ φιλάρεσκος γεωργὸς αὐτοποίητα ὑποδήματα (τσαρούχια) φορεῖ· κατὰ μέθοδον δηλαδὴ ἁπλουστάτην ὀρθογώνια τετράπλευρα (*πετσιὰ*) δέρματος ἀπὸ τῶν δύο ἀριστερῶν γωνιῶν, ἐγκάμπτει καὶ τὰ συγκεκαμμένα συρράπτει. Ταὐτὸ ἠπίστατο ὁ ποιμὴν Εὔμαιος (Ὀδ. ξ 23-4: πέδιλα τάμνων δέρμα βόειον εὔχροές, Πρβλ. Λόγγον 1, 8: δέρμα ταύρου τεμεῖς ὑποδήματα)· ὃν μιμοῦνται οἱ διάδοχοι αὐτοῦ.

*ἀμφί*] Τίθεται, ὅτι ὑποδήματα οὐχὶ σάνδαλα ἦσαν.

*βοὸς ἶφι κταμένοιο*] (=Ἰλ. Γ 375). Βραχυλογικῶς εἴρηται ἀντὶ τοῦ «ἐκ δέρματος βοὸς σφαχθέντος»· «τῶν γὰρ μὴ νόσῳ μηδὲ γήρᾳ διαλυομένων, ἀλλ'

ἄρμενα δήσασθαι, πίλοις ἔντοσθε πυκάσσας.
Πρωτογόνων δ' ἐρίφων, ὁπότε κρύος ὥριον ἔλθῃ,
δέρματα συρράπτειν νεύρῳ βοός, ὄφρ' ἐπὶ νώτῳ
ὑετοῦ ἀμφιβάλῃ ἀλέην· κεφαλῆφι δ' ὕπερθεν
πῖλον ἔχειν ἀσκητόν, ἵν' οὔατα μὴ καταδεύῃ·
ψυχρὴ γάρ τ' ἠὼς πέλεται Βορέαο πεσόντος,
ἠῷος δ' ἐπὶ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος
ἀὴρ πυροφόρος τέταται μακάρων ἐπὶ ἔργοις·

ὑπὸ σφαγῆς, εὔτονον τὸ δέρμα καὶ στυφρὸν γίνεται» (Πλουτάρχ. Ζητ. Συμποσ. 2, 9. Σχόλ. Ἰλ. Γ 375).

542. *ἄρμενα*] Ἴδε 407.

*πίλοις*] «Ἐμπίλια».

543. *πρωτογόνων*] Τὰ πρωτογέννητα ἐρίφια σφάζονται, ἐπειδὴ ἀδύνατά εἰσι· πρὸς τούτοις, παρέχουσι τὰς δορὰς μείζονας.

*ὥριον*] Ἡ ἀκμὴ τοῦ κρύους.

544. *νεύρῳ*] Τὰ νεῦρα τὸ πάλαι ἀντικαθέστασαν τὸ νῆμα, καθὼς νῦν ἔτι παρὰ τοῖς ἀγρίοις.

545. *ἀλέην*] Ὀνομαστικὸν τοῦ ῥήματος ἀλεύομαι. — Εὔδηλον, ὅτι ἡ *φλοκκάτα* οὐκ ἐστὶν εἰ μὴ τὸ ἀνεπτυγμένον σχῆμα τοῦ Ἡσιοδείου ἐπενδύτου, ὃς ἐνιαχοῦ καὶ καθ' ἡμᾶς ἀμετάβλητος ἀπαντᾷ. Ἐπίσης Εὔμαιος «αἰγὸς νάκην» περιβάλλεται, ὅτε ἐξέρχεται εἰς τὴν κρυερὰν νύκτα (Ὀδ. ξ 530), Ὀδυσσεὺς δὲ ὁ ὑποκρινόμενος τὸν ἐπαίτην δέχεται παρ' Ἀθηνᾶς «μέγα δέρμα ταχείας ἐλάφοιο ψιλόν» (Ὀδ. ξ 436)· ἡ γὰρ Ὀδύσσεια διαδραματίζεται ἐν χειμῶνι. Κατὰ δὲ τὸν Θεόκριτον αἰπόλος «ἐκ λασίοιο δασύτριχος εἶχε τράγοιο κνακὸν δέρμ' ὤμοισι» (7,15).

*κεφαλῆφι ὕπερθεν*] Νῦν λέγεται ἄνευ διαφορᾶς: «'ς τὸ κεφάλι ἀπ' ἄνω».

546. *πῖλον ἀσκητόν*] Κατειργασμένον πῖλον· ἡ λέξις ὕστερον, περιορισθείσης τῆς σημασίας, οὐκέτι ἔχρηζε τοῦ ἐπιθέτου.

*ἔχειν*] Κρατεῖν.

*ἵν' οὔατα μὴ καταδεύῃ*] Ὁ πιλίσκος σκεπάζει λοιπὸν τὰ ὦτα, ὥσπερ ὁρᾶν ἔξεστιν ἐν τῷ περιφήμῳ περὶ Ὀρφέως καὶ Εὐρυδίκης ἀναγλύφῳ, ἐπὶ ἱππέων ἐν τῷ τοῦ Παρθενῶνος ζωφόρῳ, ἐν ἄλλοις Ἀττικοῖς ἀναγλύφοις (ἴδε Schöne, griechische Reliefs, ἀριθ. 79) Mittheilungen des deutschen Instituts in Athen, τ. Β', πίν. 14). Τὸ εἰδικὸν ὄνομα ἦν *κατωτίς* (Ἡσύχιος).

547. *Βορέαο πεσόντος*] = Ὀδ. ξ 475. Οὐ παραλλάσσει τῆς ἀνωτέρω φράσεως *ἐμπίπτων* (511), πρβλ. καὶ Θ. 873.

548. *ἀπ'*] Ἡ αὐτὴ ἰδέα ὑπόκειται τῇ λέξει **καταχνιά** (Κρητικῶς **κατσηφάρα**).

549. *πυροφόρος*] Ἐπάγουσα πῦρ, ἤτοι πυρετόν· ὥσπερ γὰρ νῦν *θέρμη*, οὕτως παρ' Ἡσιόδῳ τε καὶ Ἱπποκράτει *πῦρ* ἐπὶ νόσων τίθεται.

*μακάρων*] Τῶν πλουσίων ὡς Ἰλ. Λ 68. Ὀδ. α 217, ὅθεν ἄνακτες καὶ εὐγενεῖς τοῦ ἡρωϊκοῦ αἰῶνος ἔφερον τὰ ὀνόματα Μάκαρ, εύς,-ία,-ιος,-τατος,-ων, ὅσα πρὸς τὴν Φοινικικὴν γλῶσσαν οὐδεμίαν σχέσιν, κατ' ἐμέ, ἔχουσιν. Μάλιστα δὲ μνείας ἄξιον, ὅτι τὸ σιτοφόρον πεδίον τῶν Μεσσηνίων *Μακαρία* ὠνομάζετο (Στράβ. Γεωγρ. 8,361). Ἀλλὰ διὰ τί ἐπὶ τοὺς τῶν μακάρων μόνον ἀγροὺς τέτακται, ὅτι οἱ κατοικοῦντες τὸ πεδίον πανταχοῦ τῆς Ἑλ-

ὅστε ἀρυσσάμενος ποταμῶν ἄπο αἰεναόντων,
ὑψοῦ ὑπὲρ γαίης ἀρθεὶς ἀνέμοιο θυέλλῃ,
ἄλλοτε μέν θ' ὕει ποτὶ ἕσπερον, ἄλλοτ' ἄησι,
πυκνὰ Θρηϊκίου Βορέαο νέφεα κλονέοντος.
Τὸν φθάμενος, ἔργον τελέσας, οἶκόνδε νέεσθαι,
μήποτέ σ' οὐρανόθεν σκοτόεν νέφος ἀμφικαλύψῃ,
χρῶτά τε μυδαλέον θήῃ, κάτα θ' εἵματα δεύσῃ.
Ἀλλ' ὑπαλεύασθαι· μεὶς γὰρ χαλεπώτατος οὗτος,
χειμέριος, χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις.
Τῆμος τὤμισυ βουσίν, ἐπ' ἀνέρι δὲ πλέον εἴη
ἁρμαλιῆς· μακραὶ γὰρ ἐπίρροθοι εὐφρόναι εἰσί.

λάδος τῶν ἄλλων εἰς πλοῦτον διέφερον, οἷον ἐν τῇ ἀρχαίᾳ Ἀττικῇ οἱ Πεδιεῖς ἢ Πεδινοί. Τὸ *ἔργα* ἀπηντήσαμεν Ἔ. 119 κἑ.

550. Ἡ δοξασία αὕτη παράλληλός ἐστι τῇ περὶ τῆς Ἴριδος, ἥπερ ἐκ τῆς θαλάσσης ἀρύεται (ἴδε εἰς Θ. 785)· ἡ εὐφορία τῶν πεδίων ἐξαρτᾶται ἀπὸ τῆς διαρκείας τοῦ ὕδατος, διὸ οἱ Ἕλληνες συγγραφεῖς ταύτην ἐξαίρουσιν (π. χ. Ἡρόδοτ. 1, 145). Ἡ τῆς Ἄσκρας κοιλὰς οὐ ποτίζεται εἰ μὴ ἀπὸ κρηνῶν καὶ ὀλίγων μικρῶν χειμάρρων· ὅθεν οὐκ ἄνευ φθόνου ἐνταῦθα τοὺς ἔξω μακαρίους καλεῖ.

551. *ἀνέμοιο θυέλλῃ*] = Ἰλ. Ζ 346. Μ 253. Ὀδ. μ 288. 409.

552. *ποτὶ ἕσπερον*] Περὶ τὴν ἑσπέραν· καὶ νῦν γινώσκουσι τὸν κανόνα, ὅτι ὁμίχλη τῆς ἕω προσημαίνει τῆς δείλης ὑετόν.

*ἄησι*] Ἀὴρ δριμὺς ὄρνυται.

553. *Θρηϊκίου Βορέαο*] Ἴδε 507· ἐν τῷ Παρνασσῷ καλεῖται *Θρακιᾶς*.

*κλονέοντος*] Πρβλ. Θ. 935.

554. *τὸν φθάμενος*] Πρὸ τοῦ ὄρνυσθαι τοῦτον.

*τελέσας*] Οὐχὶ τελειώσας, ἀλλὰ διακόψας.

*οἶκόνδε νέεσθαι*] Ἐν τοῖς Ὁμήρου ποιήμασι συχνάκις εὑρίσκεται (Ἰλ. Β 290 κἑ.).

555. *οὐρανόθεν*] Πρβλ. 548.

*ἀμφικαλύψῃ*] Ἔκφρασις εὐφημιστικὴ ῥαγδαίας βροχῆς, ἥτις ἐντὸς ὀλίγου καιροῦ καθυγραίνει.

556. «Νὰ μήν σε βρέξῃ ὡς 'ς τὰ κόκκαλα».

557. *ἀλλ' ὑπαλεύασθαι*] Συμπεριλαμβάνει πάντα, ἀναπέμπων εἰς 504.

*μείς*] Ἐν τῇ ἀρχαιοτάτῃ γλώσσῃ ὀνομαστικὴ ἦν, ἀνθ' οὗ ὕστερον *μὴν* ἐτυπώθη κατ' ἀναλογίαν τῶν πλαγίων πτώσεων.

558. *χειμέριος*] Θυελλώδης.

*προβάτοις*] Ἔχει κατὰ τὴν Ὁμηρικὴν χρῆσιν (Ἰλ. Ξ 124. Ψ 500) τὴν γενικωτέραν σημασίαν *βοσκήματα*.

559. *τὤμισυ ἁρμαλιῆς*] Τὸ ἥμισυ τοῦ σιτηρεσίου, ἐπειδὴ ἧσσον ἐργάζονται.

560. *ἐπίρροθοι*] Ἡ λέξις εἰς Ἰλ. Δ 390 ἑρμηνεύεται «ὁ μετὰ ῥόθου καὶ σπουδῆς βοηθῶν» (Εὐστάθ. Ἰλ. σ. 849, 35)· καὶ δὴ αἱ νύκτες συμπράττουσι τῷ οἰκονόμῳ, καθόσον οἱ ἄνθρωποι ἀντὶ τοῦ ἐσθίειν πολλὰ πλέον κοιμῶνται.

*εὐφρόναι*] Τὸ πρῶτον χωρίον, ὅπου ἡ μεταφορὰ αὕτη ἀπαντᾷ ἐν τοῖς Ἑλ-

Ταῦτα φυλασσόμενος τετελεσμένον εἰς ἐνιαυτὸν
ἰσοῦσθαι νύκτας τε καὶ ἤματα, εἰς ὅ κεν αὖτις
Γῆ πάντων μήτηρ καρπὸν σύμμικτον ἐνείκῃ.
Εὖτ' ἂν δ' ἑξήκοντα μετὰ τροπὰς ἠελίοιο
χειμέρι' ἐκτελέσῃ Ζεὺς ἤματα, δή ῥα τότ' ἀστὴρ
Ἀρκτοῦρος προλιπὼν ἱερὸν ῥόον Ὠκεανοῖο,
πρῶτον παμφαίνων ἐπιτέλλεται ἀκροκνέφαιος,
τὸν δὲ μέτ' ὀρθογόη Πανδιονὶς ὦρτο χελιδὼν

ληνικοῖς γράμμασιν. Πῶς δὲ ἡ νὺξ εὐφραίνει, διχογνωμοῦσιν. Κλήμης μὲν ὁ Ἀλεξανδρεὺς (Στρωματ. Δ', σ. 227) γράφει, ὅτι «μοι δοκοῦσιν εὐφρόνην κεκληκέναι τὴν νύκτα, ἐπειδὴ τηνικάδε ἡ ψυχὴ πεπαυμένη τῶν αἰσθήσεων συννεύει πρὸς αὐτὴν καὶ μᾶλλον μετέχει τῆς φρονήσεως». Τοῦτό γε φιλοσόφου ἀνδρός ἐστι καὶ παραδεχόμεθα, ὅτι Πίνδαρος καὶ οἱ τραγικοὶ μετὰ ταύτης τῆς ὑπονοίας τὴν λέξιν μετεχειρίσαντο· ὁ ἀγροικικὸς ὅμως ποιητὴς βεβαίως ἐκεῖνο ἐνενόησεν, ὅτι ἡ πλείστη χαρὰ τοῦ καταπεπονημένου γεωργοῦ ἐστι τὸ καθεύδειν ἡσύχως καὶ πολὺν χρόνον.

561. Πάλιν τυπικὴ φράσις τὸ πέρας τοῦ κεφαλαίου ἀγγέλλουσα, ἢ παράθες στ. 491-2.

*τετελεσμένον εἰς ἐνιαυτόν*] (= Θ. 795, Πρβλ. 740) διασαφηνίζεται τῇ ὑποτακτικῇ παρατάσει στ. 562-3.

562. *ἰσοῦσθαι νύκτας τε καὶ ἤματα*] Ἡ Ὁμηρικὴ φράσις «νύκτας τε καὶ ἤματα» τετριμμένη ὑπὸ τῶν ποιητῶν, ἄλλοτε μὲν τῷ ἁπλῷ πάντοτε ἢ ἀδιακόπως συνωνυμεῖ, ἐνταῦθα δὲ ἐκ τῶν προηγουμένων (559-60) καὶ τοῦ ἀντικειμένου 577 στ. τὸν νοῦν ἑρμηνευτέον· τὸ *ἰσοῦσθαι* δηλαδὴ εἰς τὸν ὕπνον ἀναφέρεται, Ἡσιόδου αἰνιττομένου τὸ καθεύδειν τὴν νύκτα ὁλόκληρον. Τὸ θέρος, ἂν ἐγερθῇ τις πρὸ τῆς ἕω, ἡ νὺξ πρὸς τὴν ἡμέραν οὐκ ἰσορροπεῖ.

*σύμμικτον*] Τοῦτο τὸ ἐπίθετον ἔθηκεν, ἀφορῶν συνάμα εἰς τὰ ζῷα. Φέρει δηλαδὴ τοῖς μὲν καρπόν, τοῖς δὲ τὰ περὶ τὸν χόρτον.

564-70. Περὶ τῶν κατὰ τὸ ἔαρ ἐργασιῶν.

563. *ἑξήκοντα*] Ὁ περιώνυμος ἀστρονόμος Εὔδοξος Ἡσίοδον οὐ διαψεύδει (ἴδε τὸ Ἐγχειρίδιον τοῦ Γεμίνου κ. 16). Οἱ δὲ νεώτεροι ἀπέδειξαν, ὅτι τὸ διάστημά ἐστι νη' ἡμερῶν. Τῷ 800 π. Χ. λοιπὸν ὁ Ἀρκτοῦρος ἀνέτειλε τῇ 24 Φεβρουαρίου καὶ ἐν Βοιωτίᾳ «παμφαίνων» καὶ πασίδηλος ἐγένετο τῇ 27.

*τροπάς*] Περὶ τῆς ποσότητος τῆς καταλήξεως εἴρηται εἰς Θ. 60.

565. *Ζεύς*] Ὡς θεὸς τοῦ καιροῦ.

566. *Ἀρκτοῦρος*] Ἤτοι ὁ τῆς ἄρκτου φύλαξ, ὅτι ἐν τῷ τῆς Ἄρκτου σημείῳ εὑρίσκεται. Οἱ παλαιοὶ ἐπίστευον, ὅτι τὰ ἄστρα ἐκτὸς τοῦ Ὠρίωνος (:οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο, Ἰλ. Σ 489) εἰς τὸν Ὠκεανὸν λούονται, ὅταν ὦσιν ἀόρατοι.

*ἱερόν*] Ὅτι Ὠκεανὸς θεὸς ἦν (ἴδε Θ. 20 κἑ.).

*ῥόον Ὠκεανοῖο*] = Ἰλ. Π 151.

567. *ἀκροκνέφαιος*] Κατὰ τὸ ἄκρον τοῦ λυκόφωτος· ὁμοίως ἐλέγετο *ἀκρόνυχος* ἢ *ἀκρονύκτιος*.

568. *τὸν δὲ μέτ'*] Ἤτοι μετὰ τὴν πρώτην ἐπιτολήν. Αἱ χελιδόνες ἐν τῇ Ἀττικῇ πρὸ τῆς 6 Μαρτίου οὐχ ὁρῶνται, ἐν Πάτραις δὲ ἐνίοτε κατὰ τὸν

ἐς φάος ἀνθρώποις, ἔαρος νέον ἱσταμένοιο·
τὴν φθάμενος, οἴνας περιταμνέμεν· ὣς γὰρ ἄμεινον.
Ἀλλ' ὁπότ' ἂν φερέοικος ἀπὸ χθονὸς ἂν φυτὰ βαίνῃ.

μέσον Φεβρουάριον ἀνεφάνησαν. Ὅπως δὲ καὶ ἂν τοῦτο ἔχῃ, τὰ χελιδονίσματα ᾄδονται τῇ 1/13 Μαρτίου.

*ὀρθογόη Πανδιονίς*] Κατὰ τὸν μῦθον, Πρόκνη ἡ Πανδίονος θυγάτηρ εἰς χελιδόνα μετεβλήθη καὶ θρηνεῖ τὴν ἑαυτῆς τύχην· *ὀρθογόη* γὰρ δηλοῖ τὴν ὑψηχῶς θρηνοῦσαν. Φιλομήλα καὶ Πρόκνη δηλαδὴ «τὴν ἐς ἀηδόνα καὶ χελιδόνα μεταβολὴν ἐπεφήμισαν, ὅτι, οἶμαι, καὶ αὗται αἱ ὄρνιθες ἐλεεινὸν καὶ θρήνῳ ὅμοιον ᾄδουσι» (Παυσαν. 1,41, 9).

*ὦρτο*] Γνωμικῶς.

569. *ἐς φάος*] Ἡ δοξασία γὰρ ἐπεκράτει (Ἀριστοτέλ. π. ζῴων 8, 16 (18). Πλίν. 10,24,34), ὅτι αἱ χελιδόνες τοῦ χειμῶνος ἀποκρύπτονται. Ἐν Παλαιοπαναγίᾳ ἄνωθεν τῶν Θεσπιῶν ὁ νουνεχὴς διδάσκαλός μ' ἠρώτησε ποῦ ποτε αἱ χελιδόνες ἄφαντοι καθίστανται.

*ἔαρος νέον ἱσταμένοιο*] (= Ὀδ. τ 519). Διὸ ἡ χελιδὼν τοῦ ἔαρος κῆρυξ ὑπελαμβάνετο (Ὀδ. τ 519. Σιμωνίδ. Ἀπόσπ. 73. 74. Ἀριστοφ. Ὄρνιθ. 683. 714. Πλουτάρχ. Ἠθ. Νικομ. 1, 7,16: μία χελιδὼν ἔαρ οὐ ποιεῖ, ἐπιγρ. τῆς ζωγραφίας, ἢ ἐξεδόθη ἐν τοῖς Monumenti dell'Instituto Archeologico τ. Β', πίν. 24), ὅπερ καθ' ἡμᾶς εἰσέτι ἡ παροιμία ἐμφαίνει: «Ἕνα χελιδόνι δὲν κά(μ)νει ἄνοιξι».

570. *τὴν φθάμενος*] (=554), ἤγουν ἅμα τῷ ἐπιτέλλεσθαι τὸν Ἀρκτοῦρον. Οἱ Γεωπονικοὶ (5,23) παραγγέλλουσι τὴν 15 Φεβρουαρίου· ἐπὶ δὲ Κεφαλληνίας ἡ 20 συνηθίζεται.

*οἴνας περιταμνέμεν*] Κλαδεῦσαι τὰς ἀμπέλους.

571-617. Περὶ τοῦ θέρους.

571. *φερέοικος*] Ἐντυγχάνομεν πάλιν ὀνόματι παιγνιώδει, ὅπερ αἴνιγμά πως περιέχει. Καταχωρίζομεν πρῶτον ὡς ὑποστήριγμα τῆς ἑρμηνείας δύο σχόλια, τὸ μὲν ἐν τοῖς τῶν ποιημάτων χειρογράφοις σῳζόμενον: «Ὁ μὲν Θρᾷξ Διονύσιος ἔλεγε φερέοικον τὸν κοχλίαν· ἐπιτιμῆσαι δέ φησιν αὐτῷ τινα τοῦτο λέγοντι Ἀρκάδι· εἶναι γὰρ ἐν Ἀρκαδίᾳ τὸν φερέοικον ὁρᾶν, μελίττῃ ἐοικότα, σμικρότατον, κάρφη καὶ συρφετὸν ἑαυτῷ συνάγοντα, στεγοποιεῖσθαι διὰ τοὺς χειμῶνας, βαίνειν δὲ ἀνὰ τὰ φυτὰ θέρους· τὸν δὲ κοχλίαν μὴ φαίνεσθαι θέρους, ἀλλ' ὁπόταν ὄμβρος γένηται, ἀναδυόμενον [φαίνεσθαι] διὰ τῶν φυτῶν βαίνειν, ἕλκοντα τὸ κοῦφον ἐξόπισθεν ὄστρακον». Τὸ δὲ δεύτερον φέρεται ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σ. 790, 34: «Φερέοικος καὶ φέροικος, ὁ κοχλίας καὶ ἡ χελώνη· ἔνιοι δὲ ζῷον λευκὸν ὅμοιον γαλῇ (!) ὑπὸ δρυσὶ καὶ ἐλαίαις γινόμενον, βαλανοφάγον, οὕτω καλούμενον ὑπ' Ἀρκάδων· οἱ δὲ ζῷον σφηκὸς εὐμεγέθους μέγιστον». Τὴν *χαμαὶ ἑρπομένην* χελώνην ἀμέσως χαίρειν ἐάσαντες, ἀποκρούομεν ἐπίσης τὴν τοῦ Ἀρκάδος ἀντίρρησιν· οὔτε γὰρ ἐλαιῶνες ὑπῆρχον παρὰ τοῖς Θεσπιεῦσι οὔτε αἱ δρύες *φυτὰ* ὀνομάζεσθαι δύνανται, ἀλλὰ ἡ λέξις αὕτη ἀναφέρεται εἰς τὰ ἀμπέλια (στ. 22). Ἀκούομεν οὖν ὅτι τῷ Ἀπριλίῳ κοχλίας (Helix aspersa), φεύγων τὴν θερμότητα, ὑπὸ τὰς ἕλικας καὶ τὰ φύλλα τῶν ἀμπέλων ἀποκρύπτεται, ὅπερ βαρέως φέρει ὁ γεωργός. Τῷ ὄντι ἐν τῇ κοινῇ συνηθείᾳ τῶν παλαιῶν τὸ ὄστρακον τοῦ κοχλίου *οἰκία* ἐκαλεῖτο, ὅθεν ὁ κωμικὸς Ἀναξίλας Ἀττικῷ ἅλατι αὐτοὺς διαπαίζει: «οἳ περιφέρουσ' ὑπ' ἀπιστίας τὰς οἰκίας» (Ἀθην. Δειπνοσοφ. 2, 63 b).

Πληϊάδας φεύγων, τότε δὴ σκάφος οὐκέτι οἰνέων,
ἀλλ' ἅρπας τε χαρασσέμεναι καὶ δμῶας ἐγείρειν,
φεύγειν δὲ σκιεροὺς θώκους καὶ ἐπ' ἠῶ κοῖτον
ὥρῃ ἐν ἀμήτου, ὅτετ' ἠέλιος χρόα κάρφει.
Τημοῦτος σπεύδειν, καὶ οἴκαδε καρπὸν ἀγινεῖν,
ὄρθρου ἀνιστάμενος, ἵνα τοι βίος ἄρκιος εἴη.
Ἠὼς γάρ τ' ἔργοιο τρίτην ἀπομείρεται αἶσαν,

572. *Πληϊάδας*] Τὸ καῦμα δηλαδή, ὅπερ ἀρχὴν λαμβάνει ἀπὸ τῆς τῶν Πληϊάδων ἀνατολῆς (383).

*σκάφος*] Τότε οὐκέτι καιρὸς τοῦ σκάπτειν τοὺς ἀμπελῶνας, πρότερον ἄρα ἐκτελεστέον τὴν σκαφήν. Ἐν Θεσπιαῖς σκάπτουσι περὶ τὴν 20 τοῦ (Ἑλλην.) Μαρτίου, ὑστερούντων τινῶν μέχρι τῆς ἀρχῆς τοῦ Ἀπριλίου· οἱ δὲ Ἀττικοὶ τὴν πρώτην (13ην) τοῦ Μαρτίου διορίζουσιν ἕνεκα κλαδεύσεως καὶ σκάψεως. Τούτοις οὐ παντελῶς συμφωνοῦσιν αἱ παροιμίαι: «Γεννάρη μῆνα κλάδευε καὶ λίσγο μὴ γυρεύῃς», «Γεννάρη μῆνα κλάδευε καὶ φεγγάρι μὴ 'ρωτᾷς», «Ἔβγα σύ, Γιαννουράκι, νἄμβω 'γὼ τὸ Φλεβαράκι, καὶ νὰ 'δῇς εἰς τὰ χαντάκια γέρους καὶ παλληκαράκια» καὶ πολλαὶ ὅμοιαι (ἴδε A. Mommsen, griechische Jahrzeiten, Α', σ. 13), ὅσαι παροιμιάζονται ἐν Χίῳ καὶ ἄλλαις θερμοτέραις χώραις.

573. *ἅρπας*] Δρέπανα, ὡς εἴπομεν εἰς Θ. 175.

*ἐγείρειν*] Καὶ αὕτη ἡ παραίνεσις πλαγίως ἐκφωνεῖται. Ὅπως ἐγείρῃ ὁ κύριος τοὺς δούλους, αὐτὸς πρῶτος πάντων ἀνεγειρέσθω.

574. Παραλληλίζεται πρὸς 493. *Ἐπ' ἠῶ* ἀντιστοιχεῖ τῷ ἐπιθέτῳ *ἐπαλέα*.

575. *κάρφει*] Τῆς λέξεως ἑρμηνείαν ζήτει εἰς 7, παράθες δὲ τὸν 587 στ.

576. *Τημοῦτος*] Οὐ παραλλάσσει τοῦ ἁπλοῦ *τῆμος* (τότε).

*ἀγινεῖν*] Ἐφ' ἁμάξης, εἰς ἣν βοῦς ἢ ἡμιόνους ἐζεύγνυον (Πρβλ. 424.581. Κόϊντ. Σμυρν. 5,611 καὶ τὴν ἀρχαϊκὴν ζωγραφίαν, ἢ τὸ τελευταῖον ἐν τοῖς Μνημείοις (Denkmäler) τοῦ Baumeister ἐξεδόθη, πίν. 1,13)· τοιουτότροπος ἅμαξα ἐπὶ τῆς Κύπρου εἰσέτι εὐχρηστεῖ (ἴδε Σακελλαρίου Κυπριακὰ Γ', σ. 84, 16).

577. *ὄρθρου*] Πρὸ τῆς ἕω (574. 578), ὅταν ὑποφαύσκῃ ἡ ἡμέρα, ἀνατέλλῃ ὁ ἑωσφόρος (Κόϊντ. Σμυρν. 2, 184-5) καὶ ᾄδωσιν οἱ ἀλεκτρυόνες (Θεόγνιδ. 863-4: ὀρθρίη . . . ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων, Θεόκριτ. 7, 122: ὁ ὄρθριος ἀλέκτωρ κοκκύζων). Καθ' ἡμᾶς οἱ θερισταὶ ἀνίστανται μεταξὺ τῆς δευτέρας καὶ τρίτης ὥρας.

Τὸ δεύτερον ἡμιστίχιον ὁμοιάζει 501. Ἡσίοδος συνᾴδει τῷ φιλοσοφοῦντι ἰδιώτῃ, ὅστις λέγει: «Θὲς πλούτη καὶ τιμή; Μὴν κοιμᾶσαι τὴν αὐγή» (Βενιζ. Θ. 49).

578. Ὁ νοῦς κατάδηλος· Ἂν κοιμηθῶμεν μέχρι τῆς ἡμέρας, παραλείπομεν τὸ τρίτον μέρος τῆς ἐργασίμου ἡμέρας (καθόσον τῆς μεσημβρίας πλείονας ὥρας ἀναπαυόμεθα). Τὴν λέξιν *ἀπομείρεται* ἐξηγούμεθα εἰς Θ. 801 καὶ Ε. 57. *Ἠὼς* δηλοῖ ἐν τῷ κεφαλαίῳ τούτῳ (571-81) τὰς ὥρας τὰς ἀπὸ τῆς πρώτης ἀλεκτρυονοφωνίας μέχρι τῆς τοῦ ἡλίου ἀνατολῆς.

ἠώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου,
ἠώς, ἥτε φανεῖσα πολέας ἐπέβησε κελεύθου
ἀνθρώπους, πολλοῖσί τ' ἔπι ζυγὰ βουσὶ τίθησι.
Ἦμος δὲ σκόλυμός τ' ἀνθεῖ καὶ ἠχέτα τέττιξ
δενδρέῳ ἐφεζόμενος λιγυρὴν καταχεύετ' ἀοιδὴν
πυκνὸν ὑπὸ πτερύγων, θέρεος καματώδεος ὥρῃ,

579. *προφέρει*] Προκόπτειν ποιεῖ εἰς τὴν ὁδόν· πρὸς τὴν γενικὴν λείπει *τι*.

*ὁδοῦ*] Οἱ γὰρ ἀγροὶ συχνάκις τοσοῦτο μακρὰν τῆς οἰκίας κεῖνται, ὥστε νῦν οἱ κωμῶν τινων κάτοικοι ἐν καλυβίοις ἐπὶ τῶν ἀγρῶν κοιμῶνται. Ὁ ποιητὴς ἐξαίφνης συσσωρεύει τὰς ἀναφορὰς καὶ ἀνατείνεται πρὸς ἀκαριαῖον εἰδύλλιον τοῦ ἀγροικικοῦ βίου.

581. Πρβλ. 576.

582. *σκόλυμος*] Ἐτήρησε τὸ παλαιὸν ὄνομα (σκόλυμβρος, σκόλυμπρα, σκολυάμβρι, ἀσκόλυμβρος, - οι [ἐπὶ Μυκόνῳ καὶ Κυθήροις· ἐν δὲ Κρήτῃ καὶ Κύθνῳ ταὐτὸ σημαίνει Centaurea raphanina Sibth.]) ἢ ἀπὸ τοῦ τῶν Βυζαντίνων αἰῶνος (ἐν τῷ τοῦ Τζέτζου σχολίῳ ἀνάγνωθι *ὁ ἀκάνθης τοῦ ὄνου* ἀντὶ τοῦ οἴνου) γενικώτερα ὀνόματα ἔλαβεν (ἀγκάθι, ἀγριάγκαθα, κεφαλάγκαθα, γαϊδουράγκαθα, γομαράγκαθα, Κρητιστὶ ἀγκάβανος, Ζακωνικῶς γαϊδουνόχουλε). Τὸ κίτρινον ἄνθος αὐτοῦ ἀναπτύσσεται κατὰ τὸν Ἰούνιον. Ἀλλὰ πῶς τὸ λιτὸν τοῦτο φυτὸν μνείας ἄξιον; Τὴν ἀπορίαν ταύτην λύει ἡ εὐχυμία τοῦ καυλοῦ λυθέντος ἀπὸ τοῦ ἀκανθώδους ἐπικαλύμματος, ἧς αὐτῷ στόματι χάριν τοῦ ποιητοῦ ἐγευσάμεθα. Ὁ λαὸς φυλάσσει τὴν παράδοσιν τῶν προγόνων, οἳ κατὰ τὴν Πλινίου μαρτυρίαν (21,94) ἐπίσης τὸν σκόλυμον ἤσθιον.— Τὸν ἀνὰ χεῖρας χαρακτηρισμὸν τῶν ἡδονῶν καὶ πόνων τοῦ Ἰουλίου ὁ Λέσβιος λυρικὸς μετέθηκεν εἰς σκόλιον (Ἀπόσπ. 39).

*ἠχέτα*] Παρὰ τὸ ἠχέω, ἤγουν βομβέω· περὶ τοῦ τύπου εὑρήσεις σημείωσιν εἰς Θ. 56.

583. *λιγυρὴν καταχεύετ' ἀοιδήν*] Τὸ μὲν ἐπίθετον κυριώτατον ἦν, διὸ Λακωνιστὶ «*λιγαντὰρ*» εἶδος τέττιγος ὠνομάζετο (Ἡσύχ.). Τὸ δὲ τερέτισμα νῦν οὐκέτι διὰ τοῦ ὀνόματος *ᾠδὴ* τιμῶμεν. Οἱ παλαιοὶ ὅμως τὴν μουσικὴν αἴσθησιν μετριωτέραν εἶχον. Ἠρέσκοντο μάλιστα τῇ ᾠδῇ ἀπὸ τῶν τοῦ Μαιονίδου αἰώνων μέχρι τῆς παρακμῆς (Ἰλ. Γ 150-2. Ἀριστοφ. Εἰρήν. 1159: ἡδὺν νομόν, Θεόκριτ. 1,148: τέττιγος ἐπεὶ τύγα φέρτερον ᾄδεις, Ἀνακρέοντ. 32 (43), Φιλόστρατ. π. Ἀπολλ. Τυαν. Η', 11, σ. 133, Ἀνθολογ. 7, 364, 3, Ἰωάνν. Χρυσοστόμ. εἰς Πράξ. Ἀποστ. κ.2, Ὁμιλ. ϛ', § γ', ὅσπερ τοὺς τέττιγας μετὰ τῶν ἀηδόνων καὶ χελιδόνων εἰς τὰς ᾠδικὰς ὄρνιθας συγκαταριθμεῖ, αἰνιττόμενος ἴσως τὸν Ἀλκαῖον, περὶ οὗ ἴδε Ἱμερίου Λόγ. 14, 10). Τῆς χρονολογίας χάριν οὐδὲ νῦν παραμελοῦσι τοὺς τέττιγας: «Ἂν δὲν λαλήσῃ τζίτζικας, δὲν εἶνε καλοκαῖρι» (ἐκ Μεσολογγίου Mommsen αὐτ. Α', σ. 69): «τζίντζιρας ἐλάλησε; Πάρτε τὰ δρεπάνια σας» (Ἀραβαντ. Παροιμ. 1441).

*καταχεύετ(αι)*] Ἡ μεταφορὰ ἐξῆλθεν ἐκ τῆς πρὸς μέλι καὶ δρόσον ἀντιπαραβολῆς τῆς ᾠδῆς καὶ καλλιρρημοσύνης. Προηγεῖται δὲ Ὅμηρος (Ὀδ. τ 521: χέει πολυηχέα φωνήν).

584. *πυκνόν*] Συνεχῶς.

τῆμος πιόταταί τ' αἶγες καὶ οἶνος ἄριστος,
μαχλόταται δὲ γυναῖκες, ἀφαυρότατοι δέ τοι ἄνδρες
εἰσίν, ἐπὶ κεφαλὴν καὶ γούνατα Σείριος ἄζει,
αὐαλέος δέ τε χρὼς ὑπὸ καύματος· ἀλλὰ τότ' ἤδη
εἴη πετραίη τε σκιὴ καὶ βύβλινος οἶνος

585. *αἶγες*] «Μετὰ τὸν ἀπογαλακτισμὸν τῶν ἐρίφων εἰς τὸ ἑαυτῶν σῶμα δαπανῶσαι τὴν ὕλην» (Πρόκλος). Ἡ τοῦ λίπους προτίμησις, ὥσπερ Θ. 541, διαυγάζει. Καὶ νῦν ὀπτῶσι τὰς αἶγας καὶ πωλοῦσι τὸ κρέας εἰς τὰς πανηγύρεις.

586. Ταύτην τὴν Ἀφροδισιακὴν πεῖραν Ἀριστοτέλης ἐν τοῖς Προβλήμασιν (4,26) αἰτιολογεῖ. Ἴσως τὸ λεγόμενον: «ἥλιος καὶ φεγγάρι, 'πανδρεύοντ' οἱ γαϊδάροι» (Mommsen αὐτ. Α', σ. 11-2) πρὸς αὐτὴν σχέσιν ἔχει. Τὸ κατ' ἀρχὴν καῦμα μάλιστά πως τὰ νεῦρα βλάπτει.

587. Περὶ τοῦ Σειρίου εἴρηται εἰς 417. Ἐπ' ἀληθείᾳ τὸν καύσωνα αἰσθανόμεθα τὰ μάλιστα εἰς τὴν κεφαλὴν καὶ τοὺς πόδας. Ἡ μετωνυμικὴ χρῆσις τοῦ *γόνατα* ἀπαντᾷ οὐ μόνον παρὰ τοῖς ἐποποιοῖς (608, Ὁμηρ.: ῥεῖά ἑ γοῦνα φέρει κτλ.), ἀλλὰ καὶ καθ' ἡμᾶς (λ.χ.: τάσπρολίθια τὰ γόνατά μου σφάζουν, Ἀραβαντ. Συλλ. 100,11).

*ἄζει*] Πρβλ. 7. 575. Εὐστάθ. Μακρεμβολίτ. 4, 18, 7: τὴν ἐπιτολὴν τοῦ Κυνός, ὅθεν τὸ σῶμα καταξηραίνεται, Ἀρχιλόχ. Ἀπόσπ. 61: πολλοὺς μὲν αὐτῶν Σείριος καταυανεῖ.

588. *τότ' ἤδη*] Οὐχὶ πρότερον. Ἐνθυμεῖται περὶ 574.

589. *εἴη πετραίη τε σκιὴ*] «Νὰ ἤμουν 'ς τὰ ψηλὰ βουνὰ καὶ τοὺς χονδροὺς τοὺς ἴσκιους» (Sanders Volksleben, σ. 10, ἀρ. 9, 12). *Τε* διαμένει βραχὺ πρὸ τῶν δύο συμφώνων, διότι ἡ ἰαμβικὴ λέξις τοῦτο ἀπαιτεῖ.

*βύβλινος οἶνος*] Πόθεν ὁ οἶνος τὸ ὄνομα ἔλαβεν, ἀπὸ τόπου τῆς Θράκης (τῆς Βιβλίας ὡς Ἁρμενίδας παρ' Ἀθηναίῳ 1, 31 a, τῆς Βιβλίνης χώρας ὡς Στέφανος ὁ Βυζάντιος ἐν λ., τῶν Βιμβλίνων ὀρῶν ὡς Ἐπίχαρμος παρ' Ἡσυχίῳ λ. Βίμβλινος, Πρβλ. Ἀθήν. 1, 31 a, Ἐτυμ. Μέγ. σ. 197, 36 κέ., Βυβλίας χώρας Εὐστάθ. Σχόλ. εἰς Ἰλ. Λ 641, πόλεως κατὰ Πρόκλον, πρβλ. Ἐτυμ. Μέγ. σ. 199, 33, Ζωναρᾶν λ., Σχόλ. Θεοκρίτ. 14, 15 καὶ Ψελλὸν ἐν τοῖς Ἀνεκδότοις τοῦ Boissonade τ. Α', σ. 241 καὶ Γ', σ. 223, στ. 422) ἢ ἀπὸ Ναξίου ποταμοῦ (Βιμβλίνου, Βιβλίνου, Βίβλου, ἴδε Σῆμον τὸν Δῆλον παρὰ Στεφάν. Βυζαντ. λ. Βιβλίνη, Ἐτυμ. Μέγ. σ. 197,39, Πρόκλον) ἢ ἀπὸ τῆς Φοινικικῆς πόλεως Βύβλου (ὡς Ἀρχέστρατος παρ' Ἀθην. 1,28), διακρῖναι οὐκ ἔχομεν. Ὁ ἀναγνώστης ταῦτα βέβαια ἡγείσθω, πρῶτον μὲν ὅτι Βυβλίνη ἐκαλεῖτο εἶδος ἀμπέλου (Ἵππυς παρ' Ἀθην. 1,31 b, Πρόκλος, Ἀχιλλεὺς Τάτιος 2, 2, Στέφ. Βυζάντιος λ. Βιβλίνη, Ἐτυμ. Μέγ. σ. 197, 33, Ζωναρᾶς λέξ., ἔπειτα δὲ ὅτι ἔθαλλε περὶ τὴν Ἄσκραν. Αὐτόθι γὰρ οἱ ἐγχώριοι τοσοῦτο δέουσι τοῦ εἰσφέρειν ἀλλότριον οἶνον, ὥστε τὸν τηλεκλυτὸν οἶνον αὐτῶν πωλοῦσιν εἰς τὰ πέριξ. Περὶ τῆς ποιότητος αὐτοῦ ἀναφέρομεν τὸν ἀνενθουσίαστον Ἄγγλον Wheler, ὃς πρὸ δύο αἰώνων εἰς τὴν χώραν ἦλθε: «Je bûs là le meiller vin et le plus fort que j'eûsse bû dans toute la Grèce» (Voyage Α', σ. 304). Ἡσίοδος κατέστησε τὴν εὐδοξίαν τοῦ εἴδους συμβοηθούντων Θεοκρίτου (14, 15: βίβλινον

μᾶζά τ' ἀμολγαίη γάλα τ' αἰγῶν σβεννυμενάων
καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τετοκυίης
πρωτογόνων τ' ἐρίφων· ἔπι δ' αἴθοπα πινέμεν οἶνον,
ἐν σκιῇ ἑζόμενον, κεκορημένον ἦτορ ἐδωδῆς,
ἀντίον ἀκραέος Ζεφύρου τρέψαντα πρόσωπα,

εὐώδη τετόρων ἐτέων) καὶ ἄλλου, οὗ τινος τὸ ὄνομα ἄγνωστον (Ἐτυμολ. Μέγ. σ. 197,32). Πρὸς δὲ τὴν χρονολογίαν ἀντιπαραβάλλομεν τὸ λεγόμενον: «τὸ Μάη πίνε τὸ νερό, τὸ θεριστὴ τὸ 'ξύδι, **τὸν ἀλωνάρη τὸ κρασὶ** νὰ 'δῇς τὸ παλλικάρι» (Mommsen A', σ. 65).

590. Οἱ Ἕλληνες ἀγνοοῦσι τὸν μάταιον φόβον τῆς κατὰ τὸν καύσωνα πολυφαγίας. Οἱ Χῖοι λέγουσι: «Μᾶς ἀκαμάτης καὶ φαγᾶς» (Βενιζέλ. Μ 35).

*μᾶζα ἀμολγαίη*] Παρὰ τὸ μάσσω (φύρω) καὶ ἀμολγή (γάλα ἢ ὀρός). Ὑπεδηλώσαμεν καὶ ἐν τοῖς ἀνωτέρω, περιγράφοντες τὸν *ὅλμον* (423), ὅτι οἱ Ἀσκραῖοι ἠγάπων ἐδωδήν, ἥν τινα οἱ γεωργοὶ καθ' ἡμᾶς εἰς τὰς ἑορτὰς ἀποταμιεύουσιν. Κατατρίβει κριθὴν ἐν τῷ χειρομύλῳ, ἔπειτα τὸ *πληγοῦρι* ἐμβαλὼν εἰς σκάφην, γάλα πολὺ καὶ ζύμην ἐπιχέει. Ὕστερον δὲ τὸ ξηρανθὲν πληγοῦρι ξύεται καὶ ἐν ἑορταῖς ὀπτᾶται, ὃ ἔδεσμα καλεῖται *τραχανᾶς*. Ἂν δέ τις ἡμῶν καταγελάσῃ ἀναφερόντων τὴν ἀγροικίαν ταύτην εἰς τὸν Ἡσιόδου αἰῶνα, ἀναζητείτω τὴν λέξιν ἐν τοῖς εἰς Ἀριστοφάν. Πλοῦτ. 999 σχολίοις, ὅπου ἐκείνη ἑρμηνεύεται «πλακοῦς γαλακτώδης».

*σβεννυμενάων*] «Παυσαμένων τοῦ θηλάζειν». Τὸ γὰρ γάλα «σβέννυται» (Ἱπποκράτ. π. ἀέρος σ. 18). Τοιουτότροπον γάλα «οὔτε ὀρῶδες οὔτε πνευματῶδες, ἀλλὰ μάλιστα πεπεμμένον» (Πρόκλος). Νῦν κρίνουσι τὸ αἰγῶν γάλα, ὅτι κατὰ τὸν Ἰούνιον ἄριστον καὶ εὔπεπτον, ἐπειδὴ ἡ τροφὴ αὐτῶν τότε ἀρίστη. Τὸ τῶν βοῶν γάλα οἱ παλαιοὶ οὐ μᾶλλον ἔπινον ἤπερ οἱ νεώτεροι, πλὴν ἐν Κυρήνῃ, ὡς φαίνεται ἐκ Συνεσίου ἐπιστολῆς (148 σ. 286 b), παρὰ τῶν βαρβάρων αὐτὸ ἔμαθον.

591. *ὑλοφάγοιο*] Ἧστινος ἡ τροφὴ ἀντὶ χόρτου νεαρὸν φύλλωμα, ὅπερ, ὡς γνωστόν, καὶ τὸ γάλα καὶ τὸ κρέας ποιεῖ εὐχυλότερον. Καὶ τότε λοιπὸν τὰς ἀγέλας εἰς τὰ δάση εἰσῆγον καὶ διέφθειρον τοὺς νέους θαλλούς. Τοῦτο καὶ μνημονεύεται ὑπὸ τῶν συγγραφέων (Ἰλ. Ε. 163: ξύλοχον κάτα βοσκόμεναι, Εὐριπ. Ἰφ. Ταύρ. 261: βοῦς ὑλοφόρβους, Ἡσύχιος· θαλλός, βοὸς τροφή, ὃ ἐσθίουσιν οἱ βόες) καὶ ἐξεικονίζεται ἐν ἀναγλύφῳ τοῦ Ἀθήνησι κεντρικοῦ μουσείου, καθ' ὅπερ ἐπίτηδες προσέδεον τὰ ζῷα πρὸς τὰ δένδρα.

*μήπω τετοκυίης*] Τὸ κρέας τοῦ «δαμαλάκι» ἐξαίρετον ὑπολαμβάνεται.

592. *πρωτογόνων*] Ἔπιθι 543. Τὰ πρωτόγονα—ἡ λέξις οὐκ ἀπώλετο—ἐρίφια τὸ κρέας καὶ τὸ λίπος ἔχουσι περισσότερον.

*αἴθοπα*] «Μαῦρον», ὅπερ ἐξ Ὁμήρου εἴληπται (αἴθοπα οἶνον Ἰλ. Α 462, αἴθοπα οἶνον ἐρυθρὸν Ὀδ. μ 19). Τῷ ὄντι ὁ μαῦρος οἶνος τῶν Θεσπιέων πολὺ ὑπερέχει τοῦ λευκοῦ.

593. Ἡ αἰτιατικὴ τάσσεται μετὰ τοῦ προστακτικοῦ ἀπαρεμφάτου, διότι οἱ προκείμενοι στίχοι οὐδεμίαν πρὸς Περσέα παραίνεσιν περιέχουσιν, ἀλλὰ πάγκοινον εὐχήν.

*ἦτορ*] Ἕδρα τοῦ κόρου λοιπὸν τὸ «ἦτορ».

594. *ἀκραέος Ζεφύρου*] Τὸ δροσε-

κρήνης τ' αἰενάου καὶ ἀπορρύτου, ἥτ' ἀθόλωτος,
τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου.
Δμωσὶ δ' ἐποτρύνειν Δημήτερος ἱερὸν ἀκτὴν
δινέμεν, εὖτ' ἂν πρῶτα φανῇ σθένος Ὠαρίωνος,
χώρῳ ἐν εὐαέϊ καὶ ἐϋτροχάλῳ ἐν ἀλωῇ·

ρὸν τοῦ Ζεφύρου ὑπὸ πάντων ἐκτιμᾶται (π.χ.: δαίνυσθαι Ζεφύρου πνεύμασι τερπόμενοι, Νικαίνετος ἐν παραρτήματι τῆς Ἀνθολογίας 54,2). Ἀλλὰ τί βούλεται τὸ ἐπίθετον; Ὅμηρος χρῆσιν αὐτῆς ποιεῖται ἐπὶ «ἰκμένου οὔρου» (ἀκραῆ Ζέφυρον Ὀδ. 6 421, Βορέῳ ἀνέμῳ ἀκράει καλῷ ξ 253=299)· τούτοις παραθέντες ὅσα ἐν τῇ Θεογονίᾳ περὶ τῶν κακῶν ἀνέμων ηὕρηνται (869 καὶ 875), γινώσκομεν, ὅτι ἄνεμος ἤτοι ἀ-κραής (ἢ καὶ εὐ-κραής), ἂν μήτε νεφέλας ἐπάγῃ μήτε μάχηται ἄλλοις ἀνέμοις), ἢ ἀκρ-αής (ὑπεραής, ὑψιπέτης), ὡς «λάβρος ἐπαιγίζων ἐξ αἰθέρος» (Ὁμηρ. Ὕμν. 2,256) καὶ ἄκρως φυσῶν.

595. *αἰενάου*] Ἴδε 550. 595.

*ἀπορρύτου*] Ἥτις ἂν ἀπορροὴν ἔχῃ καὶ μὴ τελματῶται (ἀθόλωτος). Τὴν γενικὴν συντακτέον μετὰ τοῦ ἑπομένου *ὕδατος*.

596. *αἱ * τρὶς*] Οἱ οἰνοπόται τὸ *μοίρας* συνήθως παρέλειπον.

*προχέειν*] Εἰς τὸν κρατῆρα (744) ἐκ προχόου (785) κεραμίνου ἢ ὥσπερ καθ' ἡμᾶς ξυλίνου.—Ὢ τῆς μετριότητος! Τρία τέταρτα τοῦ ποτοῦ ἀποτελείτω τὸ ὕδωρ· ὅπερ ἐτήρουν ἐπὶ οἴνου ἐξαιρέτου (πρβλ. Εὔηνον Ἀνθολογ. 11, 49. Πλούταρχ. Συμποσ. 3. 9), ὅθεν Κρατῖνος ἐν τῇ περικλεεῖ «Πυτίνῃ» ἐρωτᾷ: «Ἆρ' οἴσει τρία;» (Ἀθην. Δειπνοσ. 1, 29 d). Ἄλλοτε πρὸς δύο μέρη οἴνου τρία ὕδατος καὶ ἄλλοτε δὲ τὸ διπλάσιον ἐμίγνυον (Ἀριστοφ. Ἱππ. 1187. Ἀλκαίου Ἀπόσπ. 41). Εἰ καὶ οἱ Ἕλληνες τῇ ξένων ἐπιρροῇ τοῦτο σχεδὸν ἀπέμαθον—ἀλλὰ μνημεῖον τῆς περιωρισμένης συνηθείας ἡ παροιμία: «Τὸν μῆνα ποὺ δὲν ἔχει ρῶ, πίνε κρασὶ μὲ τὸ νερό» (κό., ἴδε Mommsen αὐτ. Α', σ. 65)—,ἡ γλῶσσα τὴν μνείαν κατεῖχεν (κρασί, κιρνάω κρασί, μπίρρα).

*ἱέμεν οἴνου*] Χέειν (ἀπὸ) τοῦ οἴνου.

597. *Δημήτερος ἱερὸν ἀκτήν*=466.

*δινέμεν*] Παρὰ τὸ δίνω, ὅπερ ἀντὶ δινέω εὑρίσκεται ἐν τοῖς τῶν Ἡρακλεωτικῶν Νόμων πίναξι (1, 102)· τὸ ἐν τῇ κοινῇ συνηθείᾳ *λιχνίζω* ἀνήκει εἰς τὸ παλαιὸν *λικνίζω*, ὃ συνωνυμεῖ τῷ δινέω καὶ λικμάω. Ὅτι τὰ ζῷα πατοῦσι τὰ δεμάτια ἐπὶ τῆς ἅλωνος, Ἡσίοδος ἀποσιωπᾷ ὡς αὐτόδηλον, καὶ παραινεῖ δὲ οὐχὶ τὸν λικνισμόν, ἀλλὰ τὸν καιρὸν αὐτοῦ καὶ τὸν τόπον.

*σθένος Ὠαρίωνος*] Ἡ περίφρασις αἰνίττεται τὸ γιγάντειον σχῆμα τοῦ πρότερον ἐπὶ γῆς οἰκήσαντος Ὠρίωνος. Ὅταν φανῇ, φησί, τὸ πρῶτον περὶ τὴν ἕω· τοῦτο γίνεται κατὰ τοὺς Γεωπονικοὺς (1,9,7) τῇ 10 Ἰουλίου· πάντως ὁ Ἰούλιος ἐν τῇ Βοιωτίᾳ, ἴσως δὲ ἐν ἁπάσῃ τῇ Ἑλλάδι *ἁλωνάρης* (Λεσβιακῶς ἁλωνιστής) ὀνομάζεται. Ἡσίοδος τὴν Ὠρίωνος ἐπιτολὴν εἰσηγεῖται, ὅτι τότε «τῶν πνευμάτων ἀκρισίαι» (Θεόφραστ. π. ἀνέμων 9, 55) ἐπικρατοῦσιν, αἵπερ εἰς τὴν ἐργασίαν ἐκείνην (τὸ *ἀνεμίζειν* Σακελλαρ. Κυπρ. Γ', 235 ἢ *ζηνεμίζειν* Ἑλλην. Φιλολ. Σύλλ. τ. Η', σ. 476 ἢ καὶ *βορρίζειν* ἐν τῇ Ἰωακεὶμ Βαλαβάνη διατριβῇ (Παρνασσὸς τ. ΙΑ', σ. 322) συμβοηθοῦσιν.

599. *εὐαέϊ*] Ἀνεμώδει, διαπνεομένῳ.

*εὐτροχάλῳ ἐν ἀλωῇ*] Ἐν ἁλωνίῳ ἐστρωμένῳ διὰ λίθων στρογγύλων,

μέτρῳ δ' εὖ κομίσασθαι ἐν ἄγγεσιν. Αὐτὰρ ἐπὴν δὴ
πάντα βίον κατάθηαι ἐπάρμενον ἔνδοθι οἴκου,
θῆτά τ' ἄοικον ποιεῖσθαι καὶ ἄτεκνον ἔριθον
δίζησθαι κέλομαι· χαλεπὴ δ' ὑπόπορτις ἔριθος·
καὶ κύνα καρχαρόδοντα κομεῖν· μὴ φείδεο σίτου,
μή ποτέ σ' ἡμερόκοιτος ἀνὴρ ἄπο χρήμαθ' ἕληται.
Χόρτον δ' ἐσκομίσαι καὶ συρφετόν, ὄφρα τοι ἤη

ὥσπερ νῦν γίνεται· *τρόχαλος* γὰρ Κρητιστὶ σωρὸς πετρῶν λέγεται, ἀρχαίως δὲ τρόχμαλοι ἢ τρόχμαλα.— Ὁ πρῶτος καὶ μέγιστος ποιητὴς τῶν παλαιῶν τὸ ἀγροικικὸν ἔργον διὰ τῆς ποιήσεως ἐξελάμπρυνεν (Ἰλ. Ε 499 κἑ.).

600. *μέτρῳ*] Ἀπομετρήσας.

*κομίσασθαι*] Ἀπολελυμένως κεῖται ὥσπερ τὸ δινέμεν. Λείπει *σῖτον*.

*ἄγγεσιν*] Ἴδε 475.

601. *ἐπάρμενον*] Πρβλ. 407.

*ἔνδοθι οἴκου*] = 364.

602. *θῆτα*] Τὸν μισθωτόν, ὃν πρότερον (441 κἑ.) ἐχαρακτήρισεν.

*ἄοικον θέσθαι*] Ἐξαποστεῖλαι τοῦ οἴκου. Τὸ ῥῆμα κατὰ τὸ μέσον γένος τίθεται, ὅτι ἡ οἰκία τοῦ γεωργοῦ. Ἄλλως ὅμως ἔχει Πλανούδειος παροιμία (275): «Ποίησόν με ἔνοικον, ἵνα σε **ποιήσω** ἔξοικον.

603. *ἔριθον*] Συνωνυμεῖ τῷ *θής* (Ἰλ. Σ 550), ἐνταῦθα δὲ ἐπὶ γυναικὸς κεῖται μισθαρνούσης.

* *δίζησθαι*] Ἐνεστὼς ἀναδεδιπλασιασμένος τοῦ αὐτοῦ θέματος, ἀφ' οὗ τὸ *ζητ-έω* παράγεται. Κατὰ τοὺς παλαιοτάτους καιροὺς ταμία διῴκει τὴν ἀποθήκην, διότι ταῖς ἀπροίκοις γυναιξὶν ἠπίστουν.

*ὑπόπορτις*] Ἀγροῖκος λέξις ἐπὶ μητρός.

604. *καρχαρόδοντα*] Τὸ ἐπίθετον ζήλῳ Ὁμηρικῷ τίθεται (Ἰλ. Κ 360. Ν 198), χαρακτηρίζον ἐπιστημονικῶς πως τὸν κύνα, ὃς τοὺς ὀδόντας «ὀξεῖς καὶ ἐπαλλάττοντας ἔχει» (Ἀριστοτέλ. π. ζῴων 3,1 σ. 161 b 19), πρὸς διαστολὴν τῶν *ἀμφοδόντων* καὶ *χαυλιοδόντων*. Ὁ λαὸς τὴν διαφορὰν ἀκριβῶς παρατηρεῖ, ὅθεν φοβερὸν ἰχθύων εἶδος πάλαι μὲν καρχαρίας, νῦν δὲ σκυλόψαρο, ψαρόσκυλος ἢ καὶ σκύλος ὀνομάζεται.

*κομεῖν*] = Κομίζειν (500) ἢ τρέφειν.

*σίτου*] Οἱ κύνες ἐννοεῖται ὅτι ἐξ ἀνάγκης τὴν τῶν κυρίων δίαιταν μιμοῦνται· ὅθεν παρὰ τοῖς ἀρτοφάγοις Ἕλλησι τὰ μάλιστα ἄρτον (Θεόκριτ. 21, 45) ἢ μᾶζαν (Δίων Χρυσόστομ. 7, 17) ἤσθιον.

605. *ἡμερόκοιτος ἀνήρ*] Τοιουτοτρόπως ὁ κλέπτης ἐμφαίνεται, ὃν ἄλλοι ἀπεκάλουν *μονοβάταν* (Ἡσύχ.), οἱ δὲ Μανιᾶται *νυκτοπεριπάτην* καὶ *λυκοπάτην* (Ἱστορία τῆς Μάνης στ. 95. 96) ὀνομάζουσιν.

*χρήματα*] Σῖτον· νομίσματα γὰρ οὐχ ὑπῆρχον. Οἱ γεωργοὶ ἅπαντες εἶχον κύνας· οὗτοι ὅμως ἐφύλασσον τὰ ποίμνια. Ἐκ τούτων λοιπὸν ἕνα ἐξημερωτέον καὶ συνηθιστέον πρὸς τὴν οἰκίαν διὰ τροφῆς. Αὕτη δὲ ἔστω ἐπαρκής, ἔνθεν μὲν ἵνα μὴ περιπλανηθῇ ἀναζητῶν τί φάγῃ, ὅπως ἐν τοῖς χωρίοις φιλεῖ γίνεσθαι, ἔνθεν δὲ ἐπειδὴ οἱ κλέπται «σέρνουν ψωμὶ γιὰ τὰ σκυλιὰ νὰ τρῶν καὶ μὴ γαυγίζουν».

606. *χόρτον καὶ συρφετόν*] Νῦν εἰσέτι εἰσφέρουσιν ἕνεκα τῶν ζῴων ἄχυρα, ἀχαράκι, πίτουρα, βίκον κτλ.

βουσὶ καὶ ἡμιόνοισιν ἐπηετανόν. Αὐτὰρ ἔπειτα
δμῶας ἀναψῦξαι φίλα γούνατα καὶ βόε λῦσαι.
Εὖτ' ἂν δ' Ὠαρίων καὶ Σείριος ἐς μέσον ἔλθῃ
οὐρανόν, Ἀρκτοῦρόν τε ἴδῃ ῥοδοδάκτυλος Ἠώς,
ὦ Πέρση, τότε πάντας ἀπόδρεπε οἴκαδε βότρυς,
δεῖξαι δ' Ἠελίῳ δέκα τ' ἤματα καὶ δέκα νύκτας,
πέντε δὲ συσκιάσαι, ἕκτῳ δ' εἰς ἄγγε' ἀφύσσαι
δῶρα Διωνύσου πολυγηθέος. Αὐτὰρ ἐπὴν δὴ

607. *Αὐτὰρ ἔπειτα*]=Θ. 116.

608. Τὰ ἀντικείμενα καθ' ὅλον καὶ μέρος κεῖνται. Περὶ τῶν γονάτων εἴπομεν εἰς 587.

*φίλα*] Ὁμηρικώτατον ἐπίθετον. — Τὴν τῶν ἐργασιῶν διακοπὴν Ἡσίοδος ἐγκωμιάζει ἧττον ἐνθουσιαστικῶς τοῦ νεωτέρου συναδέλφου, ὅστις εὔχεται: «Αὔγουστε, καλέ μου μῆνα, νἆσουν δυὸ φορὲς τὸν χρόνο» (Mommsen αὐτ. 1, 78). Κατὰ τὸν καιρὸν τοῦτόν ποτε λαμπρόταται πανηγύρεις συνεκροτοῦντο.

609—617. Περὶ τοῦ φθινοπώρου.

609. Παράθες 417.

610. *ῥοδοδάκτυλος Ἠώς*] Ἡ φράσις αὕτη, ἣ τελευτᾷ εἴκοσιν ἑπτὰ στίχους τῶν Ὁμηρικῶν ποιημάτων, ζωγραφεῖ μυθολογικῶς τὴν πρωϊνὴν ἐρυθρότητα τοῦ οὐρανοῦ ὁμοίως τῷ *ῥοδόπηχυς* (Ὁμηρ. Ὕμν. 31,6. Θεόκριτ. 2,147), τῶν νεωτέρων λεγόντων εὐτελέστερον: «Ἐρρόδισ' ἡ ἀνατολή» (Passow 442, 1), «ῥόϊδισεν ἡ δύσις» (445). Ὁ Ἀρκτοῦρος ἐπιτέλλει τῇ ἕῳ τῇ 6 (18) τοῦ Σεπτεμβρίου καί, ἐπειδὴ οὗτος ὁ μὴν *τρυγητής*, χρονολογικὸν ὅρον τοῦ τρύγου χορηγεῖ (Πρβλ. Πλάτωνα Νόμ. 8, 844 d καὶ Ἀντίπατρον Ἀνθολογ. 11, 37). Νῦν ὅμως Χριστιανικαὶ ἑορταὶ τὴν ἀστρονομίαν ὑπεσκέλισαν, ἤτοι ἡ τοῦ Ἡλιοῦ (τῇ 20 Ἰουλίου [1 Αὐγ.], τοῦ ἅϊ-Ἡλιοῦ τὰ σταφύλια) ἢ τῆς Κοιμήσεως τῆς Θεοτόκου (τῇ 15/27 Αὐγούστου ἐν Ἐλευσῖνι, ἐν Νάξῳ καὶ Πάρῳ) ἢ ἡ ὕψωσις τοῦ Σταυροῦ (τῇ 14 (26) Σεπτεμβρίου περὶ τὰς Ἀθήνας) κατὰ τὴν εὐκρασίαν τῆς χώρας.

611. *οἴκαδε*] Βραχυλογικῶς ἀντὶ τοῦ «οἴκαδε φέρων».

612. *δεῖξαι δ' Ἠελίῳ*] Ἐξαπλῶσαι εἰς τὸν ἥλιον κατὰ προσωποποίησιν· ὥσπερ Σοφοκλ. Ἠλ. 424: Ἡλίῳ δείκνυσι τοὔναρ, Εὐριπ. Ὀρέστ. 822. Ἡρακλ. Μαινόμ. 1205. πρβλ. Ἱππόλ. 714.— Ταὐτὸ ἔθος αἰνίττεται Ὅμηρος (Ὀδ. η 123-4): τῆς (ἀλωῆς) ἕτερον μὲν θειλόπεδον λευρῷ ἐνὶ χώρῳ τέρσεται ἠελίῳ) καὶ Πλίνιος ὡς Ἑλληνικὸν μνημονεύει (Ἱστ. Φυσ. 14,8), οὐδὲ οἱ νεώτεροι τὸ παραδεδομένον ἀπέρριψαν. Αἱ σταφυλαί, ἄωροι οὖσαι, δρέπονται καὶ τίθενται εἰς τὸ φῶς τοῦ ἡλίου, ὅπως τὸ ὑγρὸν ἐλαττωθῇ καὶ ἄρξηται πρότερον ἡ ζύμωσις. Τοῦτο ποιοῦσι τὰ μάλιστα οἱ νησιῶται, τῶν τῆς στερεᾶς Ἑλλάδος κατοίκων ἀμελούντων τούτου σχεδὸν ἁπάντων· ἐν Θεσπιαῖς ὅμως δύο ἢ τρεῖς ἡμέρας εἰς τὸν ἥλιον ἐκτείνονται.

613. *συσκιάσαι*] Συσσωρεῦσαι εἰς τὴν σκιάν.

*ἄγγε'*] Πάλιν χρῆται τῇ γενικῇ ταύτῃ λέξει καὶ τοῦτο ἐπὶ πίθων. Τὸ πατεῖσθαι τὰς σταφυλὰς αὐτόδηλον.

614. *δῶρα Διωνύσου πολυγηθέος*] Πρβλ. Θ. 941.

Πληϊάδες θ' Ὑάδες τε τό τε σθένος Ὠαρίωνος
δύνωσιν, τότ' ἔπειτ' ἀρότου μεμνημένος εἶναι
ὡραίου· πλειὼν δὲ κατὰ χθονὸς ἄρμενος εἴη.
Εἰ δέ σε ναυτιλίης δυσπεμφέλου ἵμερος αἱρεῖ —
εὖτ' ἂν Πληϊάδες, σθένος ὄβριμον Ὠαρίωνος
φεύγουσαι, πίπτωσιν ἐς ἠεροειδέα πόντον,
δὴ τότε παντοίων ἀνέμων θυίουσιν ἀῆται·

615. Ἐδανείσατο παρ' Ὁμήρου (Ἰλ. Σ 486, ὃς αἰτιατικὰς ἀντὶ τῶν ὀνομαστικῶν μεταχειρίζεται). Τὸ *σθένος* ἐξήγηται εἰς 598.

616. Ἐπιστρέφεται ἐπὶ τὴν τῶν παραινέσεων ἀρχὴν καὶ πάλιν τὸ «ὡραῖον» ἐξαίρει.

617. *πλειών*] Ὑπὸ τῶν Ἀλεξανδρέων ἤτοι χάριν τούτου τοῦ χωρίου ἢ ἐξ ἄλλης τινὸς αἰτίας ἐλήφθη «ἐνιαυτός» (Καλλίμαχ. Ὕμν. 1,89, Λυκόφρων 201, 1039. Μανέθων 2, 419, Ἀντίπατρ. Σιδόν. Ἀνθολ. 6, 93, 3, ἐπιγραφὴ ἐπιτύμβ. Corpus 1907 = Kaibet 185, στ. 86)· ἀλλὰ πῶς τὸ ἔτος **ἕτοιμον** ἢ ἐπιτήδειον (ἄρμενον) **εἶναι** δύναται; Ἂν ἐπισκεφθῶμεν τί λείπει ἀξιόλογον, εὑρήσομεν ὅτι Ἡσίοδος οὐδαμοῦ περὶ τοῦ σπέρματος λόγον ποιεῖται. Παρὰ δὲ τοῖς Γεωπονικοῖς (2,16,2) εὑρίσκομεν, ὅτι ἕνεκα τοῦ σπείρειν ἐκλέγουσι τοὺς στάχυας τοὺς ἔχοντας κόκκους *πλήρεις καὶ τελείους*· καὶ παρ' Ἡσυχίῳ τὴν γλῶσσαν «πλειόνει (τέτακται δὲ μεταξὺ *πλείονες* καὶ *πλεῖον*) σπείρει». Πλειὼν λοιπὸν βεβαίως ὀνομάζεται ὁ σπόριμος σῖτος.

*κατὰ χθονός*] Ἐπιθετικῶς (ὁ ὑπὸ τὴν γῆν μέλλων σῖτος) κεῖται. Ἂν ὅμως τὸ *εἴη* ἐκδεχόμεθα μετὰ τοῦ Lehrs εὐκτικὸν τοῦ *εἶμι* ῥήματος (Πρβλ. εἴημι, πορεύομαι Ἡσύχ., εἴμεναι; Ἰλ. Υ 365 — μὴ δὲ «εἴης χῶρον ἐς ἠλύσιον» Kaibet 618, ἐνταῦθα δηλαδὴ τὸ *ἐς* κατὰ τὴν νεωτέραν διάλεκτον ἐκληπτέον), συντάσσομεν τὰς λέξεις μετὰ τοῦ ῥήματος· ἀλλὰ πρὸς τί τὸ ἐπίθετον *ἄρμενος*;

618-694. Περὶ τῆς ναυτιλίας.

Περὶ τῶν τῆς ναυτιλίας πρὸς τὴν γεωργίαν σχέσεων προειπόντες τινὰ ἐν τῷ προοιμίῳ, προστίθεμεν ἐνταῦθα, ὅτι ὁ Θεσπιεὺς ἐν τρισὶν ὥραις ἐπὶ καλῆς πρὸς τὴν θάλασσαν ὁδοῦ, ἧς τινος σῴζονται τὰ ἴχνη, ἀφικνεῖτο καὶ ἐν τῷ αἰγιαλῷ λιμένα οὐ κακὸν ηὕρισκεν. Ἡ σίτου καὶ οἴνου ἐξαγωγὴ λοιπὸν οὐκ ἦν δύσκολος.

618. *δυσπεμφέλου*] Ἴδε 440. Τοῦ στίχου ἀπήχησιν εὑρίσκομεν ἐν τῷ Μαξίμου περὶ Καταρχῶν (456): «Εἰ δὲ γεωπονίης σε φιλομβρότου ἵμερος αἱρεῖ». Τὸ ἐπίθετον εὔδηλον ὅτι κατ' ἐναντίωσιν πρὸς Ἡσίοδον κεῖται.

619. Ἄρχεται ἀπὸ τῆς ἀπαγορεύσεως, ὅτι καὶ ἔμπροσθεν ἤρξατο ἀπὸ τοῦ χειμῶνος καὶ ἐτελεύτησεν εἰς αὐτόν.

*σθένος ὄβριμον Ὠαρίωνος*] = Ὀδ. ι 241. 305, παράθες 598. 615.

620. Ὀλίγον παραλλάσσει τοῦ 873 στ. τῆς Θ.

*φεύγουσαι*] Διότι Ὠρίων ἀκολουθεῖ ἀπ' ὄπισθεν. Κόϊντος ὁ Σμυρναῖος διακριβοῦται τὸν μῦθον (5,367 κἑ.). Ὁμοίως καθ' ἡμᾶς οἱ ναῦται μυθολογοῦσιν, ὅτι αἱ ἓξ ἀδελφαὶ ἀπέκτειναν τὴν ἑβδόμην — ὁ ἕβδομος ἀστὴρ μόλις ὁρᾶται — ταύτης δὲ μνηστὴρ ἦν ὁ Ὠρίων (Πολίτης, Μελέτ. Α', 14).

*πίπτωσιν*] «Ἔπεσε ἡ Πούλεια 'ς τὴν θάλασσα».

621. *παντοίων ἀνέμων*] Ὁποίους περιγράφει Θ. 877 κἑ.

καὶ τότε μηκέτι νῆας ἔχειν ἐνὶ οἴνοπι πόντῳ,
γῆν δ' ἐργάζεσθαι μεμνημένος, ὥς σε κελεύω.
Νῆα δ' ἐπ' ἠπείρου ἐρύσαι, πυκάσαι τε λίθοισι
πάντοθεν, ὄφρ' ἴσχωσ' ἀνέμων μένος ὑγρὸν ἀέντων,
χείμαρον ἐξερύσας, ἵνα μὴ πύθῃ Διὸς ὄμβρος·
ὅπλα δ' ἐπάρμενα πάντα τεῷ ἐγκάτθεο οἴκῳ,
εὐκόσμως στολίσας νηὸς πτερὰ ποντοπόροιο·
πηδάλιον δ' εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι.
Αὐτὸς δ' ὡραῖον μίμνειν πλόον εἰς ὅ κεν ἔλθῃ.

*ἄηται*] Ἡ περίφρασις ἐξῆλθεν ἐκ τῆς Ὁμηρικῆς διαλέκτου (Ἰλ. Ξ 254: ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας).

622. *ἐνὶ οἴνοπι πόντῳ* (=Ὀδ. ε 132, η 250)] Τὴν «μαύρην» θάλασσαν ἀντιπαραβάλλει πρὸς τὸν «μαῦρον» οἶνον.—Τὴν Ἡσιόδειον παραίνεσιν Ἀνθολογ. 7,534,5 (πρβλ. 395,3)· καὶ 11, 31,1 διαβεβαιοῦνται, οἱ δὲ μεταγενέστεροι μᾶλλον ἀπὸ τῆς τοῦ Ἀρκτούρου ἐπιτολῆς τοὺς πλοῦς ἔπαυον (Δημοσθ. 50,23. Ἀνθολογ. 7,392,1. 539).

623. *μεμνημένος, ὥς σε κελεύω*] Ἤτοι μεμνημένος, τοῦ τρόπου, ὅν σοι παραινῶ.

624. *πυκάσαι*] Πυκνῶς καλύψαι.

625. *ἀνέμων μένος ὑγρὸν ἀέντων*] Ταὐτὰ εἴρηνται Θ. 869 ἐπὶ τῶν κακῶν ἀνέμων.

626. *χείμαρον*] Ἤτοι χειμάρροον, ὅπου τὸ εἰσπηδῆσαν ὕδωρ ἐκρέει. Ὁ πάσσαλος οὗτος ὑπὸ τὴν τρόπιν ἦν (Τζέτζης) καὶ ὑπὸ τῶν ὕστερον Ἑλλήνων *εὐδιαῖος* ἢ καὶ *ἴδδης* ἐκαλεῖτο· εἰ καὶ νῦν ὑπάρχει, ἀγνοοῦμεν· πάντως οἱ τῆς Γερμανίας ναῦται τῷ ὠφελίμῳ μηχανοποιήματι χρῶνται.

*πύθῃ*] Τὴν ναῦν.

*Διὸς ὄμβρος*] (=Ἰλ. Ε 91 κά.) ἴδε 415.

627. *ὅπλα*] Εἰς τὸ διπλοσήμαντον ἀκριβῶς ἀντιστοιχεῖ τὸ ἐν τῇ συνηθείᾳ «ἄρματα» (ἀπὸ τοῦ Λατινικοῦ arma), μάλιστα δὲ ἐμφαίνει τοὺς ἐκ βύβλου κάλως (Ὀδ. ξ 346. φ 390. Ἡρόδοτ. 7,25, Γαλην. εἰς Ἱπποκράτη σ. 659. Ἐρωτιανός).

*ἐπάρμενα*] Ἕτοιμα, ὥστε ὕστερον ἀνευρεῖν ἔξεστιν.

628. *εὐκόσμως στολίσας*] Πάλιν παραινεῖ τὸ μὴ ἀπορρίπτειν ἀτάκτως εἰς οἱανδήποτε γωνίαν, ἀλλὰ συστέλλειν (Ὁμηρικῶς στέλλω, στέλλομαι, νεοελληνικῶς μαζεύω) συμπτύσσειν τὰ ἱστία καθὼς πρέπει. Ταῦτα γὰρ βούλεται τὸ *νηὸς πτερά*, εἰ καὶ αἱ κῶπαι ἐπίσης διὰ ταύτης τῆς μεταφορᾶς κοσμοῦνται. Ἀνατιθέντες τὴν ποιητικὴν ἱστορίαν ἀμφοτέρων εἰς τὸ λεξικόν, ἐξηγούμεθα ἐνταῦθα τὴν γένεσιν, ἣν καταλαμβάνει τις ἀμέσως, ὅταν ἴδῃ «βάρκαν» ἔχουσαν δύο ἱστία τρίγωνα, ἅτινα ἐναντίως τέτανται. Οὕτως ἡ ναῦς ὁμοιάζει μέγαν λάρον. Τοιουτότροπος ναῦς ἀπεικόνισται ἐπὶ ἀγγείου παμπαλαίου ἐν τῷ Διπύλῳ ἀνευρεθέντι (ἴδε Σπ. Λάμπρου Ἱστορίαν τῆς Ἑλλάδος τ. Α', σ. 139).

*ποντοπόροιο*] Τὸ ἐπίθετον παρ' Ὁμήρῳ πολύ ἐστιν.

Πρὸς 629 παράθες 45.

630. *αὐτός*] Ἡ πρὸς τὰ πράγματα ἐναντίωσις τοῦ ἀνθρώπου οἰκεία ἐστὶ τῆς Ὁμηρικῆς ἁπλότητος.

*ὡραῖον πλόον*] Τὴν εὐκαιρίαν τοῦ πλοῦ.

Καὶ τότε νῆα θοὴν ἅλαδ' ἑλκέμεν, ἐν δέ τε φόρτον
ἄρμενον ἐντύνασθ', ἵνα οἴκαδε κέρδος ἄρηαι,
ὥσπερ ἐμός τε πατὴρ καὶ σός, μέγα νήπιε Πέρση,
πλωΐζεσκ' ἐν νηυσί, βίου κεχρημένος ἐσθλοῦ·
ὅς ποτε καὶ τῆδ' ἦλθε, πολὺν διὰ πόντον ἀνύσσας,
Κύμην Αἰολίδα προλιπών, ἐν νηῒ μελαίνῃ,
οὐκ ἄφενος φεύγων οὐδὲ πλοῦτόν τε καὶ ὄλβον,
ἀλλὰ κακὴν πενίην, τὴν Ζεὺς ἄνδρεσσι δίδωσι.
Νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ,
Ἄσκρῃ χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέποτ' ἐσθλῇ.
Τύνη δ', ὦ Πέρση, ἔργων μεμνημένος εἶναι

631. *θοήν*] Καὶ τοῦτο ἐν τοῖς Ὁμήρου ποιήμασι συχνάζει.

632. *ἄρμενον*] Μέτριον, ὅσον πρέπει.

*ἐντύνασθαι*] Συγγένειαν ἔχει πρὸς τὸ ἐντός, ἔντεα κτλ.

*κέρδος*] Οὐχὶ χρήματα· ἀλλὰ ἠμπορεύοντο ἐπ' ἀνταλλαγῇ σίτου ἢ οἴνου καὶ δούλων, ἐλαίου κτλ.

633. *μέγα νήπιε Πέρση*]=286.

635. *τῆδ'*] Εἰς Ἄσκραν· τὸ δεύτερον ἡμιστίχιον παρὰ τοῖς ἐποποιοῖς, ὡς φαίνεται, πάλαι ποτὲ ἐσύχναζε· πρβλ. Θέογνιν 511: ἦλθες δή, Κλεάριστε, βαθὺν διὰ πόντον ἀνύσσας, Ὕμν. Ὁμηρ. 3, 337: πολὺν δία χῶρον ἀνύσσας.

626. *Κύμην Αἰολίδα*] Τὴν μεγίστην πόλιν τῆς Ἀσιατικῆς Αἰολίδος, ἡ νῦν *Τσανταρλὶ* ὀνομάζεται.

*ἐν νηῒ μελαίνῃ*] Ἡ ὁμηρικὴ φράσις (Ἰλ. Α 433 κἑ.) δεικνύει, ὅτι ἡ νῦν συνήθης πίσσωσις τῶν νεῶν ('σὲ μαῦρο καράβι, νεώτερος ἂν εἶπε ποιητής) εἰς τοὺς παλαιοτάτους χρόνους ἀνήκει. Πλὴν εἰ τὸ ἐπίθετον συνωνυμεῖ τῷ εἰδικωτέρῳ *κυανόπρωρος*.

637. Ἀστεΐζεται πάλιν, ἐντείνων τὴν εὐφυολογίαν διὰ πλεονασμῶν. Περὶ τῆς *ἄφενος* λέξεως ζήτει εἰς Θ. 112.

638. Ἡ αὐτὴ γνώμη ἀπαντᾷ 5 καὶ 718, ἐνταῦθα ἀποβάλλουσα τὴν ὑποψίαν μὴ πταίσῃ ὁ πατὴρ αὐτός.

639. *Νάσσατο*] Ὤκησεν.

*ἄγχ' Ἑλικῶνος*] Οἱ νεώτεροι αναζητοῦσι τὸ χωρίον ἐπὶ λόφου ἐναντίον τοῦ Ἑλικῶνος καὶ ἄνω τῆς Ἁγίας Τριάδος κειμένου, ὃς ἀπὸ πύργου *Πυργάκι* ὀνομάζεται, καὶ Παυσανίας γε τοῦτον ἐθεώρησεν ὡς μόνον Ἄσκρας ἐρείπιον. Ἀλλὰ πανταχοῦ τε καὶ πάντοτε οἱ ἐνδόξου ἀνδρὸς ἀπόγονοι οὐχ ὁμολογοῦσιν, ὅτι τὸ τῆς ποιήσεως θέατρον ἀγνοοῦσιν.

640. Ἡσίοδος ἐννοεῖται, ὅτι τοὺς στίχους οὐ κατακεχώρικεν, ὅπως ὀνομάσῃ τὴν πατρίδα, ἀλλὰ ἵνα ἀνακουφίσῃ τὴν καρδίαν· ὥσπερ καὶ Ἀρχίλοχος τὴν Θάσον περιγράφει οὐχὶ τῶν λογίων ἕνεκα, ἀλλὰ ὅπως αὐτὴν διασύρῃ.

*χεῖμα*] Ὁ χειμὼν περὶ τὸν Ἑλικῶνα κρυερός ἐστιν ὅτι ὁ Βορέας δριμὺς πνέει.

*ἀργαλέῃ*] Ἀφορᾷ οὐχὶ εἰς τὴν τοῦ ἀέρος ποιότητα· αὕτη γὰρ τὸ θέρος αὐτόθι ὑγιεινὴ καὶ δροσερά, ἀλλὰ εἰς τὴν ὀλίγην εὐφορίαν τῆς γῆς. Τὸ ἀσύνδετον φυσικῶς προῆλθεν ἐκ τοῦ πικροῦ αἰσθήματος τοῦ ποιητοῦ.

641. *Τύνη*] Ὁ τύπος ἐξήγηται εἰς Θ. 36.

ὡραίων πάντων, περὶ ναυτιλίης δὲ μάλιστα.
Νῆ' ὀλίγην αἰνεῖν, μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι·
μείζων μὲν φόρτος, μεῖζον δ' ἐπὶ κέρδεϊ κέρδος
ἔσσεται, εἴ κ' Ἄνεμοί γε κακὰς ἀπέχωσιν ἀήτας.
Εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψῃς ἀεσίφρονα θυμόν,
βούληαι δὲ χρέα τε προφυγεῖν καὶ λιμὸν ἀτερπέα,
δείξω δή τοι μέτρα πολυφλοίσβοιο θαλάσσης,
οὔτε τι ναυτιλίης σεσοφισμένος οὔτε τι νηῶν.

642. *ὡραίων*] Ἐγκαίρων.

643. *ὀλίγην*] Μικράν.

*αἰνεῖν*] Τὸ σχῆμα τῆς παραινέσεως δημῶδες, ὡς μανθάνομεν ἐκ τῶν νεωτέρων παροιμιῶν: «Μικρὸ 'παίνα καὶ μεγάλο καββαλίκα» (Ἀραβαντ. 754. Βενιζέλ. Μ 238) καὶ «'παίνει τὰ βουνὰ κὴ ἀγόραζε 'ς τὸν κάμπο» (Ἀραβαντ. 1066. Βενιζ. Π 4). Ὅθεν ὅμοια ἐν τοῖς παλαιοῖς γράμμασιν οὐ σπανίως εὑρίσκονται (Θεόδωρος παρ' Ἀθην. 3, 122 b: κελεύειν μὲν πλέον ἔχειν, ἐπαινεῖν δὲ τὸ ἴσον, Σοφοκλῆς Ἀπόσπ. 26 παρ' Ἀθην. 3, 122 c: τὰ μὲν δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου, Βιργίλιος Γεωργικ. 2, 412: laudato ingentia rura, exiguum colito). Ἡσίοδος βεβαίως κυριολεκτεῖ· ναῦς γὰρ μικρὰ ὡς ἀληθῶς κομψοτέρα ἐστὶ μεγάλης καὶ κοιλιώδους. Μεγάλαι ὅμως οὐχὶ μόνον περισσότερα ἔφερον, ἀλλὰ καὶ ἀκινδυνώτεραι ἦσαν, τῶν ἐτησίων πνεόντων· διὸ Ἄρατος (154: εὑρεῖαί μοι ἀρέσκοιεν τότε νῆες) τὸ προκείμενον χωρίον αἰνίττεται. Πρβλ. Ὀδ. ι 323: νηὸς . . . φορτίδος εὐρείης.

644. *ἐπὶ κέρδεϊ*] Παράθες 361.

645. *Ἄνεμοι*] Πρβλ. Θ 378.—Τὸ περὶ τῆς ναυτικῆς κεφάλαιον ἀμοιρεῖ τῆς εὐταξίας. Τὴν μὲν ἀρχὴν ἐπισυνῆψεν αὐτὸ ἀμέσως πρὸς τὰς συγχρόνους ἐργασίας. Ἔπειτα δὲ προτάσσει τινὰ περὶ τῶν φορτίων (631 - 2 καὶ 643-5), ἐμβαλὼν τοῦ πατρὸς ἀνάμνησιν, ἥτις λήγει εἰς δυσάρεστα, ὥστε διακόπτει τὴν συνέχειαν καὶ μεταβαίνει εἰς τὴν ἀρχὴν τῆς ναυτικῆς διδαχῆς. Ἀλλὰ ἐνθυμηθεὶς περὶ ὧν εἶπε, πρότερον ἐκεῖνα ἀποπερατοῖ. Τούτου δὲ γενομένου, εἰς τὸν νοῦν αὐτῷ ἐπέρχεται, ὅτι, ἄπειρος ὢν τῆς θαλάσσης, ἀξιώματος στερεῖται ἐνώπιον τοῦ ἐμπειροτέρου ἀδελφοῦ, καὶ δὴ καταφεύγει ἐπὶ τὴν τῶν Μουσῶν προστασίαν. Ὅπερ εὐσκοπώτατα ἐκτελεῖ, ἔνθεν μὲν αὐτομάτως ὁμολογήσας τὴν ἀπειρίαν, ἔνθεν δὲ ἅμα τούτῳ τοὺς ἀκροατὰς ὑπομνήσας τῆς λαμπρᾶς νίκης, ἣν μακρὰν τῆς πατρίδος ἐνίκησε καὶ τῆς τῶν πανσόφων Μουσῶν ἐπιφανείας. Ὡς πρὸς τὴν ψυχολογίαν, ἅπαντα καλῶς συμβιβάζονται· εὔδηλον ὅμως, διὰ τί οἱ κριτικοὶ ἐνταῦθα μάλιστα ἐμβλήματα ἀλλότρια ἀνίχνευσαν.

646. *ἀεσίφρονα θυμόν*]=315, 335. Οὐδεὶς ἔμπορος ἐγένετο εἰ μὴ ὁ ἀσταθής.

647. *χρέα*] Ἀναφέρεται εἰς 394 κέ.

648. *δείξω*] Ἔπιθι 502.

*μέτρα*] Τοὺς κανόνας. Μὴ συγχυθῇ λοιπὸν τὸ ἀκροτελεύτιον μετὰ τοῦ ἐν τῷ πολυθρυλήτῳ χρησμῷ (Ἡροδότ. 1,47: οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης) μηδὲ μετὰ τοῦ Ὁμηρικοῦ: μέτρα κελεύθου (Ὀδ. δ 389 = κ 539), ἤτοι τὸν ἀριθμὸν τῶν ἡμερῶν·

Οὐ γάρ πώποτε νηΐ γ' ἐπέπλων εὐρέα πόντον,
εἰ μὴ ἐς Εὔβοιαν ἐξ Αὐλίδος, ᾗ ποτ' Ἀχαιοὶ
μείναντες χειμῶνα πολὺν σὺν λαὸν ἄγειραν
Ἑλλάδος ἐξ ἱερῆς Τροίην ἐς καλλιγύναικα.
Ἔνθα δ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος Ἀμφιδάμαντος
Χαλκίδα τ' εἰσεπέρησα· τὰ δὲ προπεφραδμένα πολλὰ
ἆθλ' ἔθεσαν παῖδες μεγαλήτορες· ἔνθα μέ φημι
ὕμνῳ νικήσαντα φέρειν τρίποδ' ὠτώεντα.
Τὸν μὲν ἐγὼ Μούσαις Ἑλικωνιάδεσσ' ἀνέθηκα,

650. *ἐπέπλων*] Δεύτερος ἀόριστος τοῦ ῥήματος ἐπι-πλώω (ἐπιπλέω).

Τὸ *εὐρέα πόντον* οὐ συναρμόζει μετὰ τῆς τοῦ Εὐρίπου στενότητος· αἴτιος δὲ ὁ Ἡσιόδου Ὁμηρισμός (πρβλ. Ἰλ. Ζ 291: ἐπιπλὼς εὐρέα πόντον).

651. Νῦν γέφυρα τὴν Εὔβοιαν καὶ τὴν Βοιωτίαν συνδέει· πρότερον δὲ ὁ πλοῦς διὰ τὴν συχνὴν μεταβολὴν τοῦ ῥεύματος καὶ τοὺς τυφῶνας οὐκ ἀκίνδυνος ἦν (ἴδε Σοφοκλ. Αντιγ. 1145: στονόεντα πορθμόν, Εὐριπίδ. Ἰφ. Ταύρ. 6, 7. Κικέρωνα περὶ θεῶν 3, 10, 24. Λίβιον 28, 6, Μήλαν τὸν γεωγράφον 2, 7, 9). Ἡ περιώνυμος Αὐλίς, ἅτε μικρὸν πολίχνιον οὖσα, σχεδὸν ἄγνωστον που ἔκειτο.

652. *χειμῶνα*] Τὸν τῶν χειμώνων καιρόν. Ὁ ἀόριστος τῆς μετοχῆς οὐκ ἀσκόπως τίθεται. Εἰ μὴ ἦν χειμών, ὁ στόλος ὁλόκληρος οὐκ ἂν συνηθροίσθη εἰς Αὐλίδα· ὁ τοῦ τόπου ἔμπειρος ποιητὴς δηλαδὴ ἠπίστατο, ὅτι ὁ αὐτόθι λιμὴν ἀνεπιτήδειος ἦν πρὸς τὸ περιέχειν στόλον ὁπόσον ὁ Νεῶν Κατάλογος ἀπαριθμεῖ.

653. Τὰ ἐπίθετα μεταχειρίζεται σοφιστικῶς πως ἀνθυπαλλάξας Ὁμηρικά. Οὐχ Ἴλιος ἡ μέλλουσα πεσεῖσθαι *ἱερὴ* ἢ θεοφιλής ἐστιν, ἀλλὰ ἡ νικῶσα Ἑλλάς· τῇ δὲ Τροίᾳ τὸ Ἑλληνικῶν πόλεων ἄξιον ἐπίθετον ἀπένειμεν ἵνα μᾶλλον ἐκφανῇ ἡ μιαρὰ ὕβρις τοῦ γυναικομανοῦς Πάριδος.

654. *Ἔνθα*] Τότε.

*ἄεθλα*] Τὸν ἀγῶνα, ὃν συνεκρότουν εἰς τὴν Ἀμφιδάμαντος ταφήν. Ἡ γενικὴ γὰρ ἐν τῇ παλαιᾷ γλώσσῃ καὶ τὸν τιμώμενον δηλοῖ, οἷον «ἆθλα Πελίου», Ὀδ. χ 163-4: ἄεθλον ἀνδρὸς κατατεθνηῶτος, Ὕμν. Ὁμηρ. 4, 118: χοροῦ Ἀρτέμιδος.

*δαΐφρονος*] Ἐτυμολογεῖται ἤτοι παρὰ τὸ *δαΐ* (μάχη) ἢ *δάημι* (ἐπίσταμαι).

*Ἀμφιδάμαντος*] Περὶ τῆς ἐποχῆς αὐτοῦ εἴπομεν ἐν τῷ βίῳ τοῦ ποιητοῦ.

655. *προπεφραδμένα*] Προανακεκηρυγμένα δημοσίᾳ, ὅπως ἀγωνιστὰς ὡς πλείστους καὶ ἀρίστους προσελκύσωσιν.

656. *ἔθεσαν*] Ἐντεῦθεν τὸ *ἀγωνοθέτης*. Παραλλήλως εἴρηται Ἰλ. Ψ 631: παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα.

*μέ*] Ἡ αἰτιατικὴ πλεονάζει, καθάπερ 44.

657. *ὕμνῳ*] Ὠδῇ, ἐπειδὴ ἡ λέξις παρὰ τοῖς ἐποποιοῖς οὐκ ἔλαβεν ἤδη εἰδικὴν σημασίαν (πρβλ. Ἰλ. Θ 429: ὕμνον ἀοιδῆς).

*φέρειν*] Τὸ ἀπαρέμφατον τοῦ παρατατικοῦ, ὃς τὸν οὐδέποτε σχηματισθέντα ἀόριστον ἀντικατέστησεν.

*ὠτώεντα*] Ὅστις ἔχει ὦτα (οὔατα Ἰλ, Σ 378, κοινῶς δὲ *αὐτία, αὐτιά*).

ἔνθα με τὸ πρῶτον λιγυρῆς ἐπέβησαν ἀοιδῆς.
Τόσσον τοι νηῶν γε πεπείρημαι πολυγόμφων,
ἀλλὰ καὶ ὣς ἐρέω Ζηνὸς νόον αἰγιόχοιο·
Μοῦσαι γάρ μ' ἐδίδαξαν ἀθέσφατον ὕμνον ἀείδειν.
Ἤματα πεντήκοντα μετὰ τροπὰς ἠελίοιο,
ἐς τέλος ἐλθόντος θέρεος, καματώδεος ὥρης,
ὡραῖος πέλεται θνητοῖς πλόος· οὔτε κε νῆα
καυάξαις οὔτ' ἄνδρας ἀποφθίσειε θάλασσα
(εἰ δὴ μὴ πρόφρων γε Ποσειδάων ἐνοσίχθων
ἢ Ζεὺς ἀθανάτων βασιλεὺς ἐθέλῃσιν ὀλέσσαι·
ἐν τοῖς γὰρ τέλος ἐστὶν ὁμῶς ἀγαθῶν τε κακῶν τε)·

659. Ἀναπέμπει εἰς Θ. 22 κἑ. *ἐπέβησαν ἀοιδῆς*] καθ' Ὁμηρικὰς φράσεις εἴρηται ἐπὶ τοῦ μέτοχον ποιεῖν τινος.

660. Ἀναφέρεται εἰς τὸ *τόσσον*.

*πολυγόμφων*] Παρὰ τὸ γόμφος (431). Τὸ ἐπίθετον οὔτε ἐν τῇ Ἰλιάδι οὔτε ἐν τῇ Ὀδυσσείᾳ ἀπαντᾷ, ὅθεν οὐκ εἰκῇ ἐπικοσμεῖ τὸ ὄνομα. Ἡσίοδος ἐννοεῖ τὰς ἐπιπλεούσας τὸ πέλαγος ναῦς, αἵτινες πολλῶν γόμφων χρῄζουσιν.

661. Ὥσπερ ἐν τῷ προοιμίῳ τῆς Θεογονίας, καὶ νῦν ᾄδει μετὰ προφητικοῦ ἐνθουσιασμοῦ. Ἡ γὰρ ναυτικὴ ἐπίσης τῇ γεωργίᾳ ἐξαρτᾶται ἐκ τοῦ ἄνακτος τοῦ οὐρανοῦ, ὃς ὕει καὶ βροντᾷ καὶ πέμπει ἐτησίας (Νόνν. Διονυσ. 5, 288) καὶ ἀνέμους οὐρίους ὡς Ζεὺς Εὐάνεμος (Παυσαν. 3,13,8) ἢ Οὔριος (πρβλ. Ἰλ. Ξ 19: πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον, Ὕμν. Ὁμηρ. 2, 255: «ἐκ Διὸς αἴσης» πνέει ὁ Ζέφυρος).

*ἀλλὰ καὶ ὣς ἐρέω*] Ἠρύσατο ἐξ Ἰλ. Ω 106. Ὀδ. τ 171. 224, τὸ δὲ δεύτερον ἡμιστίχιον ἐξ Ἰλ. Ξ 160. 152. Ὀδ. ε 103. 137 πλὴν ὅτι ἐξ ἀνάγκης *Ζηνὸς* ἀντὶ τοῦ *Διὸς* τέθηκεν. Τὸ ἔξαλλον *νόον* ἄρα ἐξ Ὁμήρου εἴληπται.

662. Αἱ Μοῦσαι τἆλλά τε ἅπαντα (Θ. 32) καὶ τὴν ναυτικὴν ἐπίστανται.

*ἀθέσφατον*] Πρβλ. Θ. 829.

663. Νυνδὴ ἄρχεται ἡ τῆς ναυτιλίας διδαχή. Ἐν τοῖς πρώτοις καρποῦται ἔπη ἀνωτέρω κείμενα (564 καὶ 584). Τὸν ἀριθμὸν ἐντεῦθεν ἔλαβεν, ὅτι μετὰ τὰς ἡλίου τροπὰς οἱ ἐτησίαι (μελτέμια) ἀρχὴν λαμβάνουσιν, οἳ τεσσαράκοντα ἡμέρας πνέουσι (πρβλ. Ἀπολλων. Ῥοδ. Ἀργοναυτ. 2, 525-6)· τούτοις ἐπαριθμεῖ τοὺς περὶ ὀκτὼ ἡμέρας φυσῶντας «προδρόμους» (Πλινίου Ἱστ. Φυσ. 2, 47).

665. *ὡραῖος πέλεται*] = 630.

666. *καυάξαις* = καϜϜάξαις = κατ(α)-Ϝάξαις, παρὰ τὸ καταϜάγνυμι (θραύω). Οἱ μεταγενέστεροι ἔλεγον· ναυ-αγ-έω, ᾧπερ ἀναλογεῖ καραβο-τσακίζομαι.

*ἄνδρας*] Σημείωσαι τὸν εὐφημισμὸν καὶ ἀπαισίου οἰωνοῦ φόβον.

667. Ὁ εὐσεβὴς ποιητὴς οὐδέποτε παραλείπει τὸ «σὺν Θεῷ».

*πρόφρων*] Ἐξεπίτηδες, οἷον Ποσειδῶν Ὀδυσσέα ἢ Ζεὺς τοὺς ἐκ Τροίας ἀναχωροῦντας Ἀχαιούς.

*ἐνοσίχθων*] Ἴδε Θ. 15.

669. *ἐν*] Ἡ συνήθεια μεταχειρίζεται τὴν *ἐπὶ* πρόθεσιν.

*τέλος*] Οὐχ ἅπαξ ἠκούσαμεν, ὅτι οἱ θεοὶ κύριοι τοῦ τέλους τῶν πραγμάτων.

τῆμος δ' εὐκρινέες τ' αὖραι καὶ πόντος ἀπήμων·
εὔκηλος τότε νῆα θοήν, ἀνέμοισι πιθήσας,
ἑλκέμεν ἐς πόντον, φόρτον τ' εὖ πάντα τίθεσθαι,
σπεύδειν δ' ὅ,ττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι·
μηδὲ μένειν οἶνόν τε νέον καὶ ὀπωρινὸν ὄμβρον
καὶ χειμῶν' ἐπιόντα Νότοιό τε δεινὰς ἀήτας,
ὅστ' ὤρινε θάλασσαν, ὁμαρτήσας Διὸς ὄμβρῳ
πολλῷ ὀπωρινῷ, χαλεπὸν δέ τε πόντον ἔθηκε.
Ἄλλος δ' ἐαρινὸς πέλεται πλόος ἀνθρώποισι.
Ἦμος δὴ τὸ πρῶτον, ὅσοντ' ἐπιβᾶσα κορώνη
ἴχνος ἐποίησεν, τόσσον πέταλ' ἀνδρὶ φανήῃ
ἐν κράδῃ ἀκροτάτῃ, τότε δ' ἄμβατός ἐστι θάλασσα·

Πρὸς τὸ δεύτερον ἡμιστίχιον παράθες Θ. 219 καὶ Σόλωνος Ἀπόσπ. 13, 33.

670. Αἰτιολογεῖ τὴν παραίνεσιν.

*εὐκρινέες*] Τὸ ἀντικείμενον ηὕρομεν στ. 621.

*ἀπήμων*] Τηρεῖ τὴν ἐτυμολογικὴν σημασίαν (χωρὶς πήματος καὶ κακοῦ).

671. *εὔκηλος*] Ἀντὶ τοῦ ἐϜέκηλος ἢ Ϝέκηλος (ἥσυχος). Οὗτος καὶ ὁ ἑπόμενος στίχος ὁμοιάζουσι τῷ 631.

673. *πάλιν οἰκόνδε νέεσθαι*] Εἴληπται ἐξ Ὀδ. ξ 110· τὸ δίγαμμα τοῦ οἶκόνδε ἐκτείνει τὴν προηγουμένην συλλαβήν.

674. *οἶνόν τε νέον*] Ἤτοι τὸν ληναιῶνα (504).

*ὀπωρινὸν ὄμβρον*] Ἔχει σχέσιν πρὸς ὅσα ἐν τοῖς ἔμπροσθεν (415) εἴρηκεν.

675. *Νότοιό τε δεινὰς* (περὶ τοῦ μέτρου ἔπιθι τὴν εἰσαγωγήν) *ἀήτας* (πρβλ. 645)] Ὁ Νότος κατ' ἔτος πέρας ἐτίθει εἰς τοὺς ἔκπλους τῶν Ἑλλήνων· οἱ τολμηρότατοι μόνον ἠναντιοῦντο πρὸς τὸν «χειμέριον νότον» (Σοφοκλ. Ἀντιγ. 335, πρβλ. Ἀνακρέοντος Ἐπίγρ. 113. Ἀριστοτέλ. Προβλήμ. 26, 16. Ἀράτ. Φαινόμ. 291 κέ.). Πνέει ἀπὸ τῆς ἀρχῆς τοῦ Νοεμβρίου μέχρι τῆς Μαρτίου (Θεόφραστ. π. ἀνέμων 2,10).

676. *ὤρινε*] Ἀόριστος γνωμικός.

*ὁμαρτήσας*] Συνελθών.

*Διὸς ὄμβρῳ*] Ἴδε 626. Ἐπειδὴ ὁ Νότος ὑετὸν ἐπιφέρει, ἐπὶ τοῦ τῶν ἀνέμων ὀνομαζομένου πύργου τῶν Ἀθηναίων ὁ Νότος ἐκχέει ὑδρίαν.

679. *ἐπιβᾶσα*] Ἐπὶ τὴν γῆν.

681. *κράδῃ*] Κλάδῳ τοῦ ἐρινεοῦ· ἡ γὰρ ἥμερος συκῆ τότε ἐν τῇ στερεᾷ Ἑλλάδι οὐκ ἔθαλλεν, οὐδὲ νῦν περὶ τὰς Θεσπιὰς ὑπάρχει. Ὁ ἐρινεὸς τῷ ὄντι κατὰ τὴν τοῦ ἔαρος ἀρχὴν ἐκβλαστάνει (Θεόφραστ. π. φυτ. 3,4,2). Ὁ αὐτὸς τρόπος τῆς χρονολογίας ἀπαντᾷ παρὰ τῷ Ἡσιόδου συμπολίτῃ Πλουτάρχῳ (π. χρηστηρίων 3 σ. 410 e: θρίοις ἐαρινοῖς ὅταν κορώνης ποδὶ εἴκελα γένηται), ὁ δὲ ἀνάλογος ἀπὸ τῆς ὕστερον ἐκφυομένης συκῆς ἐν τῷ κατὰ Ματθαῖον εὐαγγελίῳ (κδ', 32 : ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν· ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος). Τὸ *ἀκροτάτῃ* προστίθεται, καθότι οἱ ἀκρότατοι κλάδοι πρῶτοι ἐκφύονται.

εαρινὸς δ' οὗτος πέλεται πλόος. Οὔ μιν ἔγωγε
αἴνημ'· οὐ γὰρ ἐμῷ θυμῷ κεχαρισμένος ἐστὶ
ἁρπακτός - χαλεπῶς κε φύγοις κακόν -, ἀλλά νυ καὶ τὰ
ἄνθρωποι ῥέζουσιν ἀϊδρείῃσι νόοιο·
χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.
Δεινὸν δ' ἐστὶ θανεῖν μετὰ κύμασιν· ἀλλά σ' ἄνωγα
φράζεσθαι τάδε πάντα μετὰ φρεσίν, ὡς ἀγορεύω.
Μηδ' ἐν νηυσὶν ἅπαντα βίον κοΐλῃσι τίθεσθαι·
ἀλλὰ πλέω λείπειν, τὰ δὲ μείονα φορτίζεσθαι.

*ἄμβατος*] Ἀνάβατος. Ἐν Ἀθήναις ἐπαροιμιάζετο «Ἐκ τῶν Παναθηναίων ὁ πλοῦς» Ἀριστοτ. π. ζῴων γενέσ. 1, 18, πρβλ. Θεοφράστ. Χαρακτ. 3), νῦν δὲ αὐτόθι λέγουσι: «Τοῦ Σταυροῦ (τῇ τρίτῃ κυριακῇ τῶν νηστειῶν) κ' ἀρμένισε, τοῦ Σταυροῦ (τῇ 14/26 Σεπτεμβρίου) καὶ δέσε». Ἐπὶ δὲ τῶν νήσων ἀκούει τις: «Τῶν καλῶν ναυτῶν τἀταίρια τὸ Μαγιάπριλο χηρεύουν» ἤ: «τῶν ναυτῶνε ἡ γυναῖκες τὸν Μαϊάπριλο γλεντοῦνε (χορεύουν)». Οἱ Ὑδραῖοι ὁμοίως τοῖς Ἡσιοδείοις ναύταις δὶς τοῦ ἔτους ἐξέπλεον, κατ' Ἀπρίλιον καὶ Μάϊον καὶ ἐν τῇ ἀκμῇ τοῦ θέρους.

682. *εαρινός*] Παίζει τῇ διπλῇ σημασίᾳ τοῦ ἔαρι (κατὰ τὸ ἔαρ καὶ πρωΐ), πρόωρον ἀποκαλῶν τὸν πλοῦν.

683. *αἴνημ'*] Ἀντὶ τοῦ αἰνέω κατὰ τὸν Αἰολικὸν καλούμενον κανόνα. Τὰ ἐπίλοιπα τοῦ στίχου ὀγκωδῶς ἔχουσιν, ἐπειδὴ Ἡσίοδος παρεδέξατο αὐτὰ ἀπὸ τῆς Ἰλιάδος (: ἐμῷ κεχαρισμένε θυμῷ Ε 243, 826. Κ 234) ἢ ἐξ ἄλλης ἐποποιΐας.

684. *ἁρπακτός*] Παρακεκινδυνευμένος. Ἡ λέξις αὕτη εἰς τὴν μνήμην ἡμῶν ἀνακαλεῖ, ὅτι Ὅμηρος μὲν περὶ ληστῶν ἢ πειρατῶν λόγον ποιεῖται, Ἡσίοδος δὲ οὐδὲν φοβεῖται πλὴν τῶν ἀνέμων ἢ κυμάτων. Αἰτία δὲ τῆς διαφορᾶς ἴσως ἡ διάφορος τῶν θαλασσῶν φύσις. Ἐκεῖ μὲν περὶ τὴν Χίον λαβύρινθος στενῶν ἐρήμων ἀνέκαθεν πειρατὰς προσείλκυε, πρὸς δὲ τῆς δύσεως τοιούτων ἐνεδρῶν ἐστεροῦντο.

685. *ἀϊδρείῃσι νόοιο* (= Ὀδ. λ 272)] Οὐδὲ Σωκράτης ἠπίστησεν ὡς τὸ κακὸν ἐξ ἀμαθίας προῆλθεν.

686. Ὁ κωμικὸς Τιμοκλῆς (παρὰ Στοβαίῳ Ἀνθολ. τ. Γ', σ. 190) παρέλαβε τὴν γνώμην παρ' Ἡσιόδου: «Τ' ἀργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς» Εὐριπίδου εἰπόντος λιτώτερον: «Τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα» (Φοίνισσ. 438 ἢ 442). *Ψυχὴ* δηλαδὴ παρὰ τοῖς ποιηταῖς ἀντὶ τοῦ ζωὴ συχνάζει, μάλιστα δὲ Ὁμηρικὸν ἡμιστίχιον πρὸς τὸ ἀνὰ χεῖρας σχέσιν τινὰ ἔχει: «Ψυχὰς παρθέμενοι» (Ὀδ. γ 74. ι 255).

*πέλεται δειλοῖσι βροτοῖσι*] = Ἰλ. Χ 31.76. Ὀδ. ο 408.

687. Ὁ ἐν τῇ θαλάσσῃ θάνατος τοῦτον φόβον ἐγείρει, ἐπειδὴ ὁ νεκρὸς οὐ θάπτεται· διὸ καὶ Ὀδυσσεὺς τοῦτον *λευγαλέον* καλεῖ (Ὀδ. ε 312).

688. *μετὰ φρεσίν*] Ἐν φρεσίν· ἡ κοινὴ συνήθεια παραφράζει τὸ ἐπικὸν *μετὰ* διὰ τῆς φράσεως «μέσ' 'ς». — Ἡ προσαγόρευσις δηλοῖ, ὅτι πάλιν παράγραφός τις πέρας ἔλαβεν.

689. *κοΐλῃσι* (Ὁμηρικ.)] Ἴδε 643.

*ἅπαντα βίον*] Τὰ τεθερισμένα ἅπαντα.

Δεινὸν γὰρ πόντου μετὰ κύμασι πήματι κῦρσαι,
δεινὸν δ', εἴ κ', ἐπ' ἄμαξαν ὑπέρβιον ἄχθος ἀείρας,
ἄξονα καυάξαις, τὰ δὲ φορτία μαυρωθείη.
Μέτρα φυλάσσεσθαι· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.
Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι,
μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων

691. *πήματι κῦρσαι*] Τὴν φράσιν ἔμαθε παρ' Ὁμήρου (Ἰλ. Ω 530: κακῷ κύρεται), ἀνθ' ἧς οἱ μεταγενέστεροι τοῖς συνωνύμοις ἐντυγχάνω καὶ συντυγχάνω ἐχρῶντο.

692. Ἡ παραβολὴ καὶ τὸ ἀναφορικὸν σχῆμα συνάπτεται.

*ὑπέρβιον ἄχθος*] Βάρος, ὅπερ ὑπερβαίνει τὴν δύναμιν καὶ βίαν (τῆς ἁμάξης).

693. *καυάξαις* = 666.

* *μαυρωθείη*] Ἴδε 325.

694. Τὸ κεφάλαιον τελευτᾷ εἰς ἀξίωμα, ὅπερ ἅμα τὸν 642 στίχον ἐπαναλαμβάνει καὶ μετάβασιν πρὸς ἄλλα παρέχει. *Μέτρα* λοιπὸν δισσὸν νοῦν ἔχει, τὸ μὲν *μέτρα θαλάσσης* (648), τὸ δὲ Ἡσίοδος προηγεῖται τῶν ποιητῶν, οἳ τὸ «μηδὲν ἄγαν» ἐγκωμιάζουσι· Πινδάρου (Ἴσθμ. 6 [5], 71: μέτρα μὲν γνώμᾳ διώκων, μέτρα δὲ καὶ κατέχων) Εὐριπίδου (Μήδ. 125: τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ λῷστα βροτοῖσι), Μενάνδρου (Μονόστ. 273: καλὸν τὸ **καιροῦ** παντὸς εἰδέναι μέτρον), τοῦ Ψευδοφωκυλίδου (64: πάντων μέτρον ἄριστον, 14: μέτρα νέμειν τὰ δίκαια, καλὸν δ' ἐπίμετρον ἅπασι, πρβλ. 94), τῶν τὰ Χρυσᾶ Ἔπη ποιησάντων Πυθαγορείων (38 μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον) καὶ δὴ καὶ Γρηγορίου τοῦ Ναζιανζηνοῦ (ποιήμ. 62, 42: μέτρον ἄριστον ἅπαν, Μυστικ. 4,85: μέτρα φέρειν γὰρ ἄριστον, ἀμετρίη δὲ κάκιστον). Περὶ τοῦ πεζοῦ ἀξιώματος «μέτρον ἄριστον» ἴδε τοὺς Παροιμιογράφους τ. Β', σ. 81. Τὸν δὲ *καιρὸν* ἐπαινοῦσι παλαιοί τε καὶ νεώτεροι, οἷον Πίνδαρος Ὀλ. 13, 67: ἕπεται δ' ἐν ἑκάστῳ μέτρον· νοῆσαι δὲ καιρὸς ἄριστον, Πύθ. 9, 135: ὁ δὲ καιρὸς παντὸς ὁμοίως ἔχει κορυφάν, Μένανδρος (ἴδε ἀν.) Ἀνθολογ. παράρτ. 206, 2: καιρῷ πάντα πρόσεστι καλά, Ἀγαθίας Ἀνθολογ. 9,769, 6: καιρῷ δ' ἴσθι νέμειν τὸ πρέπον, Διογέν. Λαέρτ. 1, 41 καὶ Σχόλ. Εὐριπ. Ἱππόλ. 263: μηδὲν ἄγαν· καιρῷ πάντα πρόσεστι καλά, «Κάθε πρόμιο πρόθυμο» (Βενιζέλ. Κ 42): «Καιρὸς κάθε πρᾶ(γ)μα» (Βενιζέλ. Κ 107). Πᾶς τις παρατηρήσει, ὅτι οἱ πλεῖστοι κατὰ τὸ μᾶλλον ἢ ἧττον εἰς Ἡσίοδον ἀναφέρονται· οὗ τὸ δεύτερον ἡμιστίχιον Θέογνις αὐτολεξεὶ ἐπανέλαβε, προσθεὶς «ἔργμασιν ἀνθρώπων» (401)· δι' ὧν ὀρθῶς ἐξηγεῖται τὸ Ἡσιόδειον *πᾶσι*.

Μετὰ τὸ πέρας τῶν Ἔργων ἐπὶ τὰ τρία, ὅσα πρὸ τούτων πεπραγμάτευται, ἐπιστρέφεται καὶ κατὰ χιασμὸν τὸ δεύτερον περὶ γυναικῶν, φίλων καὶ θεῶν λέγει (695-759), τὴν πρὸς τὰ προηγούμενα συνέχειαν παρέχοντος τοῦ *ὡραῖος* ἤτοι ἐν καιρῷ. Περὶ τὸ αὐτὸ παροιμίαι τῶν νεωτέρων διατρίβουσιν, οἷον: «Ἢ μικρὸς μικρὸς 'πανδρεύσου, ἢ μικρὸς καλογερεύσου» (Ἀραβαντ. 449), «Γάμος ὄψιμος, παιδιὰ τ(ῆ)ς ὀρφάνιας» (197): «Ὄψιμος υἱὸς μὲ τὸν πατέρα του δὲν θερίζει» (1062).

695. *τεὸν ποτὶ οἶκον ἄγεσθαι*] Παράθες Θ. 410.

696. *τριηκόντων*] Αἱ δεκάδες κατ' ἰδιωτισμὸν ἐκλίνοντο. — Ἡσιόδῳ συγ-

μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος.
Ἡ δὲ γυνὴ τέτορ' ἡβώοι, πέμπτῳ δὲ γαμοῖτο.
Παρθενικὴν δὲ γαμεῖν, ὥς κ' ἤθεα κεδνὰ διδάξῃς.
Τὴν δὲ μάλιστα γαμεῖν, ἥτις σέθεν ἐγγύθι ναίει,
πάντα μάλ' ἀμφὶς ἰδών, μὴ γείτοσι χάρματα γήμῃς.

κατατίθενται οἱ σοφώτατοι τῶν Ἑλλήνων· Σόλων γε συμβουλεύει τὴν πέμπτην ἑπτάδα τοῦ βίου (Ἀπ. 2719, 10 πρβλ. τὰ Ἀνέκδοτα τοῦ Boissonade Β', σ. 456) Πλάτων δὲ (Νόμ. 4, 721 b, πρβλ. Πολιτ. 5,460 e) μεταξὺ τῶν τριάκοντα καὶ τριάκοντα πέντε ἐτῶν γαμεῖν παραινεῖ, συγχωρῶν ἄλλοθι (Νόμ. 6,772 d) τὰ πέντε προηγούμενα. Ἀριστοτέλης ὁμοίως ὡς τὴν τοῦ σώματος ἀκμὴν τὴν ἑβδόμην πεντάδα θεωρεῖ (Ῥητορ. 2, 14, 4). Πρακτικῶς δὲ οἱ Σπαρτιᾶται μάλιστα τὴν σοφὴν παραγγελίαν ἤσκησαν. Ὅθεν εἰσέτι οἱ Μανιᾶται τὰ εἴκοσι πέντε ἔτη ἀπομένουσιν, ἄλλοθι δὲ νυμφεύονται περὶ τὸ 16—18 ἔτος τῆς ἡλικίας, πλὴν πρὸ ὀλίγου ἡ στρατιωτικὴ ὑπηρεσία τὸν καιρὸν ἀνέβαλεν. Τοῦτο δὲ Ἑλληνικώτατόν ἐστιν, ὅτι τὰ «μειράκια» νυμφεύονται (Δημοσθέν. κατὰ Βοιωτοῦ σ. 1109, Ἀχιλλ. Τάτ. 1,3.7). Περὶ τῶν Κρητῶν ἀγνοοῦμεν τί ἐκεῖ συνηθίζεται· συμπεραίνομεν ὅμως ἐκ στίχου τῆς Κρητικῆς κωμῳδίας «Στάθης» (πρβλ. Β', στ. 259: «Πολλὰ καυκᾶσαι ἀληθινά, χρόνω' σὰν νὰ 'σου τράντα», λόγων γενομένων περὶ γάμου), ὅτι τρόπον τινὰ Ἡσιόδῳ συνᾴδουσιν. Ὅπως δὲ καὶ ἂν τοῦτο ἔχῃ, Ἡσίοδος ἀπερίσσως τὴν γνώμην ἀπέφηνεν.

698. *τέτορα*] Δωρικῶς ἀντὶ τοῦ τέσσαρα.

*ἡβώοι*] Ἡ ἥβη τῶν Ἑλληνίδων ἄρχεται ἀπὸ δώδεκα ἐτῶν (Νόμος τῶν Γορτυνίων 12,32, Λεξικὸν σχεδιογραφικὸν στ. 246 ἐν τοῖς τοῦ Boissonade Ἀνεκδότοις Δ', σ. 378, *δέκα* ὅμως κατὰ Πολυδεύκην 1,58, ἀλλ' αὐτὸς Αἰγύπτιος ἦν, *10* ἢ *11* κατὰ τὸν Πορφύριον εἰς Ἰλ. Κ 252, σ. 148, 15 ἔκδ. Schrader, ὅσπερ ἐκ Συρίας ἐγένετο). Ἡ «κόρη δώδεκα χρονῶν» ψάλλει ἤδη ἐρωτικὰ δίστιχα· ὁ δὲ τοῦ γάμου καιρὸς ἀπὸ τοῦ 13 ἔτους, καίτοι ἐπὶ τῶν νήσων ἔγγαμοι δώδεκα ἐτῶν εὑρίσκονται. Νῦν μετὰ τὸ 15 ἔτος αἱ πλεῖσται ἄνδρας ἔχουσιν, ὅπερ καὶ παρὰ τοῖς παλαιοῖς καθέστηκεν (*12* ἐτῶν: Ἀνθολογ. 7, 547, 7. Corpus 6631. *13* Φλέγων Θαυμ. σ. 75, ἐκδ. τῷ 1568, Corpus 6252, 6263, 6462. *14* Ὀβίδ. Μεταμορφ. Ἐπίκτητ. Ἐγχειρ. 37 (40), ἧττον ἢ *15* Ξενοφῶν Οἰκον. 7, 5. *15* Corpus 6437). Ἡσίοδος δὲ πάλιν τοῖς φιλοσόφοις συνᾴδει (*16—20* Πλάτων Νόμ. 6,788 b, *20* ὁ αὐτὸς Πολιτ. 5,460 e, *19* Πρόκλος ἐν τοῖς σχολίοις *18* Ἀριστοτέλ. Πολιτ. 7, 14, 6) καὶ τοῖς Σπαρτιάταις, οἳ ἐνυμφεύοντο οὐ μικρὰς καὶ ἀώρους πρὸς γάμον, ἀλλὰ καὶ πεπείρους» (Πλουτάρχ. Λυκοῦργ. 15). Ἡ δὲ ἀκμὴ κατὰ Μένανδρον, ὅν τινα Τερέντιος (Εὐνουχ. 2,3,27) μεταφράζει, περὶ τὸ 16 ἔτος· ὃ Ἡσιόδῳ τὴν ἀφορμὴν τῆς παραινέσεως ἔδωκεν.

699. *παρθενικήν*] Ἴδε 63.

*κεδνά*] Προσεκτικά· τὴν ἀπειροτεχνίαν τῶν νέων γυναικῶν διαζωγραφίζει ἐναργῶς Ξενοφῶν ἐν τῷ Οἰκονομικῷ (7,5.6).

700. «Πάρε παπούτσι' ἀπ' τὸ χωριό, κι' ἂς εἶν' καὶ 'μπαλλωμένα».

701. *χάρματα*] Τὴν σύνταξιν διασαφηνίζουσί πως τά: «δηΐοισι δὲ χάρμα γενέσθαι» (Ἰλ. Ζ 82) καί: «τὶν ἐπί-

Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον
τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο,
δειπνολόχης· ἥτ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
εὕει ἄτερ δαλοῖο καὶ ὠμῷ γήραϊ δῶκε.
Εὖ δ' ὄπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι,
μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·
εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς,
μηδὲ ψεύδεσθαι γλώσσης χάριν· εἰ δέ κεν ἄρχῃ
ἤ τι ἔπος εἰπὼν ἀποθύμιον ἠὲ καὶ ἔρξας,
δὶς τόσα τείνυσθαι μεμνημένος· εἰ δέ σέ γ' αὖτις

χαρμα τέτυγμαι» (Θεόκριτ. 2, 20)· μᾶλλον δὲ ἀναλογεῖ Εὐριπ. Ἡρακλ. Μαιν. 458: πολεμίοις δ' ἐθρεψάμην ὕβρισμα κἀπίχαρμα καὶ διαφθοράν. Ἑρμηνείας χάριν παρατίθεμεν δύο παντελῶς παράλληλα χωρία, τὸ μὲν ἐκ τῶν κατὰ γυναικῶν ἰάμβων τοῦ Ἀμοργίνου Σιμωνίδου (7,110-1) Οἱ δὲ γείτονες χαίρουσ' ὁρῶντες καὶ τὸν ὡς ἁμαρτάνει, τὸ δὲ ἐκ τοῦ Σειράχ (18, 31): ποιήσει σὲ ἐπίχαρμα τῶν ἐχθρῶν σου.

702. *ληΐζεται* οὐ μᾶλλον ἐπὶ πολέμῳ μόνον τίθεται ἢ τὸ οὐσιαστικὸν *ληΐς* Θ. 444). Σιμωνίδης φυλάσσει τὴν λέξιν ἐν τῇ μιμήσει (6): «γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ ληΐζεται ἐσθλῆς ἄμεινον οὐδὲ ῥίγιον κακῆς». Τὸ τοῦ Σολομῶντος ἀναφέρειν περισσόν.

703. *ῥίγιον*] Συνωνυμεῖ τῷ κρυερὸς Θ. 657.

704. *δειπνολόχης*] Ἡ κακὴ γυνή, ὡς εἴπομεν, οἷον «ἐκ λόχου» καὶ ἐνέδρας κλέπτει τροφήν.

*ἴφθιμον*] Ἴδε Θ. 455.

705. *εὕει ἄτερ δαλοῖο*] Περιπαίζει τὰς λέξεις *κάρφω* (7), αὖος κτλ. Εὐριπίδης ἀρέσκεται τῇ εὐφυολογίᾳ, καθότι ἐν μισογύνῳ χωρίῳ εὑρίσκεται: «Ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί» (Ὀρέστ. 621). Ἐκ τούτου ὁρμώμενος, Τζέτζης προσφυῶς μεταφράζει: «ἀξύλῳ πυρί».

*ὠμῷ*] Ὑπαινίττεται τὸ Ὁμήρου (Ὀδ. ο 356): «Ἦκαχ' ἀποφθιμένη καὶ ἐν ὠμῷ γήραϊ θῆκε», ἀφορῶν εἰς τὸ πρόωρον γῆρας.

706. Ὁ ὁμόγνιος Ζεὺς φυλάττει τὰς τῶν οἰκείων σχέσεις· ὅπερ Ἡσίοδος τοσοῦτον ἐξαίρει, διότι ἀδελφὸς αὐτοῦ ἦν ὁ Περσεύς.

*ὄπιν*] Πρβλ. Θ. 222.

707. Ἡσίοδος, πολεμῶν Ὁμήρῳ, ὅσπερ τὸν ἑταῖρον τῷ ἀδελφῷ ἐξισοῖ (Ὀδ. θ 546-7. 585-6), ἔπεισε καὶ Σόλωνα (Διογέν. Λαέρτ. 1,60) καὶ Πλούταρχον (περὶ ἀδελφῶν ἀγάπης 20).

709. *γλώσσης χάριν*] Ἡδονῆς χάριν μᾶλλον ἢ κέρδους, ὡς λέγομεν *γελάω* ἀντὶ *ἀπατῶ*.

*ἄρχῃ*] Οἱ μὴ Ἀττικοὶ τὸ ἐνεργητικὸν ὁμοίως τῷ παθητικῷ συντάσσουσι μετὰ μετοχῶν.

710. *ἀποθύμιον*] Εὐφημισμὸς ἀντὶ τοῦ ἐχθρόν, μισητόν· οἷον Ἀγαμέμνων λέγει (Ἰλ. Α 562): «ἀπὸ θυμοῦ μᾶλλον ἐμοὶ ἔσεαι». Συντακτέον ἐπίσης μετὰ τοῦ δευτέρου ῥήματος, καθάπερ Ἰλ. Ξ 261: ἀποθύμια ἔρδοι.

711. Ὀλίγοι ἦσαν τῶν σοφωτάτων Ἑλλήνων, οἳ τὴν ἐκδίκησιν οὐκ ἐνέκρι-

ἡγέῃτ' ἐς φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν,
δέξασθαι· δειλός τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται· σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος.
Μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεσθαι
μηδὲ κακὸν ἕταρον μηδ' ἐσθλῶν νικητῆρα,
μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων·
γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης·
εἰ δὲ κακὸν εἴποις, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.

νον ἢ τοὐλάχιστον οὐχ ἐπέτασσον· παρατίθεμεν λοιπὸν ἐκ τοῦ ἀπείρου ἀναλόγων ἀξιωμάτων πλήθους τὰ συμφωνοῦντα εἰς τὸ δίς, Θέογνιν (1090) δηλαδὴ καὶ Ἀριστοτέλη (Πολιτ. 7,6).

*μεμνημένος*] Πιστῶς ὥσπερ ὀφειλέτης.

712. *ἡγέητ' ἐς φιλότητα* ] Προηγεῖται πρὸς διαλλαγήν.

*δίκην*] Ἐξίλασμα.

*δέξασθαι*] Τὴν δίκην, πρβλ. Ὁμηρ. Ὕμν. 3,312: δὸς δὲ δίκην καὶ δέξο.

713. *δειλός*] Ταὐτὸ βούλεται ὥσπερ 214.

*ἄλλοτε ἄλλον* ] Τὰ φωνήεντα οὐ συναλείφονται, ὥσπερ Ὀδ. δ 236: ἄλλοτε ἄλλῳ.

714. *σέ*] Ἡ ἀντωνυμία καὶ τὸ *νόον* καθ' ὅλον καὶ μέρος συντάσσονται.

*κατελεγχέτω εἶδος*] Τὸ πρόσωπόν σου μὴ διαψεύδοι τὸν νοῦν.

715. *πολύξεινον* ] Ἀνήκει εἰς τὰ «πολύξεινα» δεῖπνα, περὶ ὧν κατωτέρω λόγος γίνεται. Ὁ νοῦς ἄρα· Μὴ καλέσῃς πολλοὺς πρὸς δεῖπνον μηδὲ μόνος δειπνήσῃς.

*καλέεσθαι*] Ὄνομα καὶ οὐσία ὑπὸ τῶν ποιητῶν πολλάκις συγχέονται (πρβλ. Θ. 410), ἐνταῦθα δὲ μάλιστα προτιμᾷ ἐκεῖνο, ἐπειδὴ οἱ Ἕλληνες παρωνυμίοις ἠρέσκοντο. *Πολύξενοι* τὸ ὄνομα ἀληθῶς πολλοὶ ἔζησαν.

716. *ἐσθλῶν νικητῆρα*] Ὅστις συκοφαντικῶς νικᾷ (ἴδε 211) καλοὺς κἀγαθούς.

717-8. Θέογνις ταὐτὸ διὰ πλειόνων παραινεῖ.

*θυμοφθόρον*] «Ἡ πεῖνα δὲν χωρατεύει».

718. *τέτλαθ'*] Τόλμα· ἡ γὰρ ῥίζα ἀμφοτέρων ἡ αὐτή.

*μακάρων δόσιν*] Πρβλ. 638· πρὸς τὴν φράσιν, παράθες Εὐριπ. Ἄλκηστ. 1064: θεοῦ δόσις (ἐπ' ἀτυχίας).

*αἰὲν ἐόντων*] = Ὀδ. γ 147. δ 583.

719. *θησαυρός* ] «Ἄργυρο τὸ 'μίλημα, χρυσὸς τὸ σιώπα»· ὅμοιόν τι Σολομῶν (10,20) διδάσκει: «Ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου». Ὁ συνετῶς διαλεγόμενος τρόπον τινὰ ἀποταμιεύει τὰ κατασιωπώμενα.

*ἐν ἀνθρώποισιν ἄριστος* ] Ὁ ὄγκος τῆς φράσεως μηνύει τὴν μὴ Ἡσιόδειον γένεσιν· ἴσως αὐτός τε καὶ Τυρταῖος (12,13=Θέογν. 1003: ἐν ἀνθρώποισιν ἄριστον) ἠρύσαντο αὐτὴν ἐξ ἡρωϊκῆς ἐποποιίας.

720. *φειδωλῆς*] «*Φειδόμενος χειλέων*, Σολομῶν φησι, νοήμων ἔσῃ».

721. Τὸ δίγαμμα τοῦ εἰπ- ἐνταῦθα ἰσχύει.

*μεῖζον*] Χονδρότερον. Οἱ ἄλλοι ἀνταμοιβὴν ἁπλῆν ἀπειλοῦσιν, οἷον Ὁ-

Μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι
ἐκ κοινοῦ· πλείστη δὲ χάρις δαπάνη τ' ὀλιγίστη.
Μηδέ ποτ' ἐξ ἠοῦς Διὶ λείβειν αἴθοπα οἶνον
χερσὶν ἀνίπτοισιν μηδ' ἄλλοις ἀθανάτοισι·
οὐ γὰρ τοίγε κλύουσιν, ἀποπτύουσι δέ τ' ἀράς.
Μηδ', ἀντ' Ἠελίου τετραμμένος, ὀρθὸς ὀμιχεῖν·
αὐτὰρ ἐπεί κε δύῃ, μεμνημένος, ἔς τ' ἀνίοντα,
μήτ' ἐν ὁδῷ μήτ' ἐκτὸς ὁδοῦ προβάδην οὐρήσῃς
μηδ' ἀπογυμνωθῇς· μακάρων τοι νύκτες ἔασι·

μηρος (Ἰλ. Υ 250): Ὁποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσῃς», Ἀλκαῖος (ἐν τοῖς Πρόκλου σχολίοις): «Αἴ κ' εἴπῃς τὰ θέλεις, ἀκούσει τὰ οὐ θέλῃς», Εὐριπίδης (Ἄλκηστ. 704-5), κωμικοί (ἴδε Lorenz. εἰς τὸν Πλαύτου Ψευδύλον στ. 1156), οἱ παροιμιασταί: «Μὴν 'πῇς τοῦ πηγαδιοῦ μπᾶ, νὰ μὴ σοῦ 'πῇ ἄ» (Βενιζέλ. Μ 165), «Τὰ λόγια φέρουν λόγια» (Ἀραβαντ. Παροιμ. 1256).

722. *δυσπέμφελος*] Ἴδε Θ. 440. Προσκληθεὶς μὴ ὑπεκφύγῃς τὰ ἐκ συμβολῆς δεῖπνα ἤτοι τοὺς ἐράνους.

724. *ἐξ ἠοῦς* ἢ *ἠῶθεν* συνωνυμοῦσι τῇ ἁπλῇ γενικῇ, ὥσπερ ἀπάνω καὶ ἄνω, ἀποπίσω καὶ ὀπίσω κτλ.

*αἴθοπα οἶνον*] = 592. Τὸ πρωῒ οἱ Ἕλληνες ἔπινον ὀλίγον οἶνον, οὗ σταγόνας τινὰς εἰς τιμὴν τῶν θεῶν ἀπέσπενδον· αἱ σπονδαὶ κατὰ τὸν ιη' αἰῶνα εἰσέτι, εἰ πιστεύειν χρὴ τῷ Γάλλῳ Guys, ἐν ναυτικοῦ πλοῦ ἀρχῇ καὶ ἐν τῷ συμποσίου πέρατι ἐτελοῦντο.

725. *χερσὶν ἀνίπτοισιν*] Ἡ τῶν παλαιῶν τε καὶ τῶν Ἑβραίων θρησκεία ἐπέτασσε τὴν τῶν χειρῶν κάθαρσιν, διότι ὁ θεὸς μισεῖ πᾶσαν ἀκαθαρσίαν· ὡς πρὸς τὴν ἑσπέραν, παραίνεσις ἦν περιττή, ἐπειδὴ ἅπαντες ἕνεκα τοῦ δείπνου τὰς χεῖρας ἐκάθαιρον.

726. *ἀποπτύουσι*] Ἡ ἄκομψος αὕτη λέξις παρὰ τοῖς σεμνοτάτοις τῶν παλαιῶν πολλὴ ἦν.

727. Ἡ προηγουμένη παραίνεσις εὐστόχως συνήφθη μετὰ τῆς πρὸς τὰ δεῖπνα σχέσιν ἐχούσης. Νῦν δὲ μετὰ τὰ περὶ τὴν γαστέρα πραγματεύεται (727-736) «τὰ ὑπὸ τὴν γαστέρα».

*ὀρθός*] Τὴν αἰτίαν αἰνίττεται Πλίνιος (28, 6, 19): Magi vetant contra Solem Lunamque **nudari**, πρβλ. καὶ τὸν Αἰσώπου Βίον «ἀνασυράμενος τὸν χιτῶνα οὐρεῖν».

728. *αὐτάρ*] Οὐχὶ ἐναντίωσιν μηνύει, ἀλλὰ ταὐτὸ βούλεται τῷ *δὲ* μορίῳ.

*μεμνημένος*] Οἱ λογογράφοι ἂν ἔγραψαν: «μέμνησο μὴ οὐρῆσαι». Τὰ λοιπὰ δηλοῦσι τὴν νύκτα ὁλόκληρον.

729. *προβάδην*] Συντακτέον μετὰ τῶν προηγουμένων, ὥστε ὁ νοῦς: «Ἔξω τῆς ὁδοῦ προβάς».

730. *μηδ'*] Προσυπακούομεν καθόλου. Ὑπαινίττεται καὶ τὰ λοιπὰ φυσικά, ὧν ἕνεκα οἱ γεωργοὶ τῆς νυκτὸς ἐπὶ τὴν ὁδὸν ἐξέρχονται. Πρὸς τὴν αἰτιολογίαν παράθες Θ. 10. Ἐξ ὁμοίας δοξασίας ἐξῆλθεν ἡ τῶν Αἰνίων πρόληψις, ἣ ἐν τοῖς τοῦ Ἑλλην. Φιλολογ. Συλλόγ. Πρακτικοῖς (τ. Θ', σ. 349) ἀνακοινοῦται: «ὅταν οὐρήσῃ τις, ὀφείλει νὰ πτύσῃ ἅπαξ ἢ τρίς, ἵνα μὴ ἀκολουθήσῃ τὸ στοιχεῖον τοῦ τόπου».

ἑζόμενος δ' ὅ γε θεῖος ἀνήρ, πεπνυμένα εἰδώς,
ἢ ὅ γε πρὸς τοῖχον πελάσας εὐερκέος αὐλῆς.
Μηδ' αἰδοῖα γονῇ πεπαλαγμένος ἔνδοθι οἴκου
ἱστίῃ ἐμπελαδὸν παραφαινέμεν, ἀλλ' ἀλέασθαι.
Μηδ' ἀπὸ δυσφήμοιο τάφου ἀπονοστήσαντα
σπερμαίνειν γενεήν, ἀλλ' ἀθανάτων ἀπὸ δαιτός.
Μηδέ ποτ' αἰενάων ποταμῶν καλλίρροον ὕδωρ
ποσσὶ περᾶν, πρίν γ' εὔξῃ ἰδὼν ἐς καλὰ ῥέεθρα,

731. Τί ῥῆμα ὑπακουστέον, εὔδηλον. *θεῖος*] Εὐσεβής· τὸ δεύτερον ἐπίθετον παρ' Ὁμήρῳ πολύ ('Οδ. δ 696, 711, χ 361. ω 442). Ἡρόδοτος τὸ ἔθος τοῦτο τοῖς Αἰγυπτίοις ἀπονέμει (2,35: οὐρέουσι αἱ μὲν γυναῖκες ὀρθαί, οἱ δὲ ἄνδρες κατήμενοι)· ἀλλ' Ἡσίοδος οὐδὲν Αἰγυπτιακὸν διδάσκει. Ἡ καθ' ἡμᾶς παροιμία (Βενιζέλ. Κ 343) οὐ παραλλάσσει: «Κάτζε καλά, κατούρησε, κὴ ἂν δὲν θωρῇς, θωροῦ' σε».

732. *ἢ ὅ γε*] = 246.

*εὐερκέος αὐλῆς*] = 'Ιλ. Ι 472. 'Οδ. φ 389. χ 449.

733. *αἰδοῖα* συνδετέον ἅμα μετὰ τῆς μετοχῆς καὶ τοῦ ἀπαρεμφάτου.

*πεπαλαγμένος*] Παρὰ τὸ παλάσσω ἢ μολύνω.

734. Τῷ ἡλίῳ ἐν τῇ οἰκίᾳ ἀντιστοιχεῖ ἡ ἱερὰ ἑστία, ἧς προστάτις ἡ παρθενικὴ Ἑστία. Τὸ μυστικὸν τοῦ τόπου τούτου αἰσθανόμεθα ἐν τῇ προλήψει, ὅτι· «παῖς ποιῶν λόγον περὶ τοῦ διαβόλου ἐν τῇ ἑστίᾳ τῆς οἰκίας του συμβουλεύεται αὐστηρῶς ὑπὸ τῆς μητρός του, νὰ μὴ τὸν ἀναβάνῃ» (Ἑλλην. Φιλολ. Σύλλ. τ. ΙΔ', σ. 237).—Πρὸς τούτοις ἐνταῦθα ἐκφαίνεται, ὅτι τότε ἤδη πολλοὶ πλησίον τῆς ἑστίας ἐκοιμῶντο.

*ἐμπελαδόν*] Παρὰ τὸ πέλας, πελάζω.

*ἀλέασθαι*] Παρεκκλῖναι.

735. *δυσφήμοιο*] Ἀπαισίου, οὗ μνείαν ὑπεκφεύγομεν. Ταφὴ τοὺς ἀνθρώπους μιαίνει κατὰ τὴν κοινὴν τῶν παλαιῶν γνώμην (π. χ. Εὐναπίου ἐν Βίοις σοφιστῶν σ. 14)· ὅθεν Ἰουλιανὸς ὁ Παραβάτης τοῖς Χριστιανοῖς ἀπεῖπε μὴ ἐκφέρειν τοὺς νεκροὺς διὰ τῶν πόλεων (Codex Theodosianus 9, 17). Καθ' ἡμᾶς εἰσέτι ἐπὶ τῆς Κρήτης καὶ ἐν τῇ Καππαδοκίᾳ οἱ Ἕλληνες μετὰ κηδείαν τὰς χεῖρας πλύνουσι, πρὶν ἂν εἰς τὰς οἰκίας εἰσέλθωσιν (Bybilakis neugriechisches Leben σ. 67, Πρωτόδικος π. ταφῆς σ. 13).

736. *ἀθανάτων ἀπὸ δαιτός*] Ἴδε 342. Ἡ τῶν ἱερῶν δείπνων συνήθεια τοσοῦτον ἐρριζοβόλησεν, ὥστε ἐν Φολεγάνδρῳ ἡ ἐκκλησία τῆς Κοιμήσεως τῆς Παναγίας ἢ τῆς Παλατιανῆς Παναγίας μεγάλην αἴθουσαν ἔχει, ὅπου οἱ ἔνοικοι ἅπαντες τῇ τῆς Παναγίας ἑορτῇ χάριν κοινοῦ δείπνου συναγείρονται.

737. *αἰενάων*] Ἴδε 550.559. Οἱ ποταμοὶ ὡς θεοὶ τιμῶνται (Θ. 337. 'Οδ. κ 351), μάλιστα δὲ οἱ μηδέποτε ἀποξηραινόμενοι (Ἡρόδοτ. 1, 45, πρβλ. 'Οδ. ν 109). Οἱ Ῥόδιοι ὀντινοῦν ῥύακα διαβαίνοντες, τὰς Ἀνερᾶδας φοβοῦνται (Newton Travels 1, 211). Κλεομένης τῷ «αἰενάῳ» Ἐρασίνῳ **διαβατήρια** ἔθυσεν (Ἡρόδοτ. 6, 70).

*καλλίρροον ὕδωρ* = 'Ιλ. Β 752: Μ 33.

738. *ἰδών*] Τὸ ὄμμα τοῦ προσευχομένου ἀκολουθεῖ τὰς χεῖρας καὶ τὸν νοῦν κατὰ τὸν οὗ ὁ θεὸς κατοικεῖ τόπον· συνήθως στρέφονται πρὸς τὸν οὐ-

χεῖρας νιψάμενος πολυηράτῳ ὕδατι λευκῷ·
ὃς ποταμὸν διαβῇ, κακότητ' ἰδὲ χεῖρας ἄνιπτος,
τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἄλγεα δῶκαν ὀπίσσω.
Μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ
αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ.
Μηδέ ποτ' οἰνοχόην τιθέμεν κρητῆρος ὕπερθεν
πινόντων· ὀλοὴ γὰρ ἐπ' αὐτῷ μοῖρα τέτυκται.
Μηδὲ δόμον ποιῶν ἀνεπίξεστον καταλείπειν,
μή τοι ἐφεζομένη κρώζῃ λακέρυζα κορώνη.

ρανόν, ἐνταῦθα δὲ πρὸς τὸν ποταμόν, ἄλλοτε δὲ πρὸς τὴν θάλασσαν.

*καλὰ ῥέεθρα*] = Ἰλ. Ψ 282. Ὀδ. ε 70.

739. *πολυηράτῳ*] Χάριν τῆς καλλιεργίας.

*ὕδατι λευκῷ*] = Ἰλ. Ψ 282. Ὀδ. ε 70. Τὰ πολλὰ ἐπίθετα ὑποδηλοῦσι τὴν ἀπὸ τοσούτου ποταμοῦ ἀφθονίαν.

740. Τὸ περίεργον *κακότητα* σεμνύνει τὸν κατὰ τὸ φαινόμενον ἐπιπόλαιόν πως νόμον τοῦ Ἡσιόδου. Ἡ τῶν χειρῶν κάθαρσις, φησὶν ὁ ποιητής, σύμβολον τῆς ψυχικῆς καθάρσεως.

741. Τὸ *δὲ* κυρίως ἔδει μετὰ τὸ ἀναφορικὸν κεῖσθαι.

*δῶκαν*] Ἐν τοῖς ἔμπροσθεν οὐχ ἅπαξ ἐμάθομεν, ὅτι ὁ γνωμικὸς ἀόριστος μετὰ τοῦ ἐνεστῶτος ἀδιαφόρως συντάσσεται.

*ὀπίσσω*] Κατόπιν (πρβλ. Θ. 222).

742. *πεντ-όζοιο*] Ἀστείως δηλοῖ τὴν χεῖρα παρὰ τὸ ὄζος (κλάδος). Ἡσύχιος ἐκ κωμικοῦ ἀναφέρει· ἐμῇ πεντόζῳ] χειρὶ ἐμῇ. Ἐπίσης Πυθαγόρας λέγεται ὅτι παρήγγειλε: «Παρὰ θυσίαν μὴ ὀνυχίζου». Περὶ τῶν ὀνύχων πολλὴ δεισιδαιμονία ἐπικρατεῖ, οἷον: «Τετράδη καὶ Παρασκευὴ τἀνύχια σου μὴ κόψῃς, καὶ Κυριακὴ νὰ μὴ λουσθῇς, ἂν θέλῃς νὰ προκόψῃς» (Βενιζέλ. Τ 165) *καί*, «Ὅπου θέλεις νὰ χαθῇ, κάτσε κουτσονυχίσου» (Νεοελλ. Ἀνάλ. Α', σ. 336, 1).

*θεῶν ἐν δαιτὶ θαλείῃ*] = Ὀδ. θ 76· πρβλ. 736.

743. *αὖον*] Τὸν ὄνυχα.

*ἀπὸ χλωροῦ*] Ἀπὸ τοῦ κρέατος, καθ' ὅλον καὶ μέρος μετὰ τοῦ «ἀπὸ πεντόζοιο» συνδετέον.

*τάμνειν*] Καθάπερ 423. 426.

*αἴθωνι σιδήρῳ*] = Ἰλ. Δ 485. Η 473. Υ 372. Ἐκ τούτων ἐξάγεται, ὅτι τὰ μαχαίρια εἶχον ἀπὸ σιδήρου ἠκονημένου.

744. *οἰνοχόην*] Τὸ ἀγγεῖον, ᾧ τὸν οἶνον ἀρύονται ἐκ τοῦ κρητῆρος.

745. *πινόντων*] Ἡ γενικὴ ἀπόλυτος, ὥσπερ παρ' Ἀλέξιδι (Ἀθην. Δειπνοσ. 7, 324 c) *δειπνούντων*. Ποία ἡ μοῖρα, Ἡσίοδος ἡμῖν ἀποκρύπτει, φοβηθεὶς ἴσως ἐξειπεῖν τὰ κακῶν δαιμονίων ὀνόματα. Ἡμεῖς γε οὐκ ἔχομεν εἰπεῖν, πλὴν ὅτι οἱ ἀμφορεῖς τῆς νυκτὸς ἐπικαλύπτονται, ἵνα μὴ ἐπικαθίσῃ ὁ διάβολος· ἐν ταῖς περὶ θαυμάτων ἱστορίαις ἐπίσης συμβαίνει, ὅτι κακὸς δαίμων ἐπὶ λάγηνον πηδᾷ.

746. *ἀνεπίξεστον*] Ἡ οἰκία δηλαδὴ ἐκ ξύλου ποιεῖται, καὶ τοῦτο ὑπὸ τῶν γεωργῶν αὐτῶν, καθάπερ νῦν οἱ ξυλοκόποι τοῦτο ἐπίστανται· ἀλλὰ τότε ἅπαντες ἐξυλοκόπουν.

747. *λακέρυζα κορώνη*] Ἴδε 679.

Μηδ' ἀπὸ χυτροπόδων ἀνεπιρρέκτων ἀνελόντα
ἔσθειν μηδὲ λόεσθαι· ἐπεὶ καὶ τοῖς ἔπι ποινή.
Μηδ' ἐπ' ἀκινήτοισι καθίζειν - οὐ γὰρ ἄμεινον -
παῖδα δυωδεκαταῖον, ὅτ' ἀνέρ' ἀνήνορα ποιεῖ,

Τὴν στωμυλίαν τῆς κορώνης οἱ λόγιοι εἰσέφερον εἰς τὸ ἐπιστημονικὸν ὄνομα αὐτοῦ (Coracias garrula L.), τοῦ λαοῦ πλάσαντος τὸ ὀνοματοποιητικὸν παρωνύμιον *χαρακάξα*. Ἡσίοδος καὶ ἐνταῦθα εὐφημίζεται. Ἡ κορώνη δηλονότι κακὸν προσημαίνει (Αἰλιαν. περὶ ζῴων 3, 9, πρβλ. Ἐτυμολ. Μέγ. σ. 530, 17), ἀριθμουμένη εἰς τὰ νυκτερινὰ πτηνά (Ἀρτεμίδωρ. 4,58. Ποσείδιππ. παρ' Ἀθην. 10, 414 στ. 1-2)· διὸ τὸ *σκυλο*βότανον καὶ *κουρουνο*βότανον καλεῖται. Νῦν δέ, κορώνης καθεζομένης ἐπὶ τὴν στέγην, προσμένουσι φίλον. Ἀλλὰ ἀντιπαραβλητέον μᾶλλον τὰς περὶ τῶν «σκατοπουλίων» δοξασίας, ἅτινα, ἐπὶ οἰκίας καθήμενα, ἀποξηραίνουσι τὸ γάλα τῶν δαμάλεων (Ἑλλην. Φιλολ. Σύλλ. τ. Η', σ. 550. τ. ΙΕ', 125). Κόραξ δὲ παρὰ τοῖς Ἠπειρώταις «ἱπτάμενος καὶ κράζων ἐπί τινος οἰκίας θεωρεῖται πρόαγγελος θανάτου» (Ἑλλην. Φιλολ. Σύλλ. τ. ΙΕ', 126, ἀρ. 13, πρβλ. Ἀνθολ. 11, 186,1: νυκτικόραξ ᾄδει θανατηφόρον). Ὅτι δὲ ἡ κορώνη κατὰ τοὺς Βοιωτοὺς τοὺς νεκροὺς ἀγαπᾷ, δεικνύει ὁ μῦθος ὅτι κορῶναι τὸν Ἡσιόδου τάφον ἀνεζήτησαν. Ὁ Θάνατος λοιπὸν εἰς τὰς ἀτελειώτους οἰκίας δύναμιν ἔχει· ἐκ τούτων ἴσως ὑπόνοιαν ἀνευρίσκομεν ἐν τῷ «ἡμιτελεῖ δόμῳ» τοῦ δυστυχοῦς Πρωτεσιλάου (Ἰλ. Β 701). Τέλος δὲ οὐ παραλείπομεν, ὅτι «τὸ τελευταῖον τῆς οἰκοδομῆς» *κορωνὶς* ὠνομάζετο (Ἐτυμολ. Μέγ. 530, 39).

748. *χυτροπόδων*] Χύτρας, ἥτις πόδας ἔχει, ἤτοι πυροστάτου. Οἱ παλαιοὶ ἀντὶ τοῦ ἀναρτᾶν τὰ χαλκεῖα, ἵστησαν ἐπὶ τρεῖς πόδας.

*ἀνεπιρρέκτων*] Παρὰ τὸ ἐπιρρέζω (θύω).

*ἀνελόντα*] Ἤτοι τροφὴν ἢ ὕδωρ.

749. Οἱ Καλικάντζαροι μολύνουσι τὰ ἠνεῳγμένα ἀγγεῖα ἅπαντα (Schmidt Volksleben, Α', σ. 149). Ἡ δοξασία αὕτη ἐντεῦθεν ἐγένετο, ὅτι τὸ ἀνώτατον ἀπὸ τοῦ καύσωνος ταχέως διαφθείρεται. Ὅθεν καὶ νῦν, χωρὶς ἐννοίας θρησκευτικῆς, ἐκεῖνο ἀπορραίνουσιν.

750. *ἐπ' ἀκινήτοισι*] Ὅσα οὐ κινητέον, τάφοις, βωμοῖς, ἡρῴοις (Ζηνοβίου Παροιμ. 1,55. Ἐτυμολ. Μέγ. 48, 35. Εὐστάθ. Ἰλ. σ. 349. Ἡσύχ.).

*οὐ... ἄμεινον*] Ἡ Ἑλληνικὴ γλῶσσα τὴν κοσμίαν ταύτην φράσιν φιλεῖ, π.χ. οὐ γὰρ ἄμεινον Ἡρόδοτ. 1,187. 3,71-82, οὐκ ἐστὶν ἄμεινον Ἀριστοτ. Πολιτ. 2,1, Ὅμηρος δὲ αὐτὴν διακριβοῦται: «οὐ μέντοι τόδε κάλλιον **οὐδὲ ἔοικε**» (Ὀδ. η 159).

751. Οἱ ἐθνικοὶ καθόλου ἐπὶ τῶν τάφων καθῆσθαι ἀπέφευγον (Θεοφράστ. Χαρακτ. 17. Θεοδωρήτ. Λόγ. ζ': μῦσος ὑπολαμβάνεται τὸ πελάζειν τοῖς τάφοις)· Ἡσίοδος ὅμως τοῦτο ἀγνοεῖ, ὥσπερ Ὅμηρος (Ἰλ. Β 792-3), ἀλλὰ δαιμονιακόν τι φοβεῖται· παλαιᾶς στερούμενοι ἀναλογίας, τοὺς Καλικαντζάρους πάλιν ἀναφέρομεν, οἳ κατὰ τὰ δωδεκά(η)μερα ἐπικρατοῦσιν (Schmidt σ. 144 κἑ.).

*ὅτ'*] Ἀναπληρωτέον ὅτε ἤτοι ὡς ἀναφορικὸν ἀντὶ τοῦ ὅπερ, ἢ κατὰ τὴν Ὁμηρικὴν σύνταξιν, ἀντὶ τοῦ ὅτι. Τὰ ἑπόμενα ἔλαβεν ἐκ τῆς Ὀδυσσείας κ 301: μή σ' ἀπογυμνωθέντα κακὸν καὶ ἀνήνορα θήῃ, ὅπερ ἀφορᾷ εἰς τὴν μάγισσαν Κίρκην.

μηδὲ δυωδεκάμηνον· ἶσον καὶ τοῦτο τέτυκται.
Μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδύνεσθαι
ἀνέρα· λευγαλέη γὰρ ἐπὶ χρόνον ἔστ' ἐπὶ καὶ τῷ
ποινή. Μηδ' ἱεροῖσιν ἐπ' αἰθομένοισι κυρήσας
μωμεύειν ἀΐδηλα· θεός τοι καὶ τὰ νεμεσσᾷ.
Μηδέ ποτ' ἐν προχοῇ ποταμῶν ἅλαδε προρεόντων
μηδ' ἐπὶ κρηνάων οὐρεῖν, μάλα δ' ἐξαλέασθαι,
μηδ' ἐναποψύχειν· τὸ γὰρ οὔτοι λώϊόν ἐστιν.

752. *ἶσον*] Ἀφορᾷ εἰς τὴν ἀναφορικὴν πρότασιν.

753. *γυναικείῳ λουτρῷ*] Ὁρμώμενοι ἐκ τῆς Ἡσυχίου γλώσσης· *λωτρόν*] δειλινὸν ἄλειμμα, τὸν ἀναγνώστην παραπέμπομεν εἰς τὸν Ξενοφῶντος Οἰκονομικόν (2,3.4), καθ' ὃν τὸ μὲν μύρον ἐστὶ τῶν γυναικῶν, τὸ δὲ παλαιστρικὸν ἔλαιον τῶν ἀνδρῶν· ἀναλόγως κατὰ Σοφοκλέα (παρ' Ἀθην. Δειπνοσοφ. 15,687 c) Ἀφροδίτη μὲν ἀλείφεται μύρῳ, ἡ δὲ ἀνδρεία Ἀθηνᾶ ἐλαίῳ. Ἀλλὰ ἦσαν οἳ τὸ γυναικικῶς ἀλείφεσθαι παρὰ τῶν Ἀσιανῶν ἔμαθον (π.χ. οἱ Βαβυλώνιοι ἦσαν «μεμυρισμένοι πᾶν τὸ σῶμα», Ἡρόδοτ. 1, 195). Ἡ λέξις *λουτρὸν* τοσούτῳ μᾶλλον ἁρμόζει, ὅσῳ αἱ γυναῖκες μετὰ τὸ λουτρὸν ἠλείφοντο (523. Σιμωνίδ. Ἀμοργ. 7,63-4). Οὐκ ἀπαράδεκτος ὅμως ἡ γνώμη, ὅτι Ἡσίοδος τὸ θερμὸν ἐν γένει λουτρὸν ἀποδοκιμάζει, καθότι «δειλὸν ποιεῖ τὸν ἄνδρα» (Ἀριστοφάν. Νεφέλ. 1046).

*φαιδύνεσθαι*] Λαμπρύνεσθαι, ἀπὸ τῆς αὐτῆς ῥίζης ὥσπερ φαιδρός.

754. *λευγαλέη*] Πρβλ. Θ. 602. Κατὰ τὴν τῶν ἐννοιῶν συνέχειαν εἰκάζομεν οὐχὶ μόνον ὅτι τὸ ἄνανδρον τοῦτο τὸ χωρίον μετὰ τοῦ προηγουμένου συνάπτει, ἀλλὰ καὶ ὅτι ὁ ποιητὴς θεοῦ ὀργὴν ἐπαπειλεῖ, τῆς Ἀθηνᾶς, οἶμαι, ἥπερ τὸ μύρον ἀποστρέφεται.

755. *ἱεροῖσιν ἐπ' αἰθομένοισι*] Παράθες τὸ Ὁμηρικὸν «ἐπ' αἰθομένοις ἱεροῖσι» (πρβλ. Ἰλ. Λ 775. Ὀδ. μ 362). Θυσίαις ἐντυχεῖν (κυρῆσαι) τότε εὔκολον ἦν, ὅτι ἐπὶ τῶν ἀγρῶν αὐτὰς προσέφερον· οἷον ἐν τῇ Εὐριπίδου Ἠλέκτρᾳ Ὀρέστης τὸν Αἴγισθον πλησίον τῆς ὁδοῦ θυσιάζοντα εὑρίσκει.

756. *μωμεύειν ἀΐδηλα*] Κρυφίως καὶ ἀνηκούστως ὁ θεὸς καὶ τοῦτο μισεῖ, οὐχὶ μόνον τὰς βλασφημίας (παράθες Πλούταρχ. π. δεισιδαιμονίας 9: ἐπὶ τοῦ ἀθέου· καί που παραφθεγγόμενος).

757. *προχοῇ*] Ἐκβολῇ. Οἱ ἀέναοι καὶ εἰς τὴν θάλασσαν ἀφικνούμενοι ποταμοὶ ἱεροὶ ἦσαν (737 Ὀδ. κ 351: ἱερῶν ποταμῶν οἵτ' εἰς ἅλαδε προρέουσι), οὐχ ἧττον δὲ αἱ κρῆναι ὡς Νυμφῶν κατοικητήρια. Οἱ Πέρσαι τοῖς Ἕλλησι συνεφώνουν (Ἡρόδοτ. 1, 138), ἐπειδὴ ἀμφότεροι ἕνεκα τῆς λειψυδρίας τῶν χωρῶν τὸ ὕδωρ σφόδρα ἐξετίμων· ὅπως μὴ ἡμεῖς τοῦ ποιητοῦ κατηγορήσωμεν μικρολογίαν, μνημονεύομεν ὅτι Χρύσιππος ὁ ἔνδοξος Στωϊκὸς (παρὰ Πλουτάρχῳ π. στωϊκῶν ἐναντιωμάτων 22) τὴν παραγγελίαν ἐπαινεῖ· Ἰλ. Ε 598 ὡσαύτως λήγει εἰς τὰς λέξεις: «ποταμῷ ἅλαδε προρέοντι».

758. *μάλα δ' ἐξαλέασθαι*] Παράθες 734.

759. *ἐναποψύχειν*] Λούεσθαι· ὁ γὰρ Ἕλλην φοβεῖται τοὺς δαίμονας τῶν ποταμῶν καὶ κρηνῶν, καὶ πιστεύει, ὅτι λουόμενος εἰς τὴν δυνα-

Ὧδ' ἔρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην·
φήμη γάρ τε κακὴ πέλεται κούφη μὲν ἀεῖραι
ρεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι·
φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ
λαοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή.
Ἤματα δ' ἐκ Διόθεν πεφυλαγμένος εὖ κατὰ μοῖραν,
πεφραδέμεν δμώεσσι τριηκάδα μηνὸς ἀρίστην
ἔργα τ' ἐποπτεύειν ἠδ' ἁρμαλιὴν δατέασθαι,
εὖτ' ἂν ἀληθείην λαοὶ κρίνοντες ἄγωσι.

μιν αὐτῶν ἐμπίπτει. Οἱ παλαιοὶ γραμματικοὶ ἐξέλαβον τὴν λέξιν ὡς κακέμφατον (Εὐστάθ. Ἰλ. σ. 1253, 62) ἀντὶ τοῦ ἀποπατεῖν (Ἐτυμολ. Μέγ. σ. 337, 31).

Περὶ τοῦ *λώϊον* ταὐτὰ εἰρητέον καὶ περὶ τοῦ *ἄμεινον* (750).

760. *Ὧδ' ἔρδειν*] Παραπέμπει πρὸς 382 καὶ ὑποδηλοῖ τὸ πέρας τῶν Ἔργων. Οὐκ ἄνευ φιλοσοφίας ὅμως μεταχειρίζεται τὸ *ἔρδειν*· τῷ ἔργῳ δηλαδὴ ἀντίκειται ἡ φήμη. Ὁ νοῦς· «Οὐ μόνον φιλόπονον **εἶναι** δεῖ, ἀλλὰ καὶ **δοκεῖν**».

*δεινὴν*] Ἐν τῷ ἑξῆς στίχῳ εὑρίσκομεν τὸ συνώνυμον *κακή*.

761. Ἡ κακὴ φήμη ἀντιπαραβάλλεται φορτίῳ, ὅπερ ἐπ' ὤμων αἴρεται.

762. *χαλεπὴ*] Αἰνίττεται ἐν ταὐτῷ τὴν «χαλεπὴν φῆμιν» (Ὀδ. ξ 239. ω 201).

764. *καὶ αὐτή*] Ὥσπερ αἱ ἄλλαι ἀφαιρέσεις, ἃς ἐν τῇ Θεογονίᾳ (226 κἑ.) ἀπηρίθμησεν. Τῷ ὄντι «οὐ δὴ μόνον Ἡσίοδος θεὸν αὐτὴν ἀνυμνεῖ, ἀλλὰ καὶ Ἀθηναῖοι, τὴν ἐν Μυκάλῃ μάχην αὐθημερὸν ἐγνωκότες, οὐκ ἀνεκτὸν ἔφασαν, εἰ μὴ θεὸν ἡγοῖντο τὴν Φήμην» (Προκόπιος Γαζαῖος Ἐπιστ. 52). Οἱ παλαιοὶ τοὺς στίχους τούτους, ὡς Ἀριστείδης (ἐν τῷ Β' Πλατωνικῷ, σ. 249) λέγει, ἅπαντες διὰ στόματος εἶχον.

765-7. Παραινεῖ διανεῖμαι τοῖς δούλοις ἐργασίαν καὶ τροφὴν ἐν διωρισμέναις ἡμέραις.

765. *ἐκ Διόθεν* αἱ ἡμέραι εἰσί, καθόσον οὗτος τὴν τῶν ἀνθρωπίνων εὐταξίαν κατέστησεν. Παράθες 564.

*εὖ κατὰ μοῖραν*] Εὐστόχως μετέβαλε τὴν Ὁμηρικὴν φράσιν *εὖ κατὰ κόσμον* Ἰλ. Κ 472 κἑ.

766. *πεφραδέμεν* ] Ἀπαρέμφατον τοῦ δευτέρου ἀορίστου, ὃς κατ' ἀναδιπλασιασμὸν ἐσχημάτισται.

767. *ἐποπτεύειν*] Εἰ τὰ ἐπιτεταγμένα ἐτελείωσαν.

*ἁρμαλιὴν*] Ἴδε 560. «Ἁρμαλιὴν ἔμμηνον ἐμετρήσαντο πενέσται» (Θεόκριτ. 16, 35)· ἀξιομνημόνευτος καὶ ἡ Ἡσυχίου γλῶσσα· «σιτομνημονεῖν] ἀντὶ τοῦ τὰ σῖτα μετρεῖν· παρόσον ἀπεγράφοντο οἱ λαμβάνοντες παρὰ τῶν δεσποτῶν τὰ τεταγμένα μέτρα». Οἱ δοῦλοι λοιπὸν κατὰ μῆνα τὸν σῖτον ἐλάμβανον.

768. *ἀληθείην κρίνοντες* ] Πρβλ. Πλάτ. Θεαίτητ. 150 b: «κρίνειν τὸ ἀληθές τε καὶ μή». Ποίων πραγμάτων τὴν ἀλήθειαν ὁ δῆμος τότε ἔκρινεν, οὐκ ἔξισμεν. Ἡ λέξις *ἄγωσι* πάντως ἐμφαίνει τοὺς ἀγῶνας (Θ. 91), ἤτοι ἐκκλησίας· πρὸς δὲ τὴν σύνταξιν, ἔπιθι τὰς Πράξεις τῶν Ἀποστόλων 19,38: ἀγοραῖοι ἄγονται (**ἡμέραι** δῆθεν). Ἐπίσης ἐνταῦθα ὑπακουστέον· (ἄγωσι) τριηκάδα. Διὰ τὴν δημοσίαν σπουδαιό-

Αἵδε γὰρ ἡμέραι εἰσὶ Διὸς πάρα μητιόεντος·
πρῶτον ἔνη τετράς τε καὶ ἑβδόμη ἱερὸν ἦμαρ·
τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ·
ὀγδοάτη δ' ἐνάτη τε δύω γε μὲν ἤματα μηνὸς
ἔξοχ' ἀεξομένοιο βροτήσια ἔργα πένεσθαι.
Ἑνδεκάτη δὲ δυωδεκάτη τ' ἄμφω γε μὲν ἐσθλαί,
ἡ μὲν ὄϊς πείκειν, ἡ δ' εὔφρονα καρπὸν ἀμᾶσθαι·
ἡ δὲ δυωδεκάτη τῆς ἑνδεκάτης μέγ' ἀμείνων·

τητα τῆς ἡμέρας ταύτης Ἐπίχαρμος τὰς «Τριακάδας» ἐπὶ τὴν κωμικὴν σκηνὴν ἀνεβίβασεν.

769. Ὁ 764 στ. τοσοῦτον ἐξάλλως ἐσχημάτισται, ὅπως ὁ ποιητὴς λάβῃ εὐκαιρίαν τοῦ ἐπισυμπλέξαι τὰς **Ἡμέρας** ἤτοι στίχους, περὶ τῶν αἰσίων καὶ ἀπαισίων ἡμερῶν. Τὴν γὰρ ποιότητα τῆς ἡμέρας ἑκάστης διατάσσει ὁ μητιόεις Ζεύς (Ὀδ. σ 137: οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε, Ἀρχίλοχ. 70,2: ὁκοίην Ζεὺς ἐπ' ἡμέρην ἄγῃ). Περὶ τῆς τῶν ἡμερῶν διαφορᾶς οἱ Αἰγύπτιοι ἐπιστήμην τινὰ ἀνέπτυξαν, ἐξ ἧς Ἡρόδοτος τὰ Ἡσιόδεια παράγει (2,82: καὶ τούτοισι τῶν Ἑλλήνων οἱ ἐν ποιήσει γενόμενοι ἐχρήσαντο). Ἀλλὰ οἱ ἄνθρωποι πανταχοῦ δεισιδαίμονες ἦσαν, χωρὶς πάσης Αἰγυπτιακῆς ἐπιρροῆς· πλὴν ὀλίγοι πάνυ μετεῖχον τῆς Ἡσιόδου εὐθύτητος, ὥστε ὁμολογῆσαι εἰλικρινῶς τοιουτοτρόπους προλήψεις. Ὅτι οὐχὶ καινὰ εἰσάγει, ἀλλὰ καὶ ἐντόπια κριτικῶς συλλέγει, αὐτὸς ἐμφαίνει 814 καὶ 824.

769. *μητιόεντος*] Ἴδε 286.

770. *ἔνη*] Οἱ Ἀθηναῖοι τὴν τελευταίαν (29 ἢ 30) ἡμέραν τοῦ μηνὸς τριακάδα ἢ «ἔνην καὶ νέαν» ὠνόμαζον. Ἐκεῖνο μὲν ἀπαντᾷ 766, τοῦτο δὲ ἐνταῦθα συντέτμηται.

*τετράς*] Τῇ τετράδι ἢ τετάρτῃ ἐγεννήθησαν Ἡρακλῆς (Preller Mythologie B', σ. 184,2) καὶ Ἑρμῆς (Ὕμν. Ὁμηρ. 3,19 καὶ πολλοὶ κατὰ Πλούταρχ. Συμπ. 9,3,2).

*ἱερὸν ἦμαρ*] Ἡ Ὁμηρικὴ φράσις κυρίως κεῖται ἀντὶ τοῦ *ἑορτή*.

771. *χρυσάορα*] Τὸ ἐπίθετον (τὸ ξίφος ἔχοντα χρυσοῦν) παρ' Ὁμήρῳ (Ἰλ. Ε 509. Ο 256) εὑρίσκεται. Ἡσίοδος παραδίδωσι παρὰ τὸν μῦθον, ὅστις ἐν Δήλῳ τε (Ἀπολλόδωρος παρὰ Διογέν. Λαερτίῳ 3, 2) καὶ Δελφοῖς (Πλουτάρχ. Ζητήμ. Ἑλλην. 9), Ἀθήναις τε (Corpus A', 463 Ἑβδόμειος) καὶ Σπάρτῃ (Ἡρόδ. 6,57) ἐπεκράτει, σιωπήσας περὶ Ἀρτέμιδος, ἐπειδὴ βεβαίως ἐκείνοις συγκατατίθεται, οἵτινες Ἀρτέμιδος γένεσιν ἀπὸ τῆς Ἀπόλλωνος διεχώρισαν καὶ εἰς Ὀρτυγίαν μετήνεγκον.

773. *ἔξοχ'*] Ἀπὸ τούτου τὸ ἀπαρέμφατον ἐξαρτᾶται.

*ἀεξομένοιο*] Τοῦ *μὴν* κυρίως σημαίνοντος τὴν μήνην ἢ σελήνην, τὸ πρῶτον ἥμισυ ἢ τοὐλάχιστον ἡ πρώτη δεκὰς ἀπὸ τοῦ αὐξάνεσθαι τὴν σελήνην ὠνομάζετο «ἀεξομένου ἢ ἱσταμένου μηνός».

*βροτήσια*] Βροτῶν, ἤτοι ἀνθρώπων.

*πένεσθαι*] Ἐργάζεσθαι, ὅθεν οἱ Θεσσαλῶν δοῦλοι *πενέσται*.

775. *πείκειν*] Παρὰ τοῖς παλαιοῖς συνωνυμεῖ τῷ κείρειν· ἴδε Ὅμηρον καὶ τὸν νόμον, ὃν ἔσωσεν Ἀθήναιος 9,375 b (πρόβατον ἄπεκτον).

*εὔφρονα*] Ὁ γεωργῶν ποιητὴς οὐ-

τῇ γάρ τοι νεῖ νήματ' ἀερσιπότητος ἀράχνης
ἤματος ἐκ πλείου, ὅτε ἴδρις σωρὸν ἀμᾶται·
τῇ δ' ἱστὸν στήσαιτο γυνὴ προβάλοιτό τε ἔργον.
Μηνὸς δ' ἱσταμένου τρεισκαιδεκάτην ἀλέασθαι
σπέρματος ἄρξασθαι· φυτὰ δ' ἐνθρέψασθαι ἀρίστη.
Ἕκτη δ' ἡ μέσση μάλ' ἀσύμφορός ἐστι φυτοῖσι,
ἀνδρογόνος δ' ἀγαθή· κούρῃ δ' ἀξύμφορός ἐστι,
οὔτε γενέσθαι πρῶτ' οὔτ' ἂρ γάμου ἀντιβολῆσαι.

δέποτε ἀποκρύπτει τὴν ἐπὶ δαψιλεῖ θερισμῷ χαράν· καὶ ὁ Ὁμηρικὸς βασιλεὺς τὸ βαθυλήϊον τέμενος θεωρεῖ «γηθόσυνος κῆρ» (Ἰλ. Σ 557).

777. Ἡ ἀράχνη θεωρεῖται παράδειγμα ὑφαντρίας ἀκόπου, ἐξ ἧς λέγεται ὅτι εἰς ζῷον μετεβλήθη. Ποιηταί τε καὶ μεταγενέστεροι λογογράφοι ἐπ' αὐτῆς τὰς λέξεις ἱστός, ἱστουργία, ἐξυφαίνω, πέπλον, χιτὼν μεταχειρίζονται καὶ τὰς λεπτοτάτας ἐσθῆτας τοῖς ἀραχνίοις ἐξισοῦσιν. Ἠγνοοῦμεν ἂν ὅμως ὅτι ἐκ τῆς τοῦ λαοῦ τροπολογίας ἠρύσαντο, εἰ μὴ Ἡσίοδος διὰ ταύτης τῆς προλήψεως αὐτὸ ἐμαρτύρει καὶ ἡ νεωτέρα συνήθεια μεταφορὰς παρεῖχεν, αἵτινες οὐχὶ νῦν πλασθεῖσαι φαίνονται. Οἱ Χῖοι καὶ Κρῆτες τὴν ἀράχνην *ἀνυφαντὴν* ἀποκαλοῦσιν, ἐν Οἰνόῃ τοῦ Πόντου τῶν Ἑλλήνων ταὐτὸ ἐκφραζόντων διὰ τῆς συνωνύμου λέξεως *καράνα*· οἱ δὲ Ἀραβανιῶται, καθὰ ἐσημειώσατο ἡμῖν Ἰωακεὶμ Βαλαβάνης, *τσυλιγάρι* (ἐκ τοῦ *τυλίσσω*, ἑλίσσω). Πολλοὶ δὲ τὸ ἀράχνιον « ἀναφάντην» λέγουσι, καὶ ἐν τῷ Ἐρωτοκρίτῳ εὑρίσκομεν (σ. 44): Ἀράχνη(ν) ἔστησε 'ψηλή(ν).

*ἀερσιπότητος*] Ἡ ἑρμηνεία χορηγεῖται ὑπ' Ἀράτου ἐν τῷ 1033 : « ὅτε νηνεμίῃ κεν ἀράχνια λεπτὰ φέρονται». Ἀμφότεροι ἐννοοῦσι τὰ λεγόμενα ἀράχνια, ἃ κατὰ τὸ φθινόπωρον ὑψηλῶς διὰ τοῦ ἀέρος πέτονται.

*ἀράχνης*] Ἦσαν οἳ διέκρινον τὸ μὲν ἀρσενικὸν ἐπὶ τῶν ζῴων, τὸ δὲ θηλυκὸν ἐπὶ τῶν πλεγμάτων.

778. *ἤματος ἐκ πλείου*] Ἡμέρᾳ τινὶ τοῦ θέρους.

*ἴδρις* ἐστὶν ἐκ τῶν ἀστείων παρωνύμων τῶν ζῴων. Ὁ μύρμηξ ἔμπειρός ἐστι τῶν μελλόντων (non ignara futuri. Ὁράτιος ἐν Σατύρ. 1,1,35). Ὁ λαὸς τὴν τῶν μυρμήκων ἐπιμέλειαν εἰς τὸ θέρος περιορίζει (παράθες τὸ τραγοῦδι τοῦ Ἀληδάκη στ. 433 - 4: ὡσὰν τὸ κάν' οἱ μέρμηγκες ὄντες εἰς τὴν φωλιά των τὸ καλοκαῖρι κουβαλοῦ' θροφὴ γιὰ τὴν χρονιά των).

*σωρὸν ἀμᾶται*] Τὸ ῥῆμα αἰνίττεται 715. Οἱ μύρμηκες συλλέγουσι καὶ κόκκους σίτου.

779. *προβάλοιτό τε ἔργον*] Διαγάγοιτο· τὸ *προβάλλεσθαι* γὰρ βεβαίως οὐ παραλλάσσει τοῦ Ἀττικοῦ *προφορεῖσθαι* (Πολυδεύκ. 7, 32, πρβλ. Σχόλ. Ἀριστοφάνους Ὄρνιθ. 4).

780. *ἱσταμένου*] Ἴδε 773.

781. *σπέρματος*] σπορᾶς.

*φυτὰ ἐνθρέψασθαι*] Φυτεῦσαι (22).

782. *ἡ μέσση*] Τῆς δευτέρας (μέσης) δεκάδος.

783. *ἀνδρογόνος*] « Εὐτοκεῖν γὰρ ἐν ταῖς πανσελήνοις μάλιστα δοκοῦσι» (Πλουτάρχ. Ζητ. Ῥωμ. 78).

784. *ἀντιβολῆσαι*] Ἐπιτυχεῖν, ὥσπερ ἀντιβολῶ μάχης Ἰλ. Δ 342.

Οὐδὲ μὲν ἡ πρώτη ἕκτη κούρῃσι γενέσθαι
ἄρμενος, ἀλλ' ἐρίφους τάμνειν καὶ πώεα μήλων
σηκόν τ' ἀμφιβαλεῖν ποιμνήϊον, ἤπιον ἦμαρ,
ἐσθλὴ δ' ἀνδρογόνος· φιλέει δέ τε κερτόμα βάζειν,
ψεύδεά θ' αἱμυλίους τε λόγους κρυφίους τ' ὀαρισμούς.
Μηνὸς δ' ὀγδοάτῃ κάπρον καὶ βοῦν ἐρίμυκον
ταμνέμεν, οὐρῆας δὲ δυωδεκάτῃ ταλαεργούς.
Εἰκάδι δ' ἐν μεγάλῃ, πλέῳ ἤματι, ἴστορα φῶτα
γείνασθαι· μάλα γάρ τε νόον πεπυκασμένος ἐστί.
Ἐσθλὴ δ' ἀνδρογόνος δεκάτῃ, κούρῃ δέ τε τετρὰς
μέσση. Τῇ δέ τε μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς

785. Ἀφίησι τὴν χρονολογικὴν τάξιν ἕνεκα σημειώσεως συγκριτικῆς.

786. *ἄρμενος*] Ἐπιτήδειος (γεννηθῆναι).

*τάμνειν*] Ἐκτέμνειν (μουνουχίζω).

*πώεα μήλων*] (Ἴδε 516) = Ὀδ. ξ 100 κατὰ τὴν Στράβωνος γραφὴν (10, 453).

787. *σηκόν*] Μάνδραν.

*ἤπιον*] Εὐνοϊκόν, αἴσιον.

788. *ἀνδρογόνος*] Ἴδε 783.

*φιλέει*] Ἐκ τοῦ ἀνδρογόνος ληπτέον τὸ ὑποκείμενον *ἀνήρ*. Ἐνταῦθα εὑρίσκεται τὸ πρῶτον τῆς ἀστρολογίας ἴχνος.

*κερτόμα βάζειν*] Κατὰ τὸ φαινόμενον συνώνυμόν ἐστι τῷ Ὁμηρικῷ κερτομέειν, ἡ δὲ σημασία παρήλλακται, καθάπερ ὁ τὸν εἰς Ἑρμῆν Ὕμνον ποιήσας *κερτόμος* ἐκδέχεται *ἀπατηλός* (338). Τὸ ἀπαρέμφατον συντάσσεται μετὰ τῶν οὐσιαστικῶν ἀντικειμένων· ὅπερ Ἀττικός τις ἂν διασαφηνίσειε διὰ τοῦ ἄρθρου.

789. Ὁ ποιητὴς ὠφελεῖται 78 καὶ Θ. 205.

790-1. Ὥσπερ ἐν παρενθέσει σχετίζονται πρὸς 785.

790. *ἐρίμυκον*] Τὸν δεινῶς μυκώμενον· τὸ ἐπίθετον ὀνοματοποιητικόν.

791. *οὐρῆας ταλαεργούς*] Ἴδε 46. Τοῦτο ἥκιστα γελοῖόν ἐστιν, ἐπειδὴ αἱ ἡμίονοι ἐν τῇ Συρίᾳ καὶ Καππαδοκίᾳ καὶ Ἀφρικῇ ἔτικτον (Ἀριστοτέλ. π. ζῴων 6,24,36. Θεόφραστ. παρὰ Πλινίῳ 8 κεφ. 44, Βάρρων Γεωργ. 2,1).

792. Παρατείνει τὴν χρονολογικὴν σειράν.

*Εἰκάδι δ' ἐν μεγάλῃ*] «Ἡ μεγάλη εἰκὰς ἀπὸ εἰκοστῆς πρώτης ἕως εἰκοστῆς ἐνάτης τοῦ φθίνοντος» (Σχόλ. Ἀριστοφ. Νεφ. 17). Ἡ ἁπλῆ λέξις σημαίνει τὴν εἰκοστὴν ἡμέραν.

*πλέῳ ἤματι*] Ἔπιθι 778.

*ἴστορα φῶτα*] Κριτὴν ἢ διαιτητὴν (Ἰλ. Σ 501. Ψ 486). Ἡ αἰτιατικὴ συντάσσεται μετὰ τοῦ προστακτικοῦ ἀπαρεμφάτου, ὅταν μὴ προσαγορευθῇ ὁ Περσεύς.

793. *νόον πεπυκασμένος*] Ἀγχίνους.

794. Πάλιν ἡ κατὰ τὴν ἔννοιαν τάξις νικᾷ τὴν χρονολογικήν.

Τὸ *ἀνδρογόνος* ηὕρομεν ἀνωτέρω (783)· ἡ δοτικὴ *κούρῃ* ἀναφέρεται εἰς τὸ ἐσθλή, ὁ δὲ λόγος καὶ ἐνταῦθα περὶ γενέσεως γίνεται.

795. *μῆλα-βοῦς*] Εἴληπται ἐξ Ἰλ. Ι 466. Ψ 166. Περὶ τῶν ἐπιθέτων ζήτει τὰ εἰς 452 καὶ Θ. 290 σεσημειωμένα.

καὶ κύνα καρχαρόδοντα καὶ οὐρῆας ταλαεργοὺς
πρηΰνειν, ἔπι χεῖρα τιθείς. Πεφύλαξο δὲ θυμῷ
τετράδ' ἀλεύασθαι φθίνοντός θ' ἱσταμένου τε
ἄλγεα θυμοβορεῖν· μάλα τοι τετελεσμένον ἦμαρ.
Ἐν δὲ τετάρτῃ μηνὸς ἄγεσθ' εἰς οἶκον ἄκοιτιν,
οἰωνοὺς κρίνας, οἳ ἐπ' ἔργματι τούτῳ ἄριστοι.
Πέμπτας δ' ἐξαλέασθαι, ἐπὶ χαλεπαί τε καὶ αἰναί·
ἐν πέμπτῃ γάρ φασιν Ἐρινύας ἀμφιπολεύειν
Ὅρκον τεινυμένας, τὸν Ἔρις τέκε πῆμ' ἐπιόρκοις.
Μέσσῃ δ' ἑβδομάτῃ Δημήτερος ἱερὸν ἀκτὴν
εὖ μάλ' ὀπιπεύοντα ἐϋτροχάλῳ ἐν ἀλωῇ
βάλλειν, ὑλοτόμον τε ταμεῖν θαλαμήϊα δοῦρα

796. *κύνα καρχαρόδοντα*] Ἔπιθι 604, ὅπου καὶ ἡ αἰτία τῆς πράξεως δεδήλωται. Τὰς βοῦς πραΰνουσιν ἕνεκα τοῦ ἐπιτιθέναι τὸ ζυγόν.

*οὐρῆας ταλαεργούς*]=791.

797. *ἔπι χεῖρα τιθείς*] Ἡσίοδος ἐνίοτε τὸ πλαστικὸν τῶν Ὁμηρικῶν ποιημάτων οὐκ ἀτυχῶς ζηλοῖ.

*Πεφύλαξο*] Μέμνησο, πρβλ. 765.

798. *φθίνοντος*] Τῆς τρίτης δεκάδος.

799. *ἄλγεα θυμοβορεῖν*] Ἄλγεσι καὶ πόνοις τὸν θυμὸν «φαγεῖν». Ἐννοοῦμεν πένθος καὶ θρήνους.

*τετελεσμένον*] Ἡ λέξις αἰνίττεται τελετὰς καὶ μυστήρια, ὅθεν ἀναπολοῦμεν τὰ περὶ τῆς Ἑκάτης εἰς τὴν Θεογονίαν εἰρημένα.

800. *ἄγεσθ' εἰς οἶκον*] Πρβλ. 695.

*ἄκοιτιν*] Ἴδε Θ. 410. Ἡ τετάρτη, ὡς φησιν ὁ σχολιαστής, τῆς Ἀφροδίτης ἱερά.

801. Τὴν ὀρνιθομαντίαν Ὅμηρος ἤδη ἔγνω (π. χ. Ὀδ. α 202) «Ἄρισται» πρὸς τὸν γάμον ἦσαν, εἰ Αἰλιανῷ (π. ζῴων 3,9) πιστεύειν χρή, αἱ κορῶναι.

802. *πέμπτας*] Ὁ πληθυντικὸς τῆς δεκάδος τὴν πέμπτην ἑκάστης συμπεριλαμβάνει. Εὔδηλον ὅτι ἀπὸ 794 ἢ καὶ 797 καινὴ χρονολογικὴ σειρὰ ἄρχεται, ἢ κατὰ τὰς δεκάδας ἀριθμεῖται.

803. *φασί*] Ὁ ποιητὴς μεταχειρίζεται ἐπὶ δυσφήμων, οἷον περὶ Τυφῶνος (Θ. 306).

*Ἐρινύας*] Ἔπιθι Θ. 185.

*ἀμφιπολεύειν*] Ἔσωσε τὴν κυρίαν σημασίαν «περιέρχεσθαι».

804. Ὑποδηλοῖ Θ. 231-2. Ὁ ἐπιορκήσας τῇ πέμπτῃ, ὡς Μελάμπους φησὶν ἐν τοῖς Τζέτζου σχολίοις, ἐντὸς πέντε ἡμερῶν ἀπέθνησκε· διὰ ταύτην τὴν αἰτίαν οἱ Πυθαγόρειοι τὴν πεντάδα τῇ Δίκῃ ἀφιέρωσαν (ἴδε Πρόκλον).

805. *Δημήτερος ἱερὸν ἀκτήν*]=597.

806. *ὀπιπεύοντα*] Ζήτει εἰς 29.

*ἐϋτροχάλῳ ἐν ἀλωῇ*]=599.

807. *θαλαμήϊα δοῦρα*] Ξύλα πρὸς τὴν οἰκίας οἰκοδομήν (πρβλ. 746). Θάλαμος ἦν ἡ γυναικωνῖτις, ὅπου τῆς νυκτὸς καὶ ὁ ἀνὴρ ἐκοιμᾶτο· πρὸς ὃν ἀπητοῦντο ἐξαίρετα ξύλα ὥσπερ ἕνεκα νεῶν, ἐπειδὴ στρογγύλον σχῆμα εἶχεν (πρβλ. τὸ ἐπίγραμμα παρὰ Παυσανίᾳ 9, 11, 1: θάλαμόν γ' εἱλίξατο τοῦτον ἑαυτῷ). Οὐχ ὁτιοῦν ξύλον λοιπὸν ἐπιτήδειον (*ἄρμενον*).

νήϊά τε ξύλα πολλά, τάτ' ἄρμενα νηυσὶ πέλονται
(τετράδι δ' ἄρχεσθαι νῆας πήγνυσθαι ἀραιάς).
Εἰνὰς δ' ἡ μέσση ἐπὶ δείελα λώϊον ἦμαρ.
Πρωτίστη δ' εἰνὰς παναπήμων ἀνθρώποισι·
ἐσθλὴ μὲν γάρ θ' ἥδε φυτευέμεν ἠδὲ γενέσθαι
ἀνέρι τ' ἠδὲ γυναικί· καὶ οὔποτε πάγκακον ἦμαρ.
Παῦροι δ' αὖτε ἴσασι τρισεινάδα μηνὸς ἀρίστην,
[ἄρξασθαί τε πίθου, καὶ ἔπι ζυγὸν αὐχένα θεῖναι
βουσὶ καὶ ἡμιόνοισι καὶ ἵπποις ὠκυπόδεσσι],
νῆα πολυκλήϊδα θοὴν εἰς οἴνοπα πόντον
ἐρύμεναι· παῦροι δέ τ' ἀληθέα κικλήσκουσι·
τετράδι δ' οἴγε πίθον· πέρι πάντων ἱερὸν ἦμαρ,
μέσσῃ· παῦροι δ' αὖτε μετ' εἰκάδα μηνὸς ἀρίστην
ἠοῦς γεινομένης· ἐπὶ δείελα δ' ἐστὶ χερείων.
Αἵδε μὲν ἡμέραι εἰσὶν ἐπιχθονίοις μέγ' ὄνειαρ,
αἱ δ' ἄλλαι μετάδουποι, ἀκήριοι, οὔ τι φέρουσαι·

809. *νῆας ἀραιάς*] Ἀντίκειται τοῖς πολυκλήϊσι (817), ὥσπερ αἱ *βάρκαι* τοῖς *καραβίοις*.

810. *ἐπὶ δείελα*] Τὸ δειλινόν.

*λώϊον*] Ἢ ἡ τετράς;

811. *παναπήμων*] Παντὸς πήματος καὶ κακοῦ στερουμένη.

812. *φυτευέμεν*] Πρβλ. Θ. 986.

814. *παῦροι*] Ὀλίγοι.

*τρισεινάδα*] Τὴν ἐνάτην τῆς τρίτης δεκάδος.

*ἀρίστην*] Κατὰ βραχυλογίαν κεῖται ἀντὶ τῆς προτάσεως «ὅτι ἀρίστη ἐστίν».

815. *ἄρξασθαί τε πίθου*] (Πρβλ. 368). Παρατήρει τὴν πρὸς 819 ἐναντίωσιν.

*αὐχένα*] Ἡ αἰτιατικὴ ἀναφέρεται εἰς τὴν *ἐπὶ* πρόθεσιν.

816. Καὶ οὗτος ὁ στίχος ἀλλόκοτόν τι περιέχει. Ἐμάθομεν γάρ, ὅτι οἱ Ἀσκραῖοι οὐκ ἐχρῶντο ἵπποις εἰς τὴν καλλιεργίαν, οἳ ἦσαν «ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς» τῶν εὐγενῶν ἱππέων (Αἰσχύλ. Προμηθ. 466). Ἔτι δὲ τὸ ἑξῆς ἀσύνδετον τοὺς στίχους ἀποδεικνύει νόθους.

*ἵπποις ὠκυπόδεσσι*]=Ἰλ. Ψ 504.

817. *πολυκλήϊδα*] Παρὰ τὸ κληῒς ἢ σκαλμός.

*εἰς οἴνοπα* (ἴδε 622) *πόντον*]=622.

818. *ἐρύμεναι*] Ὁ στίχος ἀκέφαλος ἐπειδὴ ἡ λέξις οὐκ ἄλλως ἁρμόζει εἰς τὸν ἑξάμετρον.

Τὰ λοιπὰ προαγγέλλουσιν ἄλλα τινὰ ἄγνωστα.

819. *πέρι πάντων*] Ἐξόχως.

820. *μέσσῃ*] Συμπληρωτικῶς προστίθεται πρὸς τὸ τετράδι. Ἐκ τούτου ἐν τοῖς ἑξῆς ὑπακουστέον *τετράδα* (μετ' εἰκάδα). Ὡς ῥῆμα δὲ ἐκ τοῦ ὁμοίου στ. 814 ληπτέον *ἴσασι*.

821. Παράθες 810.

Πρὸς 822 ἀντιπαραβλητέον Θ. 871.

823. *μετάδουποι*] Ἤτοι διεκπίπτουσιν, ἀπὸ τοῦ δούπου καὶ πατάγου τῆς πτώσεως.

ἄλλος δ' ἀλλοίην αἰνεῖ, παῦροι δὲ ἴσασι·
ἄλλοτε μητρυιὴ πέλει ἡμέρη, ἄλλοτε μήτηρ.
Τάων εὐδαίμων τε καὶ ὄλβιος ὃς τάδε πάντα
εἰδὼς ἐργάζηται ἀναίτιος ἀθανάτοισι.
[Ὄρνιθας κρίνων καὶ ὑπερβασίας ἀλεείνων].

*ἀκήριοι*] Ἄνευ κῆρος ἢ καρδίας, ἄνευ χαρακτῆρος καὶ ἄστατοι.

824. Καταχρίνει ὅσα ἄλλος τις ἄλλως περὶ τούτων ἂν εἴποι.

825. Ἡσίοδος «τὰς ἄλλας» μόνον ἡμέρας (823) ἐννοεῖ, τῶν μεταγενεστέρων τὸν στίχον ἐκφωνούντων «ἐπὶ τῶν ποτὲ μὲν δυσπραγούντων, ποτὲ δὲ εὐπραγούντων» (Σουΐδας)· ἣν ἔννοιαν καὶ Κόϊντος ὁ Σμυρναῖος εἰς τὴν τοῦ Ἡσιοδείου χωρίου μίμησιν εἰσήγαγεν (8, 473: ἄλλοτε γάρ τι φίλη πέλει ἠώς, ἄλλοτε δ' ἐχθρή).

*μητρυιή*] Μυθολόγοι καὶ ῥήτορες πάλαι ποτὲ ἀντεφιλοτιμήθησαν εἰς τὸ δεινοποιεῖν τὴν τῶν μητρυιῶν ἀστοργίαν· τί δὲ εἰ ὁ σοφὸς νομοθέτης Χαρώνδας τοὺς δεύτερον γαμοῦντας ἐτιμώρησεν ὡς «κακῶς περὶ τῶν ἰδίων τέκνων βουλευσαμένους» ; (Διόδωρ. 12, 12,1, πρβλ. 14,1). Ἐν τούτοις ἡ πρὸς ἄψυχα μεταφορὰ ἐν τῇ Ἑλλάδι οὐ τῶν κοινῶν ἐστιν (πρβλ. Αἰσχύλ. Προμηθ. 729: μητρυιὰ νεῶν [θάλασσα] Ἀντίπ. Θεσσαλ. λ. ἐπιγρ. 47 = Ἀνθολ. 9,23 στ. 7: ὅσσον μητρυιῆς γλυκερωτέρη ἔπλετο μήτηρ, τόσσον ἁλὸς πολιῆς γαῖα ποθεινοτέρη. Πλάτ. Μενέξεν. 6 σ. 237 b: τρεφομένους οὐχ ὑπὸ μητρυιᾶς ὡς ἄλλοι, ἀλλ' ὑπὸ μητρὸς τῆς χώρας ἐν ᾗ ᾤκουν).

826-7. Κολοφὼν τοῦ ποιήματος, ὃς ἐν βραχέσι τὰ Ἔργα, τὰς Ἡμέρας, τὰ ἠθικὰ συμπεριλαμβάνει.

826. *Τάων*] Ἐξαρτᾶται ἐκ τοῦ «τάδε πάντα».

*εὐδαίμων* καὶ *ὄλβιος* διαφέρουσι καθάπερ *εὐτυχὴς* καὶ *ὄλβιος* παρ' Ἡροδότῳ (1,32). Οἷον Κροῖσος ὄλβιος ἦν χρόνον τινὰ οὐ μέντοι εὐτυχής.

827. *ἀναίτιος ἀθανάτοισι*] Πρὸς τὴν σύνταξιν παράθες Ἰλ. Α 153: οὔ τι μοι αἴτιοί εἰσι.

828. *Ὄρνιθας κρίνων*] Ἴδε 801.

Ὁ στίχος ποτὲ τὰ Ἔργα συνέδεε μετὰ τῆς «Ὀρνιθομαντείας», ἣν κατὰ τὰ Σχόλια Ἀπολλώνιος ὁ Ῥόδιος ἠθέτησεν. Διὸ Λουκιανῷ ἤδη (ἐν τῷ Ἡσιόδου φερωνύμῳ διαλόγῳ κ. 1) ἄγνωστος ἦν· οὗτος δὲ προσεκολλήθη, ὥσπερ πέτρα γεφύρας ἀπολεσθείσης πρὸς τὴν ὄχθην.



# ΑΣΠΙΣ ΗΡΑΚΛΕΟΥΣ

# ΕΙΣΑΓΩΓΗ

---

Ἐπειδὴ ὑπόθεσίς τις παλαιά, ἢ ἐν χειρογράφοις τισὶ φέρεται, σπουδαιότατον θεμέλιον τῆς περὶ τῆς Ἀσπίδος διασκέψεως χορηγεῖ, πρῶτον πάντων αὐτὴν καταχωρίζομεν, ὑποσημειούμενοι ὅσα προσθεῖναι ἔχομεν.

Τῆς Ἀσπίδος (1) ἡ ἀρχὴ ἐν τῷ δ΄ τῶν Καταλόγων (2) φέρεται μέχρι στίχων νϛ΄, διὸ καὶ ὑπώπτευκεν ὁ Ἀριστοφάνης (3) ὡς οὐκ οὖσαν αὐτὴν Ἡσιόδου, ἀλλ᾽ ἑτέρου τινὸς τὴν Ὁμηρικὴν Ἀσπίδα μιμήσασθαι προαιρουμένου. Μεγακλείδης δὲ ὁ Ἀθηναῖος (4) γνήσιον μὲν οἶδε τὸ ποίημα, ἄλλως δὲ ἐπιτιμᾷ τῷ Ἡσιόδῳ· ἄλογον γάρ φησι ποιεῖν Ἥφαιστον τοῖς τῆς μητρὸς ἐχθροῖς ὅπλα παρέχοντα. Ἀπολλώνιος δὲ ὁ Ῥόδιός (5) φησιν αὐτοῦ εἶναι, ἔκ τε τοῦ χαρακτῆρος καὶ ἐκ τοῦ τὸν Ἰόλαον ἐν

(1) Τοῦτο τὸ σύντομον ὄνομα παρὰ τοῖς παλαιοῖς συχνάζει (π. χ. ἐν τῷ περὶ ὕψους 9, 4, Ἀθην. Δειπνοσ. 5, 180 de, Ἀπολλοδώρ. Βιβλιοθ. 2, 4, 2, Σχόλ. Ἀπολλων. Ῥοδ. 1, 747, Θεοδοσ. γραμματ. σ. 54, 23 καὶ ἐν τοῖς Βεκκήρου Ἀνεκδότοις Β΄, σ. 1165, ἐν τοῖς Κραμήρου ἐξ Ὀξωνίας Ἀνεκδότοις Δ΄, σ. 315, Σουΐδ. λ., Ἡσίοδος, Ἐτυμ. Μέγ. 646, 41. Σχόλ. Ἀριστοφ. Βάτρ. 994. κτλ.). Σέρβιος εἰς Βιργιλ. Αἰν. 12, 164 τὴν *Ἀσπιδοποιΐαν* ἀναφέρει, καθὼς ἡ Ὁμηρικὴ Ἀσπὶς ὑφ᾽ Ἑρμογένους (Προγυμν. 2) καλεῖται. Ἐν δὲ χειρογράφῳ τῆς ἐν Μονάχῳ βιβλιοθήκης φέρεται ἡ ἐπιγραφή: «**Ἡσιόδου πόνημα περὶ τῆς ἀσπίδος τοῦ Ἡρακλέους**»· παρὰ δὲ Τρικλινίῳ «**Ἀσπὶς Ἡρακλέους**» κεῖται.

(2) Τοῦ ἐπικοῦ ποιήματος, ὃ περὶ τὰς θεοφιλήτους ἡρωΐνας διέτριβεν· ἐκ δὲ τῆς ἀρχῆς τῆς Ἀσπίδος ἐκφαίνεται, ὅτι αὕτη ἀνήκει εἰς τὰς **Ἠοίας,** ὀνομασθείσας ἀπὸ τῆς ἀρχῆς τῶν κεφαλαίων ἁπάντων «ἢ οἵη». Διὸ εἴκασαν, ὅτι αἱ Ἠοῖαι τῷ τριβίβλῳ Καταλόγῳ ἐπισυνήφθησαν· πιθανόν γε μὴν τοῦτο, καίτοι ἡ εἰκασία μαρτυριῶν στερεῖται.

(3) Ἀριστοφάνης ὁ Βυζάντιος. Τὸ πρὸ τοῦ ὀνόματος ἄρθρον φαίνει, ὅτι γραμματικός τις τῶν Ἀλεξανδρέων ταῦτα ἔγραψεν.

(4) Περιπατητικὸς φιλόσοφος, ὃς περὶ Ὁμήρου ἔγραψε καὶ ἴσως καὶ τοῦτο διετείνατο ἐν τοῖς περὶ τῆς Ὁμηρικῆς Ἀσπίδος.

(5) Περὶ τοῦ πονήματος αὐτοῦ ἔπιθι τὸ παράρτημα.

τῷ γ΄ Καταλόγῳ εὑρίσκειν ἡνιοχοῦντα τῷ Ἡρακλεῖ. Ὡσαύτως δὲ καὶ Στησίχορός (1) φησιν Ἡσιόδου εἶναι τὸ ποίημα.

Οἱ παλαιοὶ περὶ τῆς γνησιότητος ἐδίσταζον (2), ἡμεῖς δὲ συγκατατιθέμεθα τοῖς νοθεύουσιν (3), ἐπειδὴ τῷ ποιητῇ καὶ Ἡσιόδῳ οὐδὲν σχεδὸν κοινὸν πλὴν ὅτι καὶ αὐτὸς Βοιωτὸς ἦν, ὡς ἐκ τοῦ 205 καὶ τοῦ 272 στ. συμπεραίνομεν. Τὸ ποίημα ἥκιστα αὐτοτελὲς καὶ κέντων σχεδὸν ὀνομασθῆναι ἄξιόν ἐστι, τῶν μὲν ἐκ τῶν Ἠοιῶν ληφθέντων, τῶν δὲ ἐκ τῶν Ὁμηρικῶν ἐποποιῶν. Ἀδύνατον γοῦν σημειώσασθαι τὰς Ὁμηρικὰς ἀπηχήσεις ἁπάσας. Οὐδὲ τὴν τῆς Ἀσπίδος περιγραφὴν τῆς ποιητικῆς φαντασίας γέννημα ἡγεῖσθαι ἔξεστιν, ἀφοῦ αἱ νεώτεραι παμπαλαίων ἀνακτόρων ἀνασκαφαὶ ἔδειξαν, ὅτι οὐδὲν ἐφηῦρεν, ἀλλὰ τὰ παρόντα διὰ λόγων ὡς ἀντέγραψεν. Ὁμήρου δὲ παραστήσαντος ἐναργῶς τὴν ἐν τῷ ἐργαστηρίῳ γένεσιν τῆς ἀσπίδος, οὑτωσὶν ὁ ποιητὴς περιηγητοῦ δίκην ἀξιοθέατόν τι περισπούδασμα περιγράφει (4).

Τὸ ποίημα νῦν ἀκέφαλόν ἐστιν· ἀλλ᾽ ὅτι Σέρβιος εἰς Βιργιλίου Αἰν. 12, 164 τὴν Λατίνου γενεαλογίαν (Θ. 1013) «ἐν τῇ ἀσπιδοποιίᾳ» ἀναφέρει, πιθανῶς Θεογονίαν καὶ Ἀσπίδα ὡς ἓν καὶ μόνον ποίημα ἀνέγνω, ὥστε ὁ πρῶτος τῆς Ἀσπίδος στίχος ἀμέσως τοὺς τελευταίους τῆς Θεογονίας ἐξηκολούθει. Ὁ μὴ παραδεχόμενος ταῦτα καταναγκάζεται πρὸς τὸ διατείνασθαι, ὅτι προοιμιακός τις ὕμνος ἀπώλετο.

(1) Ἐν τῷ «Κύκνῳ» ποιήματι, ὡς ἤδη ἐν τῷ τοῦ ποιητοῦ βίῳ εἴπομεν· πρβλ. Ἀπόσπ. 12 παρὰ Σχολ. Πινδάρ. Ὀλ. 10, 19.

(2) Τὴν γνησιότητα οὐκ ἀρνοῦνται Στράβων (Η΄, σ. 385), Πλούταρχος (περὶ τοῦ πρώτου ψυχροῦ 9, ἴδε 255), Σχόλ. Ἀπολλ. Ῥοδ. 1,747, Ἡρῳδιανὸς (παρ᾽ Εὐσταθ. εἰς Ἰλ. Ε 31), Ἀθην. Δειπνοσ. 5,180 de, 205 Ψευδοαπολλόδωρ. 2,4, 2,7, καὶ Ἱερώνυμος δὲ καὶ Ἐπαφρόδιτος, οἳ κατὰ Σουΐδαν ὑπομνήματα ἔγραψαν.

(3) Ἀνώνυμος ἐν τοῖς Κραμήρου ἐξ Ὀξωνίας Ἀνεκδότοις Δ΄, σ. 315 καὶ Σχόλιον παλαιὸν εἰς Διονύσιον τὸν Θρᾷκα, ἐξ οὗ ἀρύονται οἵ τε ἐν τοῖς Βεκκήρου Ἀνεκδότοις σχολιασταὶ (σ. 672,7 κἑ. 1165) καὶ Θεοδόσιος (γραμμ. σ. 54,22 ἔκδ. Göttling), ἔτι δὲ κατὰ τὸ σιωπώμενον Παυσανίας (9,31,4).

(4) Σέρβιος εἰς Βιργιλ. Αἰν. 8, 625 Sane interest inter hunc et Homeri clipeum illic enim singula dum fiunt narrantur, hic vero (παρὰ τῷ Βιργιλίῳ) perfecto opere noscuntur (ἡ κρίσις Λογγίνου οὐκ ἀνάξιος). Εὐστάθιος ἐπίσης τὴν Ἡσιόδειον Ἀσπίδα κατακρίνει (εἰς Ἰλ. σ. 1154,11: τὰ δ᾽ ἄλλα πολλὴν ἔχει φαιδρότητα καὶ λαμπρᾶς μετέχει τῆς ἱλαρότητος, οὐκ ἀφιεῖσα κατανεανιεύεσθαι τῆς Ὁμηρικῆς ὁπλοποιΐας τὴν Ἡσιόδου φιλότιμον Ἀσπίδα ὡς ὁ ἐντυγχάνων εἴσεται).

Πρὸς τὸν μῦθον σημειούμεθα, ὅτι Ὅμηρος αὐτὸν ἀγνοεῖ· εἰ γὰρ ἐγνώρισε, μνημονευτέον ἦν ἐν τῷ Καταλόγῳ, ὅς Ἰλ. Ε 385—404 περιέχεται. Οἱ δὲ μεταγενέστεροι τὴν Κύκνου ἧτταν ἐν τοῖς πεπατημένοις εἶχον, ὅθεν ἐν πολλοῖς ἀγγείοις (1) καὶ ὑπὸ πλαστῶν (οἷον ἐν τῷ Θησείῳ) ἀπεικονίσθη. Ὁ ἥρως φορεῖ ἀντὶ τῶν πασιγνώστων ὅπλων τὴν πανοπλίαν τῶν Ἑλληνικῶν ὁπλιτῶν, ἐπειδὴ ἡ Ἀσπὶς πολλοῖς ἔτεσι πρὸ τῆς Πεισάνδρου Ἡρακλεΐδος ἐποιήθη.



(1) Ἴδε Percy Gardner ἐν τῷ Journal of philology τ. Ζ' (1876), σ. 220 κἑ.

# ΑΣΠΙΣ ΗΡΑΚΛΕΟΥΣ

. . . ἢ οἵη, προλιποῦσα δόμους καὶ πατρίδα γαῖαν ,
ἤλυθεν ἐς Θήβας μετ' ἀρήϊον Ἀμφιτρύωνα
Ἀλκμήνη, θυγάτηρ λαοσσόου Ἠλεκτρύωνος.
Ἥ ῥα γυναικῶν φῦλα ἐκαίνυτο θηλυτεράων
εἶδεί τε μεγέθει τε· νόον γε μὲν οὔτις ἔριζε

1. *ἢ οἵη*] Ἡ τοιουτότροπος διαστολὴ τῶν κεφαλαίων ἐπήγασεν ἐκ τῶν ὕμνων, ὧν οἱ ποιηταὶ μετὰ τὸ προοίμιον συχνάκις τὸν θεὸν προσηγόρευον: «Πῶς τ'ἄρ σ'ὑμνήσω πάντως εὔυμνον ἐόντα;» (Ὕμν. Ὁμ. 1, 19. 2, 27) καὶ ἐξηκολούθουν «ἤ ὥς σε πρῶτον Λητὼ τέκε» (1,25), «ἠέ σ' ἐνὶ μνηστῆσιν ἀείδω. . . ἤ ὡς τὸ πρῶτον...» (2,28 κἑ.) κτλ. Ἐπίσης ὁ τὰς Ἠοίας ποιήσας, ὡς προείρηται, ταύτῃ τῇ φράσει ἐχρήσατο πρὸς ἀπαρίθμησιν τῶν ἡρωϊνῶν.

*δόμους*] Ὁ πληθυντικὸς πρὸς τὰ ἀνάκτορα· τὸ *πατρίδα γαῖαν* Ὁμηρικῷ ζήλῳ προστίθεται (πρβλ. Ὀδ. ψ 120 φεύγει πηοὺς προλιπὼν καὶ πατρίδα γαῖαν). Καὶ τοῦτο ἔμαθεν ὁ ποιητὴς παρ' Ὁμήρου, ὅτι εἰς τὸ μέσον τῶν πραγμάτων εἰσάγει καὶ τὰ προγεγονότα κατὰ μικρὸν ὡς ἐν παρόδῳ διηγεῖται.

2. *μετ'*] Ἡ γυνὴ κατὰ τὸ τῶν ἀγροίκων ἔθος μετὰ τὸν ἄνδρα καὶ κύριον περιπατεῖ· καθόλου δὲ αἱ ὁδοὶ ὡς ἐπὶ τὸ πλεῖστον «μονοπάτια» εἰσὶ καὶ πάντως ἦσαν, διὸ οἱ Ἀλβανοὶ λέγουσι: «Βάνε πὰς τίγ» (ἤρχοντο μετ' αὐτόν, οὐχὶ μετ' αὐτοῦ). Ἐκ τούτων *μετά τινα* καὶ *μετά τινος* τὴν ἀρχὴν οὐ διέφερον.

*ἀρήϊον*] Ἄρης παρὰ τοῖς ποιηταῖς οὐ μόνον τὸν θεόν, ἀλλὰ καὶ τὸν πόλεμον δηλοῖ.

*Ἀμφιτρύωνα*] Ὅτι Ἠλεκτρύωνος μὲν υἱὸς καὶ Περσέως ἔκγονος ἦν, ἐφυγαδεύθη δὲ ὑπὸ Σθενέλου ἐκ Τίρυνθος, οἱ ἀκροαταὶ τότε ἠπίσταντο.

3. *λαοσσόου*] Τοῦ σέοντος (σεύοντος) καὶ ὁρμῶντος τὸν λαὸν εἰς τὸν πόλεμον, ἧς λέξεως ὅμοιον σχῆμα ἔχουσι *δορυσσόος* καὶ *ἱπποσόος*.

4. Πρβλ. Ὀδ. γ 282: ἐκαίνυτο φῦλ' ἀνθρώπων, Ἰλ. Ι 130 = 272: οἳ κάλλει ἐνίκων φῦλα γυναικῶν.

*θηλυτεράων*] Ἴδε Θ. 590.

5. *εἶδεί τε μεγέθει τε*] Κατὰ τοὺς παλαιοὺς ἅπαντας, ἀπὸ τῶν Ὁμηρικῶν ποιημάτων (εἶδός τε, μέγεθός τε, καλός τε, μέγας τε κτλ., ἴδε τὸν Ἀμείσιον ἐν τῷ παραρτήματι εἰς Ὀδ. ι 508) μέχρι τῶν μυθιστοριῶν τοῦ Ἡλιοδώρου καὶ Χαρίτωνος, οὐδεὶς εὔσωμος πλὴν ὁ μέγας «ἐν μεγέθει γὰρ ἡ μεγαλοψυχία, ὥσπερ καὶ τὸ κάλλος ἐν μεγάλῳ σώματι» (Ἀριστοτέλ. Ἠθ. Νι-

τάων, ἃς θνηταὶ θνητοῖς τέκον εὐνηθεῖσαι·
τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων τ' ἄπο κυανεάων
τοῖον ἄηθ' οἷόντε πολυχρύσου Ἀφροδίτης.
Ἡ δὲ καὶ ὣς κατὰ θυμὸν ἑὸν τείεσκεν ἀκοίτην,
ὡς οὔπω τις ἔτεισε γυναικῶν θηλυτεράων·
ἦ μέν οἱ πατέρ' ἐσθλὸν ἀπέκτανεν ἶφι δαμάσσας,

κομάχ. 4, 3, 5) καί, «τὸ καλὸν ἐν μεγέθει καὶ τάξει» (ὁ αὐτὸς Ποιητ. 7,8). Ὥστε Ἀδαμάντιος ὁ φυσιογνωμονικὸς εἰς τὰ χαρακτηριστικὰ τῶν γνησίων Ἰώνων καὶ τὸ μέγεθος ἀναφέρει (2,24).

*ἔριζε*] Τί ἡ ἀγαθὴ ἔρις, ἀνέγνωμεν Ἔ. κ. Ἡ. 12 κέ. Τὸν νοῦν ἐπὶ γυναικῶν Ὅμηρος περὶ πλείστου ποιεῖται, οἷον ἐπὶ Πηνελόπης καὶ δὴ Χρυσηΐδος (Ἰλ. Α 115).

6. *θνηταὶ θνητοῖς*] Κατ' ἐναντίωσιν πρὸς τοὺς ἡμιθέους (πρβλ. Θ. 967).

*τέκον εὐνηθεῖσαι*] Καθ' Ὁμηρικὸν πλεονασμόν, ὥσπερ Θ. 133 κά.

7-8. Πρβλ. Θ. 910 καὶ Ὕμν. Ὁμηρ. 4,175-6: κάλλος δὲ παρειάων ἀπέλαμπεν ἄμβροτον, οἷόν τ' ἐστὶν ἐϋστεφάνου Κυθερείης.

7. *ἀπὸ κρῆθεν*] Ἀπὸ τῆς κεφαλῆς αὐτῆς (*τῆς*). Τὰ καταλήγοντα εἰς *θεν* ἐνίοτε μετὰ προθέσεων συντάσσονται (ἀπὸ Τροίηθεν Ἰλ. Ω 492. Ὀδ. ι 38, ἀπ' οὐρανόθεν 384. Ὀδ. λ 18, ἐξ Αἰσύμηθεν Ἰλ. Θ 304, ἐξ ἀλόθεν Φ 335). Ἡ Ἀφροδίτης χάρις κέντρον πως ἔχει ἐν τῇ κεφαλῇ (Ἔ. 65). Περὶ τῶν βλεφάρων εἴπομεν εἰς Θ. 910.

*κυανεάων*] Ἐξ Ἰβύκου ἀποσπάσματος (2: κυανέῃσιν ὑπὸ βλεφάροις) διαβεβαιοῦται, ὅτι καὶ τὸ βλέφαρον καὶ ἡ βλέφαρος ἐλέγετο.

8. *ἄηθ'*] Ἡ ἀλλόκοτος μεταφορὰ ἀπαντᾷ καὶ Ὕμν. Ὁμηρ. 5, 275: περί τ' ἀμφί τε κάλλος ἄητο. Αἱ θεοὶ γὰρ καὶ θαυμασίαν ὀδμὴν (*ἀὴρ* γὰρ Ἰωνικῶς, κατ' Ἐρωτιανόν, ὀδμὴν δηλοῖ) ἀποπνέουσιν (Ὕμν. Ὁμηρ. 5,278: ὀδμὴ δ' ἱμερόεσσα θυηέντων ἀπὸ πέπλων σκίδνατο, Αἰσχύλ. Προμηθ. 115: τίς ἀχώ, τίς ὀδμὰ προσέπτα; Εὐριπίδ. Ἱππόλ. 1391: ὦ θεῖον ὀδμῆς πνεῦμα— Ὕστερον δὲ ὁ κόλαξ Θεόκριτος ᾄδει [17,51-2], ὅτι ἡ βασίλισσα «Βερενίκη» μαλακοὺς ἔρωτας προσπνείει, οἱ δὲ μεταγενέστεροι μάλιστα τὰς ἐρωμένας ταῖς θεοῖς καὶ ταῖς βασιλίσσαις ἐξισοῦσιν (Ἀρισταίνετος ἐπιστ. 1,12: ὁ μὲν οὖν τράχηλος αὐτῆς ἀμβροσίας ὄδωδε, Μουσαῖος 133: παρθενικῆς εὔοδμον ἐΰχροον αὐχένα), ἣν δημοκρατικὴν ἐλευθερίαν οἱ νεώτεροι φυλάσσουσιν (π. χ. καὶ μὲ τὸ χνῶτό σου ἄφηκες μόσκους καὶ καρυοφύλλι, Νεοελλην. Ἀνάλ. Α', σ. 276 δίστ. 264).

*πολυχρύσου*] Ἴδε Θ. 980.

9 καὶ 10. Διαναπτύσσεταί πως ὁ Ὁμηρικὸς στίχος: «καί μιν ἔτεισ' ὡς οὔτις ἐπὶ χθονὶ τείεται ἄλλη» (Ὀδ. η 67).

*ὥς*] Ἀναφέρομεν πρὸς τὸ ἀναφορικὸν ὡς (10), τὸ *ἑὸν* δὲ πρὸς τὸ *ἀκοίτην*.

*τείεσκεν*] Ἴδε Θ. 157.

*ἀκοίτην*] Συνωνυμεῖ τῷ παρακοίτης (Θ. 928).

10. *γυναικῶν θηλυτεράων*] = 4.

11. *ἦ μέν*] (Διεκτείνεται τῷ διγάμματι) καίτοι.

*ἶφι δαμάσσας*] Οὐχὶ δόλῳ, ἀλλ' ἀπὸ φιλονικίας εἰς χεῖρας ἐλθών. Ἡ φράσις ἐκ τοῦ Ὁμηρικοῦ ἀκροτελευτίου *ἶφι δαμῆναι* παρείληπται (Ἰλ. Τ 417. Ὀδ. σ 156).

χωσάμενος περὶ βουσί· λιπὼν δ' ὅγε πατρίδα γαῖαν
ἐς Θήβας ἱκέτευσε φερεσσακέας Καδμείους.
Ἔνθ' ὅγε δώματ' ἔναιε σὺν αἰδοίῃ παρακοίτι
νόσφιν ἄτερ φιλότητος ἐφιμέρου, οὐδέ οἱ ἦεν
πρὶν λεχέων ἐπιβῆναι εὐσφύρου Ἠλεκτρυώνης,
πρίν γε πόνον τείσαιτο κασιγνήτων μεγαθύμων
ἧς ἀλόχου, μαλερῷ δὲ καταφλέξαι πυρὶ κώμας
ἀνδρῶν ἡρώων Ταφίων ἰδὲ Τηλεβοάων.

12. *περὶ βουσί*] Βοῶν ἕνεκα, ὡς παρακατιόντες εὑρήσομεν (82). Ἐπίσης ἐν τῷ γ' Ὁμηρικῷ Ὕμνῳ (236) κεῖται «χωόμενον περὶ βουσί». Ὁ δὲ Μαιονίδης προηγεῖται τῷ «ἀμφ' ἀστραγάλοισι χολωθείς» (Ἰλ. Ψ 88). Πρὸς τὰ λοιπὰ παράθες τὸν α' στίχον.

13. *ἐς Θήβας ἱκέτευσε*] Κατὰ τὸν ἡρωϊκὸν αἰῶνα φονέως φυγὴ τοσοῦτο συχνῶς συνέβαινεν, ὥστε ἐπὶ τῶν ἱκετῶν, περὶ ὧν ἀνωτέρω εἴρηται (Ἔ. κ. Ἡ. 327), ἡ βραχυλογικὴ αὕτη φράσις εὐχρήστει· ἴδε καὶ Ὁμ. Ἰλ. Π 574: ἐς Πηλῆ' ἱκέτευσε, ἀντὶ τοῦ «ἵκετο ἱκετεύων». Τὸ ῥῆμα, ἐστερημένον τοῦ ἰῶτα, ἐν τῇ Πελοποννήσῳ σῴζεται (Ἐφημ. τῶν Φιλομαθῶν 1857, σ. 201).

*φερεσσακέας*] Φέροντας τὸ μέγα σάκος, ὅτι δῆλα δὴ ὁπλῖται ἦσαν, τῶν πελταστῶν καὶ τοξοτῶν ἀμοιρούντων ἀσπίδος.

*Καδμείους*] Τοὺς πρὸ τῶν Βοιωτῶν κατοικήσαντας τὰς Θήβας πρβλ. Ἔ. κ. Ἡ. 162.

14. *δώματα*] = Δόμους 1. Οἱ περιηγηταὶ κατὰ τὸν Παυσανίου αἰῶνα εἰσέτι τὰ δὴ λεγόμενα ἐρείπια ἐθεώρουν (Παυσαν. 9,11,1).

*αἰδοίῃ παρακοίτι*] = Ἰλ. Φ 479. Ὀδ. γ 451. Τὸ ὄνομα ηὕρομεν ἤδη Θ. 228.

15. *νόσφιν ἄτερ*] = Ἔ. 113: *ἄτερ φιλότητος ἐφιμέρου* = Θ. 132.

*ἦεν*] Ἐξῆν.

16. *πρὶν — πρίν*]—Τὸ πρωτοφανὲς σχῆμα τῶν διὰ *πρὶν* περιόδων ἐστί· τὸ πρὶν γὰρ οὐ παραλλάσσει τοῦ Λατινικοῦ prius (πρότερον), πρβλ. Ἰλ. Λ 97 κἑ.

*λεχέων*] Ὁ πληθυντικὸς αἰνίττεται τὸ πλῆθος τῶν ταπήτων, οἷς στρωννύουσι τὴν κλίνην.

*Ἠλεκτρυώνης*] Τῆς Ἠλεκτρύωνος θυγατρός, ὡς Τυνδαρεώνη τοῦ Τυνδάρεω, Τρυφιόδωρ. 473.

17. *πόνον*] Τὴν μάχην, κατ' εὐφημισμὸν ἀντὶ φόνον. Ἀπολλώνιος ὁ Ῥόδιος (1,747 κἑ.) διὰ πλειόνων τὴν πρὸς τοὺς λῃστεύοντας Τηλεβόας μάχην αὐτῶν διηγεῖται.

18. *μαλερῷ πυρί*] = Ἰλ. Υ 316. Φ 375. Τὸ ἐπίθετον ἀνήκει εἰς τὴν ῥίζαν, εἰς ἣν τὸ μαλακὸς καὶ μαλάσσω.

*κώμας*] Πόλεις δηλαδὴ τότε ὀλίγιστοι ὑπῆρχον, μάλιστα δὲ ἐν τοῖς πρὸς Βορέα ὀρεινοῖς τόποις (Θουκ. 1,5).

19. *ἀνδρῶν ἡρώων*] = Ὀδ. ξ 97, πρβλ. Θ. 970.

*Ταφίων*] Τῶν οἰκούντων ἐν τῇ Τάφῳ (Ὀδ. α 417), οὓς καὶ Ὅμηρος ὡς φιληρέτμους πειρατὰς καὶ δουλεμπόρους διασύρει (Ὀδ. α 181.419. ξ 452. ο 427. π 426). Οἱ *Τηλεβόαι* ὡσαύτως παρὰ τοῖς ποιηταῖς ἀπαντῶσιν (Πινδάρ. Νεμ. 10, 15). Ἐκ τοῦ προκειμένου ποιήματος ἐκφαίνεται, ὅτι εἶχον τὰ πρὸς δύσεως τῆς Λοκρίδος καὶ Φωκίδος (25), ἤγουν τὴν Αἰτωλίαν καὶ

Ὣς γάρ οἱ διέκειτο, θεοὶ δ' ἐπιμάρτυροι ἦσαν·
τῶν ὅγ' ὀπίζετο μῆνιν, ἐπείγετο δ' ὅ ττι τάχιστα
ἐκτελέσαι μέγα ἔργον, ὅ οἱ Διόθεν θέμις ἦεν.
Τῷ δ' ἅμα, ἱέμενοι πολέμοιό τε φυλόπιδός τε,
Βοιωτοὶ πλήξιπποι, ὑπὲρ σακέων πνείοντες,
Λοκροί τ' ἀγχέμαχοι καὶ Φωκῆες μεγάθυμοι
ἕσποντ', ἦρχε δὲ τοῖσιν ἐῢς πάϊς Ἀλκαίοιο,
κυδιόων λαοῖσι. Πατὴρ δ' ἀνδρῶν τε θεῶν τε
ἄλλην μῆτιν ὕφαινε μετὰ φρεσίν, ὄφρα θεοῖσι

Ἀκαρνανίαν, καὶ μέχρι τῆς Ἀργολίδος ληστρικὰς ἐπιδρομὰς ἐπεχείρησαν.

20. *διέκειτο*] Συνεπεφώνητο.

*θεοὶ δ' ἐπιμάρτυροι ἦσαν*] = Ὀδ. α 273: θ. δ' ἔστων. Ἐν ἀμφοτέροις τοῖς χωρίοις δηλοῖ τὴν διὰ ὅρκου βεβαίωσιν.

21. *ὀπίζετο*] Κυρίως σημαίνει· ἀπέβλεπεν (ὀπίσω), πρβλ. Ὀδ. ξ 283: Διὸς δ' ὠπίζετο μῆνιν, ε 146: Διὸς δ' ἐποπίζεο μῆνιν, Ὕμν. Ὁμηρ. 4, 290: θεῶν δ' ἐποπίζετο μῆνιν.

*ὅ ττι τάχιστα*] Τέλος πολλῶν ἑξαμέτρων Ὁμηρικῶν.

22. *ὅ οἱ Διόθεν θέμις ἦεν*] Ὃ ἐκτελέσαι Ζεὺς αὐτῷ ὥρισεν.

23. *φυλόπιδος*] Ἴδε Ἔ. 160.

24. *Βοιωτοί*] Μὴ προσθῇς τὸ ἄρθρον, ἐπειδὴ οὐχ οἱ λαοὶ σύμπαντες, ἀλλὰ ἐθελονταὶ ἐξέρχονται.

*πλήξιπποι*] Οἱ πολεμοῦντες ἀφ' ἁρμάτων· τὸ γὰρ Βοιωτικὸν πεδίον πάλαι ποτὲ ἱπποτρόφον ἦν. Ἱππεῖς δῆθεν ἐν ταῖς τῶν ἡρώων μάχαις οὐκ ἐμάχοντο, ὕστερον δὲ οἱ τῶν Βοιωτῶν πολλὴν δόξαν εἶχον. Πίνδαρος, τὴν Θήβαν πλάξιππον ἐπικαλῶν (Ὀλυμπ. 6,85), ἤτοι τοὺς ἐπικοὺς μιμεῖται ἢ τὰς ἀθλητικὰς ἁμάξας τῶν εὐγενῶν κατὰ νοῦν ἔχει· Εὐριπίδης δὲ τὸ παλαιὸν ἐπίθετον ἐπὶ τὸ νεώτερον μετεσκεύασε Θήβας λέγων εὐίππους (Φοίνισσ. 17).

*ὑπὲρ σακέων πνείοντες*] Συναλείφει τὸ φερεσσακέας (13) καὶ τὸ Ὁμήρου «μένεα πνείοντες» (Ἰλ. Β 536 κἀ.). Ὁ σχολιαστὴς ἐξηγεῖται: «οὐ κρύπτοντες τὴν ὄψιν, ἀλλ' ἄντικρυς μαχόμενοι». Καλῶς, καὶ τοῦτό γε ἀπεικόνισται ἐν ἀγαλματίῳ χαλκῷ στρατιώτου, ὃ ἐν Δωδώνῃ ἀνηυρέθη (Archäologische Zeitung 1882, πίν. 1 καὶ Baumeister, Denkmäler, σ. 2024, εἰκ. 2191). Ὁ ἀνδρεῖος δηλαδὴ ὁπλίτης τὴν ἀσπίδα πλαγίως κρατεῖ, ὥστε τὸ ἀνώτερον χεῖλος αὐτῆς ἅπτεται τοῦ λάρυγγος.

25. *ἀγχέμαχοι*] Τούτου τοῦ ἐπιθέτου, ὃ ἐν τῇ Ἰλιάδι οἱ Μυσοὶ φέρουσι (Ν 5), τυγχάνουσιν οὐχ ὡς ἐκ τοῦ πλησίον μαχόμενοι—πελτασταὶ γὰρ ἦσαν (Ἰλ. Ν 713 κἑ.)—, ἀλλὰ ἐπειδὴ ἀνδρείως ἐπολέμουν, ὡς Πίνδαρος ἐν τῇ ι' (ια') Ὀλυμπιακῇ ᾄδει: Ἄγχουσι, ὡς εἰπεῖν, τὴν μάχην.

26. *πάϊς Ἀλκαίοιο*] Ἀμφιτρύων ἐγένετο ἐξ Ἀλκαίου τοῦ ἀδελφοῦ τοῦ Ἠλεκτρύωνος (Ἀπολλοδώρ. Βιβλιοθ. 2, 4, 5).

27. *κυδιόων λαοῖσι*] Σεμνυνόμενος ἐπὶ τῷ πλήθει τῶν ἀνδρείων βοηθῶν.

28. *ἄλλην*] Ἀναφέρεται εἰς 22.

*μῆτιν ὕφαινε*] Ὁ Ἕλλην τὴν πολύπλοκον μοῖραν τῶν ἀνθρώπων ὕφασμά τι θεωρεῖ, ὅθεν μυθολογεῖ, ὅτι αἱ Μοῖραι κλώθουσιν (Θ. 905).

*θεοῖσι*] Περὶ τοῦ μύθου σημείωσις ηὕρηται εἰς Θ. 954.

ἀνδράσι τ᾽ ἀλφηστῇσιν ἀρῆς ἀλκτῆρα φυτεῦσαι.
Ὦρτο δ᾽ ἀπ᾽ Οὐλύμποιο, δόλον φρεσὶ βυσσοδομεύων,
ἱμείρων φιλότητος ἐϋζώνοιο γυναικός,
ἐννύχιος· τάχα δ᾽ ἷξε Τυφαόνιον· τόθεν αὖτις
Φίκιον ἀκρότατον προσεβήσατο μητιέτα Ζεύς.
Ἔνθα καθεζόμενος φρεσὶ μήδετο θέσκελα ἔργα·
αὐτῇ μὲν γὰρ νυκτὶ τανυσφύρῳ Ἠλεκτρυώνῃ
εὐνῇ καὶ φιλότητι μίγη, τέλεσεν δὲ ὃν ἔλδωρ,
αὐτῇ δ᾽ Ἀμφιτρύων λαοσσόος, ἀγλαὸς ἥρως,

29. *ἀλφηστῇσιν*] Ἔπιθι Θ. 512.

*ἀρῆς ἀλκτῆρα*] Πρβλ. Θ. 657. Ἰλ. Ξ 485: ἀρῆς ἀλκτῆρα λιπέσθαι. Σ 100: ἀρῆς ἀλκτῆρα γενέσθαι. Ἡρακλῆς, ἐπειδὴ τὰ τέρατα ἐξολοθρεύει, *ἀλεξίκακος* ἐκφαίνεται.

*φυτεῦσαι*] Παράθες Ἔ. 812.

30. *δόλον*] Τί δέον εἰπεῖν, ὅτι εἰς Ἀμφιτρύωνος σχῆμα μετεβλήθη;

*βυσσοδομεύων*] Παρὰ τὸ βυσσὸς (Ἰλ. Ω 80 = βυθός) καὶ ΔΕΜ (οἰκοδομέω), ἀπηχεῖ τὸ Ὁμηρικὸν «κατὰ φρεσὶ βυσσοδομεύων» (Ὀδυσσ. θ 273). Αἰσχύλος τὴν μεταφορὰν ἠλάττωσεν εἰς τὸ συνώνυμον *βυσσάφρων* (Χοηφόρ. 850).

31. *ἱμείρων φιλότητος*] = Θ. 177.

*ἐϋζώνοιο*] Ἡ ζώνη τὸ πολυτελέστατον τῶν ἐνδυμάτων ἦν, πρβλ. Θ. 573. Ἔ. 72.

32. *ἐννύχιος*] Νυκτός, καθάπερ Θ. 10.

*τάχα*] Βαδίζει ἀπὸ κορυφῆς εἰς κορυφὴν κατὰ τὸ ἔθος τῶν ἐπικῶν θεῶν (Ἰλ. Ν 20 κέ. Ξ 225 κέ.).

*Τυφαόνιον*] Πρὸς τὸ ὄρος, περὶ οὗ Ἡσίοδος Θ. 860 λόγον ποιεῖται. Ὑπὸ τῶν σχολιαστῶν τοποθετεῖται εἰς τὴν Βοιωτίαν (Σχόλ. Πινδάρ. Ὀλυμπ. 4, 11, Τζέτζης ἐν τοῖς εἰς Ἡσίοδον καὶ εἰς Νικόφρονα 177). Οἱ Βοιωτοὶ ἀναλόγως ἐδόξαζον, ὡς Τυφῶν ἐν ταῖς Δελφῶν φάραγξιν ἀνετράφη (Ὕμν. Ὁμηρ. 2,128), ἔνιοι δὲ καὶ ὅτι τὴν Σφίγγα ἐγέννησεν (Ὑγίνου Μῦθ. 115).

33. *Φίκιον*] Τὸ ὄρος, ὅπου ἡ Σφίγξ, μᾶλλον δέ, ὡς ἐκ Θ. 326 ἐμάθομεν, Φῖξ ἐφώλευεν, ὑπὸ Στατίου φρικωδῶς διαζωγραφεῖται (Θηβαϊκῶν Β΄, 496-523), κεῖται δὲ μεταξὺ τοῦ πρὸ ὀλίγου ἀνασκαφθέντος Καβειρίου καὶ τῆς Κωπαΐδος (Παυσαν. 9, 26, 2) καὶ ὑπὸ τῶν καθ᾽ ἡμᾶς *Φαγᾶς* μετωνόμασται. Ὁ ποιητὴς ἐξεπίτηδες ἐκλέγει δύο ὄρη, ἃ οἱ περιοικοῦντες ἐκ δεισιδαιμονίας ἀπεστρέφοντο.

*μητιέτα Ζεύς*] = Θ. 56 κά.

34. Ὁ ποιητὴς ἀναπολεῖ πως τὴν μεγαλειότητα τοῦ Ὁμηρικοῦ Διός, ὅσπερ ἐπὶ τῆς Ἴδης κάθηται.

*θέσκελα ἔργα*] = Ὀδ. λ 374. Τὴν ἐτυμολογίαν ἐμφαίνει ἡ ἀκριβὴς μετάφρασις «θεοκέλευστα».

35. *αὐτῇ μὲν - αὐτῇ δέ*] Οἱ Ἀττικοὶ τὸ ἄρθρον ἂν προσετίθεσαν.

*τανυσφύρῳ*] Ἴδε Θ. 364.

36. *εὐνῇ καὶ φιλότητι*] = Ὀδ. ο 421, ὅπου προηγεῖται «πλυνούσῃ... μίγη». Περὶ τοῦ πλεονασμοῦ ῥηθήσεται ἐν τῇ κριτικῇ σημειώσει.

*ἔλδωρ*] Ἐν τοῖς Ὁμήρου ποιήμασι μετὰ δύο ε φέρεται, ἐπειδὴ τὸ πρῶτον στοιχεῖόν ποτε δίγαμμα ἦν. Ὁ ποιητὴς ἀνασκοπεῖ τὸν 31 στίχον.

37. *λαοσσόος*] Ἴδε ὅσα εἴπομεν εἰς 3.

ἐκτελέσας μέγα ἔργον, ἀφίκετο ὅνδε δόμονδε,
οὐδ᾽ ὅγ᾽ ἐπὶ δμῶας καὶ ποιμένας ἀγροιώτας
ὦρτ᾽ ἰέναι, πρὶν ἧς ἀλόχου ἐπιβήμεναι εὐνῆς·
τοῖος γὰρ κραδίην πόθος αἴνυτο ποιμένα λαῶν.
Ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ἀσπαστὸν ὑπεκπροφύγῃ κακότητα
νούσου ὕπ᾽ ἀργαλέης ἢ καὶ κρατεροῦ ὑπὸ δεσμοῦ,
ὥς ῥα τότ᾽ Ἀμφιτρύων, χαλεπὸν πόνον ἐκτολυπεύσας,
ἀσπασίως τε φίλως τε ἑὸν δόμον εἰσαφίκανε.
Παννύχιος δ᾽ ἄρ᾽ ἔλεκτο σὺν αἰδοίῃ παρακοίτι,
τερπόμενος δώροισι πολυχρύσου Ἀφροδίτης.

38. *ἐκτελέσας μέγα ἔργον*] = Ὀδ. γ 275 πρβλ. στ. 22, ὃν αἰνίττεται.

*ὅνδε δόμονδε*] Ἠρύσατο ὁ ποιητὴς ἐπίσης ἐξ Ὁμήρου (Ἰλ. Π 445 κἑ).

39. Ἡ ἐναντίωσις ἀσφαλεστάτη φαίνεται, οὐδενὸς ἧττον δὲ Τηλέμαχος ἀληθῶς τὸ ἀντικείμενον ἐκτελεῖ. Οὐ σπεύδει δηλαδὴ πρὸς τὴν περίφοβον μητέρα, ἀλλὰ ἐκβαίνει λέγων: «αὐτὰρ ἐγὼν ἀγροὺς ἐπιείσομαι ἠδὲ βοτῆρας» (Ὀδ. ο 504). Τὰ ποίμνια εἴπομεν οὐχ ἅπαξ, ὅτι τὸ πολυκλεανώτατον τῶν κτημάτων ἦσαν (Ἔ. 120).

40. Καὶ οὗτος ὁ στίχος οὐδὲν μὴ Ὁμηρικὸν περιέχει (πρβλ. Ὀδ. η 14 κἑ.: ὦρτ᾽ ἰέναι, Ἰλ. Ι 133: μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι).

41. Τὴν Ὁμηρικὴν φράσιν *ποιμένα λαῶν* εἰς Θ. 1000 ἡρμηνεύσαμεν. ***Κραδίην*** καθ᾽ ὅλον καὶ μέρος κεῖται, κατὰ δὲ τὸν κανόνα μετὰ τὸ ἕτερον ἀντικείμενον θετέον ἦν.

42. Ἡ παραβολὴ μόλις ἁρμόζει, ἐπειδὴ ὁ ποιητὴς ἀντὶ τοῦ αὐτός τι πλάσσειν πάλιν τὰ Ὁμηρικὰ ἐκαρπώσατο, συντέμνων Ὀδ. ε 394-97, οἷς προσέθηκε τὸ τελευταῖον ἡμιστίχιον. Ὀδυσσεύς γε μὴν ἀπὸ πολλοῦ καιροῦ ἐν τῇ θαλάσσῃ νηχόμενος αἰσθάνεται ὡς σωθεὶς ἐπεὶ τὸν αἰγιαλὸν προσβλέπει. Ἀλλὰ ὁ κακόζηλος ἀτιπαραβάλλει τὴν χαρὰν τῆς γυναικὸς πρὸς τὴν τῶν ὑγιαζομένου τινὸς οἰκείων.

*ἀσπαστόν*] Συνωνυμεῖ τῷ ἐπιρρήματι ἀσπασίως (45).

43. Πρβλ. νούσῳ ὕπ᾽ ἀργαλέῳ Ἰλ. Ν 667.

44. *πόνον ἐκτολυπεύσας*] Παρ᾽ Ὁμήρῳ (Ἰλ. Ξ 86 καὶ ἐν τῇ Ὀδυσσείᾳ) συχνάζει *τολυπεύω πόλεμον*. Τὸ ῥῆμα παρὰ τὸ τολύπη, ὅ ἐστι κατειργασμένον καὶ ξανθὲν ἔριον ἕνεκα τοῦ κλωσθῆναι, σημαίνει λοιπὸν τὸ διευθετεῖν τὰ τεταραγμένα.

45 *ἀσπασίως τε φιλίως τε*] Τῇ γυναικί, ὥστε οἱ προκείμενοι στίχοι εὐαισθήτως ἀντιστοιχοῦσι τῷ 41. Ἄλλως γὰρ ἂν ἐπλεόναζον. Πρὸς τὴν φράσιν παράθες Ὀδ. ψ 233: ὡς δ᾽ ὅτ᾽ ἂν ἀσπασίως γῆ νηχομένοισι φανήῃ.

46. ***Παννύχιος***] Ἤτοι καθ᾽ ἅπαν τὸ λοιπὸν μέρος τῆς νυκτός (πρβλ. 35 κἑ.), καθάπερ Ὕμν. Ὁμηρ. 3,141. 5,293. καὶ ἀναλόγως *πανημέριοι* Ἰλ. Α 472.

*σὺν αἰδοίῃ παρακοίτι*] = 14.

47. *δώροισι*] Δῶρα Ἀφροδίτης ἢ *Κυπρίας* (Πινδάρ. Ὀλυμπ. 1,75) καὶ ἡ χάρις (Ἰλ. Γ 54, 64) καὶ ἡ «φιλότης».

*πολυχρύσου Ἀφροδίτης*] = 8.

Ἡ δὲ θεῷ δμηθεῖσα καὶ ἀνέρι πολλὸν ἀρίστῳ
Θήβῃ ἐφ' ἑπταπύλῳ διδυμάονε γείνατο παῖδε,
οὐκέθ' ὁμὰ φρονέοντε—κασιγνήτω γε μὲν ἤστην—
τὸν μὲν χειρότερον, τὸν δ' αὖ μέγ' ἀμείνονα φῶτα,
δεινόν τε κρατερόν τε, βίην Ἡρακληείην,
τὸν μὲν ὑποδμηθεῖσα κελαινεφέϊ Κρονίωνι,
αὐτὰρ Ἰφικλῆα δορυσσόῳ Ἀμφιτρύωνι,
κεκριμένην γενεήν· τὸν μὲν βροτῷ ἀνδρὶ μιγεῖσα,
τὸν δὲ Διὶ Κρονίωνι, θεῶν σημάντορι πάντων.

48. *δμηθεῖσα*] Ἔπιθι Θ. 453 κἑ.

49. Περὶ τῆς ἑπταπύλου Θήβης ζήτει τὸ ἐπὶ Ἔ. 162 σχόλιον. Ἡ πρόθεσις οὐκ ἀκύρως κεῖται, ἐπειδὴ ἡ πρωτοφανὴς σημασία τῆς λέξεως « λόφος».

*διδυμάονε γείνατο παῖδε* = Ἰλ. Ζ 26.

50. *οὐκέθ'*] Σαφέστερόν πως εἶπε Θεόκριτος (23,2): «Τὰν μορφὰν ἀγαθῶ, τὸν δὲ τρόπον οὐκέθ' ὁμοίω». Ἐνταῦθα ὑπακουστέον· τό γε ὁμομητρίους εἶναι, τοῦτο κοινόν, ἀλλὰ εἰς τὰ λοιπὰ ἡ κοινότης ἐπαύθη. Ἐπίσης τὸ «οὐκέθ' ὁμὰ φρονέοντες» ἐν χρησμῷ πεπλασμένῳ κεῖται (Σχόλ. Ἰλ. Ε 64)· κοινὸν γὰρ Μενελάῳ καὶ Πάριδι τὸ οὐδὲν πλέον εἰ μὴ ὅτι «δύω βασιλῆες». Τὴν ὑπακουομένην ἐναντίωσιν διασαφηνίζει ἐν τῇ παρατακτικῇ παρενθέσει. Τὸ ἐπικὸν *γε μέν* καὶ τὸ ἐν τῇ συνηθείᾳ *καίτοι* ταὐτὸ βούλονται.

51. *μέγ' ἀμείνονα φῶτα*] = Ἰλ. Β 239. Τὴν *φὼς* λέξιν οὐκ ἐτυμολογοῦμεν, τοσοῦτο βεβαίως ἐπιστάμενοι, ὅτι οὐ πολὺ παραλλάσσει τοῦ ἐπικοῦ ἥρως.

52. *βίην Ἡρακληείην*] Ἴδε Θ. 289. Ἐνταῦθα ἡ τετριμμένη φράσις κατ' ἐναντίωσιν πρὸς τὸν ἀσθενέστερον ἀδελφὸν κεῖται.

53. *κελαινεφέϊ*] Ἀντὶ τοῦ κελαινονεφέϊ, τῷ συμπυκνοῦντι τὰ μέλανα νέφη. Παραλληλισμὸν Κρητικὸν ἀναφέρομεν εἰς Ἔ. 488.

54. *δορυσσόῳ*) Τῷ σείοντι τὸ δόρυ (πρβλ. τὸ λαοσσόος 3).

55. *κεκριμένην γενεήν*] Καὶ οὗτος ὁ παῖς ἐξαίρετος ἦν (τὸ ἐπίθετον οὐ ψυχρόν· παράθες Πινδάρ. Νεμ. 6,2: διείργει δὲ πᾶσα κεκριμένα δύναμις)· χείρων μέντοι ἦν τοῦ Ἡρακλέους, ἐπειδὴ ὁ μὲν πατὴρ αὐτοῦ θνητός, ὁ δὲ Ἡρακλέους οὐχὶ τῶν πολλῶν τις θεῶν, ἀλλὰ ὁ τῶν θεῶν βασιλεύς. Οἱ σχολιασταὶ ἐξηγοῦνται «διακεχωρισμένην γενεήν», ἀλλὰ μάτην ἀνεζητήσαμεν ἁρμόδιον παράδειγμα.

56. *θεῶν σημάντορι πάντων*] Ταὐτὸ ηὕρηται ἐν Ἡσιοδείῳ ἀποσπάσμ. (παρὰ Λαυρεντίῳ Λυδῷ π. μηνῶν 4, στ. 2), κατὰ δὲ τὴν αἰτιατικὴν Ὕμν. Ὁμηρ. 3,367 (Κρονίωνα θεῶν σημάντορα π.). Ὧν πηγὴ ἦν «σημαίνω τινί· οἷον Ἰλ. Α 289: « πᾶσι σημαίνειν ». Οἱ στίχοι οὗτοι πλεονάζουσιν, ἀλλά, ὡς ἐλπίζομεν, τὴν τῆς προσθήκης αἰτίαν ἀνηύρομεν. Ὁ προσβάλλων τὴν Ἀσπίδα πρὸς τὴν Ἠοίαν ηὗρεν αὐτὴν καταλήγουσαν εἰς στ. 54, οὐδὲ χορηγοῦσαν ἄμεσον μετάβασιν πρὸς τὴν περὶ Ἡρακλέους διήγησιν· ὅθεν τὸ τέλος ἐπανέλαβε, χρησίμως μεταλλάξας τὴν τάξιν. Οὐ περὶ πολλοῦ ποιούμεθα τὴν ἐν τῇ Ὑποθέσει σημείωσιν, ὅτι νϛ' στίχοι ἐκ τῶν Ἠοιῶν ἠρυμένοι εἰσίν, ἐπειδὴ πᾶς τις προσεκτικὸς σχολιαστής, μετρήσας αὖθις τὸν ἀριθμόν, παρετήρησεν

Ὃς καὶ Κύκνον ἔπεφνεν, Ἀρητιάδην μεγάθυμον.
Εὗρε γὰρ ἐν τεμένει ἑκατηβόλου Ἀπόλλωνος
αὐτὸν καὶ πατέρα ὅν, Ἄρη', ἄατον πολέμοιο,
τεύχεσι λαμπομένους σέλας ὥς πυρὸς αἰθομένοιο,
ἑσταότ' ἐν δίφρῳ· χθόνα δ' ἔκτυπον ὠκέες ἵπποι
νύσσοντες χηλῇσι, κόνις δέ σφ' ἀμφιδεδήει
κοπτομένη πλεκτοῖσιν ὑφ' ἅρμασι καὶ ποσὶν ἵππων.
Ἅρματα δ' εὐποίητα καὶ ἄντυγες ἀμφαράβιζον,
ἵππων ἱεμένων· κεχάρητο δὲ Κύκνος ἀμύμων,
ἐλπόμενος Διὸς υἱὸν ἀρήϊον ἡνίοχόν τε

ὅτι ἡ Ἀσπὶς ἀπὸ τῆς νζ' τὴν ἀρχὴν λαμβάνει. Διώρθωσε λοιπόν, ὡς ᾤετο, τὸ χειρόγραφον· οἱ γὰρ ἀριθμοί, ὡς οἱ παλαιοὶ (καὶ μάλιστα οἱ ἰατροὶ) μεμψιμοιροῦσιν, ὑπὸ τῶν ἀντιγράφων ῥαθυμότατα παραδίδονται.

57. *ἔπεφνεν*] Ὁ ἀόριστος κατ' ἀναδιπλασιασμὸν ἐγένετο ἐκ τῆς ῥίζης ΦΕΝ ὅθεν *φόνος* παράγεται.

* *Ἀρητιάδην*] Τὸ πατρωνυμικὸν προστίθεται πρὸς ἀντιδιαστολὴν τοῦ περιωνύμου υἱοῦ τοῦ Ποσειδῶνος, ὃς ἐν τοῖς «Κυπρίοις» πρόμαχος τῶν Τρώων παρίστατο. Ὁ δὲ ἕτερος, περὶ οὗ νῦν ὁ λόγος γίνεται, Ἄρεως υἱὸς ἦν. Ὁ τύπος τοῦ πατρωνυμικοῦ ἔξαλλος, οἱ δὲ Θηβαῖοι, ὡς φαίνεται, τὴν κακοφωνίαν *ηια* τῇ τοῦ τ προσθέσει καθεῖλον· ἡ *Ἀρεία* γὰρ κρήνη αὐτῶν καὶ *Ἀρητιὰς* καλεῖται (Ἀπολλών. Ῥόδ. 3, 1179 [1180]. Σχόλ. Ἰλ. Β 494, σ. 80 b 7).

58. *τέμενος*] Διακριβοῦται κατωτέρω (70). Ἀλλὰ πόθεν Κύκνος ἦλθεν;

*ἑκατηβόλου Ἀπόλλωνος* = Ἰλ. Α 370 κἑ.

59. Πρβλ.: Ἄρης ἄατος πολέμοιο Ἰλ. Ε 388.

60. *τεύχεσι λ.*] = Θ. 186, τὰ δὲ λοιπὰ ὀλίγον παραλλάσσουσι τοῦ Θ. 563.

61. *ἑσταότ' ἐν δίφρῳ*] = Ἰλ. Ω 701, ἐν τῷ πήγματι τῆς Ἄρεως ἁμάξης, ὡς ὁρῶμεν 109 καὶ 463.

*ἔκτυπον*] Ὁ ἐνεστὼς κτυπέω.

*ὠκέες ἵπποι*] Ὁμηρικῶς.

62. *κόνις δέ σφ' ἀμφιδεδήει*] Ὅμηρος ταῦτα περὶ μάχης μεγάλων στρατευμάτων λέγει, τῆς κόνεως πνιγηρῶς ἀμφικαλυπτούσης τοὺς μαχομένους· *ἀμφιδαίω* γὰρ δηλοῖ τὸ περικαίειν.

63. *κοπτομένη*] Τὸ σχῆμα ζεῦγμα· ἀνήκει γὰρ εἰς τὸ δεύτερον οὐσιαστικόν.

*πλεκτοῖσιν*] Τὸ ἐπίθετον, ᾧ συνωνυμοῦσι τὰ Ὁμηρικὰ εὔπλεκής Ἰλ. Ψ 436 καὶ εὔπλεκτος Ἰλ. Ψ 335, διασαφηνίζεται ἐκ δύο ἀπὸ τοῦ Διπύλου ἀγγείων (ἃ ἀπεικονίζει Helbig ἐν τῷ βιβλίῳ das homerische Epos σ. 99 καὶ 100 ἐκ τῶν Monumenti dell'Instituto 9, 39, 1 καὶ Annali dell'Instituto 1872, πίν. Τ).

64. *ἄντυγες*] Περὶ τὸν δίφρον (Ἰλ. Λ 535 = Υ 500) περιτρέχουσι δύο ἄντυγες (Ἰλ. Ε 728), ἤτοι δρύφακτοι, πεποιημέναι ἐκ νέων ὀρπήκων ἢ κλάδων (Ἰλ. Φ 38).

*ἀμφαράβιζον*] Ἐκρότουν.

65. Ὁ ὑπερσυντέλικος *κεχάρητο* ἐντείνει τὴν ἔννοιαν.

*ἀμύμων*] Ἴδε Θ. 263.

66. *ἀρήϊον*] Ἔπιθι τὸν 2 στ.

*ἡνίοχον*] Τίς Θηβαῖος ἠγνόησεν, ὅτι

χαλκῷ δηιάσειν καὶ ἄπο κλυτὰ τεύχεα δύσειν.
Ἀλλά οἱ εὐχωλέων οὐκ ἔκλυε Φοῖβος Ἀπόλλων·
αὐτὸς γάρ οἱ ἐπῶρσε βίην Ἡρακληείην.
Πᾶν δ' ἄλσος καὶ βωμὸς Ἀπόλλωνος Παγασαίου
λάμπεν ὑπὸ δεινοῖο θεοῦ, τευχέων τε καὶ αὐτοῦ·
πῦρ δ' ὡς ὀφθαλμῶν ἀπελάμπετο. Τίς κεν ἐκείνῳ
ἔτλη, θνητὸς ἐών, κατ' ἐναντίον ὁρμηθῆναι
πλήν γ' Ἡρακλῆος καὶ κυδαλίμου Ἰολάου ;
Κείνων γὰρ μεγάλη τε βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσι.
Ὥς ῥα τόθ' ἡνίοχον προσέφη κρατερὸν Ἰόλαον·
«Ἥρως ὦ Ἰόλαε, βροτῶν πολὺ φίλτατε πάντων,

Ἰόλαος, ᾧ ἡρωϊκὰς τιμὰς ἀπένεμεν ἐν Θήβαις, Ἡρακλέους ἡνίοχος ἦν; Οἱ Ὀγχήστιοι καὶ οἱ Θηβαῖοι ἐλάτρευον τὸν *ἱπποδέτην* Ἡρακλέα (Ἡσύχ. λ. Παυσαν. 9,26,1), ὃς δῆθεν ἀφ' ἁμάξης πολεμεῖ.

67. *χαλκῷ * δηϊάσειν*] Πρβλ. Ἰλ. Θ. 534: χαλκῷ δηώσας· τῇ μετωνυμίᾳ *χαλκὸς* ἀντὶ τοῦ δόρατος ἢ τοῦ ξίφους Ὅμηρος συνεχῶς χρῆται.

*καὶ—δύσειν*]=Ἰλ. Ε 435. Ἥρωος καὶ τὰ ὅπλα περιώνυμα.

68. *εὐχωλέων οὐκ ἔκλυε*] Ἡ αὐτὴ σύνταξις ηὕρηται Ἰλ. Δ 767: «θεὰ δέ οἱ ἔκλυεν ἀρῆς». Τὴν δὲ φράσιν κατὰ λιτότητα ἐκληπτέον· τὰς εὐχὰς ἐματαίωσεν. Διὸ ἀκολουθεῖ *γάρ*, οὐ μέντοι *ἀλλά*.

69. *βίην Ἡρακληείην*]= 52.

70. Ναοὶ τότε ὀλίγιστοι ὑπῆρχον, ἐν τεμένεσι μέντοι ὑπαιθρίους βωμοὺς ἀνήγειρον καὶ περὶ αὐτοὺς δένδρα ἐφύτευον, ὥσπερ νῦν περὶ τὰς ἐκκλησίας πεύκας, πλατάνους κτλ. καὶ περὶ τὰ *τζαμία* κυπαρίσσους τρέφουσιν. Οὐδεὶς ἐτόλμα κόψαι ἱερὸν δένδρον, περιφοβούμενος τὴν Ἐρυσίχθονος τύχην.

*Παγασαίου*] Παγασαὶ ἔκειντο ἐπὶ τοῦ ἀκρωτηρίου τῆς Θεσσαλικῆς Μαγνησίας, ἀφ' ὧν ὁ πέριξ κόλπος τὸ ὄνομα ἔλαβεν. Τὸ ἱερὸν ἀρχαιότατον ἦν, ὅθεν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ χρηστηρίων, ὡς ὁ σχολιαστής, ἔγραψεν, ὅτι Τροφώνιος ὁ Βοιωτὸς (ἰδοὺ τὸν τοῦ ποιητοῦ συμπολίτην) τὸ ἱερὸν ἵδρυσεν.

71. Τὸ λεκτικὸν τὴν Ἰλιάδα ἀπηχεῖ, πρβλ. Θ. 193: (ἀσπίδα) πᾶσαν χρυσείην ἔμεναι, κανόνας τε καὶ αὐτήν, Ἰλ. Λ 525: Τρῶες ὀρίνονται ἐπιμίξ, ἵπποι τε καὶ αὐτοί. Οἱ θεοὶ λάμπουσι κατὰ τὴν ποιητικὴν πρόληψιν (Ὕμν. Ὁμηρ. 5,278 Βιργιλ. Αἰν. 1, 402 κἀ.), μᾶλλον δὲ ὁ λαὸς τὴν δοξασίαν ταύτην εἶχε, διὸ ἀνάλογός τις ἔτι νῦν ἐπικρατεῖ.

72. *πῦρ ὡς*] Πυροειδές τι: «Ἀπὸ τὰ 'μάτια του φωτιά» λέγει ὁ λόγος (Βενιζέλ. Α 343).

74. *κυδαλίμου*] Παρὰ τὸ κῦδος (εὐδοξία), καθάπερ ἰδάλιμος (Ἔ. 415) παρὰ τὸ ἶδος ἀπάγεται.

75-76. Ὁ ποιητὴς εἴληφεν ἐξ Ἔ. 148-9, οὐδὲν μεταβαλὼν ἢ τὴν ἀρχήν· ἐκ δὲ Θ. 673 (=76) ἔμαθε τὸν τρόπον τῆς συνεχείας (: ὅς ῥα **τόθ'**).

78. *ἥρως ὦ Ἰόλαε*] Ὅμηρος τὸ ἐπιφώνημα οὕτω τίθησιν ἐν τῇ προσηγορίᾳ «φίλος ὦ Μενέλαε»· ταὐτὸ γί-

ἤ τι μέγ' ἀθανάτους μάκαρας, τοὶ Ὄλυμπον ἔχουσι,
ἤλιτεν Ἀμφιτρύων, ὅτ' ἐϋστέφανον ποτὶ Θήβην
ἦλθε λιπὼν Τίρυνθον, ἐϋκτιμενον πτολίεθρον,
κτείνας Ἠλεκτρύωνα βοῶν ἕνεκ' εὐρυμετώπων·
ἵκετο δ' ἐς Κρείοντα καὶ Ἡνιόχην τανύπεπλον,
οἵ ῥά μιν ἠσπάζοντο καὶ ἄρμενα πάντα παρεῖχον,
ἣ δίκη ἔσθ' ἱκέτῃ, τεῖον δέ ἑ κηρόθι μᾶλλον.
Ζῶε δ' ἀγαλλόμενος σὺν ἐϋσφύρῳ Ἠλεκτρυώνῃ,
ᾗ ἀλόχῳ· τάχα δ' ἄμμες ἐπιπλομένων ἐνιαυτῶν
γεινόμεθ', οὔτε φυὴν ἐναλίγκιοι οὔτε νόημα,
σός τε πατὴρ καὶ ἐγώ· τοῦ μὲν φρένας ἐξέλετο Ζεύς,

νεται ἐν τοῖς Ὕμνοις (Ὑμν. Ὁμηρ. 1, 14: μάκαιρ' ὦ Λητοῖ, καὶ παρῳδικῶς Ἀριστοφάν. Νεφέλ. 1205: μάκαρ ὦ Στρεψίαδες).— Τὸ ἐμπλέξαι τὰ προγεγενημένα εἰς ὀδυρμὸν Ἡρακλέους ἐντέχνως ἐπινενόηται, ἀλλὰ ὁ ποιητής, μεταβαίνων πάλιν πρὸς τὴν διήγησιν (94), οὐκ ἐπέτυχεν.

80. *ἤλιτεν*] «Προσέπταισε πρὸς τοὺς θεούς». Πρβλ. Ἰλ. Ω 570: Διὸς ἀλίτωμαι ἐφετμάς.

*ἐϋστέφανον*] Ἴδε Θ. 978.

81. *Τίρυνθον*] Ὁ κοινὸς τύπος ἐστὶ *Τίρυνς*, (οἱ γὰρ Ἀργεῖοι προέφερον *νσ*, πρὸς δὲ τὸν προκείμενον πολλοὶ ἀνάλογοι ὑπάρχουσιν, οἷον *Κόρινθος*).

*ἐϋκτίμενον πτολίεθρον*] = Ἰλ. Β 501 κά. Τὸ ἐπίθετον βεβαιοῦσιν εἰσέτι τὰ γιγάντεια ἐρείπια τῶν Κυκλωπικῶν τειχῶν καὶ τῶν ἀνακτόρων.

82. Παράθες 11,12. Ἀπηχεῖ τὸ ἐν τῇ Ὀδυσσείᾳ (υ 212): «βοῶν γένος εὐρυμετώπων».

83. *Κρείοντα*] Κυρίως πᾶς τις βασιλεὺς κρείων ἢ κρέων ὀνομασθῆναι δύναται. Τὸ ὄνομα τῆς γυναικὸς τὴν ἱπποτροφίαν τῶν **πληξίππων** Βοιωτῶν χαρακτηρίζει. Ὅτι ἡ βασίλισσα διαρρήδην μνημονεύεται, ἥκιστα περίεργον, τοῦ ποιήματος ἐξαρτωμένου ἐκ τῶν τὰς ἡρωίνας ἐξυμνουσῶν Ἠοιῶν.

*τανύπεπλον*] Τὸν πέπλον ἔχουσαν ποδήρη.

84. *ἠσπάζοντο*] Καὶ τοῦτο ἐπικὸν ἐκφαίνεται. Ὁ ποιητὴς οὐχὶ μόνον τὸ πρᾶγμα διηγεῖται, ἀλλὰ καὶ τὴν δεξίωσιν διὰ βραχέων παρίστησιν.

*ἄρμενα*] Τὰ ἐπιτήδεια καὶ πρέποντα, πρβλ. «καὶ ἄρμενα πάντα παράσχοις» (Θέογνις 271).

85. *ἣ δίκη ἔσθ'*] Τὸ συνώνυμον «ἣ θέμις ἐστὶ» ηὕρηται Ἔ. 137.

*κηρόθι μᾶλλον*] Ἐν τοῖς Ὁμηρικοῖς ποιήμασιν ἐπὶ τῆς αὐξήσεως τῆς ὀργῆς μάλιστα τίθεται· ὁμοιάζει μέντοι Ὀδ. ο 370: φίλει δέ με κηρόθι μᾶλλον. Ἡ φράσις τοσοῦτο τέτριπται, ὥστε ὁ συγκριτικὸς οὐκ ἰσχύει.

86. Πρὸς τὸ τέλος παράθες 16.

87. *ἐπιπλομένων*] Πρβλ. Θ. 493. Ὁ πληθυντικὸς οὐκ εἰκῇ κεῖται· πολὺς γὰρ χρόνος μεταξὺ τῆς ἐξ Ἄργους φυγῆς καὶ τῆς γενέσεως παρῆλθεν (πρβλ. Ἀπολλόδωρ. 2,4,6, 6-7, 5).

88. Λιτῶς τὴν ἑαυτοῦ ἀξίαν ἐκφωνεῖ· ὁ ποιητὴς δὲ σὺν ἡμῖν ἀναπολεῖ τοὺς 50 - 6 στίχους.

89. *φρένας ἐξέλετο Ζεύς*] = Ἰλ. Ζ

ὃς προλιπὼν σφέτερόν τε δόμον σφετέρους τε τοκῆας
ᾤχετο, τιμήσων ἀλιτήμερον Εὐρυσθῆα,
σχέτλιος· ἦ που πολλὰ μετεστοναχίζετ᾿ ὀπίσσω
ἣν ἀάτην, ἀχέων· ἡ δ᾿ οὐ παλινάγρετός ἐστι.
Αὐτὰρ ἐμοὶ δαίμων χαλεποὺς ἐπετέλλετ᾿ ἀέθλους.
Ὦ φίλος, ἀλλὰ σὺ θᾶσσον ἔχ᾿ ἡνία φοινικόεντα
ἵππων ὠκυπόδων· μέγα δὲ φρεσὶ θάρσος ἀέξων,
ἰθὺς ἔχειν θοὸν ἅρμα καὶ ὠκυπόδων σθένος ἵππων,

234. Τ 137: «Ὅταν δ᾿ ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακά, τὸν νοῦν ἔβλαψε πρῶτον ᾧ βουλεύεται» (Τραγικὸς ἀνώνυμος ἐν Σχολ. Σοφοκλ. Ἀντιγ. 620). Ὁ λαὸς διατελεῖ φιλοσοφῶν περὶ τῆς τοῦ ἀτυχοῦς γοητεύσεως: «Τοῦ 'πῆρ' ὁ θεὸς τὴν γνῶσιν», ὃ καὶ συμπεριλαμβάνει εἰς τὸ ἐπίθετον *θεότρελλος*.

90. *ὅς*] Τὸ ἀναφορικὸν αἰτιολογεῖ τὴν κατηγορίαν.

*σφέτερον*] Περὶ τῆς ἐπὶ τοῦ τρίτου προσώπου χρήσεως ἔπιθι τὴν εἰς Ἔ. 2 σημείωσιν.

91. *τιμήσων*] Τοῦτο ἐμφαίνει τὴν ὑποτέλειαν· ὁμοίως περὶ τῶν λαῶν εἴρηται (Ἰλ. Ι 155): «οἵ κέ ἑ δωτίνῃσι θεὸν ὣς τιμήσουσι».

*ἀλιτήμερον*] Τὸν ἁμαρτόντα καὶ ἀποτυχόντα τῶν ἡμερῶν, ἤγουν τῶν θ΄ τοῦ τοκετοῦ μηνῶν· ἐπειδὴ ἐκ δόλου Ἥρας ἑπταμηνιαῖος ἐγεννήθη. Ὅμηρος συνωνύμως αὐτὸν *ἠλιτόμηνον* (Ἰλ. Τ 118) ἀπεκάλεσεν, ὃ ἐνταῦθα οὐχ ἁρμόζει πρὸς τὸ μέτρον. Ἀμφιτρύων *ᾤχετο*, ἤγουν ἀπῆλθεν, ἐκ Θηβῶν εἰς Ἄργος ἢ Μυκήνας, ὅπου Εὐρυσθεὺς ὁ ἀπὸ Σθενέλου Περσείδης ἐβασίλευεν.

92. *σχέτλιος*] Πρβλ. Θ. 488.

93. *ἀάτην*] Ἀναφέρομεν εἰς τὸ κύριον ῥῆμα, παρατιθέντες Ὀδ. δ 261: ἀάτην δὲ μετέστενον.

*παλινάγρετος*] Ἣν οὐκ ἔξεστι λαβεῖν ὀπίσω· τὸ *ἀγρέω* δηλαδὴ τῷ κοινῷ *αἱρέω* συνωνυμεῖ. Πρβλ. Ἰλ. Δ 357: πάλιν δ᾿ ὅγε λάζετο μῦθον.

94. *δαίμων*] Ἐνταῦθα κατὰ τὴν Ὁμηρικὴν σημασίαν δηλοῖ τὸ θεῖον. Ὀδ. λ 622 ταὐτὰ περὶ τοῦ Εὐρυσθέως εἴρηνται «ὃ δέ μοι χαλεποὺς ἐ.ἀ.».

95. *ὦ φίλος*] Ἡ σύνταξις παρ᾿ Ὁμήρῳ εὐχρηστεῖ, οἷον Ὀδ. ρ 17.

*ἀλλὰ σύ*] Μετὰ τὴν προσηγορίαν τίθεται, ὥσπερ τὸ συνώνυμον *σὺ δέ* (Ἔ. 27).

*θᾶσσον*] Ἡ ἀντὶ ὑπερθετικοῦ χρῆσις τοῦ συγκριτικοῦ τούτου εἰς Ὅμηρον ἀνήκει.

*ἔχ᾿*] Ἀντὶ τοῦ ἀορίστου (λαβέ), ὥσπερ (Ἰλ. Θ 139): φόβον δ᾿ ἔχε μώνυχας ἵππους, Γ 263: πεδίονδ᾿ ἔχον.

*φοινικόεντα*] Καὶ «ζωστῆρα φοίνικι φαεινόν» (Ἰλ. Ζ 219) ἀναφέρονται εἰς πορφυροῦν δέρμα (ἱμάντα βοὸς φοίνικι φαεινόν Ὀδ. ψ 201). Τὸ ἐπίθετον Ἰλ. Θ 116 καὶ 137 ἀντὶ τοῦ συνήθους *ἡνία σιγαλόεντα* ὑπό τινων ἐγράφετο.

96. Παράθες Ὀδυσσ. λ 195: μέγα δὲ φρεσὶ πένθος ἀέξει.

97. *ἰθὺς ἔχειν*] Διευθύνειν· ὁ ἐνεστώς, ὡς εἴπομεν, ἀντὶ τοῦ ἀορίστου τίθεται, τὸ δὲ ἀπαρέμφατον ἀντὶ τοῦ προστακτικοῦ, ὥσπερ πλειστάκις ἐν τοῖς Ἔργοις.

*θοὸν ἅρμα*] = Ἰλ. Ρ 458 (συνᾴδει δὲ καὶ ὁ τοῦ ἑξαμέτρου τόπος).

*σθένος ἵππων*] Ἡ περίφρασις ἀνα-

μηδὲν ὑποδείσας κτύπον Ἄρεος ἀνδροφόνοιο,
ὃς νῦν κεκληγὼς περιμαίνεται ἱερὸν ἄλσος
Φοίβου Ἀπόλλωνος, ἑκατηβελέταο ἄνακτος·
ἦ μήν, καὶ κρατερός περ ἐών, ἄαται πολέμοιο».
Τὸν δ' αὖτε προσέειπεν ἀμώμητος Ἰόλαος·
«Ἠθεῖ', ἦ μάλα δή τι πατὴρ ἀνδρῶν τε θεῶν τε
τιμᾷ σὴν κεφαλὴν καὶ ταύρεος Ἐννοσίγαιος,
ὃς Θήβης κρήδεμνον ἔχει ῥύεταί τε πόληα·

λογεῖ ταῖς ἐν πλείονι χρήσει «βίη Ἡρακληείη», «ἲς Τηλεμάχοιο» κτλ.

98. *κτύπον*] Ἑρμηνεύεται τῷ ἑπομένῳ στίχῳ.

*Ἄρεος ἀνδροφόνοιο*] = Ἰλ. Δ 441.

99. *κεκληγώς*] Σφοδρῶς κλάζων καὶ βοῶν.

*περιμαίνεται*] Παράλληλον ἐκδείνωσιν εὑρίσκομεν ἐν τῷ περὶ τοῦ Δασκαλογιάννη ᾄσματι (στ. 330): «Οὖλαι θὰ φουρλαρεύσωμε εἰς τὰ βουνὰ 'ς τὰ ὄρη».

100. = Ἰλ. Α 75 (ἐκτὸς τῆς πρώτης λέξεως). Περὶ τοῦ *ἄνακτος* ζήτει τὴν εἰς Θ. 493 σημείωσιν.

101. *ἄαται*] Αἰνίττεται τὸ ἐπίθετον «ἄατον πολέμοιο» (59)· ὁ ἀπαιτούμενος μέλλων χρόνος ἐκφράζεται οὐκ ἐν τῷ ῥήματι, ἀλλὰ τοῖς μορίοις *ἦ μήν*, ἃ ἐπὶ ὅρκων ἐν χρήσει εἰσίν.

102. Τὸ πρῶτον ἡμιστίχιον ἐν ταῖς ἐποποιΐαις ἀπειράκις ἀπαντᾷ.

103. *ἠθεῖ'*] Τὸ ἐπίθετον, ὃ παρὰ τὸ ἦθος παράγεται, στενωτέραν ἔτι οἰκειότητα ἐκφράζει ἢ *γνώριμος*. Τὰ ἑπόμενα (ἦ μάλα δή τι) ἀνταποκρίνονταί πως πρὸς τὰ ἀνωτέρω (79: ἦ τι μέγα). Τὰ λοιπὰ ἐξ Ὁμήρου εἴληφεν.

104. *σὴν κεφαλήν*] Τὴν αὐτὴν περίφρασιν μεταχειρίζεται ὁ Μαιονίδης ἐν ταῖς προσηγορίαις «φίλη κεφαλή» (Ἰλ. Θ. 281) καὶ «ἠθείη κεφαλή» (Ψ 94).

*ταύρεος*] Τὰ κύματα πρὸς τοὺς ταύρους εἰς τοῦτο σχέσιν ἔχουσιν, ὅτι βρυχῶνται (βογκοῦν) ἢ μυκῶνται (Ἰλ. Φ 237: μεμυκὼς ἠύτε ταῦρος). Διὸ οἱ τῶν ποταμῶν θεοὶ ὑπὸ τῶν πλείστων ὡς ταῦροι ἀνθρωποκέφαλοι ἀπεικονίζονται (Πρβλ. Αἰλιαν. Ποικίλ. Ἱστ. 2, 33· Εὐριπ. Ἰφ. Αὐλ. 275. Ὀρέστ. 1378). Ποσειδῶν δὲ αὐτὸς πολλάκις μετὰ τῶν ταύρων συνδέεται· τούτους γὰρ αὐτῷ ἐθυσίαζον (Ἰλ. Υ 403 κέ. Ὀδ. γ 6. Πινδάρ. Νεμ. 6, 40. Ἀρριαν. Ἀνάβ. 6,19,5, Σχόλ.) Ταύρεια ὠνομάσθη ἑορτὴ αὐτοῦ (Ἡσύχ. λ.) «παρὰ δὲ Ἐφεσίοις οἱ οἰνοχοοῦντες ἤθεοι τῇ τοῦ Ποσειδῶνος ἑορτῇ ταῦροι ἐκαλοῦντο, ὡς Ἀμερίας φησίν» (Ἀθην. Δειπνοσοφ. 10, 425 b), καὶ δὴ καὶ ὁ θεὸς «ἀνέπλασε» τὸν ταῦρον (Λουκιαν. Ἑρμότιμ. 20).

*Ἐννοσίγαιος*] Ἴδε Θ. 15.

105. *Θήβης κρήδεμνον ἔχει*] Ἤτοι τὴν Καδμείαν (ἀκρόπολιν), ἢ τὸ ἄκρον τοῦ Θηβαϊκοῦ λόφου περιπλέκεται ὡς ἀναδέσμη. Ἡ περικαλλὴς μεταφορὰ ὑφ' Ὁμήρου προτετύπωται (Ἰλ. Π 100. Ὀδ. ν 388, πρβλ. Ὕμν. Ὁμηρ. 5, 151), ὃς καὶ τὰς ἀκροπόλεις «πολίων κάρηνα» ὠνόμασεν. Ποσειδῶν *ἔχει* τὴν ἀκρόπολιν, καθὼς αἱ Μοῦσαι τὸν Ἑλικῶνα (Θ. 2), ὅτι αὐτῷ ἀφιέρωται. Ποσειδῶν γὰρ προστάτης τῶν Βοιωτῶν ἦν, οἳ τὸν ἐπώνυμον ἥρωα Βοιωτὸν ἀπ' αὐτοῦ γενεαλογοῦντες (Σχόλ. Ἰλ. Β 507), τὴν χώραν ὁλόκληρον Ποσειδῶνι ἀνέθεσαν (Ἐτυμολ.

οἷον δὴ καὶ τόνδε βροτὸν κρατερόν τε μέγαν τε
σὰς εἰς χεῖρας ἄγουσιν, ἵνα κλέος ἐσθλὸν ἄρηαι.
Ἀλλ' ἄγε δύσεο τεύχε' ἀρήϊα, ὄφρα τάχιστα,
δίφρους ἐμπελάσαντες Ἄρηός θ' ἡμέτερόν τε,
μαρνώμεσθ', ἐπεὶ οὔτοι ἀτάρβητον Διὸς υἱὸν
οὐδ' Ἰφικλείδην δειδίξεται, ἀλλά μιν οἴω
φεύξεσθαι δύο παῖδας ἀμύμονος Ἀλκείδαο,
οἵ δή σφι σχεδόν εἰσι, λιλαιόμενοι πολέμοιο
φυλόπιδα στήσειν, τά σφιν πολὺ φίλτερα θοίνης».

Μέγ. σ. 547, 15) καί, ὡς αὐτοὶ ἔλεγον, πρῶτοι ἱερόν ἐν Ὀγχηστῷ ἀνήγειραν (Σχόλ. Ἰλ. Β 506).

*πόληα*] Ὁ τύπος ἐσχημάτισται κατὰ τὴν γενικὴν *πόληος* καὶ τὴν δοτικὴν *πόληι*, καθάπερ Ὅμηρος κλίνει εὐρέος, εὐρέϊ, εὐρέα (εὐρύν). Ἐπειδὴ καὶ ἐν τοῖς Μεθ' Ὅμηρον Κοΐντου τοῦ Σμυρναίου ἀπαντᾷ (8, 445. 11, 287), ἀμφότεροι ἴσως ἐκ τῶν κυκλικῶν ἐποποιῶν αὐτὸν ἠρύσαντο.

106. *οἷον δὴ καί*] Ὁ νοῦς· Ἄλλοτέ σ' ἐτίμησαν καὶ νῦν, τὸν ἄνθρωπον ἄγοντες εἰς τὰς χεῖράς σου.

*τόνδε βροτόν*] Προσέθηκε τὸ βροτόν, ἐπειδὴ καὶ τὸν θεὸν Ἄρην εἶδον.

*κρατερόν τε μέγαν τε*] Ὅσῳ ἰσχυρότερος ὁ πολέμιος, τόσῳ μείζων ἡ δόξα.

108. *ἀρήϊα*] = 2. Ἴσως ἐξεπίτηδες οὕτως εἶπε κατ' ἐναντίωσίν τινα πρὸς Ἄρην (109)· ἀλλὰ ἡ αὐτὴ φράσις προείρηται Ἰλ. Ζ 340 (:ἀρήϊα τεύχει δύω).

110. *ἀτάρβητον*] Τὸν μὴ ταρβοῦντα, ἤγουν φοβούμενον.

111. *Ἰφικλείδην*] Τὸ σχῆμα πασίγνωστον καὶ ἐν πάσαις περιόδοις ἐκφράζει τὴν ὑπερηφάνειαν.

*δειδίξεται*] Ὁ μέλλων τοῦ δειδίσσομαι ῥήματος, ὃ τὸν αὐτὸν ἀναδιπλασιασμὸν ἔχει, ὃν τὸ ἐπικὸν δείδια ἀντὶ τοῦ δέδια. Αἴτιον δὲ τὸ δίγαμμα τῆς ῥίζης ΔFI. Ἡ σημασία ἐνεργητική (= ἐκφοβήσει).

112. *παῖδας*] Τὸν υἱὸν καὶ τὸν ἔγγονον τοῦ Ἀλκείδου Ἀμφιτρύωνος. Ὁ πατὴρ αὐτοῦ τοτὲ μὲν Ἀλκαῖος, τοτὲ δὲ Ἀλκεὺς ὠνομάζετο.

*ἀμύμονος*] Ἴδε Θ. 263.

113. *σφι*] Οἱ (αὐτῷ), πρβλ. 90.

*εἰσι*] Ὁ τῆς συντάξεως κανὼν παραγγέλλει τὸ πρῶτον πρόσωπον τοῦ πληθυντικοῦ (πρβλ. τὸ ἐπίγραμμα ἀρ. 38 ἐν τῇ τοῦ Kaibel Συλλογῇ: Ζηλοῖ **σ'** Ἑλλὰς πᾶσα .... ὃς .... πρῶτος **ἔφυ** σοφίᾳ). Ἰόλεως ὁμοίως τίθησι τὴν ἀντωνυμίαν *σφιν* (114) ἀντὶ τοῦ ἡμῖν.

*λιλαιόμενοι πολέμοιο*] = Ἰλ. Γ 133, ἀλλ' ἐνταῦθα ἡ γενικὴ ἐξαρτᾶται ἐκ τῆς αἰτιατικῆς.

114. *φυλόπιδα στήσειν*] Πρωτοφανὴς ἦν πάντως ἡ φράσις «ἵστημι ἀγῶνα» (Ὕμν. Ὁμηρ. 1, 150). Τῷ μέλλοντι τοῦ ἀπαρεμφάτου χρῆται Ὅμηρος μετὰ τῶν συνωνύμων μέμονα (Ἰλ. Β 544. Η 36. Μ 198. 200. 218. Ξ 89. Ο 105. Φ 482. Ὀδ. ο 522. ω 395) καὶ μενεαίνω (Ἰλ. Φ 176). Ὅσα ἐπιθυμοῦμεν, τῷ ὄντι μέλλουσιν.

*θοίνης*] Οὐκ αἰνίττεται τὴν ἐν τοῖς λαϊκοῖς μύθοις πολυφαγίαν τοῦ ἥρωος, ἧς μετέχουσι καὶ ὁ μεσαιωνικὸς Ἡρακλῆς, ὁ Διγενὴς καὶ ὁ ἐν τοῖς παραμυ-

Ὣς φάτο· μείδησεν δὲ βίη Ἡρακληείη,
θυμῷ γηθήσας· μάλα γάρ νύ οἱ ἄρμενα εἶπε·
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
«Ἥρως ὦ Ἰόλαε, Διοτρεφές, οὐκέτι τηλοῦ
ὑσμίνη τρηχεῖα· σὺ δ' ὡς πάρος ἦσθα δαΐφρων,
ὣς καὶ νῦν μέγαν ἵππον ἀρείονα κυανοχαίτην
πάντῃ ἀναστρωφᾶν, καὶ ἀρηγέμεν ὥς κε δύνηαι».
Ὣς εἰπὼν κνημῖδας ὀρειχάλκοιο φαεινοῦ,

θίοις Ἰάννης ἢ ὅ,τι καὶ ἂν ὄνομα φέρῃ ὁ ἰσχυρὸς ἥρως· ἐν Ἡσιοδείῳ γὰρ ἀποσπάσματι (Πολυβ. Ἱστ. 5,2) εὑρίσκομεν «**Αἰακίδας** πολέμῳ κεχαρηότας ἠύτε δαιτί». Παραπέμπομεν πρὸς τούτοις εἰς τοὺς εὐχάριτας στίχους, οἷς ὁ πολύτλας Λαερτιάδης τὰς τοῦ δείπνου ἡδονὰς ἐξυμνεῖ ἐνώπιον τῶν Φαιάκων.

115. = Ἰλ. Ε 426 ἐκτὸς τοῦ τέλους, ὃ παρ' Ὁμήρῳ συνεχῶς ἐν χρήσει ἐστίν.

116. *γηθήσας*] Ἡ σύνταξις κατὰ σύνεσιν.

*ἄρμενα*] ΑΡ ἐστὶ ῥίζα τοῦ τε ἀραρίσκω καὶ τοῦ ἀρέσκω.

117. = Ἰλ. Ο 48. Ἔπεα *πτερόεντα* ἐπονομάζονται, καθόσον ἀποπέτονται καὶ οὐ «παλινάγρετά» εἰσιν.

118. Παράθες 78.

*Διοτρεφές*] Ἔπιθι Θ. 118.

119. Περὶ τοῦ *δαΐφρων* εἴπομεν εἰς Ἔ. 654· ἐνταῦθα λοιπὸν πρόδηλον, ὅτι τὴν ἀνδρείαν αὐτοῦ ἐγκωμιάζει.

* 120. Ἐκ τῶν δύο ἵππων (96) ὁ ἰσχυρότερος καὶ μείζων ἐξαίρεται.

121. Πρβλ. :πάντῃ ἀναστρωφῶν' Ὀδ. φ 394, ὅπου ἡ φράσις εὐστοχώτερον κεῖται. Τί γὰρ ποικίλας στροφὰς ποιεῖσθαι δέον τοὺς ἵππους;

122. Οἱ ἥρωες τοῦ ὁπλισμοῦ ἄρχονται ἀπὸ τῶν κνημίδων, ὅτι ἐνδυθέντες τὸν θώρακα οὐκέτι κύπτειν δύνανται (πρβλ. Ἰλ. Γ 330. Λ 17. Τ 369).

*ὀρειχάλκοιο φαεινοῦ*] Τὸ μέταλλον τοῦτο ὡς τιμιώτατον μνημονεύεται Ὕμν. Ὁμηρ. 6, 9 καὶ ὑπὸ Στησιχόρου καὶ Βακχυλίδου (Σχόλ. Ἀπολλων. Ῥοδ. 4,973). Οἱ μεταγενέστεροι, μάλιστα δὲ οἱ Ῥωμαῖοι καὶ Βυζαντῖνοι, διαφόροις μεταλλοκράμασι τὸ παλαιὸν ὄνομα ἐπέθεσαν· ταῦτα ὅμως ἐνταῦθα ἀπροσδιόνυσα. Τεκμηριοῦμεν τοῦτο μόνον ὅτι Πλάτων (ἐν Κριτίᾳ σ. 114 Ε) καὶ Ἀριστοτέλης (παρὰ Σχολ. Ἀπολλων. Ῥοδ. 4, 973 καὶ Πλινίῳ Φυσ. Ἱστ. 34,4) τὸ μέταλλον ἠγνόουν. Ἐν τούτοις ἀναμιμνήσκομεν τοὺς ἀναγνώστας, ὅτι ἐκ τῶν ἐν Μυκήναις ἀνασκαφῶν ἐκφαίνεται, ὅτι οἱ Ἀχαιοὶ θαυμαστὸν ὅσον ἠπίσταντο τὴν τεχνικὴν κατεργασίαν τῶν μετάλλων· οἷον ηὑρέθη σύγκραμα, περιέχον ὀξείδιον τοῦ χαλκοῦ (ἴδε τὸ περὶ Μυκηνῶν βιβλίον τοῦ Σχλίεμαννν σ. 179). Καὶ ὕστερον ἐμίγνυον τὸν χαλκὸν εἰς ποικίλους τρόπους, ὧν αἱ ὀνομασίαι ἄγνωστοι. Θεόφραστος διδάσκει, ὅτι ὁ χαλκὸς ἀπὸ τῆς ὑελίτιδος λαμπρὸν χρῶμα λαμβάνει (π. λίθων 49). Ἐν τοῖς τάφοις τῶν περὶ τὴν Νεάπολιν καὶ Κύμην Ἑλλήνων οἱ ἀρχαιολόγοι ἀνηῦρον τὸ λεγόμενον Metallo Spinelli, περὶ οὗ εἴρηται ἐν τῷ Δελτίῳ τῆς Ἀρχαιολογικῆς ἐν Ῥώμῃ Σχολῆς, σ. 142-3. Μάλιστα δὲ ἴσως τὸ ὀρείχαλκον τοῦ Θηβαϊκοῦ ποιητοῦ συνάφειαν ἔχει πρὸς τὸν μετὰ **Καδμείας** γῆς μιχθέντα χαλκὸν

Ἡφαίστου κλυτὰ δῶρα, περὶ κνήμῃσιν ἔθηκε·
δεύτερον αὖ θώρηκα περὶ στήθεσφιν ἔδυνε,
καλόν, χρύσειον, πολυδαίδαλον, ὅν οἱ ἔδωκε
Παλλὰς Ἀθηναίη, κούρη Διός, ὁππότ᾽ ἔμελλε
τὸ πρῶτον στονόεντας ἐφορμήσασθαι ἀέθλους.
Θήκατο δ᾽ ἀμφ᾽ ὤμοισιν ἀρῆς ἀλκτῆρα σίδηρον
δεινὸς ἀνήρ· κοίλην δὲ περὶ στήθεσφι φαρέτρην
καββάλετ᾽ ἐξόπιθεν· πολλοὶ δ᾽ ἔντοσθεν ὀϊστοὶ
ῥιγηλοί, θανάτοιο λαθιφθόγγοιο δοτῆρες,
πρόσθεν μὲν θάνατόν τ᾽ εἶχον καὶ δάκρυσι μῦρον,
μέσσοι δὲ ξεστοί, περιμήκεες, αὐτὰρ ὄπισθεν
μορφνοῖο φλεγύαο καλυπτόμενοι πτερύγεσσι.
Εἵλετο δ᾽ ὄβριμον ἔγχος ἀκαχμένον αἴθοπι χαλκῷ·
κρατὶ δ᾽ ἐπ᾽ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκε,

ὅς, κατὰ τὸν Ῥωμαϊκὸν λεξικογράφον Φῆστον, ὡσαύτως ὀρείχαλκον ὠνομάσθη.

123. *Ἡφαίστου* ] Ὅσα οἱ ἥρωες ἔχουσι πολύτιμα, ἤτοι Ἡφαίστου ἢ τῶν Φοινίκων ἔργα.

*περὶ κνήμῃσιν ἔθηκε* ] = Ἰλ. Γ 330. Λ 17. Π 131. Τ 369.

124. = Ἰλ. Γ 332. Λ 19. Π 133. Τ 371.

125. Πρβλ. «καλὴν χρυσείην» Ἰλ. Ξ 351 κά.

126. *Παλλὰς - Διός*] = Ὀδ. ν 190.

127. Πρβλ. Θ. 951.

128. *ἀρῆς ἀλκτῆρα*] = 29. Τὸ ξίφος ζωοποιεῖται, ὥσπερ οἱ ὀϊστοὶ ἐν τοῖς κατωτέρω.

*σίδηρον*] Τὸ σιδηροῦν ξίφος, κατὰ τὸ Ὁμηρικὸν «ἐφέλκεται ἄνδρα σίδηρος» (Ὀδ. π 294).

129. *φαρέτρην*] Ἀκριβέστερον ἂν εἶπε· τὸν ἀορτῆρα ἱμάντα τῆς φαρέτρας.

130. *καββάλλετ᾽*] Ἴδε Θ. 189.

*ἔντοσθεν*] Ἐπιθετικῶς κεῖται.

131. Τὸ πρῶτον ἐπίθετον διασαφηνίζεται διὰ τοῦ ἑπομένου. Ὁ γὰρ θάνατός ἐστι κρυερός (Ἔ. 153).

*λαθιφθόγγοιο* ] Ὅμηρος συχνάκις διαρρήδην τὴν ἅμα τῷ θανάτῳ ἀποκοπὴν τῆς φωνῆς μνημονεύει.

132. *δάκρυσι μῦρον*] Ἐκτραγῳδεῖ τὸ Ὁμηρικὸν «στονόεντες ὀϊστοί» (Ὀδ. φ 12,60). Σταλάσσουσι δάκρυ, καθάπερ ἡ στόνους ἐγείρουσα Ἀχλύς (270).

133. Λείπει τὸ ῥῆμα *ἦσαν*.

*περιμήκεες*] Τὸ μῆκος ἦν σπουδαῖον.

134. *μορφνοῖο φλεγύαο*] Κατὰ τὸ ἐπίθετον (μορφνὸς) συμφωνοῦσιν ὁ φλεγύας καὶ ὁ πλάγγος, ὅπως τὸ δεύτερον εἰς τὸ μέγεθος εἶδος τῶν ἀετῶν ὠνομάζετο (Ἀριστοτ. π. ζῴων 9,32 [22], σ. 618 b, 25).

*καλυπτόμενοι*] Ἡ μετοχὴ ἀντὶ τοῦ παρατατικοῦ τίθεται, ὅπως τὸ κῶλον εὐάρμοστον ᾖ μετὰ τῆς ἐλλειπτικῆς ἐκείνης προτάσεως.

135. Ὁ στίχος τοῖς Ὁμηρισταῖς γνωστός ἐστι (π. χ. Ἰλ. Κ 135), πλὴν ὅτι Ὅμηρος τὸ ἔγχος *ἄλκιμον* εἴρηκεν. Ἀλλὰ καὶ τὸ *ὄβριμον* Ὁμήρῳ οἰκειοῦται (Ἰλ. Γ 357. Η 251. Λ 435).

136. = Ἰλ. Γ 336. Ο 480. Π 137. Ὀδ. χ 123.

δαιδαλέην, ἀδάμαντος, ἐπὶ κροτάφοις ἀραρυῖαν,
ἥτ' ἔρρυτο κάρη Ἡρακλῆος θείοιο.
Χερσί γε μὲν σάκος εἷλε παναίολον, οὐδέ τις αὐτὸ
οὔτ' ἔρρηξε βαλὼν οὔτ' ἔθλασε, θαῦμα ἰδέσθαι.
Πᾶν μὲν γὰρ κύκλῳ τιτάνῳ λευκῷ τ' ἐλέφαντι
ἠλέκτρῳ θ' ὑπολαμπὲς ἔην, χρυσῷ τε φαεινῷ
λαμπόμενον, κυάνου δὲ δία πτύχες ἠλήλαντο.

*ἰφθίμῳ*] Ἴδε Θ. 455.

*κυνέην*] Ἡ ἐτυμολογία τῆς λέξεως παρημελήθη, ὥστε ὁτιοῦν κράνος ἐσήμαινεν.

137. *ἀδάμαντος*] Ἴδε Θ. 161. Ἡ γενικὴ τὴν ὕλην ἀποφαίνει (πρβλ. Ὀδ. υ 7).

*ἐπὶ κροτάφοις ἀραρυῖαν*] = Ὀδ. χ 102. Τοῦτο ἐξαίρει διὰ τὸ ἐπικίνδυνον τῶν κροτάφων.

138. *ἔρρυτο*] Ἀντὶ τοῦ ἔϜρυτο (ἐφύλασσεν).

139. Πρβλ. ‒ ◡◡ ‒ σάκος εὐρὺ παναίολον Ἰλ. Ν 552.

140. *ἔθλασε*] Τὸ δεύτερον πολὺ μεῖζον. Ἡ πρότασις *οὐδὲ - ἔθλασε* ἐπίθετον ἀντικαθίστησι· διὸ *θαῦμα ἰδέσθαι* πρὸς τοῦτό τε, καὶ μάλιστα τὸ παναίολον, ἀναφέρεται.

141. *κύκλῳ*] Ἡ ἀσπὶς ἄρα στρογγύλου σχήματος ἦν.

*τιτάνῳ*] Ἐν τῷ παρακμάσαντι Ἑλληνισμῷ *τίτανος* ἐδήλου α') γύψον μετὰ λευκοῦ ᾠῶν, β') κονίαν τοῦ μαρμάρου, γ') ἄσβεστον. Εἴπερ ἐκ τούτων τῶν σημασιῶν μία κατὰ τὸν τοῦ ποιητοῦ αἰῶνα ἐν χρήσει ἦν, βεβαίως ἡ δευτέρα οὐ καθόλου ἀναρμόδιός ἐστιν (Πρβλ. καὶ τήνδε τὴν γλῶσσαν ἐν τῷ τοῦ Ducange γλωσσαρίῳ· **Θηβαϊκὸν** μάρμαρόν ἐστιν ἄσβεστος τῶν ᾠῶν καὶ τίτανος). Πιθανώτερον ὅμως, ὅτι ἔγκαυμά τι («σμάλτον», émail) τῷ ποιητῇ παρίστατο· ὡς ἐλπίζομεν, ἡ ἀνασκαφὴ τῶν ἀρχαίων ἀκροπόλεων καὶ ταύτην τὴν ἀπορίαν ποτὲ λύσει.

142. *ἠλέκτρῳ*] Ὁ μὲν ἤλεκτρος, ἐκ χρυσοῦ καὶ ἀργύρου μεμιγμένος, πρὸ τῶν κλασικῶν χρόνων ἐν πολλῇ χρήσει ἦν. Τὸ δὲ ἤλεκτρον οὐχ εὑρίσκεται εἰ μὴ κατὰ μικρὰ τεμάχια· πλὴν ἐν θείῳ ἔργῳ οὐδὲν ἀδύνατον.

*ὑπολαμπές*] Ὁ ποιητὴς ζωγραφικῶς διακρίνει τὴν ἀμβλεῖαν στιλπνότητα τῶν ὑλῶν τούτων ἀπὸ τῆς λαμπρᾶς αἴγλης τοῦ χρυσοῦ (λαμπόμενον).

*κυάνου*] Ὁ κύανος ὑφ' Ὁμήρου μέλας ἐπονομάζεται (Ἰλ. Λ 24). Κυάνῳ (μᾶλλον δὲ κυανῷ) καὶ οἱ Ἀθηναῖοι πρὸς τὸν Παρθενῶνα ἐχρήσαντο (ἴδε ἐπιγραφὴν Corpus Inscriptionum Atticarum τ. Α', ἀρ. 312, 7), ἀλλὰ τοῦτο ἦν ὤχρα χαλκῆ (πρβλ. Παυσαν. 5,11,5: ἀλήλιπται κυανῷ μόνον, Διοσκορίδην κἄ.). Ἄλλοι μέντοι τὸ ὄνομα μετεχειρίζοντο ἐπὶ κυάνου λίθου (λαζουρίου, Πλάτ. Φαίδ. 113 Β, Λουκιαν. Λεξιφάν. 122, Θεοφράστ. Λιθ. 31, 39, 40, 51, 55).

*πτύχες*] Ὁ ποιητὴς μεταφράζει Ὁμηρικὸν ἡμιστίχιον (Ἰλ. Λ 24): «δέκα οἶμοι ἔσαν μέλανος κυάνοιο», ἐννοῶν τὰς κυκλοτερεῖς ταινίας τὰς ἐπὶ τῆς ἐπιφανείας τῆς ἀσπίδος, αἳ μεταξὺ τῶν ἐκ τῶν ἄλλων μετάλλων ταινιῶν ἐνεβέβληντο (*δία - ἠλήλαντο*)· ὥστε ὁ μέλας κύανος χρησιμεύει ὡς πρόσχημα ἐκείνων. Τὸ ῥῆμα *ἐλαύνω* κυρίως ἐμφαίνει τὰ ἐκ μετάλλου σφυρ-ήλατα (πρβλ. Ἰλ. Μ 296. Υ 270 καὶ μεταγενεστέρους).

Ἐν μέσσῳ δ' ἀδάμαντος ἔην Φόϐος οὔτι φατειός,
ἔμπαλιν ὄσσοισιν πυρὶ λαμπομένοισι δεδορκώς·
τοῦ καὶ ὀδόντων μὲν πλῆτο στόμα λευκὰ θεόντων,
δεινῶν, ἀπλήτων. Ἐπὶ δὲ βλοσυροῖο μετώπου
δεινὴ Ἔρις πεπότητο κορύσσουσα κλόνον ἀνδρῶν
σχετλίη, ἥ ῥα νόον τε καὶ ἐκ φρένας αἴνυτο φωτῶν,
οἵτινες ἀντιϐίην πόλεμον Διὸς υἷι φέροιεν.
[Τῶν καὶ ψυχαὶ μὲν χθόνα δύνουσ' Ἄϊδος εἴσω
αὐτῶν, ὀστέα δέ σφι, πέρι ῥινοῖο σαπείσης,

144. *Φόϐος*] Ἀντὶ σχολίου παρατίθεμεν ἐκ τῆς Παυσανίου περὶ τῆς τῶν Κυψελιδῶν λάρνακος διηγήσεως (5,19, 4) τὰ ἑξῆς: «Φόϐος δὲ ἐπὶ τοῦ Ἀγαμέμνονος τῇ ἀσπίδι ἔπεστιν, ἔχων τὴν κεφαλὴν λέοντος».

*οὔτι φατειός*] Παράθες Θ. 310.

145. *ἔμπαλιν*] Συντακτέον μετὰ τῆς μετοχῆς «*δεδορκώς*». Φόϐος προσϐλέπων ὀπίσω (πάλιν, κατὰ τὴν ἐπικὴν διάλεκτον) πλαγίως γεγραμμένος ἦν.

146. *τοῦ - μέν*] = Ἰλ. Τ 365.

*πλῆτο*] Ὁ μὲν τύπος τοῦ ἀορίστου εἰς τὸ μέσον γένος ἀνήκει, ἡ δὲ σημασία παθητική. Ὁ ποιητὴς ὑποδηλοῖ τὸ φοϐερὸν μῆκος τῶν ὀδόντων, οἳ ἀνεπλήρουν πως τὸ ἀναχάσκον στόμα.

*λευκὰ θεόντων*] Τὰ κύκλῳ περιέχοντα ὑπὸ τῶν ἐποποιῶν λέγονται ὅτι *θέουσιν*, ὅπερ Βιργίλιος εἰς τὴν Λατινικὴν γλῶσσαν εἰσήγαγεν (Ἰλ. Ζ 118: ἄντυξ ἣ πυμάτη θέεν ἀσπίδος, Υ 275: θέε χαλκὸς λεπτότατος, Ὀδ. ω 208: περὶ δὲ κλίσιον θέε πάντη). Τὸ χρῶμα τῶν ὀδόντων οὐ συντάσσεται μετὰ τοῦ ὀνόματος, ἀλλ' ἐπιρρηματικῶς ἐκφράζεται· ὃ οἱ μεταγενέστεροι ἐζήλωσαν (Ὀππιαν. Ἁλιευτ. 3,183: πλωτῶν γένος ὑγρὰ θεόντων, ἐπίγραμμα εἰς τὴν Ἡρῴδου Ἀττικοῦ γυναῖκα ἐν τῇ Συλλογῇ τοῦ Kaibel, ἀρ. 1046, στ. 83: ποίην χλωρὰ θέουσαν, Θεόκριτ. 25, 158 ὡς ὁ Μεινέκιος εἰκάζει· χλωρὰ θεούσῃ).

147. *ἀπλήτων*] Ἴδε Θ. 151.

*βλοσυρός*] Γοργὼ Ἰλ. Λ 36 ἐπίσης *βλοσυρῶπις* καλεῖται. Τεχνίτης τοῦτο ἂν δηλώσειε διὰ τοῦ ῥυτιδῶσαι τὸ μέτωπον.

148. *πεπότητο*] Αἱ ἀφαιρέσεις ὑπὸ τῶν ἀρχαιοτέρων μάλιστα τῶν τεχνιτῶν ἐπτερωμέναι ἀπεικονίζονται.

*κορύσσουσα κλόνον ἀνδρῶν*] Τὸ ῥῆμα συντάσσεται μετὰ τῶν συνωνύμων *μάχην* 198 καὶ *πόλεμον* Ἰλ. Β 273 (πρϐλ. ἐπὶ τῆς ἔριδος αὐτῆς «ἥτ' ὀλίγη μὲν πρῶτα κορύσσεται» Ἰλ. Δ 442).

149. Ἐπὶ τῶν ἀσπίδων φοϐερὰς εἰκόνας παρέστησαν, ἵνα ἐκφοϐίζωσι τοὺς πολεμίους· τὸ θεῖον ἔργον τοῦτο ἐκτελεῖ ὑπερμέτρως, καταγοητεῦον τοὺς ἐναντίους.

150. *ἀντιϐίην*] Κυρίως «ἐναντίᾳ βίᾳ», ἤγουν εἰς φανερὸν ἀγῶνα ἀπεδύοντο.

151. Ὁ μὴ ἁρμόδιος χρόνος τῶν ῥημάτων ἀποδεικνύει τὴν νοθείαν τῶν τριῶν στίχων.

*Ἄϊδος εἴσω*] Τὸ πλῆρες σχῆμα τῆς Ὁμηρικῆς φράσεως οὕτως ἔχει: «δόμον Ἄϊδος εἴσω» ἤτοι «εἰς (τὸν οἶκον) Ἅδου».

152. *αὐτῶν*] Κατὰ τὴν Ἰλιάδα, τοῦ ἀνθρώπου *αὐτοῦ* ὄντος σώματος (Α 4), ὁ ποιητὴς ἰδανικώτερον τὴν ψυχὴν θεωρεῖ τὸ κυριώτερον μέρος. Πρὸς τὰ ἑξῆς

Σειρίου ἀζαλέοιο κελαινῇ πύθεται αἴῃ].
Ἐν δὲ προΐωξίς τε παλίωξίς τε τέτυκτο,
ἐν δ' ὅμαδός τε φόβος τ' ἀνδροκτασίη τε δεδήει,
ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ἐθύνεον, ἐν δ' ὀλοὴ Κὴρ
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·
εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοίνεον αἵματι φωτῶν,
δεινὸν δερκομένη καναχῇσί τε βεβρυχυῖα.

παρατίθεμεν Ὀδ. μ 45: «πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς πυθομένων, πέρι δὲ ῥινοὶ (ἀναγνωστέον δερινοί, ὡς ἐνταῦθα *περιρρινοῖο*) μινύθουσι». *Ῥινὸς* ἐνταῦθα καὶ Εὐριπίδ. Ῥῆσ. 780, Ἀπολλων. Ῥοδ. 2,58 θηλυκῶς κεῖται.

153. *Σειρίου ἀζαλέοιο*] Κατὰ τὰς κυνικὰς ἡμέρας «ὅτε τε χρόα Σείριος ἄζει» (397, πρβλ. Ἔ. 417, 587).

*αἴῃ*] Ἡ δοτικὴ δηλοῖ ἤτοι τὸ ὄργανον ἢ τὸν τόπον. Ἐκεῖνο μὲν ὑπερείδεται παραλλήλοις χωρίοις οἷον Ἰλ. Δ 174: σέο δ' ὀστέα πύσει ἄρουρα, Ὕμν. Ὁμηρ. 2, 190-1: σέ γ' αὐτοῦ πύσει γαῖα μέλαινα καὶ ἠλέκτωρ Ὑπερίων· ὁ γεωργὸς δηλαδὴ παρατηρῶν, ὅτι τὰ ξύλα, ἅτινα εἰς τὴν γῆν ἐμπηγνύει ἢ συχνάκις ἐμβάλλει, ταχέως κατασήπονται, τοῦτο παραλληλίζει πρὸς τὴν διάλυσιν τῶν σωμάτων. Τὴν δὲ ἑτέραν ἑρμηνείαν ὑποστηρίζει Ὀδ. α 161-2: λεύκ' ὀστέα πύθεται ὄμβρῳ κείμεν' **ἐπ' ἠπείρου**. Τὸ ἐπίθετον *κελαινῇ* συμφωνεῖ τῇ «μαύρῃ γῇ» τῶν νεωτέρων.

154. Τὸ κατ' ἀναφορικὸν *ἐν δὲ* ἀπαντᾷ καὶ ἐν τῇ Ὁμηρικῇ Ἀσπίδι.

*ὅμαδος*] Ἀπὸ τοῦ ὁμός, ἡ σύγκρουσις· *φόβος* κατὰ τὴν ἐπικὴν διάλεκτον δηλοῖ τὴν φυγήν.

155. *δεδήει*] Ἡ εἰκὼν αὕτη — *δέδηε* γὰρ παρὰ τὸ δαίω — παρ' Ὁμήρῳ συχνάζει (Ἰλ. Ζ 329. Μ 35. Ν 736. Ρ 253. Υ 18) ἀναλόγως τῷ τῶν λογογράφων *ἐκφλέγομαι* ἢ *ἀναφλέγομαι*.

156-9. = Ἰλ. Σ 535-8 (ἀντὶ τοῦ Ἡσιοδείου ἐθύνεον γράφεται ὁμίλεον). Ἔρις, Κυδοιμός (Θόρυβος), Κὴρ ἐν ταῖς ἐποποιίαις μάλιστα προσωποποιοῦνται. Ἐπεὶ οἱ Ἕλληνες ταύτην τὴν προσωποποίησιν τῶν μαχῶν καὶ παθῶν οὐκέτι παρίστασαν, οἱ Τυρρηνικοὶ καλλιτέχναι αὐτὴν ἐφύλαξαν, ὅθεν Τυρρηνικὰ μᾶλλον παραδείγματα τῆς Ἡσιοδείου εἰκόνος ἢ Ἑλληνικὰ ὑπάρχουσιν.

157. *νεούτατον*] Ὁ τύπος ἐστὶν ὁ αὐτὸς τῷ Ὁμηρικῷ ἀνούτατος (Ἰλ. Δ 540)· τὸ δὲ θέμα οὐτά-(ζω,-μενος, -μεναι). Κατὰ βραχύτερον τύπον ὁ ἄτρωτος *ἄ-ουτ-ος* λέγεται.

158. *ποδοῖιν*] Ἡ συνήθεια τὴν σύνταξιν διασαφηνίζει διὰ τῆς προθέσεως *ἀπό*.

159. * *δαφοίνεον*] Ἀπὸ τῆς ῥίζης ΦΟΙΝ παράγεται, ἢ τὴν αἱματώδη ἐρυθρότητα ἐμφαίνει. Κατὰ τὴν αὐτὴν συμβολικὴν ὁ δήμιός ποτε ἐρυθρὸν ἱμάτιον ἐφόρει.

*καναχῇσι*] Τῶν ὀδόντων (πρβλ. 164. Ἰλ. Τ 365).

*βεβρυχυῖα*] Ὁμήρου μεταχειριζομένου τὴν λέξιν ἐπὶ τῶν θανασίμως τραυματισθέντων καὶ τῶν κυμάτων, Ἡσύχιος διδάσκει πῶς ἐνταῦθα ἐκδεκτέον, ἑρμηνεύων «βεβρυχότες· θυμῷ φωνοῦντες». Οὐκ ἀνάξιον δὲ παραθέσεως καὶ τὸ ὑπὸ Ἰωακεὶμ Βαλαβάνη σημειωθέν μοι, ὅτι ἐν Ἀραβανίῳ τὸ «φωνῶ» λέγουσι *Βρεχοῦμαι* καὶ *Βρε(χ)ίζουμαι*.

Ἐν δ' ὀφίων κεφαλαὶ δεινῶν ἔσαν, οὔτι φατείων,
δώδεκα, ταὶ φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων,
οἵτινες ἀντιβίην πόλεμον Διὸς υἷι φέροιεν·
τῶν καὶ ὀδόντων μὲν καναχὴ πέλεν, εὖτε μάχοιτο
Ἀμφιτρυωνιάδης, τὰ δ' ἐδαίετο θωῦτὰ ἔργα.
Στίγματα δ' ὣς ἐπέφαντο ἰδεῖν δεινοῖσι δράκουσι
κυάνεα κατὰ νῶτα, μελάνθησαν δὲ γένεια.
Ἐν δὲ συῶν ἀγέλαι χλούνων ἔσαν ἠδὲ λεόντων

161. *οὔτι φατείων*] Ἴδε 144.

162 κτἑ. πρβλ. 149-50.

*ἐπὶ χθονί*] Ἀντὶ τοῦ συνθέτου ἐπιχθονίων. Ἡ αὐτὴ ἰδέα ἔδωκεν ἀφορμὴν τῶν ἑξῆς στίχων Λευκαδικοῦ ᾄσματος (Ἑλλην. Φιλολ. Σύλλογ. τ. Η', σ. 280 — γίνεται δὲ ὁ λόγος περὶ Ἀμαζόνος): « Φείδια στρώνει τὸ φάρο τση κ' ὀχὲς τὸ καλιγώνει καὶ τοὺς ἀστρίτες τοὺς κακοὺς τοὺς βάνει φτερνιστήρια».

164. Πρβλ. Ἰλ. Τ 365: τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλεν. Καὶ ἐκ τούτου δῆλον ὅτι τὸ *τῶν* ἐξαρτᾶται ἐκ τοῦ ὀδόντων. Ὁ ποιητὴς τὸ παράλληλον χωρίον (149-50) δεινῶς ὑπερβάλλει, προφασιζόμενος τὴν θεότητα τοῦ τεχνίτου.

165. *θωῦτά*] Παρὰ τὸ θωΰσσω (βοάω) ἀναλόγως τῷ *περιβόητα*.

166. *Στίγματα ὥς*] Στίγμασιν ὅμοια (πρβλ. :πῦρ ὣς 72)· οἱ ὄφεις λοιπὸν στικτοὶ ἦσαν, ὅπερ εἶδος ὁ λαὸς μάλιστα δέδιεν.

*ἐπέφαντο*] Ἐφάνησαν ἐπὶ τῶν δρακόντων· τὸ *ἰδεῖν* ἐπικῶς πλεονάζει, καθάπερ Θ. 701.

167. *κυάνεα*] Χάριν τοῦ μέτρου ἡ λήγουσα διεκτείνεται. Τὸ αὐτὸ χρῶμα οἰκειοῦται τοῖς δράκουσιν ἐν ᾠδῇ Ἀνακρεοντείῳ (16 [29], 10: ὀφρὺς κυανωτέρη δρακόντων).

*μελάνθησαν*] Οὗτος ὁ στίχος καὶ χωρίον τῆς Ὁμηρικῆς Ἀσπίδος (Ἰλ. Σ 548: ἣ δὲ μελαίνετ' ὄπισθεν, ἀρηρομένῃ δὲ ἐῴκει, χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμα τέτυκτο) αἰνίττονται τὴν θαυμασίαν τέχνην τῶν παμπαλαίων χρυσουργῶν, ἣν γινώσκομεν ἐκ τῶν Μυκηναϊκῶν μαχαιρίων, ἃ ἡ Ἀρχαιολογικὴ Ἑταιρεία ἀπὸ τοῦ πολλῶν αἰώνων ῥύπου ἐξεκάθαρεν. Τὸν χρυσὸν δηλαδὴ τεχνικῶς ἐμελάνωσαν.

*γένεια*] Τὰ γένεια αὐξάνουσι τὴν δεινότητα τῶν ὄφεων ἐν ζωγραφίαις· διὸ ὁ ὑποκρινόμενος Ἰωάννην τὸν Δαμασκηνὸν ἐν τῷ περὶ δρακόντων (Migne Πατρολογία, τ. 94, στ. 1601 Α) περὶ τοῦ δράκοντος γράφει: «ἔχει δὲ γένεια ὡς καὶ ὁ τράγος».

168. *χλούνων*] Οἱ γλωσσολόγοι ἐτυμολογοῦσι χλούνης ὡς χλοσ—νης (Ἰνδιστὶ ghers), ἤτοι λάσιος. Ἡ συνέχεια πάντως ἀπαιτεῖ ἐπίθετον χαρακτηριστικὸν τοῦ **συάγρου** (πρβλ. Ἰλ. Ι 539: χλούνην σῦν ἄγριον, Καλλιμάχ. Ὕμν. 3, 150: χλούνην κάπρον), ὥστε μᾶλλον ἁρμόζει τὸ ἔτυμον *χλόη*. Ὁ σύαγρος τῷ λέοντι ἰσάξιος εἰς τὴν πάλην καθίσταται (Αἰσώπ. Μῦθ. 253). Ὅθεν ὁ μέγας ἀρχηγέτης τῆς ποιήσεως ἐντεῦθεν παραβολὴν ἔπλασε (Ἰλ. Π 823) καὶ οἱ καλλιτέχναι τὰ θηρία ταῦτα μαχόμενα παρέστησαν (ἴδε Ὀδ. λ 611 καὶ τὸ ἀπὸ τοῦ François ὀνομαζόμενον ἀρχαϊκὸν ἀγγεῖον). Καθ' ὅλου, ὅτε οἱ Ἕλληνες, μαθηταί πως ὄντες τῶν βαρβάρων, εἰσέτι ἐφοινίκιζον κατὰ τὸ παράδειγμα τούτων μάχας θη-

ἐς σφέας δερκομένων, κοτεόντων θ' ἱεμένων τε·
τῶν καὶ ὁμιληδὸν στίχες ἤϊσαν, οὐδέ νυ τοίγε
οὐδέτεροι τρεέτην· φρῖσσόν γε μὲν αὐχένας ἄμφω·
ἤδη γάρ σφιν ἔκειτο μέγας λῖς, ἀμφὶ δὲ κάπροι
δοιοί, ἀπουράμενοι ψυχάς, κάτα δέ σφι κελαινὸν
αἷμ' ἀπελείβετ' ἔραζ', οἱ δ', αὐχένας ἐξεριπόντες,
κείατο τεθνηῶτες ὑπὸ βλοσυροῖσι λέουσι.

ρίων συχνότερον ἢ ἄλλην ὑπόθεσιν ἀπεικόνιζον. Ἀξιομνημόνευτον πρὸς τούτοις, ὅτι τοὺς λέοντας οὐκ ἐν εἰκόσι μόνον ἑώρων.

169. *ἐς σφέας δερκομένων*] Τὸ βλέπειν πρὸς ἀλλήλους ῥητῶς μνημονεύεται, ὅτι οἱ τότε τεχνῖται συχνάκις τὰ ζῷα ἐναλλὰξ κατὰ μόνας ἐζωγράφουν. Ἐν δὲ τῇ Ἀσπίδι, ὡς *στίχες* διαβεβαιοῦται, ὁ τῶν συῶν στοῖχος ὁλόκληρος τῷ τῶν λεόντων ἀνθίσταται.

*κοτεόντων*] Τοῖς θηρίοις ἀποδίδωσιν ἐνταῦθά τε καὶ 403 ὀργήν.

*ἱεμένων*] Σαφέστερον εἴρηται Ἰλ. Θ 121=313: ἵεμενον πόλεμόνδε.

*ὁμιληδόν*] Εἰς τὸν πολεμικὸν ὅμιλον.

171. *τρεέτην*] Ὁ δυϊκός, ἐπὶ δύο κομμάτων τιθέμενος, οὐκ ἔσφαλται· ἔτι δὲ ὕστερον τῶν Ὁμηρικῶν ποιημάτων μάλιστα ὁ δυϊκός, ἐπειδὴ ἐν τῇ κοινῇ διαλέκτῳ ἔξω τῆς Ἀττικῆς ἀπωλέσθη ἢ ἀπεμαράνθη, ὑπὸ τῶν ποιητῶν ἔστιν ὅτε παρὰ τὸν κανόνα ἐτέθη.

*φρῖσσον αὐχένας*] Οἱ ποιηταὶ χαίρουσι τούτῳ τῷ χαρακτηρισμῷ τοῦ ἐξωργισμένου κάπρου, ὅπερ ἄλλοθι ζωγραφικώτερον ἐξεικονίζεται, οἷον 391: ὀρθὰς φρίσσει τρίχας, Ἰλ. Ν 473: φρίσσει δέ τε νῶτον ὕπερθεν, Ὀδ. τ 446: φρίξας εὖ λοφιήν. Ἐνταῦθα ἡ εἰκὼν παραβλάπτεται τῷ συμπεριλαμβάνεσθαι τοὺς λέοντας. Οἱ ἀρχαῖοι μεταλλουργοὶ γεμὴν ἐνίοτε τοὺς λέοντας ὁμοίους τοῖς κάπροις ἔπλασσον, πάντως δὲ τὴν χαίτην ἀνώρθωσαν. Διὰ τοῦτο λέγει *αὐχένας* ἀντὶ τοῦ *νῶτα*.

172. *σφιν*] Ἡ δοτικὴ ἐμπαθέστερον ἠθικὴ καλεῖται.

*λῖς*] Ἡ λέξις, ᾗ καὶ Ὅμηρος ἐχρήσατο, ἐκ τῆς Ἀσίας ἦλθεν· οἱ γὰρ Βαβυλώνιοι καὶ Ἀσσύριοι τὸν λέοντα lichon ὠνόμαζον. Τὸ ἐπίθετον ἀναπολεῖ ἡμῖν τὸ Μυκηναϊκὸν μαχαίριον, ὅπου ὁρῶμεν θήραν λεόντων γιγαντιαίων.

173. *ἀπουράμενοι* ἐστὶ τὸ παθητικὸν τοῦ ἐπικοῦ ἀπούρας ἢ ἀπό - Ϝρας (ἁρπάσας).

*ψυχάς*] Ὁ τὸν Ξενοφώντειον Κυνηγετικὸν γράψας συμφωνεῖ τῷ ποιητῇ εἰς τὸ προσοικειοῦν ψυχὴν τοῖς θηρίοις (13,14). Ἄλλως οἱ ἰδιῶται τὸ ὑπὸ τῶν νεωτέρων φιλοσόφων τριβόμενον ζήτημα παρημέλησαν.

*κελαινόν*] Ἴδε 153.

174. *οἱ δ'*] Οὐκ ἐναντίωσιν δηλοῖ, ἀλλ' ἁπλῆν σύνδεσιν (ὥσπερ Ἡρόδοτ. 1,172).

*ἔραζε*] Ἐπιθι Ἔ. 421.

*ἐξεριπόντες*] Ἐκπεσόντες τοὺς αὐχένας, ἤγουν ἐξαρθρωθέντες· τὸ ἐνεργητικὸν ῥῆμα εὑρίσκομεν Ἰλ. Ε 161: ὡς δὲ λέων, ἐν βουσὶ θορών, **ἐξ αὐχένα ἄξῃ** πόρτιος ἠὲ βοός.

175. *ὑπό*] Ἤτοι τοπικῶς κεῖται, ἤτοι συνωνυμεῖ τῇ μετὰ τῆς γενικῆς *ὑπό*, πρβλ. Ἰλ. Ν 763=Ω 168: χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.

*βλοσυροῖσι*] Παράθες 147.

Τοὶ δ' ἔτι μᾶλλον ἐγειρέσθην κοτέοντε μάχεσθαι,
ἀμφότεροι, χλοῦναί τε σύες χαροποί τε λέοντες.
Ἐν δ' ἦν ὑσμίνη Λαπιθάων αἰχμητάων
Καινέα τ' ἀμφὶ ἄνακτα Δρύαντά τε Πειρίθοόν τε
Ὁπλέα τ' Ἐξάδιόν τε Φάληρόν τε Πρόλοχόν τε
Μόψον τ' Ἀμπυκίδην, Τιταρήσιον, ὄζον Ἄρηος,
Θησέα τ' Αἰγείδην, ἐπιείκελον ἀθανάτοισι,
ἀργύρεοι, χρύσεια περὶ χροῒ τεύχε' ἔχοντες.
Κένταυροι δ' ἑτέρωθεν ἐναντίοι ἠγερέθοντο
ἀμφὶ μέγαν Πετραῖον ἰδ' Ἄσβολον οἰωνιστὴν

176. *ἐγειρέσθην*] Περὶ τοῦ δυϊκοῦ εἴπομεν εἰς 171, περὶ δὲ τοῦ *κοτέοντε* ὀλίγον ἀνωτέρω.

177. *τε-λέοντες*] Εἴληφεν ἐκ τῆς Ὀδυσσείας (λ 611).

*χαροποί*] Ζήτει ὅσα περὶ τούτου εἰς Θ. 328 εἴπομεν.

178. Αἱ περὶ τὸ Πήλιον μάχαι τῶν Ἑλληνικῶν Λαπιθῶν καὶ τῶν ἱππανθρώπων ἀπησχόλησαν τοὺς τεχνίτας, ὡς ἐκφαίνεται, ἀπὸ τῶν παλαιοτάτων χρόνων. Ὁ μῦθος ὑφ' Ὁμήρου καὶ ἄλλοθι μνημονεύεται (*Λαπιθάων αἰχμητάων* κεῖται Ἰλ. Μ 128) καὶ Ὀδ. φ 295 κἑ. διακριβοῦται. Τὸ ἐπίθετον ἐπιτετήδευται, καθόσον οἱ ἀντίπαλοι ὅπλων μεταλλικῶν ἐστεροῦντο (188).

179. Ὁ προκείμενος κατάλογος κατὰ τὸ μὲν σχῆμα ὁμοιάζει τῷ ἐν τῇ Ἰλιάδι Γ 146 κἑ. κειμένῳ, πρὸς δὲ τὰ ὀνόματα ἐξ Α 263 - 5 (265 = 182) μετὰ προσθηκῶν ἐπήγασεν. Ἡ τῶν ὀνομάτων μνεία ἥκιστα ἀντιτείνει πρὸς ἔκφρασιν καλλιτεχνήματος, ἐπειδὴ οἱ ἀρχαῖοι μάλιστα, οἷον ἐν τῇ Κυψέλου λάρνακι καὶ ἀγγείοις, ταῖς εἰκόσι τὰ ὀνόματα προσέγραφον.

*ἄνακτα*] Οἱ πλεῖστοι Πειρίθοον ὡς βασιλέα εἰσάγουσιν.

181. Μόψος μετ' ἐξαιρέτου τιμῆς ὀνομάζεται, ὅτι περιώνυμος μάντις ἦν. Ὅθεν ὁ ποιητὴς μνημονεύει τὸν πατέρα Ἄμπυκα καὶ τὴν περὶ τὸν ποταμὸν Τιταρήσιον πατρίδα αὐτοῦ· ὁ τῶν νεῶν κατάλογος δεικνύει, ὅτι αὐτόθι οὐχὶ πόλιν, ἀλλὰ χωρία κατῴκουν (Ἰλ. Β 751: οἵ τ' ἀμφ' ἱμερτὸν Τιταρήσιον ἔργ' ἐνέμοντο, ὅς ῥ' εἰς Πηνειὸν προΐει καλλίρροον ὕδωρ). Ὁ νῦν Ξεράϊ ἢ Σαραντάπορος ὀνομαζόμετος Τιταρήσιος ἐκ τῶν τοῦ Ὀλύμπου φαράγγων καταφέρεται καί, παραρρεύσας τὴν Τύρνοβον, εἰς τὸν Πηνειὸν εἰσπίπτει.

*ὄζον Ἄρηος*] Τὸ Ἄρεως ἀποβλάστημα. Ὁμηρικῶς (Ἰλ. Β 663. Γ 147. Υ 238).

182. Ὁ ἡρωϊκώτατος τῶν Κενταυρομάχων ἐπίσης ὁλοκλήρου στίχου ἀξιοῦται.

183. Ὁ ποιητὴς τὴν ὀνομαστικὴν ἔθηκεν, ὥσπερ ἂν εἶπεν «οἳ δ' ἀμφὶ Καινέα»· ὃ ψυχολογικῶς ἑρμηνευτέον· ἐνεθυμήθη γάρ, ταῦτα λέγων, ἤδη περὶ τῆς ἀντιθέσεως (184 κἑ.).

Ὁ πλεονασμὸς *περὶ χροΐ* (περὶ τὸ σῶμα) ἐν ταῖς ἐποποιΐαις πολλάκις ἀπαντᾷ.

184. *ἑτέρωθεν*] Ἡ λέξις χαρακτηρίζει τὴν ἁπλότητα τῆς ἀρχαιοτάτης τέχνης, ἣ οὐκ ἐπίσταται ἐκτελέσαι εἰκόνα συμπλοκῆς τῶν μαχομένων, ἀλλὰ δύο στίχους ἀσυμμίκτους ἀνθίστησιν.

185. Τὰ τῶν Κενταύρων ὀνόματα τὰ μάλιστα εἰλημμένα εἰσὶν ἀπὸ τῶν

Ἄρκτον τ' Οὔρειόν τε μελαγχαίτην τε Μίμαντα
καὶ δύο Πευκείδας, Περιμήδεά τε Δρύαλόν τε,
ἀργύρεοι, χρυσέας ἐλάτας ἐν χερσὶν ἔχοντες.
Καί τε συναΐγδην, ὡσεὶ ζωοί περ ἐόντες,
ἔγχεσιν ἠδ' ἐλάτῃς αὐτοσχεδὸν ὠριγνῶντο.
Ἐν δ' Ἄρεος βλοσυροῖο ποδώκεες ἕστασαν ἵπποι
χρύσεοι, ἐν δὲ καὶ αὐτὸς ἐναρφόρος οὔλιος Ἄρης,
αἰχμὴν ἐν χείρεσσιν ἔχων, πρυλέεσσι κελεύων,

ὀρεινῶν κατοικητηρίων αὐτῶν, Πετραῖος δῆθεν Οὔρειος, Μίμας (ὁμώνυμον ὀρῶν τῆς Ἰωνίας καὶ τῆς Θράκης)—Πευκεῖδαι, Δρύ-αλος—Ἄρκτος.

*οἰωνιστήρ*] Τὸν ἐξηγητὴν τῶν οἰωνῶν (Ἔ. 801).

188. Οἱ Κένταυροι, ἄγρια ὄντες θηρία, ἀντὶ τῶν ὅπλων κορμοῖς καὶ πρέμνοις ἐχρῶντο· εἰς τοῦτο συνᾴδουσιν οἱ ποιηταὶ καὶ οἱ καλλιτέχναι. Τὰ ἐν Βάσσαις ἀνάγλυφα χορηγοῦσι τὸ κάλλιστον παράδειγμα.

189. *συναΐγδην*] Παρὰ τὸ ἀίσσω (ἄσσω).

*ὡσεί*] Τοῦτο ὁμογενὲς τὸ ἐν τῷ παρακμάσαντι Ἑλληνισμῷ *ὡσάν* (ὡς ἐάν), ἐξ οὗ τὸ καθ' ἡμᾶς *σὰν* ἐγένετο. Ἅπαντες οἱ ποιηταί, οἳ ἀριστούργημα περιγράφουσι, τὸ ζωτικὸν αὐτοῦ ἐγκωμιάζουσιν, ἀφοῦ Ὅμηρος ἐν τῇ Ἀσπίδι (Σ 539) εἶπεν: «ὥστε ζωοὶ βροτοί».

190. *αὐτοσχεδόν*] Ὑπερθετικός πως τοῦ ἐπιρρήματος σχεδόν (πλησίον).

*ὠριγνῶντο*] Ὀριγνάομαι παράγωγόν ἐστι τοῦ ὀρέγομαι, ὃ ἐπὶ τοῦ προτείνειν τὸ δόρυ ἀπαντᾷ (Ἰλ. Δ 307. Ν 190).

191. Κατὰ τὴν ἐπικὴν δοξασίαν οἱ θεοὶ μετέχουσι τῶν πολέμων· ὅθεν οἱ παλαιότεροι τεχνῖται θεοὺς παριστάνουσιν, ἤτοι ἐν μέσῳ τῶν πολεμιστῶν (οἷον ἡ Ἀθηνᾶ ἐπὶ τοῦ Αἰγινητικοῦ ναοῦ μεταξὺ τῶν Ἀχαιῶν καὶ τῶν Τρώων εὑρίσκεται), ἢ ὄπισθεν αὐτῶν (οἷον ἡ Θέτις καὶ ἡ Ἠώς, μαχομένων Ἀχιλλέως καὶ Μέμνονος). Ὁμοίως ἐνταῦθα ὁ μὲν ἄγριος Ἄρης τοὺς ὤμους Κενταύρους ἀκολουθεῖ, ἡ δὲ Ἀθηνᾶ τοὺς Ἕλληνας.

*βλοσυροῖο*] Ἴδε 147. 175.

192. *Ἐν δὲ*] Ἐπὶ τοῦ ἅρματος (195).

* *ἐναρφόρος*] Ὁ ποιητὴς τὸν ἐπικὸν πληθυντικὸν ἔναρα (πανοπλία), δηλονότι ἀπὸ τοῦ ἑνικοῦ *ἔναρ* (κατὰ τὴν ἀναλογίαν τοῦ ἔαρ, θέναρ, νέκταρ) παράγει.

*οὔλιος*] Πρὸς τὸ Ὁμήρου οὖλος τὴν αὐτὴν ἔχει σχέσιν, ἣν Θοῦρος πρὸς Θούριος. Τὸ πρωτοφανὲς ῥῆμα *ὄλλυμι*.

*πρυλέεσσι*] Ἀρίσταρχος τὴν λέξιν ἐξηγήσατο «πεζοί», ἄλλοι δέ, ἀντιπαραβάλλοντες πρύτανις καὶ πρύμνα, ἀπεδέχοντο «πρόμαχοι» (Ἡσύχ. λ. πρυλεῖς). Ἀλλὰ Ἄρης ἕστηκεν οὐχὶ πρὸ τῶν προμάχων, ἀλλ' ὄπισθεν, ἐπειδὴ οἱ ἡνίοχοι Δεῖμος καὶ Φόβος ἐπιθυμοῦσιν εἰσελθεῖν εἰς τὴν μάχην, ἡ δὲ Ἀθηνᾶ, ἣ συμμέτρως παρίσταται, τοῦτο ποιήσειν μέλλει. Ὅθεν ἡ μετὰ τοῦ λατινικοῦ prœlium (*μάχη*) σύγκρισις οὐδόλως παράδοξος φαίνεται. Ἡ ὀνομαστικὴ κατὰ Καλλίμαχον (Ὕμν. 1, 52) *πρύλις* ἦν, ἄλλοτε δὲ *πρυλεὺς* ὑπέθεσαν (οἷον Ἡσύχ. αὐτ.).

*κελεύων*] Κατὰ τὴν ἀρχαίαν σημασίαν, ἐπιβοῶν. Οἱ ἀρχαϊκοὶ καλλιτέχναι τοῦτο ἐξέφραζον διὰ τοῦ προτείνειν τὴν δεξιὰν τοὺς θεούς.

αἵματι φοινικόεις, ὡσεὶ ζωοὺς ἐναρίζων,
δίφρῳ ἐπεμβεβαώς· παρὰ δὲ Δεῖμός τε Φόβος τε
ἕστασαν ἱέμενοι πόλεμον καταδύμεναι ἀνδρῶν.
Ἐν δὲ Διὸς θυγάτηρ ἀγελείη Τριτογένεια,
τῇ ἰκέλη ὡσείτε μάχην ἐθέλουσα κορύσσειν,
ἔγχος ἔχουσα χερί, χρυσείην τε τρυφάλειαν,
αἰγίδα τ' ἀμφ' ὤμοισ', ἔπι δ' ᾤχετο φύλοπιν αἰνήν.
Ἐν δ' ἦν ἀθανάτων ἱερὸς χορός· ἐν δ' ἄρα μέσσῳ
ἱμερόεν κιθάριζε Διὸς καὶ Λητόος υἱός,
χρυσείῃ φόρμιγγι, θεῶν δ' ἕδος ἁγνὸν ἔλαμπε·

194. *αἵματι φοινικόεις*] (Πρβλ. 159) συνδετέον μετὰ τοῦ δευτέρου ἡμιστιχίου. Ἄρης αἱματώδης ἦν, ὥσπερ φονεύς. Περὶ τῆς συνθέσεως ἔπιθι 189.

195. *παρὰ δὲ Δ(F)εῖμός τε Φόβος τε*]=Ἰλ. Λ 37 (πλὴν αὐτόθι *περὶ* ἀντὶ τοῦ *παρὰ* γράφεται). Δεῖμος καὶ Φόβος ἡνίοχοί τε καὶ θεράποντες Ἄρεώς εἰσι (463)· περὶ ὧν ἴδε Θ. 934.

196. Παράθες Ἰλ. Γ 241: «μάχην καταδύμεναι ἀνδρῶν», ὃ διαβεβαιοῦται, ὅτι *πόλεμος* τὴν νεωτέραν σημασίαν ἔχει.

197. = Ἰλ. Δ 515. Ὀδυσσ. γ 378 (ἐκεῖ μὲν ἄρχεται ἀπὸ *ὦρσε*, αὐτόθι δὲ *ἀλλά*).

*ἀγελείη*] Ἡ λείαν ἄγουσα.

*Τριτογένεια*] Πρβλ. Θ. 895.

198. *τῇ ἰκέλη ὡσείτε*] Πλατύτερον εἴρηται ἀντὶ τοῦ ὡσεὶ 194.

*μάχην κορύσσειν*] Πρβλ. 148.

199. *τρυφάλεια*] Συντέθειται μετὰ τοῦ *φάλος*· τὸ δὲ *τρυ-* διαφέρει τοῦ *τρι-*, ὥσπερ Βιργίλιος ἐξείληφε τὴν λέξιν (Αἰν. 7,785: triplici crinita iuba galea), συντετμημένον ἐκ τοῦ *τετρα-*, καθάπερ τρά-πεζα, ταρτή-μορον.—Ἤτοι τὸ * *χερὶ* πρὸς τὸ πρῶτον μόνον κῶλον ἀναφέρειν χρή, ἢ ὑποθετέον, ὅτι Ἀθηνᾶ τὸ κράνος ἐν τῇ ἑτέρᾳ χειρὶ κρατεῖ, ὅπερ ἐν ζωγραφίαις μεταγενεστέρων μάλιστα τεχνιτῶν εὑρίσκομεν· ὅπερ ἧττον παραδεχόμεθα, διότι τοῦτο σύμβολον εἰρηνικόν.

200. *ἀμφ' ὤμοισ'*] Ἡ αἰγὶς κεῖται ἐπὶ τῶν ὤμων, κατακρεμαμένη ἐπὶ τὸ στῆθος καὶ τὸ νῶτον· τοιουτοτρόπως πολλαὶ εἰκόνες τὴν θεὸν διαζωγραφοῦσιν.

201 κἑ. Ποιητικώτερον καὶ σαφέστερον διακριβοῦνται ἐν τῷ β' τῶν Ὁμηρικῶν Ὕμνων στ. 11—25, ὅπου ἀντὶ τοῦ ἀορίστου *ἀθανάτων* ἀπαριθμοῦνται οἵδε· αἱ Χάριτες καὶ Ὧραι, Ἁρμονία, Ἥβη, Ἀφροδίτη, Ἄρτεμις, Ἄρης. Ἀπόλλων δὲ κιθαρίζει, αἱ δὲ Μοῦσαι ᾄδουσιν. Οἱ λοιποὶ θεῶνται, συγκροτοῦντες *ἀγορὴν* (204) ἢ *ἀγῶνα* (205).

202. *ἱμερόεν κιθάριζε*] = Ἰλ. Σ 570.

203. *θεῶν ἕδος*] Παράθες Ἰλ. Ε 367 καὶ 868: θεῶν ἕδος αἰπὺν Ὄλυμπον. Ἀντὶ τοῦ ἅγιος παρὰ τοῖς παλαιοῖς ποιηταῖς *ἁγνὸς* εὐχρήστει, π. χ.: ἁγνὸν ἄλσος Ὕμν. Ὁμηρ. 3, 187. Πινδάρ. Ὀλ. 5, 10, τέμενος Πινδάρ. Πυθ. 4, 204.

* *ἔλαμπε*] Ἡ αἴγλη ἐκλάμπει ἀπὸ τοῦ θεοῦ, ὡς συμπεραίνομεν ἐξ Ὕμν. Ὁμηρ. 2,23-4: «αὐτὰρ ὁ Φοῖβος Ἀπόλλων ἐγκιθαρίζει, καλὰ καὶ ὕψι βιβάς, αἴγλη δέ μιν ἀμφιφαείνει, μαρμαρυγαί τε ποδῶν καὶ εὐκλώστοιο χιτῶνος».

ἐν δ' ἀγορῇ, πέρι δ' ὄλβος ἀπείριτος ἐστεφάνωτο
ἀθανάτων ἐν ἀγῶνι· θεαὶ δ' ἐξῆρχον ἀοιδῆς
Μοῦσαι Πιερίδες, λιγὺ μελπομένῃς εἴκυῖαι.
Ἐν δὲ λιμὴν εὔορμος ἀμαιμακέτοιο θαλάσσης
κυκλοτερὴς ἐτέτυκτο πανέφθου κασσιτέροιο,
κλυζομένῳ ἴκελος· πολλοί γε μὲν ἂμ μέσον αὐτοῦ
δελφῖνες τῇ καὶ τῇ ἐθύνεον ἰχθυάοντες,
νηχομένοις ἴκελοι· δοιοὶ δ' ἀναφυσιόωντες
ἀργύρεοι δελφῖνες ἐφοίτων ἔλλοπας ἰχθῦς·

204. *ἀγορῇ*] Ἡ πρὸς τοῦτο ἀναφερομένη γενικὴ μετὰ τὸ δεύτερον ὄνομα, ἀφ' οὗ ἐξαρτᾶται, τίθεται.

*ὄλβος*] Κειμήλια, ἅτινα διαγράφονται ἐν τῷ γ' Ὁμηρικῷ Ὕμνῳ στ. 249 κἑ.

*ἐστεφάνωτο* ] Κύκλῳ ἔκειτο (ἦν), οἷον Ὕμν. Ὁμηρ. 4,120: ἀμφὶ δ' ὅμιλος ἀπείριτος ἐστεφάνωτο.

205. *ἀγῶνι*] Ἴδε Θ. 91.

*ἐξῆρχον*] Οἱ ἄλλοι δὲ ᾖδον τὸ ἐφύμνιον. Ἡ διήγησις ἁρμόζει εἰσέτι πρὸς τοὺς καθ' ἡμᾶς χορούς· οἱ μὲν νέοι χορεύουσιν, οἱ δὲ προβεβηκότες τῇ ἡλικίᾳ μετὰ χαρᾶς θεωροῦσιν, ἑνὸς μουσικοῦ παίζοντος καὶ ἄλλου προᾴδοντος.

206. *Πιερίδες*] Θ. 53.

*εἴκυῖαι*] Ὁ ποιητὴς διατελεῖ ἀναμιμνήσκων, ὅτι εἰκόνα ἐξηγεῖται.

207-215. Εἰκὼν λιμένος (ἣν μιμεῖται Θεόκριτος 1,39-41).

*λιμὴν εὔορμος*]=Ὀδ. δ 358. ι 136.

*ἀμαιμακέτοιο*] Ἴδε Θ. 319.

208. *κυκλοτερής*] Οἷον ὁ τοῦ Φαλήρου λιμήν.

*πανέφθου*] Ἐν τῇ συνηθείᾳ ἐλέγετο ἄπεφθος (χρυσός), ἤγουν ἐκκεκαθαρμένος.

210. *ἐθύνεον*] Συνωνυμεῖ τῷ Ὁμηρικῷ *ἔθυνον*, ἤγουν ἔσπευδον.

*ἰχθυάοντες* ] Τούτῳ συμφωνεῖ τὸ χυδαῖον ψαρεύω μᾶλλον ἢ τὸ τῶν παλαιῶν καὶ λογίων ἁλιεύω. Ὁ πολύπους κατὰ τὸν τῆς Ὀδυσσείας ποιητὴν ὡσαύτως «ἰχθυᾷ» (Ὀδ. μ 95).

211. *ἀναφυσιόωντες*] Ὁ ποιητὴς τὸν βίον τῶν δελφίνων ἀκριβῶς παρετήρησεν: «ἔθος γὰρ τοῖς δελφῖσιν ἀνακύπτειν ἀπὸ τοῦ ὕδατος καὶ ἀποφυσᾶν ὕδωρ ἀπὸ τοῦ στόματος» (Σχόλιον).

212. *ἐφοίτων*] Ὅμηρος ταύτῃ τῇ λέξει ἐπὶ τῶν πετομένων πτηνῶν χρῆται (Ὀδ. 6 182), ἐνταῦθα δὲ δηλοῖ τὸ ἀναπηδᾶν, ὅπερ ποιοῦσιν οἱ δελφῖνες περιδεξίως, τερπομένων τῶν ναυτῶν.

*ἔλλοπας ἰχθῦς*] Οἱ παλαιοὶ τὸ ἐπίθετον ἡγοῦντο οὐ διαφέρειν τοῦ ἁπλοῦ *ἐλλός*, ὅπερ ὁ τὴν Τιτανομαχίαν ποιήσας (Ἀπόσπ. 4, 1), Σοφοκλῆς (Αἴ. 1297) καὶ ἄλλοι τοῖς ἰχθύσι προσάπτουσι· «Κρῆτες δέ, φησὶ τὸ Μέγ. Ἐτυμολ. (σ. 331, 52), καὶ τοὺς ἀφώνους ἔλλοπας λέγουσιν». Ἀριστοτέλης ὅμως (π. ζῴων 2,13.15) μαρτυρεῖ, ὅτι εἶδος ἰχθύων ἔλλοψ ὠνομάζετο· ὥστε οὐκ ἀναγκαῖον ἀναζητῆσαι διὰ πλειόνων τὴν ἐτυμολογίαν. — Ἡ αἰτιατική, κατὰ τὸν ἀρχαϊσμὸν τῶν ποιητῶν, ἁπλῶς κεῖται χωρὶς τῆς προθέσεως *εἰς* ἢ *πρός*, ἣν ὁ τῶν λογογράφων κανὼν ἀπαιτεῖ. Ὀππιανὸς τὰ πηδήματα τῶν δελφίνων ὡσαύτως ἐκδέχεται ὡς θήραν (Ἁλιευτ. 5,436 πυκνὸν ἐπιθρῴσκοντες, ἐπὶ τοὺς ἰχθῦς δηλαδή).

τῶν δ' ὕπο χάλκειοι τρέον ἰχθύες· αὐτὰρ ἐπ' ἀκταῖς
ἧστο ἀνὴρ ἁλιεὺς δεδοκημένος, εἶχε δὲ χερσὶ
ἰχθύσιν ἀμφίβληστρον, ἀπορρίψαντι ἐοικώς.
Ἐν δ' ἦν ἠϋκόμου Δανάης τέκος, ἱππότα Περσεύς,
οὔτ' ἄρ' ἐπιψαύων σάκεος ποσὶν οὔθ' ἑκὰς αὐτοῦ,
θαῦμα μέγα φράσσασθ' ἐπεὶ οὐδαμῇ ἐστήρικτο.
Τὼς γάρ μιν παλάμαις τεῦξε κλυτὸς Ἀμφιγυήεις
χρύσεος· ἀμφὶ δὲ ποσσὶν ἔχε πτερόεντα πέδιλα.
Ὤμοισιν δέ μιν ἀμφὶ μελάνδετον ἄορ ἔκειτο

213. *τρέον*] Ἀπέφευγον· αὕτη γὰρ ἡ παρ' Ὁμήρῳ σημασία, ἣν οἱ Σπαρτιᾶται μάλιστα ἐφύλασσον.

*ἀκταῖς*] Ὁ πληθυντικὸς ἀκριβέστατα μεταφράζεται τῷ τῶν νεωτέρων *αἰγιαλοί* (γιαλοί).

214. *δεδοκημένος*] *Δοκέω* ἢ *δοκεύω* (ἐν τῷ συντελικῷ χρῆσις γίνεται τοῦ μέσου, ἴδε Ἰλ. Ο 730. Ἀπολλων. Ἀργ. 4,900,1660) ἐμφαίνουσι μάλιστα τὴν ἐνέδραν (τὸ καρτέρι) τῶν κυνηγῶν καὶ ἁλιέων. Οἱ ἁλιεῖς ποτε τοὺς δελφῖνας φίλους καὶ συγκυνηγοὺς ἐνόμιζον (Ὀππιαν. Ἁλιευτ. 5, 427-47), καθότι τοὺς ἰχθῦς εἰς τοὺς λιμένας εἰσήλαυνον.

215. *ἰχθύσιν ἀμφίβληστρον*] (ἃ ἐδανείσατο αἰνιγματοποιὸς παρ' Ἀθην. Δειπνοσ. 10,450 c). Τὴν δοτικὴν ὧδέ πως ἐκληπτέον· ἰχθύσι παρεσκευασμένον εἶχεν ἀμφίβληστρον.

216.-36. Ἡ Περσέως φυγή.

216. *ἱππότα*] «Ἔοικε κατὰ τοὺς γλωσσογράφους ἱππότην ἀκούειν τὸν φυγάδα, ἐπεὶ ὁ πάππος Ἀκρίσιος ἐξέβαλεν αὐτόν· οὐ γὰρ εἰσάγεται ἵππῳ χρώμενος ὁ Περσεύς» (Σχόλιον). Οὐκ ἀπαράδεκτος ἡ γνώμη, ὅτι ὁ ποιητὴς τὴν Ὁμηρικὴν φράσιν «Γερήνιος ἱππότα Νέστωρ» τοιουτοτρόπως ἐξείληφε, πιθανώτερον ὅμως, ὅτι *ἱππότα* ὡς ἐπίτιμον ἐπίθετον διακρίνει τοὺς βασιλεῖς, οἵτινες ἐν τῷ πολέμῳ ἀπὸ τοῦ ἅρματος μάχονται· τοῦτο γὰρ *ἱππότης* καὶ *ἱππεὺς* παρὰ τοῖς ἐπικοῖς δηλοῦσιν. Ἀλλ' ἀδύνατον αὖθις ἀρνήσασθαι, ὅτι τῶν παλαιῶν τινες τὸν Περσέα ἐφ' ἵππου φεύγοντα παρέστησαν (ἐνθυμούμεθα περὶ Μηλίου κεράμου παρὰ Millingen Unedited Monuments 2, 2 καὶ Baumeister, Denkmäler σ. 1290 καὶ πρόχου ἐν συλλογῇ Παρισίου τινὸς εὑρισκομένου, ἴδε Wieseler, Archäologische Zeitung 1859, σ. 120).

217. Μέχρι τούτων οὐδὲν τὴν θείαν γένεσιν τοῦ ἔργου διεβεβαίωσεν ἢ τὸ πολύτιμον τῆς ὕλης, ἔτι δὲ τὰ μάλιστα ὁ τρισμὸς τῶν ὄφεων. Νῦν δὴ «μέγα θαῦμα» Ἡφαίστου εἰσάγει· ὁποίοις ἀδυνάτοις ἡ φαντασία τῶν πολλῶν εὐφραίνεται, οἷον νησιῶται ᾄδουσι (Passow 443, 14-5): «Χρυσῆ κανδήλα κρέμαται 'ς τὴν μέσην τοῦ σπιτιοῦ σου, χωρὶς βαστάδι κρέμαται».

218. *φράσσασθ'*] Ἐννοῆσαι· ὅθεν διακρίνεται (Ὕμν. Ὁμηρ. 2, 237): φράσσασθαι μέγα θαῦμα καὶ **ὀφθαλμοῖσιν ἰδέσθαι.**

219. Πρβλ. Θ. 579-80.

220. *πτερόεντα πέδιλα*] Ἐπτέρωντο, καθάπερ τὰ Ἑρμοῦ.

221. *Ὤμοισιν δέ μιν ἀμφί*] Λιτώτερον ἐν τοῖς ἀνωτέρω (128) εἶπεν: ἀμφ' ὤμοισιν.

*μελάνδετον ἄορ*] Ξίφος, ὅπερ τὴν λαβὴν εἶχε μέλαιναν. Διὰ τί τὸ μέλαν

χάλκεον ἐκ τελαμῶνος· ὁ δ' ὥστε νόημ' ἐποτᾶτο·
πᾶν δὲ μετάφρενον εἶχε κάρη δεινοῖο πελώρου,
Γοργοῦς, ἀμφὶ δέ μιν κίβισις θέε, θαῦμα ἰδέσθαι,
ἀργυρέη, θύσανοι δὲ κατηωρεῦντο φαεινοί,

ἐξαίρει; Ἐπὶ τῶν νήσων καὶ ἄλλοθι ἡ δοξασία τηρεῖται, ὅτι *μαυρομάνικο μαχαίρι* ἀποσοβεῖ τὸν ἐφιάλτην (βραχνᾶν) καὶ γοητείας ἐξαφανίζει (Νεοελλ. Ἀνάλ. Α', σ. 336, Δροσίνης Ἀγροτ. Ἐπιστολ. σ. 140), ὥσπερ ὁ μέλας ἀλεκτρυὼν ἀποδιώκει τοὺς διαβόλους καὶ τὰς Νεράϊδας (Hahn, Märchen, ἀρ. 78, 83 κἀ.). Ὁ Ἡσιόδειός τε καὶ οἱ ἀρχαιότατοι ζωγράφοι καὶ πλάσται τὴν περιώνυμον ἅρπην, ᾗ Περσεὺς κατὰ τοὺς μεταγενεστέρους Μέδουσαν ἀπέκτεινεν, ἀγνοοῦσιν.

222. *τελαμῶνος*] Ὁ ἀναφορεὺς τοῦ ξίφους καὶ ὁ τῆς ἀσπίδος ταὐτὸ ὄνομα εἶχον, ἐπειδή ποτε πολὺ ὡμοίαζον (ἴδε τὰ Μυκηναϊκὰ μαχαίρια).

223. *ὥστε νόημ'*] Τὴν λαμπρὰν παραβολὴν ἐπενόησε περιηγητής, μεταβιβαζόμενος τῷ νῷ ἤτοι εἰς τὴν πατρίδα ἢ ἐκ ταύτης εἰς τὰς χώρας, ἃς ἐθεώρησεν. Εὑρίσκεται ἤδη παρ' Ὁμήρῳ (Ἰλ. Ο 80 κἑ. Ὀδ. η 36) καὶ ὑπὸ τῶν μεταγενεστέρων πολλάκις ἐπανελήφθη (Θεόγνιδ. 985. Ἀπολλων. Ῥοδ. 2, 541, Ὀρφ. Ὕμν. 69 [68] 9, Ξενοφ. Ἀπομνημ. 4, 3, 13, Πλουτάρχ. Ἀλέξανδρ. 35, Ἀρισταινέτ. ἐπιστ. 1, 5, Θεμιστ. Λόγ. 11 σ. 151 D, 18 σ. 221 B, Λογγ. Γ', σ. 96,9, ἔκδ. Villoison, Ἡλιόδωρ. 4, 16): «Τάχιστον νοῦς· διὰ παντὸς γὰρ τρέχει» (ταῦτα εἶπεν ὁ σοφὸς Θαλῆς κατὰ Διογέν. Λαέρτ. 1,35). Ἧττον ποιητικὴ ἡ διάνοια τοῦ Ξενοφῶντος (Ἀνάβ. 1, 5, 2: θᾶττον ἢ ἄν τις ᾤετο) καὶ Ἀριστείδου (Λόγ. τ. Α', σ. 8: ὀξύτερον ἢ νοῆσαι).

*ἐποτᾶτο*] *Πέτομαι* μετὰ τῶν παραγώγων κυρίως ἡντινοῦν ταχεῖαν κίνησιν καὶ ἀποχώρησιν σημαίνει· πρβλ. 308. Ἀναλόγως νῦν *πετιοῦμαι* τῷ παλαιῷ *πηδάω* ἰσοδυναμεῖ καὶ περὶ δρομέως ἢ ἱππέως λέγεται: «σὰν τὸ πουλὶ ἐπέταγε» (Ζαμπέλιος 704,110, Passow 178, στ. 14): «πέταγε σὰν ὁ ἀητός» (Ἀραβαντ. Συλλογ. 65,5).

223. *εἶχε*] Ἡ κεφαλὴ ἐκάλυπτε τὴν ῥάχιν (κυρίως τὰ ὀπίσω τῶν φρενῶν, ἤτοι τοῦ διαφράγματος). Τὸ *πᾶν* ὑπαινίττεται τὸ μέγεθος τῆς κεφαλῆς τοῦ τέρατος (πελώρου). Πάντα ταῦτα ἐν ἀρχαίαις ζωγραφίαις εὑρίσκονται.

224. *Γοργοῦς*] Μέδουσά ἐστι κατ' ἐξοχὴν Γοργώ, ὅθεν ἡ κεφαλὴ «Γοργείη» καλεῖται (Ὁμηρ. Ἰλ. Ε 741 = Ὀδ. λ 634).

*ἀμφὶ δέ μιν κίβισις θέε*] Ὁ Περσεὺς τὴν κεφαλὴν εἰσεβεβλήκει εἰς πήραν—τὴν λέξιν *κίβισις* ηὗραν οἱ γραμματικοὶ παρὰ τοῖς Κυπρίοις ἐν χρήσει οὖσαν (Ἡσύχ.)—, ἥντινα πολλάκις ἀπεικονίζουσι· τὸ χρῶμα αὐτῆς ἦν ἐρυθρὸν ἢ λευκόν (ἐν ζωγραφίᾳ ἐπὶ τοίχου Πομπηΐων εὑρισκομένῃ, ἴδε τὴν Archäologische Zeitung 1878, σ. 14), ἐν δὲ ζωγραφίᾳ ἀγγείου φαίνεται πεπλεγμένη (Gerhard, auserlesene Vasenbilder, πίν. 89,4). Οἱ Χριστιανοί, οἱ τὸν Περσέως μῦθον εἰς τὸν ἅγιον Γεώργιον μετήνεγκον (ἴδε Ν. Πολίτην Ἅγιος Γεώργιος καὶ Περσεύς, ἐν τῷ Ἀττικῷ Ἡμερολογίῳ 1872, καὶ Ἑλλην. Φιλολ. Σύλλογ. τ. Η', σ. 500-1), τῆς πήρας ὡσαύτως μνήμην ἐφύλασσον, ᾄδοντες: «'ς τὴν ἀργυρῆ(ν) του τσέπη» (Ἑλλην. Φιλολ. Σύλλ. τ. Η', σ. 501 6'). —Περὶ τοῦ ῥήματος ἤδη εἴρηται (147).

*θαῦμα ἰδέσθαι*] Ἡ Ὁμηρικὴ φράσις τὸν ἑξάμετρον ἀναπληροῖ.

225. *θύσανοι*] Ἡ αἰγὶς ἐπίσης τρεῖς

χρύσειοι· δεινὴ δὲ περὶ κροτάφοισιν ἄνακτος
κεῖτ' Ἄϊδος κυνέη νυκτὸς ζόφον αἰνὸν ἔχουσα.
Αὐτὸς δὲ σπεύδοντι καὶ ἐρρίγοντι ἐοικὼς
Περσεὺς Δαναΐδης ἐτιταίνετο. Ταὶ δὲ μετ' αὐτὸν
Γοργόνες ἄπλητοί τε καὶ οὐ φαταὶ ἐρρώοντο,
ἱέμεναι μαρπέειν. Ἐπὶ δὲ χλωροῦ ἀδάμαντος

θυσάνους εἶχεν (Ἰλ. Π 448-9). Ὁ θεωρῶν τὴν τῶν Μυκηναϊκῶν Ἀθήνησι συλλογὴν εὑρίσκει χρυσοῦν θύσανον, ἐκ ταινιῶν ἐλάσματος συντεθειμένον (ἀπεικ. ἐν τῷ τοῦ Σχλίεμανν βιβλίῳ σ. 348, ἀρ. 461).

226. *περὶ κροτάφοισιν*] Πρβλ. 137.

227. *Ἄϊδος κυνέη*] Ἡ περικεφαλαία τοῦ βασιλέως τοῦ κάτω κόσμου τὸν φοροῦντα αὐτὴν ἀόρατον ποιεῖ, τῶν μυθολόγων ἐτυμολογούντων Ἀϊδ - ὡς ἀ-(F)ιδ-, διὸ Ἀθηνᾶ αὐτὴν δίδωσι Διομήδει (Ἰλ. Ε 845). Ὡς ἐξάγεται ἐξ Ἀριστοφάν. Ἀχαρν. 390: σκοτο**δασυπυκνότριχά** τιν' Ἄϊδος κυνῆν, κεράμου Ταναγραϊκοῦ, ὃ Μυλωνᾶς ἐν τῷ Δελτίῳ τῆς Ἀρχαιολογικῆς Σχολῆς τῶν Γερμανῶν ἐξέδωκε (τ. Ζ', σ. 381) καὶ Τυρρηνικῆς ζωγραφίας (Monumenti dell'Instituto, τ. Θ', πίν. 15, 1), ἡ κυνῆ ἐκ δορᾶς ἀγρίου κυνὸς ἐπεποίητο καὶ νεφέλῃ περιεκεκάλυπτο. Τὰ παράλληλα χωρία ἀνατεθησαυρισμένα εἰσὶν ἐν τῇ ἐκδόσει τῶν Παροιμιογράφων, τ. Α', σ. 15. Οἱ Ἀλβανοὶ παρὰ τῶν ἐν Ἠπείρῳ Ἑλλήνων τὸν μῦθον ἔμαθον καὶ τούτων πλέονα χρόνον ἐφύλαξαν (ἔπιθι τὸν μῦθον, ὃν ἐδημοσίευσε Hahn albanesische Studien τ. Β', σ. 168).

228. *αὐτός*] Ὁ ἄνθρωπος λιτῶς ἀντίκειται τοῖς ἐνδύμασιν.

*ἐρρίγοντι*] Ἐπειδὴ ὁ φόβος κρυερὸς (Ἰλ. Ν 48) ἢ κρυόεις (Ἰλ. Ι 2), ὁ τοῦ ῥήματος ῥιγέω συντελικὸς *ἔρριγα* τὸν φόβον ἐκφράζει (Ἰλ. Γ 353. Η 114. Ρ 175. Ὀδ. ψ 216). Ἡ κατάληξίς ἐστι τοῦ ἐνεστῶτος, καθάπερ: κεκλήγοντες 379, 412· ἔτι δὲ ἡ τοῦ ὑποτακτικοῦ ἐρρίγῃσι Ἰλ. Γ 353.

229. *Δαναΐδης*] Θ. 1002 ἀφορμὴν ἔδωκε τοῦ διατρίβειν περὶ τὰ μητρωνυμικά.

*ἐτιταίνετο*] Ὅμηρος τὸ τρέχειν τῶν ζῴων οὕτω χαρακτηρίζει (Ἰλ. Χ 23. Ψ 518)· οὐδὲν ἧττον ἐν ἐκφράσει εἰκόνος καὶ ἐπὶ ἀνθρώπου εὐστόχως κεῖται, ἐπειδὴ οἱ παλαιότατοι τεχνῖται τὸ τρέχειν ἁπλοϊκῶς ἐδήλουν τῷ ὄντι *διατείνοντες* τοὺς πόδας τῶν τρεχόντων τοσοῦτον, ὥστε γονατίζειν μᾶλλον δοκοῦσιν.

230. *Γοργόνες*] Ἔπιθι Θ. 274 κἑ.

*οὐ φαταί*] Ταὐτὸ βούλεται τῷ *οὔτι φατειὸς* καὶ τῷ *οὐκ ὀνομαστοί* (Θ. 148, ὅπου πλείονα ἐσημειωσάμεθα). Ὁ λαὸς τὴν δοξασίαν πιστῶς φυλάσσει, *Γοργόνα* ἢ *Μέδουσαν* ἀποκαλῶν δυσειδῆ γυναῖκα (ἔπιθι τὸ εἰς Θεογ. 274 σχόλιον).

*ἐρρώοντο*] Τὸν ἀόριστον ηὕρομεν Θ. 8.

231. *μαρπέειν*] Ὁ δεύτερος ἀόριστος τοῦ μάρπτω (αἱρέω) ῥήματος οὕτως ἔχει.

*χλωροῦ*] Γαληνὸς σημειοῖ, ὅτι Ἱπποκράτης ἐνίοτε τὸ *χλωρὸς* τίθησιν ὅπου ἐν τῇ συνηθείᾳ τὸ *ὠχρὸς* κεῖται. Τοῦτο καὶ ἐνταῦθα κύριόν ἐστιν (Ζήτει τὰ χωρία ἐν τῷ Στεφάνου Θησαυρῷ λ. χλωρός).

*ἀδάμαντος*] Τὰ ὀπίσω ἐξ ἀδάμαντος πεποιημένα ἦσαν, ἵνα ἐκδεινωθῇ ἡ φοβερότης τῶν Γοργόνων. Ὁμοίως τὸ Γοργόνειον ἐν τῇ Ἰλιάδι (Λ 36-7) ἐπὶ «μέλανος κυάνου» κεῖται.

βαινουσέων, ἰάχεσκε σάκος μεγάλῳ ὀρυμαγδῷ
ὀξέα καὶ λιγέως· ἐπὶ δὲ ζώνῃσι δράκοντε
δοιὼ ἀπῃωρεῦντ' ἐπικυρτόοντε κάρηνα.
Λίχμαζον δ' ἄρα τώγε, μένει δ' ἐχάρασσον ὀδόντας
ἄγρια δερκομένω. Ἐπὶ δὲ δεινοῖσι καρήνοις
Γοργείοις ἐδονεῖτο μέγας Φόβος· οἱ δ' ὑπὲρ αὐτέων
ἄνδρες ἐμαρνάσθην, πολεμήϊα τεύχε' ἔχοντες,
τοὶ μὲν ὑπὲρ σφετέρης πόλιος σφετέρων τε τοκήων,
λοιγὸν ἀμύνοντες, τοὶ δὲ πραθέειν μεμαῶτες.
Πολλοὶ μὲν κέατο, πλέονες δ' ἔτι δῆριν ἔχοντες
μάρνανθ'· αἱ δὲ γυναῖκες εὐδμήτων ἐπὶ πύργων

232. *βαινουσέων* ] Πτερὰ λοιπὸν οὐκ εἶχον (οἷον ἐν ταῖς Σελινουντίαις μετόπαις).— Ἡ ἰδέα ὁμοιάζει 164.

*ἰάχεσκε*] Περὶ τοῦ τύπου εἰς Θ. 157 εἴρηται.

233. *ζώνῃσι*] Εἰ ἐννοητέον τὴν κυρίως ζώνην, οἱ ὄφεις θύσανοί πως ἦσαν ὡς Ἡρόδοτος γράφει, ὅτι «οἱ θύσανοι οἱ ἐπὶ τῶν αἰγίδων ὄφιές εἰσι» (4,189, πρβλ. καὶ Ἰλ. Ξ 181)· οἱ Ἀλεξανδρεῖς ὅμως τὴν δι' ὄφεων ζῶσιν τῶν Γοργόνων ἐφαντάσθησαν, οὗ παραδεχθέντος, τὴν ζώνην ἐκληπτέον «μέσην» (Ἡλιόδωρ. 3, 4. 4, 3. Ὀβιδ. Μεταμορφ. 4, 483).

234. *ἐπικυρτόοντε κάρηνα*] Καὶ τοῦτο χαρακτηριστικὸν τῶν εἰκόνων, μάλιστα ἂν ἀπεικονίζωνται δύο ὄφεις κατ' αὐστηρὰν καὶ ἀκριβῆ συμμετρίαν· ὁποῖα οἱ Γερμανικοὶ ἀρχαιολόγοι συμπεριλαμβάνουσιν εἰς τὸ ὄνομα Wappenstil (ῥυθμὸς οἰκοσήμων).

235. *Λίχμαζον*] Πρβλ. λελιχμότες Θ. 826. Ἐπειδὴ ὁ δυϊκὸς τῶν ἀρσενικῶν τὰ μάλιστα τὸν τῶν θηλυκῶν ἀντικαθίστησιν, οὐκ ἀπαράδεκτον τὸ ἀναφέρειν 235-6 εἰς τὰς Γοργόνας. Τῷ ὄντι ἐπὶ τῶν ἀρχαϊκῶν μνημείων αἱ Γοργόνες τὴν γλῶσσαν προεκβάλλουσι καὶ τοὺς ὀδόντας πρίουσι, καθὼς ἡ Λάμια αὐτοὺς ἀκονᾷ (ἴδε τὰ παραμύθια τοῦ Hahn, τ. Β', σ. 181).

235. *μένει*] Θυμῷ καὶ ὀργῇ (Ἰλ. Α 103. Ι 679).

236.-270. Μάχη.

236. *Ἐπί*] Ἐν τῷ ὑπεράνω αὐτῶν στοίχῳ (πρβλ. 237)· ἡ ἀσπὶς δηλαδὴ συνέστηκεν ἐκ ταινιῶν συγκέντρων.

237. *Γοργείοις*] Ἡ σύνταξις ἔχει, ὥσπερ ἂν εἰ ἔκειτο *Γοργόνων*.

*ἐδονεῖτο*] Ἐκλονεῖτο ἤτοι ἔσπευδε, καθάπερ τὰ τῶν ἀγωνιστῶν ἅρματα «δονήσεται» (Ὕμν. Ὁμηρ 2,92).

*Φόβος*] Ἴδε 144.

*οἱ δ' ὑπὲρ αὐτέων*] Ἐξ Ἰλ. Μ 424 εἴληπται, διὸ οὐ καθόλου ἁρμόδιόν ἐστιν.

238. *ἐμαρνάσθην*] Ὁ δυϊκός, ὡς εἴπομεν, σολοίκως ἀντὶ τοῦ πληθ. τίθεται.

*ἄνδρες* ] Διαμερίζεται καθ' ὅλον καὶ μέρος εἰς *τοὶ μέν - τοὶ δέ*.

240. *λοιγὸν ἀμύνοντες*] Πρβλ. Ἰλ. Ε 603 = Υ 98. Σ 450. Πρωτοτύπῳ ἐχρήσατο Ἰλ. Ι 531-2: «Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος ἐραννῆς, Κουρῆτες δὲ διαπραθέειν μεμαῶτες ἄρηϊ». *Ἔπραθον* ἐστὶ δεύτερος ἀόριστος τοῦ πέρθω· ὡς ἀντικείμενον δηλονότι ὑπακουστέον *πόλιν*.

241. Ἀντιστοιχεῖ τῇ συμμέτρῳ διηγήσει στ. 172 κέ.

χαλκέον ὀξὺ βόων, κάτα δ' ἐδρύπτοντο παρειάς,
ζωῇσιν ἴκελαι — ἔργα κλυτοῦ Ἡφαίστοιο —·
ἄνδρες δ', οἳ πρεσβῆες ἔσαν γῆράς τε μέμαρπε,
ἀθρόοι ἔκτοσθεν πυλέων ἔσαν, ἂν δὲ θεοῖσι
χεῖρας ἔχον μακάρεσσι, περὶ σφετέροισι τέκεσσι
δειδιότες· τοὶ δ' αὖτε μάχην ἔχον· αἱ δὲ μετ' αὐτοὺς
Κῆρες κυάνεαι, λευκοὺς ἀραβεῦσαι ὀδόντας,

*δῆριν ἔχοντες*] Ἐξ ἁμίλλης.

243. *χαλκέον*] Ἴδε Θ. 311. Ἐπισυνάπτει ἑρμηνευτικὴν λέξιν. — Αἱ γυναῖκες ἑαυτὰς παρέχουσιν ὡς ἀπολέσασαι ἤδη τοὺς ἄνδρας. Αἰσχύλος τῆς ἐν πόλει κινδυνευούσῃ ταραχῆς ζωηρὰν καὶ ἐμπαθῆ εἰκόνα διαγράφει ἐν τοῖς ἐπὶ Θήβας Ἑπτά.

244. Ἡ παρένθεσις αἰτιολογεῖ τὸ προηγούμενον.

*κλυτοῦ Ἡφαίστοιο*] = Θ. 927.

245. Ὁ μὲν νοῦς πρόδηλος, περὶ δὲ τῆς γραφῆς διαφωνοῦσιν, ἀλλὰ τοῦτο τὸ ζήτημα εἰς τὸ παράρτημα ἀνήκει. Τὸ ὑποκείμενον, ὡς συχνάκις ἐν ταῖς ἐποποιΐαις γίνεται, ἐν τῷ δευτέρῳ κώλῳ τῆς ἀναφορικῆς προτάσεως μεταλλάσσεται· τὸ γῆρας ὁμοίως τῇ πενίῃ ἐφιάλτης τις ὑπολαμβάνεται, λαμβάνων (μέμαρπε) καὶ καταπιέζων τὸν ἄνθρωπον.

246. *ἔκτοσθεν πυλέων*] Ἐν τοῖς ἐξωπύλοις μέρεσιν (Σχόλ. Ἀπολλ. Ῥοδ. 1,1174, ὃς ἐξηγεῖται «προμολῇ»), ἤτοι ἐν τοῖς προπυλαίοις. Ὁμοίως οἱ δημογέροντες τῶν Τρώων εἰς τὰς Σκαιὰς πύλας συναγείρονται (Ἰλ. Γ).

*ἂν δὲ θεοῖσι χεῖρας ἔχον*] Οἱ εὐχόμενοι τὰς χεῖρας πρὸς τὸν οὐρανὸν ἀνῆρον. Τίς ἀγνοεῖ τὸν πολυθρύλητον στίχον. «Ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων»;

248. *τοί*] Οἱ ἄνδρες, περὶ ὧν εἴρηκε 237-42.

*μάχην ἔχον*] Ἡ περίφρασις ὄζει τῆς κοινῆς συνηθείας· ἀλλ' ἀπαντᾷ καὶ ἐν τῇ Ἰλιάδι (Ξ 57).

249. *Κῆρες*] Πρβλ. Θ. 211 καὶ 217. Ἡ πλαστικὴ ἰδέα προῆλθεν ἐκ φράσεων, οἷα Ἰλ. Μ 326: Κῆρες ἐφεστᾶσιν θανάτοιο μυρίαι.

*κυάνεαι*] Οὐ παραλλάσσει τοῦ ἐν Θ. 211: «Κῆρα μέλαιναν» (Πρβλ. :κυανέη Μοῖρα, Αἰσχύλος Ἀνθολογ. 7, 255: [Ἐρινύες] κυανόχρωτοι ἄνασσαι (Ὀρφ. Ὕμν. 70, 6). Εἰδικώτερον Ὀρφικός τις Μέδουσαν εἶπε: «παρθένον ἀργαλέην ἐρεβ**ώπιδα**» (Λιθικ. 538). Οἱ Χριστιανοὶ διὰ τοῦτο τὸν διάβολον μέλανι χρώματι ἐζωγράφουν καὶ τοὺς Ἄραβας (Ἀράπηδες) ὡς δαιμονιακοὺς μάγους φοβοῦνται. Πρὸς τὸ χρῶμα σημειούμεθα, ὅτι *κυανοῦν* κυρίως ἐστὶ τὸ καθ' ἡμᾶς ἔτι οὕτω λεγόμενον, ἂν καὶ μετὰ τοῦ μέλανος χρώματος συνεχῶς συγχέηται. Πῶς ὁ πάνυ Πολύγνωτος τὸν ἐν Ἅδου δαίμονα Εὐρύνομον ἐχρωμάτισε, Παυσανίας διηγεῖται (10, 28, 7): «Κυανοῦ τὴν χρόαν μεταξύ ἐστι καὶ μέλανος, ὁποῖαι καὶ τῶν μυιῶν αἱ πρὸς τὰ κρέα εἰσὶ προσζάνουσαι». Ὡς πρὸς τὰ νεώτερα, οἱ Ζάκωνες ᾄδουσι «θὸν κουβάνε Ἅδη» (τὸν κυάνεον Ἅδην, ἴδε τὴν Οἰκονόμου γραμματικὴν σ. 48), καθάπερ Μάρκελλος ἐν τῷ Ῥηγίλλης ἐπιταφίῳ (Kaibel Ἐπιγρ. 1046,στ.84) ἔγραφε: «κυανέου Ἄιδος»· πρὸς τούτοις, τὸ Ζακωνικὸν ἡμᾶς ἀναπολεῖ Ἡσυχίου γλῶσσαν· «κουανᾶ, μέλανα Λάκωνες».

*λευκοὺς ἀραβεῦσαι ὀδόντας*] Ἅπαντα τὰ φοβερὰ τέρατα ἔχουσι τοὺς ὀδόντας μακρούς, οἷον ἡ Κὴρ ἐν τῇ τῶν

δεινωποὶ βλοσυροί τε δαφοινοί τ' ἄπλητοί τε
δῆριν ἔχον περὶ πιπτόντων· πᾶσαι δ' ἄρ' ἵεντο
αἷμα μέλαν πιέειν· ὃν δὲ πρῶτον μάρποιεν
κείμενον ἢ πίπτοντα νεούτατον, ἀμφὶ μὲν αὐτῷ
βάλλ' ὄνυχας μεγάλους, ψυχὴ δ' Ἄϊδόσδε κατῆε
[Τάρταρον ἐς κρυόενθ'. Αἳ δὲ φρένας εὖτ' ἀρέσαντο
αἵματος ἀνδρομέου, τὸν μὲν ῥίπτεσκον ὀπίσσω,

Κυψελιδῶν λάρνακι (Παυσαν. 5,19,6) καὶ οἱ τῶν Βυζαντίνων διάβολοι καὶ οἱ δράκοι. Πρβλ. καὶ 164. 235. Τὸ ἡμιστίχιον αἰνίττεται ἅμα τὸ χάσμα τοῦ στόματος, οὗ ἕνεκα ὁ βρυκόλακας ὑπὸ τῶν Ῥοδίων *καταχανᾶς* ὀνομάζεται.

250. *δεινωποί*] Σοφοκλῆς (Οἰδίπ. Κολων. 84) τὰς Ἐρινῦς ὁμοίως «δεινῶπας» εἴρηκεν.

*βλοσυροί*] Ἴδε 147. Ἡ λέξις παρὰ Κοΐντῳ τῷ Σμυρναίῳ διγενής ἐστιν (5, 452. 14, 454).

*δαφοινοί*] Ἡ παράγωγος δαφοίνεος ηὕρηται 159. — Πρὸς ἅπαντα ἀντιπαρατίθεμεν ὅσα ἐν τοῖς Νεοελληνικοῖς Ἀναλέκτοις (Α', σ. 30) περὶ τοῦ φοβερωτάτου βρυκόλακος τῶν Μηλίων ἀναγινώσκομεν: «Ἦτο φοβερόν, τὴν ὄψιν μέλαν, ἔχον τοὺς ὄνυχας σπιθαμιαίους τὸ μέγεθος καὶ βεβαμμένους διὰ τοῦ αἵματος τῶν θυμάτων του, τὴν κόμην μακρὰν καὶ τὰ βλέμματα ἄγρια».

251. *δῆριν ἔχον*] Ἴδε 241.

252. *πιέειν*] Ταὐτὸ ποιεῖ ὁ ἐν τῇ Ἀλκήστιδι Θάνατος (στ. 845). Τὸν τύπον *μάρποιεν* ἀνελύσαμεν 157.

*μάρποιεν*] Ἐν γενικαῖς προτάσεσιν εὐκόλως μεταβαίνουσιν ἀπὸ τοῦ πληθυντικοῦ πρὸς τὸν περιληπτικὸν ἑνικόν, π.χ. Ὀδ. δ 691-2.

253. *νεούτατον*] Καὶ αὕτη ἡ λέξις ἐκ τοῦ 157 ἐπανείληπται.

254. *βάλλ'-μεγάλους*] Οἱ μεγάλοι ὄνυχες χαρακτηρίζουσι τὰ δαιμόνια, οἷον τὴν Κῆρα, ἣν Παυσανίας περιγράφει (ἴδε ἀνωτ.) τοὺς διαβόλους, τοὺς βρυκόλακας κτλ.

*ψυχὴ δ' Ἄϊδόσδε κατῆε*] Παράθες Ἰλ. Η 330: ψυχαὶ δ' Ἄϊδόσδε κατῆλθον.

255. *Τάρταρον*] Τάρταρος ἐνταῦθα ὁ αὐτός ἐστι τῷ Ἅδῃ· ὃ πρῶτον ἀπαντᾷ ἐν τοῖς Ἀποσπάσμασι τοῦ Ἀνακρέοντος (43, 4: θαμὰ Τάρταρον δεδοικώς), εἴπερ Στοβαῖος τὸ λῆμμα ὀρθῶς ἔθηκεν, ἔπειτα δὲ παρὰ Θεόγνιδι (1036), Αἰσχύλῳ (Εὐμεν. 72), Τιμοκρέοντι (Ἀπ. 8), Μανέθωνι, (Ἀποτελεσμ. 3, 68), Ἀντιπάτρῳ Θεσσαλονικεῖ (Ἀνθολογ. 7, 531, 7), Μεσομήδει (Ἀπόσπ. 1), Νόννῳ (Διονυσ. 31, 50), Ὀρφεῖ (Ὕμν. 18, 2), ἔτι δὲ πολλοῖς Λατίνοις ποιηταῖς, καθάπερ *Ἔρεβος* Ὕμν. Ὁμηρ. 5, 354 καὶ παρὰ Θεόγνιδι 974. Περὶ τοῦ ἐπιθέτου *κρυόεντα* εἴπομεν Θ. 657.

*ἀρέσαντο*] Εὐηρέστησαν καὶ τὰς φρένας ἐχόρτασαν, καθάπερ Ἰλ. Τ 179: σὲ δαιτὶ ἐνὶ κλισίῃς ἀρεσάσθω. Κατὰ τὰ συνώνυμα, ἃ σημαίνουσι *πληρόω*, συντάσσεται, ἤτοι μετὰ τῆς δοτικῆς (Ἰλ. Ι 112. Τ 179. Θ 402. 415) ἢ καὶ μετὰ τῆς γενικῆς (Ὀδ. θ 402).

256. *αἵματος ἀνδρομέου*] Ἐπειδὴ ὁ ποιητὴς ταῦτα ἐξ Ἰλ. Χ 19 (:αἵματος ἀνδρομέοιο) εἴληφεν, ἡ συνάφεια τῆς φράσεως ὀλίγον τι διαταράσσεται, τοῦ *τὸν* ἀναφερομένου εἰς τὸ *ἀνδρομέου*, ὥσπερ ἂν εἰ τῷ συνωνύμῳ *ἀνδρὸς* ἐχρήσατο. Ἐπίσης Σοφοκλῆς (Ἀντιγ. 411-2)

ἂψ δ' ὅμαδον καὶ μῶλον ἐθύνεον, αὖτις ἰοῦσαι].
Κλωθὼ καὶ Λάχεσίς σφιν ἐφέστασαν· ἡ μὲν ὑφήσσων
Ἄτροπος οὔτι πέλεν μεγάλη θεός, ἀλλ' ἄρα ἥγε
τῶν γε μὲν ἀλλάων προφερής τε πρεσβυτάτη τε.
[Πᾶσαι δ' ἀμφ' ἑνὶ φωτὶ μάχην δριμεῖαν ἔθεντο,
δεινὰ δ' ἐς ἀλλήλας δράκον ὄμμασι θυμήνασαι,
ἐν δ' ὄνυχας χεῖράς τε θρασείας ἰσώσαντο].
Πὰρ δ' Ἀχλὺς εἱστήκει, ἐπισμυγερή τε καὶ αἰνή,

ἐκ τοῦ ἐπιθέτου *ὑπήνεμοι* εἴληφεν *ἄνεμος*.

*ῥίπτεσκον*] Πρβλ. Θ. 157.

257. Ἔσπευδον (ἴδε 156) πάλιν εἰς τὴν συμπλοκὴν καὶ τὸν θόρυβον. Συνδετέον «αὖτις ἰοῦσαι», ὥσπερ Ἰλ. Α 17. Ρ 103. Σ 286, κατὰ τὸν ἐπικὸν πλεονασμόν.

258. *σφιν ἐφέστασαν*] Εἱστήκεσαν ὄπισθεν τῶν Κηρῶν, καθάπερ ἐκεῖναι τῶν μαχομένων. Αἱ Μοῖραι διορίζουσι τίνα ἀποθανεῖν πέπρωται (π. χ. Σοφ. Ἀντιγ. 170: πρὸς διπλῆς μοίρας μίαν καθ' ἡμέραν ὤλοντο, Μουσαῖος 307)· ὅθεν Κόϊντος ὁ Σμυρναῖος (2, 361-2) περὶ Μέμνονος γράφει: «ἀλλά ἑ Μέμνων πολύστονος ἠπερόπευεν ἐγγύθεν ἱσταμένη καὶ ἐπὶ κλόνον ὀτρύνουσα».

*ὑφήσσων*] Ὀλίγῳ μικρότερος, ὥσπερ *ὑπολίζονες* Ἰλ. Σ 519, εἴγε ἡ γραφὴ γνησία. Ἡ ἑρμηνεία τῆς προτάσεως ἀβέβαιός ἐστιν· εἰ μὲν στικτέον μετὰ τὸ *πέλεν*, ὁ μὲν τεχνίτης τὸ «προφερὲς» τῆς Ἀτρόπου ἠνίξατο διὰ τοῦ μεγέθους, ὁ δὲ ποιητὴς τὴν αὐτὴν ἔννοιαν δισσῶς, κατὰ λιτότητα καὶ θετικῶς ἐξέφρασεν· εἰ δὲ συναπτέον «ἡ ὑφήσσων», τὸ γῆρας ἐδήλωσε διὰ τῆς μικρότητος, ὅπερ ἐπίσης οὐκ ἀμάρτυρον.

260. *προφερής*] Ζήτει τὴν ἐξήγησιν εἰς Θ. 79. Οἱ Ἠπειρῶται, οἵ τε Ἕλληνες (Ἑλλην. Φιλολ. Σύλλ. τ. ΙΔ', σ. 255) καὶ οἱ Ἀλβανοί (Hahn, griechische und albanesische Märchen Β', σ. 315), τὴν περὶ τῆς διαφόρου ἡλικίας τῶν Μοιρῶν παράδοσιν ἔσωσαν.

261 - 3. Τῶν Μοιρῶν ἀνάξιοί εἰσιν. Τοιαῦτα οὐδείς ποτε περὶ αὐτῶν ἐλήρησεν. Πρὸς τούτοις, οἱ τρεῖς ἀόριστοι εἰς τὴν περιγραφὴν οὐχ ἁρμόζουσιν. Καὶ γὰρ *δράκον* ἀόριστος δεύτερός ἐστι τοῦ θέματος δέρκ(ομαι ἤτοι προσβλέπω).

262. *θυμήνασαι*] Ὀργισθεῖσαι.

263. *ἰσώσαντο*] « Ἴσως ἐξέτειναν » (Σχόλιον τοῦ ἐν Μονάχῳ κώδικος).

264. *Ἀχλύς* (Ἡ κατάληξις ἀρχαϊκῶς διεκτείνεται, ὥσπερ Ἰλ. Υ 421)] Ἀχλύς, ἤτοι σκότος, κεῖται παρ' Ὁμήρῳ ἐπὶ λιποθυμίας (Ἰλ. Ε 696) ἢ θανάτου (Ἰλ. Ε 47 = Π 344. Ὀδ. χ 88) ἢ λύπης (Ἰλ. Υ 421), ἣν αἰνίττεται καὶ Πρόκλος ἐν τῷ εἰς Ἥλιον Ὕμνῳ (στ. 41: ἀχλὺν ἀποσκεδάσας [τῆς ψυχῆς] ὀλεσίμβροτον ἰολόχευτον). Τὰ καθ' ἕκαστα, οἷον αἱ διακεκνισμέναι παρειαί (ἔπιθι 243), ἡ ἐπὶ τῆς κεφαλῆς κόνις — ἀναμνησθῶμεν τοῦ πενθοῦντος Πριάμου—, αἱ ἕνεκα τῶν δακρύων μύξαι, τὰ ἐκ τῆς νηστείας ἀποβαίνοντα, ἐμφαίνουσιν ἅπαντα τὴν ἐσχάτην θλῖψιν, καὶ ταύτην διὰ νεκρούς. Οὕτως συνενοῦνται ἀμφότεραι αἱ ἀνωτέρω σημασίαι. Ὅτι ἡ Ἀχλὺς τοῦ θανάτου σύμβολον, ἀμέσως ἐννοοῦμεν, ἐνθυμηθέντες περὶ τῆς λέξεως *σκοτόνω*, ἧσπερ αἱ ἀρχαὶ πολὺ προβεβήκασι τῶν

χλωρή, ἀϋσταλέη, λιμῷ καταπεπτηυῖα,
γουνοπαχής, μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν,
τῆς δ' ἐκ μὲν ῥινῶν μύξαι ῥέον, ἐκ δὲ παρειῶν
αἷμ' ἀπελείβετ' ἔραζ'· ἡ δ' ἄπλητον σεσαρυῖα
εἱστήκει, πολλὴ δὲ κόνις κατενήνοθεν ὤμους,
δάκρυσι μυδαλέη. Παρὰ δ' εὔπυργος πόλις ἀνδρῶν,

ὑπὸ Δουκαγγίου ἀναφερομένων μαρτυρίων· οἱ Πριηνεῖς κατηρῶντο «ὁ παρὰ δρυΐ σκότος» «διὰ τὸ παῖδας αὐτῶν καὶ πατέρας καὶ ἄνδρας ἐκεῖ φονευθῆναι» (Πλουτάρχ. Ζητήμ. Ἑλλην. 20, Ἀριστοτέλης παρὰ Ζηνοβίῳ 6, 12). Ἡσύχιος σκότος ἐξηγεῖται ὄλεθρος, θάνατος, ἐπίσης δὲ ὁ Χρυσόστομος εἰς κεφ. Α' τοῦ κατ' Ἰωάννην εὐαγγελίου (ὁμιλ. ε', 3) σημειοῦται: «Σκοτίαν καὶ τὸν θάνατον καὶ τὴν πλάνην φησί».

*ἐπισμυγερή*] Παρὰ τὸ σμύχω (ὑπεκκαίω).

265. *χλωρή*] Ἴδε 231.

*ἀϋσταλέη*] Ξηρὰ ἐκ λύπης (Θ. 99), ἢ πείνης (Ἔ. 7). Ἐν τοῖς ἔμπροσθεν παρελίπομεν τὰ ἑξῆς· α') ἐπὶ θλίψεως τίθεται αὐχμηρός, παρὰ Μανέθωνι 2, 169· 6') ἐπὶ πτωχίας καὶ πενίας «αὐχμηροὺς ἀναγκαίου βιότοιο» Μανέθ. 2, 54, βίου 3, 57, αὖος ὑπὸ λιμοῦ Ἀλκίφρ. 3, 4, πρβλ. 3, 70. Ἀξιολογώτερον δὲ ὅτι οὐκ ἀντιπαρεβάλομεν τὸ καθ' ἡμᾶς *ξερακιανός*. — Καὶ τῶν Καλικαντσάρων ἡ ἰσχνότης χαρακτηριστικόν (Νεοελλην. Ἀνάλ. 1, 322), καθάπερ τῶν βρυκολάκων ὁ ῥύπος (Ἱστ. τῆς Μάνης στ. 261-2: καταλερωμένους σὰν βρυκολάκους ἄγριους).

*καταπεπτηυῖα*] Παρὰ τὸ καταπτήσσω, συνωνύμως τῷ παρ' Ἱπποκράτει πολλῷ *συμπίπτω* (Λατιν. concido, Γερμανιστὶ eingefallen).

266. *γουνοπαχής*] Ζήτει εἰς Ἔ. 497.

*μακροὶ δ' ὄνυχες χείρεσσιν ὑπῆσαν*] Οἱ ὄνυχες, ὧν τὸ μέγεθος ἤδη σεσημείωται, ὑπῆσαν ὑπὸ τὴν χεῖρα, ὅτι ὁ ποιητὴς ἐν εἰκόνι τὰς χεῖρας εἶδε καταχρεμαμένας.

267. Τὸν στίχον μεμψιμοιρεῖ ὁ «περὶ ὕψους» ἀνώνυμος (9, 26): «οὐ γὰρ δεινὸν ἐποίησε τὸ εἴδωλον, ἀλλὰ μισητόν», ὃν ὑπερακοντίζει Λεσίγγιος ἐν τῷ «Λαοκόωντι». Ἀλλὰ τίς διαβεβαιοῖ, ὅτι ὁ ἐποποιὸς τὴν Ἀχλὺν ἐβούλετο δεινήν; Ἐκ πάντων ἐκφαίνεται, ὅτι τὰ χαρακτηριστικὰ τῆς ἄκρας θλίψεως διεξέρχεται· ἂν δέ τις βδελύττηται, ἀναλογιζέσθω, ὅτι οἱ τότε ἄνθρωποι, ἅτε τῶν ῥινομάκτρων στερούμενοι, ἧττον ἐμυσσάττοντο.

268. *αἷμ' ἀπελείβετ' ἔραζ'*]=174.

*σεσαρυῖα*] Παρὰ τὸ σάρω (φαίνω τοὺς ὀδόντας), περὶ οὗ ἐπίσης ἐν τοῖς ἔμπροσθεν ἐσημειωσάμεθα.

269. *κατενήνοθεν ὤμους*] Ἡ φράσις οὐχ ἁρμόζει, ὅτι εἴληπται ἐξ Ὕμν. Ὁμηρ. 5, 280: ξανθαὶ δὲ κόμαι κατενήνοθεν ὤμους ἐκ κοινοῦ ἀρχετύπου. Ῥίζα δὲ τοῦ ῥήματος ἦν *ἀνεθ* (ἀνήνοθε Ἰλ. Λ 266), ὁ δὲ νοῦς «σκεπάζω». Ἡ κόνις δηλαδή, ἐπὶ τὴν κεφαλὴν διασπαρθεῖσα (Ἰλ. Ω 163 κἑ.), εἰς τοὺς ὤμους κατέπεσεν.

270. *δάκρυσι μυδαλέη*] Οἱ ὀφθαλμοὶ ὑγροὶ ἦσαν (τούτους αὐτοὺς μυδαλέους ἐπικαλεῖ Ἀρχίλοχος Ἀπόσπ. 182)· τοῦτο γὰρ ἀπεικονισθῆναι ἔξεστιν. Ἄλλως ἂν παρεπέμπομεν πρὸς ὅσα Αἰσχύλος περὶ τῶν πενθουσῶν Περσίδων ἐποίησε (στ. 539-40): διαμυδαλέοις δάκρυσι κόλπους τέγγουσι.

270.-85. Εἰκὼν τῆς κατ' εἰρήνην πόλεως.

χρύσειαι δέ μιν εἶχον ὑπερθυρίοις ἀραρυῖαι
ἑπτὰ πύλαι, τοὶ δ' ἄνδρες ἐν ἀγλαΐαις τε χοροῖς τε
τέρψιν ἔχον· τοὶ μὲν γὰρ ἐϋσσώτρου ἐπ' ἀπήνης
ἤγοντ' ἀνδρὶ γυναῖκα, πολὺς δ' ὑμέναιος ὀρώρει,
τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζε
χερσὶν ἔνι δμώων· ταὶ δ' ἀγλαΐῃ τεθαλυῖαι

270. Ὁ πρὸς Ἰλ. Σ 491-6 παραλληλισμὸς ἀποδεικνύει τὴν διαφορὰν τοῦ περιγράφοντος καὶ τοῦ αὐτομάτως πλάσσοντος ποιητοῦ.

271. *εἶχον*] Τὸ μὲν ἀπέκλειον, τὸ δὲ ἐφύλασσον· πρωτότυπον δὲ Ὀδ. ψ 42: σανίδες δ' ἔχον εὖ ἀραρυῖαι. Ἐ*ντὸς* προστίθεται Ἰλ. Μ 8. Ὀδ. 6 341.

*ὑπερθυρίοις ἀραρυῖαι*] Ὑπερθύριον καλεῖται ὁ ἄνωθεν τῆς θύρας ἐγκάρσιος λίθος ἢ δοκός (Ὀδ. η 90). Τὴν φράσιν ἀξιώσει μάλιστα λόγου ὅστις ἐθαύμασε τοὺς ὑπερμεγέθεις λίθους, οἳ τὰς Κυκλωπείους πύλας ἄνωθεν σκεπάζουσι, καὶ ἀκατανόητόν γε πῶς ἄνευ μηχανῶν εἰς τὸ ὕψος ἐξήρθησαν.

272. *ἑπτὰ πύλαι*] Ὀβίδιος ἐν ταῖς Μεταμορφώσεσι (13,685) τὸ προκείμενον χωρίον αἰνιττόμενος ἐν περιγραφῇ ἀριστουργήματος οὐχὶ μόνον· Urbs erat, φησί, et septem posses ostendere portas, ἀλλὰ καὶ προστίθησι· Hae pro nomine erant et quae foret illa docebant. Ἀληθῶς ἡ ἑπτὰς τὸ ὄνομα τῆς πόλεως περισσὸν ἀποτελεῖ, τίς γὰρ ἠγνόησε τὴν ἑπτάπυλον Θήβην; Ὡσαύτως Φιλόστρατος ἐν ταῖς Εἰκόσι (1, 4) γράφει: «Θηβῶν μὲν ἡ πολιορκία, τὸ γὰρ τεῖχος ἑπτάπυλον». — Τῇ πολιορκουμένῃ πόλει οὐχ ἑπτὰ πύλαι ἀπονέμονται, ἵνα μὴ κακὸς ᾖ ὁ οἰωνός.

*ἀγλαΐαις*] Τρυφαῖς· ἐπὶ χορῶν καὶ ᾠδῶν ἡ λέξις οὐ πρότερον κεῖται ἢ Ὕμν. Ὁμηρ. 3, 476: μέλπεο καὶ κιθάριζε καὶ ἀγλαΐας ἀλέγυνε, καὶ παρὰ Πινδάρῳ ἐν τῷ 2 στ. τῆς περιδόξου α' Πυθικῆς: «βάσις (χορὸς) ἀγλαΐας ἀρχά». Ἐν τούτοις, ἡ φράσις ἀντιστοιχεῖ πως τῇ ἐν τῇ συνηθείᾳ «χαρὲς χοροὶ παιγνίδια» (Passow 307, 41). Πρβλ. καὶ Θ. 909.

273. *ἐϋσσώτρου ἐπ' ἀπήνης*] = Ἰλ. Ω 578 (γράφ. : ἐϋξέστου). Τὸ ἐπίθετον παράγεται ἀπὸ τῆς λέξεως «σῶτρον» (περίδεσμος τροχοῦ). Ἀ*πήνη* ἐστὶν ἁμαξὶς ἐλαυνομένη ὑπὸ ἡμιόνων (Παυσαν. 5, 9, 2)· οὕτω γὰρ αἱ γυναῖκες ὠχοῦντο, ὁ δὲ μὴ ἔχων ἡμιόνους χάριν τοῦ γάμου βοῦς ὑπεζεύγνυεν· ὃ νῦν εἰσέτι τινὲς ποιοῦσι, νύμφης ὑπανδρευομένης εἰς ἄλλο χωρίον.

274. *ἤγοντ'*] Τὸ μέσον καταχρηστικῶς τίθεται· κυρίως γὰρ αὐτῷ χρῶνται ἐπὶ τοῦ ἀνδρός, ὃς τὴν νύμφην εἰς τὴν ἑαυτοῦ οἰκίαν ἄγει ἢ τοὐλάχιστον ἐπὶ τοῦ πατρὸς ἢ ἀδελφοῦ τοῦ μνηστῆρος (Ὀδ. δ 10. ο 237, πρὸς τούτοις δὲ ἐπὶ τοῦ κυρίου, ὃς δούλῳ οἰκείῳ γυναῖκα παρέχει, Ὀδ. φ 214).

*πολὺς δ' ὑμέναιος ὀρώρει*] = Ἰλ. Σ 493 (προηγουμένων «ἠγίνεον ἀνὰ ἄστυ»). Ὁ ὑμέναιος πολὺς ἦν καὶ ὀξύς, ἅτε ᾀδόμενος ὑπὸ πολλῶν.

275. *τῆλε*] Ἐπὶ πολύ.

*εἰλύφαζε*] Ἡ λέξις ἐξήγηται εἰς Θ. 692, πλὴν ἐνταῦθα ἀμεταβάτως κεῖται.

276. *ταί*] Πᾶς τις Ἕλλην ἠπίστατο ὅτι τὸν χορὸν ἐννοεῖ τῶν παρθένων, ὃς τῇ νύμφῃ ᾄδων ἠκολούθει (Αἰσχύλ. Προμηθ. 556. Εὐριπίδ. Ἰφιγ. Αὐλ. 1042. Θεοκρίτ. Εἰδ. ιη').

*ἀγλαΐῃ τεθαλυῖαι*] Ὑπαινίττεται τὰς Χάριτας Ἀγλαΐην καὶ Θάλειαν.

πρόσθ' ἔκιον· τοῖσιν δὲ χοροὶ παίζοντες ἕποντο·
τοὶ μὲν ὑπὸ λιγυρῶν συρίγγων ἵεσαν αὐδὴν
ἐξ ἁπαλῶν στομάτων, περὶ δέ σφισιν ἄγνυτο ἠχώ,
αἳ δ' ὑπὸ φορμίγγων ἄναγον χορὸν ἱμερόεντα.
Ἔνθεν δ' αὖθ' ἑτέρωθε νέοι κώμαζον ὑπ' αὐλοῦ·
τοί γε μὲν αὖ παίζοντες ὑπ' ὀρχηθμῷ καὶ ἀοιδῇ,
τοί γε μὲν αὖ γελόωντες, ὑπ' αὐλητῆρι ἕκαστος
πρόσθ' ἔκιον· πᾶσαν δὲ πόλιν θαλίαι τε χοροί τε
ἀγλαΐαι δ' εἶχον. Τοὶ δ' αὖ προπάροιθε πόληος,
νῶθ' ἵππων ἐπιβάντες, ἐθύνεον. Οἱ δ' ἀροτῆρες

πρβλ. Ὀδ. λ 416: εἰλαπίνῃ τεθαλυίῃ, 603: τέρπεται ἐν θαλίῃς. Ὅθεν Κόλουθος (62) τοὺς γαμηλιώτας *θαλίην* καλεῖ.

277. *πρόσθ'*] Πρὸ τῆς ἀπήνης.

*τοῖσιν*] Τοῖς περὶ τὴν ἀπήνην (273—276).

*παίζοντες*] Περὶ τῶν χορευόντων ἐν χρήσει ἐστὶ Ὀδ. ψ 148. Γ' Ἔσδρα 5,3: μετὰ μουσικῶν τυμπάνων καὶ αὐλῶν καὶ πάντες οἱ ἀδελφοὶ αὐτῶν παίζοντες, Α' Κορινθ. 18, 7: ἀνέστησαν παίζειν.

278. *ὑπό*] Σημαίνει τὴν μουσικὴν ἀντιφωνίαν (ἴδε 280. 281).

*συρίγγων*] Ἐπὶ τῆς Κρήτης τὸ νυμφικὸν ζεῦγος ὑπὸ τῶν φίλων τῶν μὲν ᾀδόντων, τῶν δὲ τὴν λύραν καὶ ἄλλα ὄργανα παιζόντων προπέμπεται· πάντες οἱ ἄνθρωποι ἐκ τῶν οἰκιῶν, ὅσας παρέρχονται ἐκτρέχουσι (παράθες 276) καὶ ἄνθη ἐπιρρίπτουσιν (Οὕτω Ἐλπὶς Μέλαινα ἐν τῇ Κρητικῇ Μελίσσῃ σ. 53).

*αὐδήν*] Ὠδήν, ὥσπερ Θ. 31 κἑ. Τὸ ῥῆμα ἐπίσης ἀπαντᾷ Θ. 10 κἑ.

279. *ἁπαλῶν*] Τῶν νέων· αἰνίττεται ἅμα καὶ τὸ χαρίεν τῆς φωνῆς.

*ἄγνυτο ἠχώ*] Πρβλ. 203.

280. *αἳ δ'*] Ἀναφέρεται εἰς 276.

281. Ἐντεῦθεν ἑτέρα σκηνὴ ἀρχὴν λαμβάνει, ἤγουν **κῶμος**.

*Ἔνθεν*] Ἑρμηνεύει εὐθὺς *ἑτέρωθεν*, ἤτοι ἀπὸ τοῦ ἑτέρου μέρους τῆς πόλεως.

*κώμαζον*] Ἐνταῦθα τὸ πρῶτον κῶμος μνημονεύεται, ὅστις ὕστερον Ἀθήνησι μάλιστα ἤνθει. Οἱ νέοι νυκτὸς —καὶ οἱ γάμοι μετὰ τὴν τοῦ ἡλίου δύσιν ἑωρτάζοντο—περιήρχοντο μετὰ αὐλητρίδος καὶ ἐκώμαζον πρὸς τὰς θύρας τῶν ἐρωμένων.

*ὑπ' αὐλοῦ*] Διακριβοῦται 283.

282. *ὀρχηθμῷ καὶ ἀοιδῇ*]=Ὕμν. Ὁμηρ. 1, 149. Θεόγνιδ. 791, οὗ παραλλάσσει ὀλίγον «ὀρχηστυῖ καὶ ἀοιδῇ» (Ὀδ. θ 253. ρ 505). Περὶ τῆς μετοχῆς ἔμπροσθεν εἴρηται (277).

284. *πρόσθ' ἔκιον*] Εἰς τὸ πρόσθεν ἐπορεύοντο. Ἐν τοῖς ἑξῆς ἀποπεραίνει τὴν εἰκόνα, ἐπαναλαμβάνων πως τὴν ἀρχήν.

285-313. Ὁ ἔξω τῶν τειχῶν βίος.

285. Παράθες 272. Οἱ εὐγενεῖς τῶν νέων πρὸ τῆς πόλεως ἱππεύοντες γυμνάζονται· ᾧ ἐχρήσατο Ἀλεξανδρεύς τις, ὃν Ὀβίδιος μιμεῖται (Μεταμ. 6, 218 κἑ.) ἕνεκα τοῦ περὶ τῶν Νιοβιδῶν μύθου.

286. *νῶθ'*] Ῥητῶς προστίθεται, ἵνα μή τις ἐννοήσῃ ἁμαξηλάτας, διότι Ὅμηρος «ἵππων ἐπιβαίνω» εἴρηκεν, ἀντὶ τοῦ «ὀχεῖσθαι».

*ἐθύνεον*] Ἴδε 156.

ἤρεικον χθόνα δῖαν, ἐπιστολάδην δὲ χιτῶνας
ἐστάλατ'. Αὐτὰρ ἔην βαθὺ λήϊον· οἵ γε μὲν ἤμων
αἰχμῆς ὀξείῃσι κορωνιόωντα πέτηλα,
βριθόμενα σταχύων, ὡσεὶ Δημήτερος ἀκτήν·
οἱ δ' ἄρ' ἐν ἐλλεδανοῖσι δέον καὶ ἔπιτναν ἀλωήν.
Οἱ δ' ἐτρύγων οἴνας, δρεπάνας ἐν χερσὶν ἔχοντες,

287. *ἤρεικον*] Ἔσχιζον· ἡ αὐτὴ μεταφορὰ ἀπαντᾷ παρ' Ἀπολλωνίῳ τῷ Ῥοδίῳ 3,1330 (1331).

*χθόνα δῖαν*] = Ἔ. 479.

*ἐπιστολάδην*] Πρβλ. Ἔ. 391 καὶ Χρυσόστομον Ὁμιλ. ιη', 5 εἰς τὰς Πρ. τῶν Ἀποστ. «**ἀνεζωσμένον** καὶ σκάπτοντα». Ὁ χιτὼν δηλαδὴ ὑπὸ τῶν ἐργαζομένων πρὸς τὴν μέσην ἀνεσύρετο. *Χιτῶνας* λέγει, διότι τὰ ἱμάτια, ὡς εἴπομεν, οἴκοι ἀφίεσαν.

*Αὐτάρ*] Σημειοῦται τὴν ἀρχὴν ἄλλης σκηνῆς.

288. *βαθὺ λήϊον*] Αἱ αὐταὶ λέξεις ἐν τῷ αὐτῷ μέρει τοῦ ἑξαμέτρου εὑρίσκονται Ἰλ. Λ 560, ἄλλοθι δὲ Ἰλ. Β 147. Ὀδ. ι 134. Θεόγνιδ. 107.

289. *αἰχμῆς*] Οὐδεὶς ἄλλος τὴν λέξιν πρὸς τὰ δρέπανα μετέφερεν, εἰ καὶ κυρίως ὁτιοῦν ὀξὺ σημαίνει. Ἀνθαμιλλᾶται μόνος ὁ ὑψηλόφωνος Αἰσχύλος, ὃς τὸ σκῆπτρον (Προμηθ. 404) καὶ τὴν τρίαιναν (αὐτ. 972) οὕτως ὀνομάζει.

*κορωνιόωντα*] *Κορωνιάω*, ὃ ἐν τῷ παρακμάσαντι Ἑλληνισμῷ ἐπὶ τῶν ἵππων τὸ κυρτοῦσθαι τοὺς τραχήλους καὶ ἐντεῦθεν τὸ γαυριᾶν σημαίνει, ἐν τῷ ἀνὰ χεῖρας στίχῳ τὴν ἀρχαιοτάτην σημασίαν *κυρτῶ* ἐφύλαξεν.

*πέτηλα*] Ἀνθέρικας, ὅπερ μὴ συγχέοι τις μετὰ τοῦ Ὁμηρικοῦ πέταλα, ἤτοι φύλλα. Πλὴν Ἡρόδοτος ἐπὶ ἐκείνων γράφει (1,193)· «τὰ φύλλα τῶν πυρῶν καὶ τῶν κριθέων», καὶ ὑμνῳδὸς πεδίον «παν-άφυλλον» (Ὕμν. Ὁμηρ. 5,452) ὀνομάζει.

290. *ὡσεὶ Δημήτερος ἀκτήν*] Ἴδε Ἔ. 32. Τὸ μόριον ἰσοδύναμον τοῖς ἀνωτέρω ἰκέλη, εἴκυῖαι κτλ.

290 καὶ 291. Παράθες Ὕμν. Ὁμηρ. 5,457: βρισέμεν ἀσταχύων, τὰ δ' ἐν ἐλλεδανοῖσι δεδέσθαι, ἔτι δὲ Ἰλ. Σ 553: ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο. *Ἐλλεδανός* ἢ ἄμαλλα ἐσχημάτισται, καθάπερ ῥιγεδανὸς καὶ πευκεδανός, ἀπὸ τῆς ῥίζης FΕΛ (εἰλέω ἢ κυλίνδω).

*ἔπιτναν*] Κατὰ τὴν συνήθειαν μᾶλλον Θεόκριτος (7,34) εἴρηκεν: «Εὔκριθον **ἀνεπλήρωσεν** ἀλωάν». *Ἀλωὴ* δὲ ἅλως ἐστίν.

292-301. Ὁμοιάζουσιν Ἰλ. Σ 561-71.

292. *δρεπάνας*] Ἐνταῦθα τὰ κλαστήρια δηλοῖ.

293. *ταλάρους*] Νῦν *κοφίνια* (οὕτω οἱ Θηραῖοι) ἢ *βεργοπανεράκια* (οὕτως οἱ Μεσολογγῖται) ὀνομάζονται· πιττάκιον ἐκ Κορίνθου ἀργιλλῶδες, ὅπερ εἰς τὸν ἕβδομον αἰῶνα ἀναφέρεται, ἐναργὲς καθίστησιν, ὅτι ἐπὶ τοῦ νώτου ἐφέροντο, ὃ διαβεβαιοῖ καὶ τὸ νζ' (νϛ') Ἀνακρεόντειον στ. 3.

*ὑπὸ τρυγητήρων*] Ἐπειδὴ αἱ ἄμπελοι ἢ *ὄρχοι* μεγάλοι ἦσαν (294), οἱ τρυγηταὶ ἄνωθεν τῶν ἄλλων εἰργάζοντο, ἐπὶ κλιμάκων δῆλα δὴ ἑστῶτες, ὡς ὁρῶμεν ἐν ἀναγλύφῳ σαρκοφάγου, ὃ ἐδημοσίευσε Clarac (Sculptures du musée du Louvre πίν. 136, εἰκ. 122) καὶ κάτω διδόντες τοὺς βότρυς. — Ὁ στίχος ὅμως γνήσιος οὐκ ἔστιν, ὡς ὀλίγον παρακατιόντες ἐκ τοῦ 296 γνωσόμεθα, ἐνεβλήθη δὲ ὅτι ἠπόρησέ τις περὶ

[οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν ὑπὸ τρυγητήρων]
λευκούς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ ὄρχων,
βριθομένων φύλλοισι καὶ ἀργυρέῃς ἑλίκεσσι.
Οἳ δ' αὖτ' ἐς ταλάρους ἐφόρευν. Παρὰ δέ σφισιν ὄρχος
χρύσεος ἦν, κλυτὰ ἔργα πολύφρονος Ἡφαίστοιο,
σειόμενος φύλλοισι καὶ ἀργυρέῃσι κάμαξι,
[τοί γε μὲν αὖ παίζοντες ὑπ' αὐλητῆρι ἕκαστος]
βριθόμενος σταφυλῇσι· μελάνθησάν γε μὲν αἵδε.
Οἵ γε μὲν ἐτράπεον, τοὶ δ' ἤρυον. Οἳ δ' ἐμάχοντο

τῆς συντάξεως· ἀλλὰ ὁ ποιητὴς δύο αἰτιατικὰς ἀπὸ τοῦ ῥήματος *ἐτρύγων* ἐξήρτηκεν, οὐχ ἧττον ἢ παρ' Εὐριπίδῃ (Ἰφιγ. Αὐλ. 790) ἀπαντᾷ: «Τίς ἄρα μ' εὐπλοκάμους κόμας... ἀπολωκεῖ ;» καὶ παρ' Ἀριστοφάνει (Ἀχαρν. 164): «τὰ σκόροδα πορθούμενος».

294. Ὁ λαὸς πάντοτε οὐδὲν ἄλλο εἶδος βοτρύων ἐγνώρισεν ἢ τὸ λευκὸν καὶ τὸ μέλαν. Μόνον οἱ λόγιοι τὸ κιρρὸν ἢ ξανθὸν διέκρινον.

*ὄρχων*] Στοίχων τῶν ἀμπέλων, ὧν μεταξὺ διάδρομοι ὑπῆρχον· ὄρχος δὲ ἀπὸ τοῦ ἔρχομαι προῆλθεν.

295. *βριθομένων φύλλοισι*] Οἱ πρὸς βορρᾶ φιλόλογοι τὸν ἔπαινον τοῦτον ἀπρεπῆ ἡγοῦνται, ὡς ἀκάρπου οὔσης τοιουτοτρόπου ἀμπέλου· ἀλλὰ οἱ παλαιοὶ Ἕλληνες τὰ περισσὰ φύλλα οὐκ ἀπέτεμνον, διότι οἱ βότρυες οὐ χρῄζουσι πλείονος θέρμης, μᾶλλον δὲ σκέπης, ἂν ὁ ἥλιος καίῃ. Διὸ καὶ ἀνώνυμός τις ἐν ἐπιγράμματι ἐπιτυμβιδίῳ (ἔκδ. Κουμανούδη, Ἐπιγρ. 2486 καὶ Kaibel Ἐπιγράμμ. 88, στ. 5) τὴν Χίον ὧδε ἐξυμνεῖ: «ἡ μὲν καλλικόμοις πτόρθοις βοτρυώδεος οἴνης Χίος ἀγαλλομένη». Πρὸς τούτοις, οὐδεὶς ἂν ἀντείποι, εἰ διισχυριζόμεθα, ὅτι ἄμπελος μεστὴ κλημάτων καὶ φύλλων, ἐξ ὧν βότρυες ὡς κρυφίως προκύπτουσιν, ὡραιοτέραν θέαν παρέχει ἢ ψιλὴ καὶ γυμνή, εἰ καὶ ὑπεργέμει βοτρύων. Τὸ δὲ τέλος ὁ ποιητής, ὡς ἔφθημεν εἰπόντες, περιγράφει τεχνάσματα, ὅπερ καὶ νῦν τῷ ἐπιθέτῳ *ἀργυρέῃσι* ὑποδηλοῖ.

*ἑλίκεσσι*] Κλήμασιν.

296. *ἐφόρευν*] Τοὺς βότρυας δηλονότι ἔφερον.

*ὄρχος*] Ἴδε 294.

297. Ἀναμιμνησκόμεθα πάλιν, ὅτι Ἥφαιστος ἦν ὁ ποιήσας, διότι ὁ ὄρχος σείεται καὶ κινεῖται. Τοῦ πληθυντικοῦ (*ἔργα*) ἐν ταῖς ἐποποιΐαις πολλὰ παραδείγματα ὑπάρχουσιν, οἷον Ἰλ. Λ 124, Υ 268. Τὸ «πολύφρονος Ἡφαίστοιο» εἴληπται ἐξ Ὀδυσσ. θ 297.

298. *κάμαξι*] *Κάμακες* ὀνομάζονται τὰ ξύλα ἢ αἱ κάλαμοι, αἷς αἱ ἄμπελοι ἐπερείδονται. Εἴπερ αὕτη ἡ σημασία καὶ ἐνταῦθα ἰσχύει, ἡ λέξις κατὰ ζεῦγμα μετὰ τῆς μετοχῆς συντάσσεται· οὐ μέντοι ἀπαράδεκτον θεωροῦμεν, ὅτι *κάμαξ* τῷ *κλῆμα* συνωνυμεῖ.

299. (Ὀλίγον παραλλάσσει τοῦ 283), ἤτοι ὑπὸ ἀντιγραφέων, οἵτινες τὸν στίχον ἐν τῷ οἰκείῳ τόπῳ (283) παρέλιπον, εἰς τὴν κάτω ὤαν γεγραμμένος, ὕστερον κατὰ συνάφειαν ἐγράφη, ἢ μετὰ τοῦ 300 στ. τὸν τόπον μετήλλαξεν· οἱ τρυγηταὶ πάντως ᾄδουσι μεταξὺ ἐργαζόμενοι.

300. *μελάνθησαν*] Ἴδε 167.

301. *ἐτράπεον*] Κατεπάτουν (Ὀδ. η 125. Ἀνάνιος ἐν Ἀθηναίου Δειπνοσ. Ζ', σ. 282 Β).

πύξ τε καὶ ἑλκηδόν. Τοὶ δ' ὠκύποδας λαγὸς ἥρευν
ἄνδρες θηρευταί, καὶ καρχαρόδοντε κύνε πρό,
ἱέμενοι μαρπέειν, οἱ δ' ἱέμενοι ὑπαλύξαι·
πὰρ δ' αὐτοῖς ἱππῆες ἔχον πόνον, ἀμφὶ δ' ἀέθλῳ
δῆριν ἔχον καὶ μόχθον, ἐϋπλεκέων δ' ἐπὶ δίφρων
ἡνίοχοι βεβαῶτες, ἐφίεσαν ὠκέας ἵππους
ῥυτὰ χαλαίνοντες, τὰ δ' ἐπικροτέοντα πέτοντο
ἅρματα κολλήεντ', ἔπι δὲ πλῆμναι μέγ' ἄυτευν·

*ἤρυον*] Ἐκ τοῦ ὑποληνίου εἰς τοὺς πίθους. Ἡ σκηνὴ αὕτη ἀπὸ τοῦ τρυγητοῦ (292 - 5 ἐφόρεον) διακόπτεται τῷ 295 - 300 περιεχομένῳ θαύματι. Μετὰ τῆς αὐτῆς βραχυλογίας—ὁ ποιητὴς ἐπείγεται πρὸς τὸ πέρας—οἱ ἀθληταὶ μνημονεύονται. Ὅμηρος τὴν λέξιν *μάχομαι* ἐπίσης μεταχειρίζεται Ἰλ. Ψ 621, ὅπου τὸ ἑπόμενον *ἑλκηδὸν* τρόπον τινὰ μεταφράζεται: «οὐ γὰρ πύξ γε μαχήσεαι οὐδὲ **παλαίσεις**», οἷς παρατίθεμεν στ. 714: τετρίγει δὲ τὰ νῶτα θρασειάων ἀπὸ χειρῶν (τῶν παλαιόντων) **ἑλκόμενα** στερεῶς, καὶ ἐκ Λουκιανοῦ (Διάλ. Θεῶν 7, 3): «ὑφέλκων τὼ πόδε».

302. *λαγός*] Ἡ «Δωρικὴ» αὕτη αἰτιατικὴ ἐν τῷ ἀνὰ χεῖρας ποιήματι ἅπαξ εἴρηται. *Λαγὸς* ἐν τῇ κοινῇ (ἴδε Τρύφωνα παρ' Ἀθηναίῳ 9,400 a), ἤτοι παρὰ τοῖς μὴ Ἀττικοῖς καὶ τοῖς Ἀθήνησι ποιηταῖς, ἐν χρήσει ἦν ἀντὶ τοῦ Ἀττικοῦ λαγώς, Ὁμήρου πανταχοῦ εἰπόντος *λαγωός*.

*ἧρευν*] Ἐκυνήγουν, ὥσπερ Ξενοφ. Κύρου Παιδ. 1,6,40. Κυνηγετ. 11,3. Λουκιαν. Διάλ. Θεῶν 19, 2· ὡσαύτως λέγομεν: Σ τὴν θάλασα(ν) **πιάνει** λαγούς. Ὅτι οὐχ ἡρέθησαν ἤδη ἐν τῷ 304 ἁπλοϊκῶς ἐκφράζεται.

303. *καρχαρόδοντε*] Ἴδε Ἔ. 604. Οἱ κυνηγοὶ ἐξῆγον δύο κύνας (ἴδε Ἰλ. Κ 360).

*πρό*] Ἐπιρρηματικῶς.

304. *μαρπέειν*] Ἔπιθι 231. Ἡ δευτέρα ὀνομαστικὴ τῆς ἁρμονίας χάριν ἀφωμοίωται πρὸς τὴν προηγουμένην.

305. *ἱππῆες*] Οἱ ἐφ' ἁμαξῶν ἀγωνιζόμενοι (Ἰλ. Ψ 602).

*ἔχον πόνον*] Ἀνθημιλλῶντο, ὅθεν Θεόκριτος (7,139) τάδε παίζει: «Τέττιγες λαλαγεῦντες ἔχον πόνον». Τὴν αἰτίαν δηλοῖ ἡ ἑπομένη πρότασις κατὰ παράταξιν.

306. *δῆριν ἔχον καὶ μόχθον*] Πρβλ. 241. 251.

*ἐϋπλεκέων*] Ἔπιθι τὴν εἰς 63 σημείωσιν.

*δίφρων*] Ἴδε 61.

307. *ἡνίοχοι*] Ἐκληπτέον ἐπιθετικῶς. Οἱ ἡνίοχοι οὐδέποτε ἐκάθηντο, διὸ «*βεβαῶτες*» εἶπεν.

*ἐφίεσαν*] Ἤπειγον.

308. *ῥυτὰ χαλαίνοντες*] Παράθες Ἰλ. Π 475: «τὼ (οἱ σπεύδοντες ἵπποι) δ' ἰθυντήτην, ἐν δὲ ῥυτῆρσι τάνυσθεν». Κοινότερον λέγεται: «χαλῶ, ἀφίημι, ἐνδίδωμι τὰς ἡνίας».

*ἐπικροτέοντα*] Οἱ Ἀθηναῖοι τὸ μέρος τῆς Ἀκαδημείας, ὅπου οἱ ἱππεῖς ἐγυμνάζοντο, ἐπίκροτον ὠνόμαζον (Ξενοφ. Ἱππαρχ. 3, 14).

*πέτοντο*] Περὶ τῆς μεταφορᾶς ἔμπροσθεν εἴπομεν.

309. *ἅρματα κολλήεντ'*] Οὐ διαφέρει τῆς Ὁμηρικῆς φράσεως *ἅρματα κολλητοῖσι* (Ἰλ. Δ 366. Λ 198.

οἱ μὲν ἄρ' αἴδιον εἶχον πόνον, οὐδέ ποτέ σφιν
νίκη ἐπηνύσθη, ἀλλ' ἄκριτον εἶχον ἄεθλον·
τοῖσιν δὲ προύκειτο μέγας τρίπος ἐντὸς ἀγῶνος,
χρύσειος, κλυτὰ ἔργα περίφρονος Ἡφαίστοιο.
Ἀμφὶ δ' ἴτυν ῥέεν Ὠκεανὸς πλήθοντι ἐοικώς,
πᾶν δὲ συνεῖχε σάκος πολυδαίδαλον. Οἱ δὲ κατ' αὐτὸν
κύκνοι ἀερσιπόται μεγάλ' ἤπυον, οἵ ῥά τε πολλοὶ
νῆχον ἐπ' ἄκρον ὕδωρ, πὰρ δ' ἰχθύες ἐκλονέοντο,
θαῦμα ἰδεῖν καὶ Ζηνὶ βαρυκτύπῳ, οὗ διὰ βουλὰς

Ψ 286. Ὀδ. ρ 117). Τὰ ἐπίθετα εἰδικῶς εἰς τὸν δίφρον τῆς ἁμάξης ἀναφέρονται (Ἰλ. Τ 395). Τὰ μεταλλικὰ μέρη δηλαδὴ εὖ συγκεκολλημένα ἦσαν.

*αὔτευν*] Οἱ τροχοὶ τῶν ἁμαξῶν ἐβόων, ὅτι τὸ πάλαι οὐκ ἠλείφοντο, ὥσπερ τὰ ἀνατολικὰ κάρρα. Παιδιᾶς χάριν συνελέξαμεν χωρία τινὰ φιλοσόφων ἐνδοξοτάτων καὶ ποιητῶν, οἳ ὡσαύτως τῷ «Ἡσιόδῳ» τὸν τριγμὸν ὡς ἀναγκαῖον καὶ φυσικὸν γεγονὸς μνείας ἀξιοῦσιν. Πλάτ. Πολιτ. 3,397a: ψόφους ἀνέμων τε καὶ χαλαζῶν καὶ ἀξόνων καὶ τροχιλίων κτλ., Πλούταρχ. Πῶς δεῖ ποιημάτ. ἀκούειν 3: ψοφὴν τροχιλίας, Ὀβίδ. Tristia 3, 10, 59: stridentia plaustra, 12, 30: stridula plaustra, ἐν περιγραφῇ τῆς ἀκτῆς τοῦ Πόντου, Τρυφιόδωρ. 319-20, Ἀνθολογ. Λατιν. 4,104 (ἐπὶ τῆς ἱερᾶς ἁμάξης τῆς τῶν θεῶν Μητρός!)

310. Ὢ τῆς ἀλλοκότου εἰρωνείας!

312. *προύκειτο*] Ἐν τῷ τέρματι τοῦ σταδίου, ὅπου οἱ κριταὶ ἦσαν ἐντὸς τοῦ τῶν θεατῶν κύκλου (*ἐντὸς ἀγῶνος*, ἴδε Θ. 91), τὸ βραβεῖον ἔκειτο.

313. Πρβλ. 297. Τὸ ἐπίθετον ὑπαινίττεται, ὅτι ὁ τρίπους περικαλλὴς ἦν· διότι ἁπλοῦς τρίπους ἥκιστα πολύτιμον χρῆμα.

314. Ὁ Ὠκεανὸς κρασπεδοῖ τὴν Ἡσιόδειον καὶ τὴν Ὁμηρικὴν ἀσπίδα (Ἰλ. Σ 607 κέ.), καθόσον τὴν γῆν περικλείει.

*πλήθοντι ἐοικώς*] Πληρέστερον κεῖται Ἰλ. Ε 87: ποταμῷ πλήθοντι ἐοικώς. Ὁ Ὠκεανός, ὡς ἀνέγνωμεν (Θ. 133), *βαθυδίνης* ἐστίν.

316. *ἀερσιπόται*] Πρβλ. ἀερσιπότητος Ε. 767. Οἱ κύκνοι ὁδοιποροῦσι κατὰ τὰς ὥρας· τῷ φθινοπώρῳ δῆλον ὅτι πορεύονται ὑπὲρ τὰς Κυκλάδας καὶ τὸν χειμῶνα περὶ τοὺς τῆς Ἰωνίας ποταμοὺς διάγουσιν (πρβλ. Ἰλ. Β 460. Ο 692). Οἱ Ἴωνες ἐδόξαζον, ὅτι ἶλαι ᾀδόντων κύκνων καὶ τὸν ἱερὸν ποταμὸν ἐκόσμουν, ὃ ἐκ τῶν ἐποποιῶν ἐπήγασε πρὸς τόδε τὸ ποίημα καὶ Εὐριπίδην (Ἀπόσπ. 775,31).

*ἤπυον*] Τὸ ῥῆμα παρ' Ὁμήρῳ σημαίνει ἀνθρώπων φωνήν (Ὀδ. κ 83, ἠπύτα κῆρυξ Ἰλ. Η 384), τὸν ἦχον τοῦ ἀνέμου (Ἰλ. Ξ 399) καὶ τὸν τῆς κιθάρας (Ὀδ. ρ 271). Ἡ ποιητικὴ φαντασία, ἡ περὶ τῆς ᾠδῆς τοῦ ἀποθνήσκοντος κύκνου, πρὸς τοῦτο τὸ χωρίον οὐδεμίαν σχέσιν ἔχει.

317. *ἐκλονέοντο*] Ἴδε Θ. 935.

318. Ταῦτα, ἃ ἀφορῶσιν εἰς τὴν Ἀσπίδα ὁλόκληρον, λεπτῶς σημειοῦνται· ἦ ἄρ' οὐκ ἐκεῖνο τὸ θαυμασιώτατον ἁπάντων, ὅπερ καὶ Ζεὺς θαυμάζει, ἐκείνη δὲ πάντως ἡ τεχνικωτάτη ἐργασία τοῦ αἰθαλώδους θεοῦ, ἥντινα ὁ βασιλεὺς τῶν Ὀλυμπίων παρήγγειλεν;

*βαρυκτύπῳ*] Ἴδε Θ. 388.

Ἥφαιστος ποίησε σάκος μέγα τε στιβαρόν τε,
ἀρσάμενος παλάμῃσι. Τὸ μὲν Διὸς ἄλκιμος υἱὸς
πάλλεν ἐπικρατέως· ἐπὶ δ' ἱππείου θόρε δίφρου,
εἴκελος ἀστεροπῇ πατρὸς Διὸς αἰγιόχοιο,
κοῦφα βιβάς· τῷ δ' ἡνίοχος κρατερὸς Ἰόλαος
δίφρου ἐπεμβεβαώς, ἰθύνετο καμπύλον ἅρμα.
Ἀγχίμολον δέ σφ' ἦλθε θεὰ γλαυκῶπις Ἀθήνη,
καί σφεας θαρσύνουσα ἔπεα πτερόεντα προσηύδα·
«Χαίρετε, Λυγκῆος γενεὴ τηλεκλειτοῖο·
νῦν δὴ Ζεὺς κράτος ὔμμι διδοῖ, μακάρεσσιν ἀνάσσων,
Κύκνον τ' ἐξεναρεῖν καὶ ἄπο κλυτὰ τεύχεα δῦσαι.

319. *μέγα τε στιβαρόν τε*] = Ἰλ. Σ 478. 609. Τὴν λέξιν *στιβαρὸς* ἐπὶ Θ. 152 ἐξηγησάμεθα.

320. *ἀρσάμενος παλάμῃσι*] Ἅρμενον ποιήσας (πρβλ. Ε 407) ταῖς παλάμαις (219).

*ἄλκιμος υἱός*] = Ἰλ. Λ 605 κἀ. Οὐδὲν ἧττον τὸ ἐπίθετον τὴν κυρίαν σημασίαν *ἰσχυρὸς* ἐντελῶς ἐφύλαξεν. Ἡρακλῆς δηλαδὴ τοσαύτην ῥώμην εἶχεν, ὥστε οὐχὶ μόνον τὴν ἀσπίδα φέρειν ἐδύνατο, ἀλλὰ καὶ ἰσχυρῶς αὐτὴν ἐκράδαινεν.

321. *ἱππείου δίφρου*] Πρβλ. 61.

322. *εἴκελος ἀστεροπῇ*] Ὅμηρος ταῖς αὐταῖς λέξεσιν ἐπὶ ξίφους ἐχρήσατο (Ἰλ. Ξ 386), καὶ ἄλλοθι δὲ τὴν αἴγλην τῶν χαλκῶν ὅπλων οὕτως ἐξαίρει (Ἰλ. Κ 153-4. Λ 64-5. Ν 242-5). Καὶ δὴ ἡ τῶν θεῶν μαρμαρυγὴ τῷ τοῦ Διὸς πυρὶ ἀντιπαραβάλλεται (Ὕμν. Ὁμηρ. 5, 281: αὐγῆς δ' ἐπλήσθη πυκινὸς δόμος ἀστεροπῆς ὥς). Ἐνταῦθα δὲ καὶ ἄλλην ἐξήγησιν παραδεχόμεθα, ἥντινα οἱ καθ' ἡμᾶς ποιηταὶ μάλιστα ἐπιδοκιμάσουσιν, ὅτι δῆθεν τὸ λεγόμενον τρίτον τῆς παραβολῆς ἐστι τὸ τάχος (ὥσπερ Πινδάρ. Ἰσθμ. 8, 83: ἐναλίγκιον στεροπαῖσί τ' ἀκμὰν ποδῶν, ἐν ᾄσματι δημοτικῷ παρὰ Ζαννέτῳ ἐν τῇ «Ὁμηρικῇ Φράσει», Ἀθήν. 1883, σ. 20: σὰν ἀστραπὴ πηγαίνουν).

*Διὸς αἰγιόχοιο*] = Θ. 25 κτλ.

324. *καμπύλον ἅρμα* (= Ἰλ. Ε 231)] Ἡ ἔπαλξις τοῦ ἅρματος ἡμικύκλιον ἀποτελεῖ.

325. *Ἀγχίμολον δέ σφ' ἦλθε*] = Ἰλ. Ω 283 κἀ. Τὰ ἀκόλουθα ἐπίσης ἐν τῇ Ἰλιάδι καὶ Ὀδυσσείᾳ ἀπαντῶσιν (Ἰλ. Ε 405 κἀ.). Περὶ τοῦ ἐπιθέτου ζήτει εἰς Θ. 13. Ἀθηνᾶ συνεχῶς τῷ ἥρωϊ συμβοηθεῖ (π. χ. Ἰλ. Θ 362 κέ. Ὀδ. λ 626 κτλ.).

326. = Ἰλ. Ο 145 (πλὴν ἀντὶ τῆς μετοχῆς αὐτόθι *φωνήσασ'* κεῖται). Ἡρμηνεύσαμεν τὸ *πτερόεντα* εἰς 117.

327. *Χαίρετε*] Περὶ ταύτης τῆς προσαγορεύσεως Λουκιανὸς σοφῶς ἀστεΐζεται ἐν τῷ ὑπὲρ τοῦ ἐν τῇ προσαγορεύσει πταίσματος. Ὁ πληθυντικὸς πρὸς τὸ περιληπτικὸν *γενεή*.

*Λυγκῆος γενεή*] Ἀλκαῖος ἐγένετο ἐξ Ἠλεκτρύωνος τοῦ Περσέως τοῦ Δανάης τῆς Ἀκρισίου τοῦ Ἄβαντος τοῦ Λυγκέως, ὃν ὁ ἔρως τῆς Δαναΐδος Ὑπερμήστρας ἀείμνηστον ἐποίησεν.

329. Πρβλ. Ἰλ. Ε. 435: Αἰνείαν κτεῖναι καὶ ἀποκλυτὰ τεύχεα δῦσαι. Συντακτέον τὸ ἀπαρέμφατον μετὰ τοῦ ἀντικειμένου *κράτος*. Τὸ *ἐξεναρεῖν* ἐστι

Ἄλλο δέ σοί τι ἔπος ἐρέω, μέγα φέρτατε λαῶν·
εὖτ' ἂν δὴ Κύκνον γλυκερῆς αἰῶνος ἀμέρσῃς,
τὸν μὲν ἔπειτ' αὐτοῦ λιπέειν καὶ τεύχεα τοῖο,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρη' ἐπιόντα δοκεύσας,
ἔνθα κε γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
ὀφθαλμοῖσιν ἴδῃς, ἔνθ' οὐτάμεν ὀξέϊ χαλκῷ·
ἂψ δ' ἀναχάσσασθαι, ἐπεὶ οὔ νύ τοι αἴσιμόν ἐστιν
οὔθ' ἵππους ἑλέειν οὔτε κλυτὰ τεύχεα τοῖο».
Ὣς εἰποῦσ' ἐς δίφρον ἐβήσατο δῖα θεάων,
νίκην ἀθανάτῃς χερσὶν καὶ κῦδος ἔχουσα,

τοῦ δευτέρου ἀορίστου τοῦ ἐξ-εναρίζω (πρβλ. 194. 332).

330. Νῦν ἐπιστρέφεται πρὸς μόνον τὸν Ἡρακλέα, δι' ἐπικῶν φράσεων διαλεγομένη· παράθες «ἄλλο δέ τοι ἐρέω» (Ἰλ. Α 297 κἀ. Δ 39. Θ. 212. Π 444. 851. Φ 94) καὶ «σοὶ δὲ τόδ' αὖτις ἔπος ἐρέω» (ἐν τῷ παρ' Ἡροδότῳ 7, 141 χρησμῷ στ. 3), «μέγα φέρτατε λαῶν» (ἐν τῇ ὑπὸ Hendess Συλλογῇ τῶν Χρησμῶν 20,1) καὶ «πάντων ἀριδείκετε λαῶν» (Ὀδ. θ 382. 401).

331. *ἀμέρσῃς*] Πρβλ. Ἰλ. Χ 58: αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς. Ἡ μὲν λέξις *αἰὼν* συνωνυμεῖ τῇ *ζωῇ* καὶ τὸ ῥῆμα *ἀμέρδω* τῷ *στερέω*.

332. *αὐτοῦ*] Αὐτόθι ὅπου ἔπεσεν. Οἱ Ὁμηρικοὶ ἥρωες τὸν νεκρὸν πολέμιον εἰς τοὺς τῶν φίλων στοίχους ἔσυρον, ὅπως καθ' ἡσυχίαν αὐτὸν τῶν ὅπλων ἀποσυλήσωσιν.

333. *αὐτὸς δὲ*] Ἀντίκειται τῷ *τὸν μέν*.

*βροτολοιγὸν*] Βροτοῖς γὰρ λοιγὸν καὶ ὄλεθρον φέρει.

*δοκεύσας*] Ἑρμηνείας χάριν παρατίθεμεν Ἰλ. Ε 238: τόνδε δ' ἐγὼν ἐπιόντα δεδέξομαι ὀξέϊ δουρί.

334. *γυμνωθέντα*] Μὴ ἀποκαλυφθέντα τῇ ἀσπίδι.

335. Ὥσπερ τὸ πρῶτον ἡμιστίχιον κατὰ πλεονασμὸν Ὁμηρικὸν προφέρεται, ὡσαύτως τὸ δεύτερον εἰς τὸν Μαιονίδην ἀνήκει (Ἰλ. Ε 132: τήνγ' οὐτάμεν ὀξέϊ χαλκῷ). Ὅθεν ὁ *χαλκὸς* Ὁμηρικῶς τὴν ἀπὸ χαλκοῦ ἀκωκὴν δηλοῖ.

336. *αἴσιμον*] Ἐτυμολογητέον ἀπὸ τοῦ αἶσα (μοῖρα)· ἰσοδυναμεῖ λοιπὸν τῷ μόρσιμον, ἤτοι πεπρωμένον.

338. *δῖα θεάων*] Τοῦτο Ὁμηρικώτατον.

339. Οἱ Ἕλληνες φαντάζονται Δία καὶ Ἀθηνᾶν *νικηφόρους*, ἤγουν ἔχοντας τὴν Νίκην ἐπὶ τῆς χειρός· οὗπερ παράδειγμα λαμπρότερον οὐκ ἔχομεν ἀναφέρειν ἢ τοὺς δύο κολοσσοὺς τοῦ Φειδίου. Ἡ καλλιτεχνία ἀνέκαθεν τοιουτότροπα σύμβολα παρέστησεν, οἷον Τεκταῖος καὶ Ἀγγελίων τῷ Δηλίῳ Ἀπόλλωνι τὰς Χάριτας ἐπὶ τῆς χειρὸς ἔθεσαν. Οὐ μὴν διατεινόμεθα, ὅτι ἀνδριάς τις νικηφόρος τῷ ποιητῇ πρὸ τῶν ὀφθαλμῶν παρέστη, ἐπειδὴ παρ' Ὁμήρῳ ἤδη ὅμοια εὑρίσκονται· («Ἐνυὼ) ἔχουσα κυδοιμὸν ἀναιδέα δηϊοτῆτος», Λ 3: (Ἔρις) πολέμοιο τέλος μετὰ χερσὶν ἔχουσα, ὡσαύτως δὲ παρὰ Μιμνέρμῳ 2,6: Κὴρ ἔχουσα τέλος γήραος καὶ θανάτοιο. Τοιαῦται μεταφοραὶ λοιπὸν τὴν πλαστικὴν φαντασίαν τῶν καλλιτεχνῶν ἐκίνησαν.

ἐσσυμένως. Τότε δή ῥα Διόγνητος Ἰόλαος
σμερδαλέον ἵπποισιν ἐκέκλετο, τοὶ δ' ὑπ' ὁμοκλῆς
ῥίμφ' ἔφερον θοὸν ἅρμα κονίοντες πεδίοιο·
ἐν γάρ σφιν μένος ἧκε θεὰ γλαυκῶπις Ἀθήνη
αἰγίδ' ἀνασσείσασα, περιστονάχιζε δὲ γαῖα.
Τοὶ δ' ἄμυδις προγένοντ' ἴκελοι πυρὶ ἠὲ θυέλλῃ,
Κύκνος θ' ἱππόδαμος καὶ Ἄρης ἀκόρητος ἀϋτῆς.
Τῶν ἵπποι μὲν ἔπειθ' ὑπεναντίοι ἀλλήλοιιν
ὀξεῖα χρέμισαν, περὶ δέ σφισιν ἄγνυτο ἠχώ.
Τὸν πρότερος προσέειπε βίη Ἡρακληείη·
«Κύκνε πέπον, τί νυ νῶϊν ἐπίσχετον ὠκέας ἵππους,
ἀνδράσιν οἵ τε πόνου καὶ ὀϊζύος ἴδριές εἰμεν;

340. *Διόγνητος*] Τὸ γένος ἀπὸ τοῦ Διὸς παράγεται, καθόσον Περσεὺς (ἴδε 327) υἱὸς αὐτοῦ ἦν.

341. *ἵπποισιν - ἅρμα* (342) εὑρίσκομεν αὐτολεξεὶ ἐν τῷ εἰς Δήμητρα Ὕμνῳ (88-9). Πάντως δὲ ἀμφότεροι οἱ ποιηταὶ ταῦτα ἐξ ἀρχαιοτέρας ἐποποιίας ἠρύσαντο. Ἰλ. Τ 399 παρεῖχε τὴν ἀρχὴν «σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο».

* *ὑπ' ὁμοκλῆς*] Τὰ στοιχεῖα τῆς συνθέσεως, ὁμὸς καὶ καλέω, πρόδηλα.

342. *ῥίμφ'*] Συνάφειάν τινα μετὰ τοῦ *ῥίπτω* ῥήματος ἔχει· ὁμοιογενὲς ἄρα ἐστὶ τῷ εὐπετής.

*κονίοντες πεδίοιο*] Τὴν σύνταξιν τῆς Ὁμηρικῆς φράσεως (Ἰλ. Ν 820. Ψ 372. 449. Ὀδ. θ 122) ἀντιπαραβάλλομεν μετὰ τῆς Ἠπειρωτικῆς «κάμπου κάμπου» (διὰ τοῦ πεδίου).

343. Παράθες 325.

344. *δέ*] Παρατακτικῶς τὰ ἀποβαίνοντα ἐκφράζει.

345. *ἄμυδις προγένοντ'*] Ἐν τῷ αὐτῷ προῆλθον ἐκ τοῦ ἄλσους.

*ἴκελοι πυρὶ ἠὲ θυέλλῃ*] Οὐδὲ αὕτη ἡ ἰδέα τοῦ ποιητοῦ οἰκεία ἐστίν, ἀλλὰ ὠφελήθη Ἰλ. Ν 39: φλογὶ ἶσοι ἀολλέες ἠὲ θυέλλῃ, 53 κἀ.: φλογὶ ἶσος, ἤ, εἴκελος, Λ 596 κἀ.: ὡς οἳ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο, Λ 747: κελαινῇ λαίλαπι ἶσος, Μ 375: ἐρεμνῇ λαίλαπι ἶσος. Οὕτως ὁ ποιητὴς τὴν βίαιον ἐπιφορὰν ζωγραφεῖ.

346. *ἀκόρητος ἀϋτῆς*] = Ἰλ. Ν 621 πρβλ. ἄατος πολέμοιο 59.

347. *Τῶν*] Ἀμφοτέρων, Ἡρακλέους τε καὶ Κύκνου.

348. *ὀξεῖα*] Ὁ τύπος οὗτος τοῦ οὐδετέρου πληθυντικοῦ ἴσως ἐν ταῖς ἀρχαίαις ἐποποιίαις πολὺς ἦν, διότι οἱ κακόζηλοι Ἀλεξανδρεῖς παραδείγματα παρέχουσι· «θήλεια μῆλα» Ἄρατος 1068, καὶ *δριμεῖα* Νίκανδρος Ἀπόσπ. 71 παρ' Ἀθηναίῳ, 9, 371 Β', στ. 4. Τὸ δὲ ἐν τοῖς Ἀντωνίνου Ἐρωτικοῖς Διηγήμασιν (2) *ἡμίσεια* ἐκ τῆς κοινῆς συνηθείας εἰσέφρησεν.— Πρὸς τὰ λοιπὰ ἴδε 279.

350. *πέπον*] Ἴδε Θ. 544. Προσαγορεύσας ἕνα, ὅμως τὰ λοιπὰ πληθυντικῶς εἶπεν, ὅπερ ἐν τῇ παλαιᾷ συνηθείᾳ εὐχρήστει.

351. *πόνου καὶ ὀϊζύος*] Πρβλ. Ἰλ. Ν 2: πόνον τ' ἐχέμεν καὶ ὀϊζύν.

*ἴδριες*] Ἔμπειροι, καθὼς Ἰλ. Π 359: ἰδρείῃ πολέμοιο.

Ἀλλὰ παρέξεχε δίφρον ἐΰξοον ἠδὲ κελεύθου
εἶκε παρεξιέναι. Τρηχῖνα δέ τοι παρελαύνω
ἐς Κήϋκα ἄνακτα· ὁ γὰρ δυνάμει τε καὶ αἰδοῖ
Τρηχῖνος προβέβηκε—σὺ δ' εὖ μάλα οἶσθα καὶ αὐτός·
τοῦ γὰρ ὀπυίεις παῖδα Θεμιστονόην κυανῶπιν.
Ὦ πέπον, οὐ μὲν γάρ τοι Ἄρης θανάτοιο τελευτὴν
ἀρκέσει, εἰ δὴ νῶε συνοισόμεθα πτολεμίζειν.
Ἤδη μέν τί ἕ φημι καὶ ἄλλοτε πειρηθῆναι
ἔγχεος ἡμετέρου, ὅθ' ὑπὲρ Πύλου ἠμαθόεντος
ἀντίος ἔστη ἐμεῖο, μάχης ἄμοτον μενεαίνων.

352. *παρέξεχε*] Ἴδε 97.

*δίφρον ἐΰξοον*] = Ὀδ. δ 590· τὸ πλεῖστον μέρος γὰρ ἀπὸ ξύλου πεποίηται.

353. *εἶκε παρεξιέναι*] Ἀπὸ τῆς ὁδοῦ ἀποσύρου, ἵνα παρίωμεν ἐκ τοῦ ἄλσους.

*Τρηχῖνα δέ τοι παρελαύνω*] Διὰ βραχέων τὸν σκοπὸν τῆς πορείας (Τρηχῖνα) καὶ τὸ ὅτι οὐ βούλεται ἐπιτίθεσθαι (**παρελαύνω**), ὑποδηλοῖ. Ἡ περιώνυμος Τραχὶς πρὸς δύσεως τῶν Θερμοπυλῶν πλησίον τοῦ καθ' ἡμᾶς χωρίου Μουσταφᾶ-μπέη ἔκειτο.

354. *ἐς Κήϋκα ἄνακτα*] Κήϋξ διὰ τῆς Ἡρακλέους φιλίας ἔτυχεν εὐδοξίας· ἀμφοτέρους ἐξύμνησεν Ἡσιόδειος ποιητὴς ἐν τῷ «Κήϋκος Γάμῳ».

*δυνάμει τε καὶ αἰδοῖ*] Οὐ μόνον δυνάμει, ἀλλὰ καὶ ὑπολήψει τοὺς Τραχινίους ἅπαντας ὑπερβάλλει.

355. Ἀντὶ τοῦ *δὲ* οἱ πεζογράφοι τῷ *ἀλλὰ* χρῶνται, διακόπτοντες τὸν λόγον· ἡ φράσις τετύπωται κατὰ τὴν Ὁμήρου «οἶσθα καὶ αὐτή» (Ἰλ. Ο 93).

356. *κυανῶπιν*] Τὰς *μαυρομμάτας* πᾶς τις τραγουδιστὴς ἐπαινεῖ.

357. *πέπον*] Πρβλ. 350. Ἐπιστρέφεται ἐπὶ τὴν προτέραν παραίνεσιν 352-3.

*θανάτοιο τελευτὴν*] Περὶ τοῦ «θανάτοιο τέλους» εἰς Ε. 166 εἴπομεν· ἡ ἐνταῦθα φράσις ὑπὸ τῶν μεταγενεστέρων ἐποποιῶν μετήλλακται ἐκ τῆς Ὁμηρικῆς (Ἐμπεδοκλ. Ἀπόσπ. 37. Χρησμ. Σιβύλλ. 3, 546. 11, 157. Τζέτζ. ἐν τοῖς Μεθ' Ὅμηρον 413. 416).

358. *ἀρκέσει*] Ἀμυνεῖ.

* *νῶε*] Ἀντὶ τοῦ νῶϊ (νὼ) τὴν Βοιωτικὴν πατρίδα τοῦ ποιητοῦ διαβεβαιοῦται.

*συνοισόμεθα πτολεμίζειν*] Πρβλ. συνοισόμεθα πτόλεμόνδε Ἰλ. Θ. 400. Τὸ ῥῆμα κατὰ τὴν νεωτέραν σημασίαν ἐκληπτέον.

360. *ἡμετέρου*] Οἱ δυτικοὶ τὸν πληθυντικὸν τοῦτον ὀνομάζουσι τὸν τῆς μεγαλειότητος.

*Πύλου ἠμαθόεντος*] Τὸ ἐπίθετον εἴληπται ἀπὸ τῆς ἀμμώδους ἀκτῆς. Οὐ διηγούμεθα τὴν ἣν αἰνίττεται ἱστορίαν, ἐπειδὴ Ὅμηρος ἐν τῷ Λ (690-3) καὶ διαφερόντως ἐν τῷ Ε (395-404) τῆς Ἰλιάδος τὴν πρὸς Πύλον στρατείαν ἀφηγεῖται.

361. *ἄμοτον μενεαίνων*] Ὅμηρος καὶ τούτου τὸ πρωτότυπον χορηγεῖ Ἰλ. Χ 36: ἄμοτον μεμαώς, ᾧ ὁ Βοιωτὸς συντάσσει *μάχην* (διαρκῶς πόλεμον μελετῶν). Ἐτυμολογοῦμεν τὸ ἐπίρρημα ἀπὸ *μοτός*, ὥστε σημαίνει *ἀκατάτριπτος*, ἤτοι ἀνέκλειπτος.

Τρὶς μὲν ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἠρείσατο γαίῃ,
οὐταμένου σάκεος, τὸ δὲ τέτρατον ἤλασα μηρόν,
παντὶ μένει σπεύδων, διὰ δὲ μέγα σαρκὸς ἄραξα·
πρηνὴς δ' ἐν κονίῃσι χαμαὶ πέσεν ἔγχεος ὁρμῇ.
Ἔνθα κε δὴ λωβητὸς ἐν ἀθανάτοισιν ἐτύχθη,
χερσὶν ὑφ' ἡμετέρῃσι λιπὼν ἔναρα βροτόεντα».
Ὣς ἔφατ'· οὐδ' ἄρα Κύκνος ἐϋμμελίης ἐμενοίνα
τῷ ἐπιπειθόμενος ἐχέμεν ἐρυσάρματας ἵππους.
Δὴ τότ' ἀπ' εὐπλεκέων δίφρων θόρον αἶψ' ἐπὶ γαῖαν
παῖς τε Διὸς μεγάλου καὶ Ἐνυαλίοιο ἄνακτος,
ἡνίοχοι δ' ἔμπλην ἔλασαν καλλίτριχας ἵππους.

362. *ἠρείσατο γαίῃ*] Τοῦτο τὸ χωρίον ἀπεικονίζουσί πως οἱ Αἰγινητικοὶ ἀνδριάντες, τῶν τρωθέντων ἐρειδομένων τῇ χειρὶ ἢ τῷ ἀγκῶνι ἐπὶ τῆς γῆς.

363. *οὐταμένου σάκεος*] Ἐν τῇ Ἰλιάδι ἀπαντᾷ τὸ «τιτρώσκεσθαι τὰς ἀσπίδας» :«μόνον σάκος οὔτασε δουρί» (Η 258. Ν 607. 646. Ο 528). Ὁ τύπος συνᾴδει τῷ *κτάμενος*.

364. *παντὶ μένει*] Πάσῃ σπουδῇ.

*ἄραξα*] Ἔωσα τὸ ἔγχος βαθέως εἰς τὴν σάρκα.

365. Πολλὰ ὅμοια ἐν ταῖς τῶν Τρώων μάχαις εὑρίσκονται, οἷον «ἐς ὁρμὴν ἔγχεος ἐλθεῖν» (Ἰλ. Ε 118).

366. *Ἔνθα κε δή*] Τότε δὴ σχεδὸν (πρβλ.: ἔνθα κε... ἐτύχθη Ἰλ. Β 155).

*λωβητός*] Ὥσπερ τὸ καταλείπειν τὴν ἀσπίδα τῆς μεγίστης αἰσχύνης ἦν, ἐπὶ γῆς.

367. *χερσὶν ὑφ' ἡμετέρῃσι*]=Ἰλ. Β 374. Δ 291. Ν 816.

*ἔναρα βροτόεντα*] Ἀπὸ τοῦ βρότος (αἷμα).

368. *ἐϋμμελίης*] Περὶ τῆς μελίας σεσημείωται εἰς Θ. 187 καὶ Ἔ. 145.

*ἐμενοίνα*] Ἐβουλήθη ἢ προείλετο.

369. *τῷ ἐπιπειθόμενος ἐχέμεν*] Οὕτως ὥσπερ Ἡρακλῆς ἐβούλετο, *παρὲξ* δῆλα δή (352).

*ἐρυσάρματας ἵππους*]=Ἰλ. Ο 354 :ἔχον ἐ. ἵ.), οἳ τὸ ἅρμα εἷλκυον.

370. *εὐπλεκέων*] Ἴδε 306.

371. *Ἐνυαλίοιο ἄνακτος*] = Ἀρχιλόχ. 1, 1. Τὸ ἐπίθετον τοῦ Ἄρεως πρὸς τὴν Ἐνυὼ σχέσιν ἔχει. Περὶ τοῦ *ἄνακτος* εἰς Θ. 493 εἴρηται.

372. *ἡνίοχοι*] Ἰόλαος καὶ Ἄρης.

*ἔμπλην*]=Πλησίον, Ἰλ. Β 526. Ἐὰν γάρ τις τύχῃ τρωθείς, προαιροῦνται ἐκ τοῦ πλησίον σῶσαι.

*ἔλασαν κ. ἵ.*]=Ὀδ. ε 380. ο 215.

373—412. Περιέχουσι παραβολὰς σχετιζομένας πρὸς τοὺς ἥρωας, αἳ ταῖς ἐν Β τῆς Ἰλιάδος ὁμοιάζουσιν εἰς τὸ ὀγκῶδες πλῆθος. Οἱ κριτικοὶ ὀλίγους τῶν στίχων ἀνεπάφους κατέλιπον· ἡμεῖς δὲ οὐδόλως ὑπὲρ τῆς ἐπιτηδειότητος καὶ ἀκολουθίας τῶν ἀντιπαραβολῶν πολεμῆσαι διανοούμεθα, ἀλλ' ἅπαντας ὅσον ἂν βούλωνται κατηγορεῖν αὐτῶν ἐῶμεν. Νομίζομεν μέντοι τὸν ποιητήν, οἷον μέχρι τῶνδε κατεφάνη, ἡστινοσοῦν ἀπειροκαλίας ἱκανόν. Εἴπερ δὲ ῥαψῳδός τις τὴν κακὴν ποίησιν κακοῖς ἐμβλήμασι μᾶλλον ἔτι διέφθειρεν, ἀμβλυωπές ἐσμεν, ὥστε ταῦτα μὴ διακρῖναι.

Τῶν δ' ὕπο σευομένων κανάχιζε πόσ' εὐρεῖα χθών,
ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
πέτραι ἀποθρώσκωσιν, ἐπ' ἀλλήλαις δὲ πέσωσι,
πολλαὶ δὲ δρύες ὑψίκομοι, πολλαὶ δέ τε πεῦκαι
αἴγειροί τε τανύρριζοι ῥήγνυνται ὑπ' αὐτέων
ῥίμφα κυλινδομένων, ἧος πεδίονδ' ἀφίκωνται·
ὣς οἱ ἐπ' ἀλλήλοισι πέσον, μέγα κεκλήγοντες,
πᾶσα δὲ Μυρμιδόνων τε πόλις κλειτή τ' Ἰαωλκός,
Ἄρτη τ' ἠδ' Ἑλίκη Ἄνθειά τε ποιήεσσα
φωνῇ ὕπ' ἀμφοτέρων μεγάλ' ἴαχον· οἱ δ' ἀλαλητῷ
θεσπεσίῳ σύνισαν· μέγα δ' ἔκτυπε μητιέτα Ζεύς.
Κὰδ δ' ἄρ' ἀπ' οὐρανόθεν ψιάδας βάλεν αἱματοέσσας
σῆμα τιθεὶς πολέμοιο ἑῷ μεγαθαρσέϊ παιδί.

373. *σευομένων*] Ὁρμωμένων.

374. Πρὸς τὰ ἑπόμενα παράθες Ἰλ. Ν 137. 42, οἷς ὁ εἷς καὶ μόνος Ἕκτωρ ὡς πίπτουσα πέτρα ἐγκωμιάζεται. Ἐνταῦθα δὲ ὁ μέγας ἦχος κατακυλιομένων πετρῶν συγκρίνεται.

376. Πρβλ. Ἔ. 509.

377. *αἴγειροι*] Τὸ εἶδος (Populus nigra L.) νῦν *καβάκι* ὀνομάζεται. Τὸ ἐπίθετον εὐκρινέστατόν ἐστι, καθότι τὰς ῥίζας ἐπὶ πολὺ ἐκτείνουσιν.

*ῥήγνυνται*] Περὶ τοῦ ὑποτακτικοῦ τύπου εὑρήσεις σημείωσιν εἰς Ἔ. 426.

378. *ῥίμφα*] Ἴδε 342. Πρὸς τὸ δεύτερον ἡμιστίχιον παρατίθεμεν Ἰλ. Ω 329: πεδίονδ' ἀφίκοντο (ἐν τῷ τέλει τοῦ ἑξαμέτρου).

379. *κεκλήγοντες*] Ἴδε 228.

380. *Μυρμιδόνων τε πόλις*] Ὅμηρος αὐτὴν Φθίην καλεῖ, Ὀδ. δ 9 ἐπίσης ἀνωνύμως εἰπών: «Μυρμιδόνων ποτὶ ἄστυ». Ἅπας γὰρ ὁ παλαιὸς δῆμος μίαν καὶ μόνην ἀγοράν, ὅπου πάντα τὰ πολιτικὰ διαπράσσονται, εἶχεν.

*κλειτή τ' Ἰαωλκός*] Ἴδε Θ. 997. Ἰωλκὸς ἀπὸ τοῦ τῶν Ἀργοναυτῶν πλοῦ περιώνυμος ἐγένετο.

381. *Ἄρτη*] Ἀφ' ἧς ἡ Βοιωτικὴ πόλις τὸ ὄνομα εἴληφε (Στράβ. 9,630, 633, Στέφ. Βυζ. λ.), κατὰ τοὺς γεωγράφους ἡ αὐτὴ ἦν τῷ Κτερίῳ· ὅπερ ἐνταῦθα οὐχ ἁρμόζει, ἐπειδὴ τοῦτο πλησίον τῆς Πίνδου καὶ μακρὰν τῆς θαλάσσης ἔκειτο.

Ποῦ *Ἑλίκη*, ἣ συνωνυμεῖ τῇ Ἀχαϊκῇ πόλει, ἔκειτο, οὐδὲ ἐξ εἰκασίας τις εἶπε· ταὐτὸ εἰρητέον περὶ *Ἀνθείας*, ἣ ἀπὸ τῆς ἐτυμολογίας *ποιήεσσα* ἐπονομάζεται, ὥσπερ ἡ ἐπίσης ἄγνωστος «βαθύλειμος» Ἄνθεια τῶν Μεσσηνίων (Ἰλ. Ι 151. 293).

382. *ἴαχον*] Πρβλ. Θ. 69. Τὰ ἑξῆς ἐξ Ὁμηρικῶν φράσεων συνέρραψεν (Ἰλ. Ξ 393: οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ, Σ 149: θεσπεσίῳ ἀλαλητῷ, Θ. 170: κτύπε μητιέτα Ζεύς..... σῆμα τιθεὶς Τρώεσσι, Π 459-60: αἱματοέσσας δὲ ψιάδας κατέχυεν ἔραζε παῖδα φίλον τιμῶν). Αἱ λέξεις καὶ οἱ τύποι ἐν τοῖς ἔμπροσθεν ἡρμήνευνται (θεσπεσίῳ Θ. 700, ἔκτυπε Ἀσπ. 61, μητιέτα Θ.56), πλὴν τῆς *ψιάδας*, ἀνθ' ἧς κοινότερον τὸ ὁμοιόφωνον ψεκὰς ἢ καὶ σταγὼν μεταχειρίζονται. Ὁ αἱματώδης

Οἷος δ' ἐν βήσσῃς ὄρεος χαλεπὸς προϊδέσθαι
κάπρος χαυλιόδων φρονέει θυμῷ μαχέσασθαι
ἀνδράσι θηρευτῇς, θήγει δέ τε λευκὸν ὀδόντα
δοχμωθείς, ἀφρὸς δὲ περὶ στόμα μαστιχόωντι
λείβεται, ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἔϊκτον,
ὀρθὰς δ' ἐν λοφιῇ φρίσσει τρίχας ἀμφί τε δειρήν·
τῷ ἴκελος Διὸς υἱὸς ἀφ' ἱππείου θόρε δίφρου.
Ἦμος δὲ χλοερῷ κυανόπτερος ἠχέτα τέττιξ
ὄζῳ ἐφεζόμενος θέρος ἀνθρώποισιν ἀείδειν

ὑετὸς πανταχοῦ καὶ πάντοτε δεισιδαιμονίαν ἐκίνησε· κατὰ τοὺς Ἑλληνικοὺς ἐποποιούς, προαγγέλλει θάνατον ἤτοι μεγάλου ἥρωος (τοῦ Σαρπηδόνος αὐτ. καὶ τοῦ Κύκνου) ἢ πολλῶν λαῶν, οἷον Ἰλ. Λ 53 καὶ Νόνν. Διονυσ. 27, 12 κέ. (:φόνου πρωτάγγελον Ἰνδῶν).

386. Ἐπάνοδος πρὸς 370 γίνεται· ἣν οὐ νομίζομεν ἀπαράδεκτον, διότι καὶ στ. 393 κέ. ἐπιπροστίθενται. Οἱ Ὁμηρικοὶ ἥρωες συχνάκις τοῖς συάγροις ἀντιπαραβάλλονται (Ἰλ. Λ 414-8. Ν 471-5. Ε 783. Ρ 22-3)· ὁ δὲ ποιητὴς οὐδενὶ τούτων τῶν χωρίων ἐχρήσατο, ἀλλὰ τῆς φύσεως ὠφελήθη, ἐπειδὴ σύαγροι ἐν τῷ τῶν Ζαγαρῶν ὄρει οὐχὶ μακρὰν τῆς Ἄσκρας πρὸ διακοσίων ἔτι ἐνιαυτῶν ἐκυνηγοῦντο (Wheler, Voyage Α', σ. 319).

386. *βήσσῃς*] Ἴδε Θ. 860.

*χαλεπὸς προϊδέσθαι*] Οἱ κάπροι εἰς δάση καὶ καλαμῶνας ἀποκρύπτονται καὶ ἀπροόπτως ἐπὶ τοὺς κυνηγοὺς ἐξορμῶσιν.

387. *χαυλιόδων*] Ὁ τοὺς ὀδόντας χαυλίους ἔχων ἢ χαύνους καὶ διαχάσκοντας.

*φρονέει θυμῷ*] Τῷ κάπρῳ ἀπονέμεται νοῦς, καθάπερ τῷ λέοντι ἐν τῇ Ἰλιάδι (Υ 172: ἐὲ δ' αὐτὸν ἐποτρύναι μαχέσασθαι).

388. *ἀνδράσι θηρευτῇς* ] = Ἰλ. Μ 41.

*θήγει δέ τε λευκὸν ὀδόντα*] Εἰ καὶ ἡ παρατήρησις ἐκ τῆς φύσεως εἴληπται, ἡ φράσις ἅμα τῷ ποιητικῷ ἑνικῷ ἐπήγασεν ἐξ Ἰλ. Λ 416: θήγων λευκὸν ὀδόντα. Τούτου ἕνεκα ὁ σύαγρος πλαγιάζεται *(δοχμωθείς)*.

389. *μαστιχόωντι*] Μασῶντι· ἡ λέξις ἐν τῷ παρακμάσαντι Ἑλληνισμῷ μάλιστα ἤκμασεν· ὅθεν Ἡσύχιος διὰ ταύτης «μασταρίζειν» ἑρμηνεύει καὶ οἱ Λατῖνοι ἰατροὶ *masticare* καὶ *mastication* ἐντεῦθεν ἠρύσαντο.

390. *ὄσσε - ἔϊκτον* (= Ἰλ. Α 104: ἐΐκτην), ἐξ οὗ στίχου τὸν ἀόριστον οὐκ ἀστόχως ἐνταῦθα ἐφύλαξε, διότι, ὡς εἴδομεν ἐν τοῖς ἀνωτέρω, ὁ γνωμικὸς ἀόριστος τῷ ὑποτακτικῷ ἐξισοῦται.

391. *λοφιῇ*] Χαίτῃ τῇ ἐπὶ τοῦ ὀπισθοκρανίου.

392. *ἱππείου δίφρου*] = 321.

393. Ἡ χρονολογία ὑπόνοιαν ἔχει, ἥντινα παρατηροῦμεν, ἀναμνησθέντες τοῦ 586 στ. τῶν Ἔργων (ὁ δὲ ποιητὴς καθόλου τὸ χωρίον ἐκεῖνο μιμεῖται), ᾧ χρόνῳ δῆλον ὅτι οἱ πολλοὶ ἄνθρωποι ἀδύνατοί εἰσιν, Ἡρακλῆς καὶ Κύκνος ὑπερανθρώπως μάχονται.

*κυανόπτερος*] Ὁ σχολιαστὴς ἀκριβεστέραν τοῦ χρώματος ὀνομασίαν ἀναφέρει στακτόπτερος.

*ἠχέτα τέττιξ*] = Ἔ. 580.

394. *θέρος ἀείδειν*] Διὰ τῆς ᾠδῆς ἀγγέλλειν τὸ θέρος· ἴδε Ἔ. αὐτ. καὶ

ἄρχεται, ᾧτε πόσις καὶ βρῶσις θῆλυς ἐέρση,
καί τε πανημέριός τε καὶ ἠῷος χέει αὐδὴν
ἴδει ἐν αἰνοτάτῳ, ὅτε τε χρόα Σείριος ἄζει,
ἦμος δὴ κέγχροισι πέρι γλῶχες τελέθουσι,
τούς τε θέρει σπείρουσιν, ὅτ' ὄμφακες αἰόλλονται,
οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἄχθος·
τὴν ὥρην μάρναντο· πολὺς δ' ὀρυμαγδὸς ὀρώρει,
ὡς δὲ λέοντε δύω ἀμφὶ κταμένης ἐλάφοιο
ἀλλήλοις κοτέοντες ἐπὶ σφέας ὁρμήσωσι,
δεινὴ δέ σφ' ἰαχὴ ἄραβός θ' ἅμα γίγνετ' ὀδόντων·

'Ανακρέοντ. 32, 10-11: «σὺ δὲ τίμιος βροτοῖσι, θέρεος γλυκὺς προφήτης».

395. *πόσις*] Ποτόν, ὡς *βρῶσις* ἐδωδὴ καὶ τροφή.

*θῆλυς ἐέρση*] ='Οδ.ε 467. Ἡ θρεπτικὴ (ἴδε Θ. 590) δρόσος τρέφει τοὺς τέττιγας, κατὰ Θεόκριτον 4, 16 ( :μὴ πρῶκας σιτίζεται, ὥσπερ ὁ τέττιξ), 'Ανακρέοντ. 32,3, Αἰλιαν. π. ζῴων 1,20 Βιργιλ.'Εκλογ. 5,77, Πλιν. Φυσ. Ἱστ. 11, 26.

396. Τὰ ἐπίθετα τὸν χρόνον ἐμφαίνουσι, καθάπερ παννύχιος 47· συντίθενται δὲ κατὰ τὸ ὕστερον πρότερον.

*χέει αὐδήν*] Ἔπιθι Ἔ. 583.

397. *ἴδει*] Πρβλ. ἰδάλιμος Ἔ. 415. Τὸ ἕτερον ἡμιστίχιον ἀπηχεῖ Ἔ. 587.

398. *γλῶχες* ] 'Ανθήλια, ὅθεν τὸ παρ' Ὁμήρῳ γλωχὶν παράγεται.

399. Ἡ προσθήκη ἀπαιτεῖται, διότι ἄλλο κέγχρου εἶδος τῷ ἔαρι σπείρεται (Γεωπον. 2,38).

*αἰόλλονται*] Μεταβάλλονται τὸ χρῶμα καὶ περκάζουσιν, οὐκέτι χλοεροὶ ὄντες.

400. 'Αθήναιος τὸν στίχον ἐκ τῶν 'Ηοιῶν ἀναφέρει (10,428 c)· ἐνταῦθα, φασίν, ἥκιστα ἁρμόζει· ποίαν χαρὰν γὰρ ἔχομεν ἀπὸ τῶν ὀμφάκων; Οὐδὲν ἧττον αὐτὸν καταλείπομεν ἐν τῷ τόπῳ, ἐπειδὴ τὸ μὲν οὐκ ἐννοοῦμεν διὰ τί ἂν ἐνεβλήθη, τὸ δὲ ἡ ἀρχὴ τῆς ὡριμάνσεως τῶν ἀμπελουργῶν τὰς ἐλπίδας ἀναζωπυρεῖ καὶ βεβαιοῖ. Πρὸς τούτοις, οὐκ εἴρηκεν «οἵους», ἀλλὰ «οἷα». Τέλος δέ, ἆρά γε τὸ ἄχθος ὑποδηλοῖ, ὅτι ὁ ποιητὴς οὐκ ἐννοεῖ τὰ ἀποβαίνοντα ἐκ τοῦ οἴνου, ὅσα ἐν ταῖς Ἠοίαις περιγράφονται, ἀλλὰ τὰς χαρὰς καὶ τὰς φροντίδας τοῦ ἀμπελουργοῦ;

401. *τὴν ὥρην*] Τὴν ὥραν ταύτην τοῦ ἔτους· πρὸς τὸ ἀκροτελεύτιον παράθες 274.

402. *ἀμφὶ κταμένης ἐλάφοιο* ] Πρβλ. τὸ συνώνυμον 'Ιλ Π 757: περὶ κταμένης ἐλάφοιο. Τὴν μετοχὴν ηὕρομεν καὶ Ἔ. 541. *Ἔλαφος* θηλυκῶς κεῖται, ὥσπερ Καλλιμάχ. Ὕμν. 3,100. — Ὁμοία παραβολὴ 'Ιλ. Π 756-8 εὑρίσκεται. Βραχύτερον οἱ νεώτεροι περὶ ἡρωϊκῶν ἀγώνων ᾄδουσι: «Μήνα βουβάλια πολεμᾶν, μήνα θεριὰ μαλλόνουν;» ('Αραβαντιν. Συλλογ. 32,2).

403. Πρβλ. 169 καὶ 176.

404. 'Επειδὴ ὁ ποιητὴς 'Ιλ. Κ 375 (:ἄραβος δὲ διὰ στόμα γίγνετ' ὀδόντων) κακοζηλεῖ τολμηρῶς τὸν παρατατικὸν *γίγνετ'* — οὕτω γὰρ ἐκληπτέον τὸν τύπον — μεταχειρίζεται ἅμα τῷ ὑποτακτικῷ, καθὼς οὗτος ἀλλαχοῦ μετὰ τοῦ γνωμικοῦ ἀορίστου συντάσσεται.

ἠδ', ὥστ' αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχεῖλαι,
πέτρῃ ἐφ' ὑψηλῇ μεγάλα κλάζοντε μάχεσθον
αἰγὸς ὀρεσσινόμου ἢ ἀγροτέρης ἐλάφοιο,
πίονος, ἥντ' ἐδάμασσε βαλὼν αἰζήϊος ἀνὴρ
ἰῷ ἀπὸ νευρῆς, αὐτὸς δ' ἀπαλήσεται ἄλλῃ,
χώρου ἄϊδρις ἐών· οἱ δ' ὀτραλέως ἐνόησαν,
ἐσσυμένως δέ οἱ ἀμφὶ μάχην δριμεῖαν ἔθεντο·
ὣς οἳ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Ἔνθ' ἤτοι Κύκνος μὲν ὑπερμενέος Διὸς υἱὸν
κτεινέμεναι μεμαὼς σάκει ἔμβαλε χάλκεον ἔγχος,
οὐδ' ἔρρηξεν χαλκός· ἔρυτο δὲ δῶρα θεοῖο.
Ἀμφιτρυωνιάδης δέ, βίη Ἡρακληείη,
μεσσηγὺς κόρυθός τε καὶ ἀσπίδος ἔγχεϊ μακρῷ

405-6. = Ἰλ. Π 428-9 (αὐτόθι γράφεται: *μάχονται*).

*γαμψώνυχες*] Τοὺς ὄνυχας ἔχοντες γαμψοὺς καὶ κυρτούς.

*ἀγκυλοχεῖλαι*] Χειλῶν ἐπικαμπῶν.

407. Ἡ γενικὴ τὴν αἰτίαν ἐμφαίνει, ἣν οἱ Ἀττικοὶ ἄνευ προθέσεως τῷ *ἀμφισβητῶ* ἔτι συνέτασσον.

*ὀρεσσινόμου*] Ἥτις ἐν τοῖς ὄρεσι νέμεται, ἤγουν ἀγρία (capra ægagros), ὁποῖαι ὑφ' Ὁμήρου ἐν πλείοσι χωρίοις (Ἰλ. Γ 24. Δ 105. Ο 271. Ὀδ. ι 156. ξ 50) μνημονεύονται, καὶ καθ' ἡμᾶς εἰσέτι ἐπὶ τῶν ὀρεινῶν πρὸ τῆς Θεσσαλίας νησίων καὶ ἐπὶ Κρήτης ὑπάρχουσιν.

*ἀγροτέρης*] Ἀγρίας, ὅπως *ὀρέστερος* ἀντὶ τοῦ ὄρειος λέγεται.

408. *ἐδάμασσε βαλών*] Ἔβαλε καιρίως· ἡ αἲξ μέντοι ἔχει τὴν δύναμιν τοῦ ἐκφυγεῖν τὸν τοξότην.

*αἰζήϊος*] Ἴδε Θ. 863.

409. *ἰῷ ἀπὸ νευρῆς*] Ὁ πλεονασμὸς καὶ ἡ διέκτασις, ἧς αἴτιος ὁ πρωτοφανὴς τύπος *ϝνευρή* εἰς Ὅμηρον (Ἰλ. Λ 475-6: ὅντ' ἔβαλ' ἀνὴρ ἰῷ ἀπὸ νευρῆς. 664) ἀνήκουσιν.

410. *χώρου ἄϊδρις ἐών*] = Ὀδ. κ 282, τοῦ τόπου δηλαδή, ὅπου τὸ ζῷον ἔπεσεν.

*ὀτραλέως*] Σπουδαίως, ὅπερ συγγενές ἐστι τῷ ὀτρηρὸς καὶ ὀτρύνω. Πρβλ. Ἰλ. Γ 260: τοὶ δ' ὀτραλέως ἐπίθοντο.

411. *οἱ ἀμφί*] Δεχόμεθα κατ' ἀναστροφήν. Πρβλ. 261.

412. = Ἰλ. Π 430. Περὶ τῆς μετοχῆς ἐν τοῖς ἔμπροσθεν (379) σημείωσις κατακεχώρισται.

413. *ὑπερμενέος*] = Ἰλ. Θ 534.

415. *χαλκός*] Τὸ χαλκοῦν δόρυ οὐκ ἔθραυσε τὴν ἀσπίδα.

*ἔρυτο*] = : ἴρυσε (ἀπέσχε) τὸ δόρυ· παράθες Ἰλ. Υ 268 καὶ Φ 165:... οὐδὲ ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο.

416. *Ἀμφιτρυωνιάδης*] Περίεργον τὸ ἀπὸ τοῦ τροφέως πατρωνυμικόν, ὅπερ ἐγένετο ἐκ τοῦ Ὁμηρικοῦ «παῖς Ἀμφιτρύωνος» (Ἰλ. Ε 329. Ὀδ. λ 270).

417. Χρῆται μηχανήματι, ὃ Ἀχιλλεὺς πρὸς Ἕκτορα μετεχειρίσατο (Ἰλ. Χ 324 κέ.).

αὐχένα γυμνωθέντα θοῶς ὑπένερθε γενείου
ἤλασ' ἐπικρατέως· ἄπο δ' ἄμφω κέρσε τένοντε
ἀνδροφόνος μελίη· μέγα γὰρ σθένος ἔμπεσε φωτός.
Ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ὅτε πέτρη
ἠλίβατος, πληγεῖσα Διὸς ψολόεντι κεραυνῷ·
ὣς ἔριπ'· ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τὸν μὲν ἔπειτ' εἴασε Διὸς ταλακάρδιος υἱός,
αὐτὸς δὲ βροτολοιγὸν Ἄρη' ἐπιόντα δοκεύσας,
δεινὸν ὁρῶν ὄσσοισι, λέων ὣς σώματι κύρσας,
ὅστε μάλ' ἐνδυκέως ῥινὸν κρατεροῖς ὀνύχεσσι
σχίσσας ὅ ττι τάχιστα μελίφρονα θυμὸν ἀπεῦρα·
ἐμ μένεος δ' ἄρα τοῦγε κελαινὸν πίμπλαται ἦτορ·
γλαυκειόων δ' ὄσσοις δεινόν, πλευράς τε καὶ ὤμους
οὐρῇ μαστιόων, ποσσὶ γλάφει, οὐδέ τις αὐτὸν

418. *αὐχένα*] Ἡ λέξις ἐν τῇ ἐπικῇ διαλέκτῳ τὸν τράχηλον συμπεριλαμβάνει.

*ὑπένερθε*] Ὑποκάτω τε καὶ ἐνδοτέρω, καθόσον ὁ πώγων προκύπτει.

419. *ἄπο - τένοντε*] = Ἰλ. Κ 456 (περὶ τοῦ αὐχένος). Ξ 466. Τὸ *κέρσε* κατὰ τὸν ἐπικὸν τύπον ἀπὸ τοῦ κείρω παράγεται.

420. *μελίη*] Ἴδε Θ. 187.

*ἔμπεσε*] Ἐπηρείσατο.

421. Περὶ τοῦ θανάτου τοῦ Μάρκου Βότσαρη ποτε ἔψαλαν: «Σὰν δένδρος ἐρραγίσθηκε, σὰν κυπαρίσσι πέφτει». Πρωτότυπον τοῦ προκειμένου χωρίου ἦν Ἰλ. Ν 389=Π 482 (:ἤριπε-ἤριπεν).

422. *ἠλίβατος*] Ἔπιθι Θ. 483 καὶ περὶ τοῦ ἑτέρου ἐπιθέτου Θ. 515.

423. = Ἰλ. Ν 181 (:ὡς πέσεν ἀμφὶ κτλ.). Ξ 420 (:καὶ κόρυς ἀμφὶ κτλ.).

*ποικίλα χαλκῷ*] Οὐχ ἐντελῶς ἦσαν ἐκ χαλκοῦ, ἀλλὰ διακεκοσμημένα.

424. Πείθεται τῇ Ἀθηνᾷ (332-3).

426. *ὄσσοισι*] Πρβλ. 145.

*λέων ὣς σώματι κύρσας*] Εἴληπται ἐξ Ἰλ. Γ 23: ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας. Τὸ *σῶμα* ζῷον ἐμφαίνει, ὥσπερ Ἰλ. Σ 161.

427. *ἐνδυκέως*] Ἤτοι σπουδαίως, ἐπὶ τοῦ δείπνου τίθεται Ὀδ. ξ 109 (:ἐνδυκέως κρέα ἤσθιε).

428. *μελίφρονα θυμόν*] Τὴν γλυκεῖαν ζωήν· συνωνύμως εὑρίσκεται «μελιηδέα θυμὸν ἀπεῦρα» Ἰλ. Κ 495. Περὶ τοῦ ῥήματος ἔπιθι Θ. 423.

Ὁ 429 στ. διασαφηνίζεται ἐκ τοῦ παραλλήλου «μένεος δὲ μέγα φρένες ἀμφὶ μέλαιναι πίμπλανται» (Ἰλ. Α 103-4. Ὀδ. δ 661-2). Τὸ ἐπιρρηματικὸν *ἐν* ἀφομοιοῦται πρὸς τὸ ἑπόμενον μ. Οἱ παλαιοὶ ἐπίστευον, ὡς ἡ ὀργὴ καὶ ἡ λύπη τὸ αἷμα μελαίνουσιν.

430. **γλαυκειόων δ' ὄσσοις*] Δεινὸν βλέπων ὀφθαλμοῖς γλαυκοῖς (Πρβλ. Θ. 13).

431. *μαστιόων*] «Τῶν λεόντων τὸν θυμὸν δηλοῖ ἡ οὐρά, ὥσπερ τῶν ἵππων τὰ ὦτα· τὴν μὲν ἀρχὴν ἡ γῆ πλήσσεται, αὐξανομένου δέ, τὰ νῶτα ὡς ἐγερτικῷ ὀργάνῳ μαστιγοῦνται» (Πλιν.

ἔτλη ἐσάντα ἰδὼν σχεδὸν ἐλθέμεν οὐδὲ μάχεσθαι·
τοῖος ἄρ' Ἀμφιτρυωνιάδης, ἀκόρητος ἀϋτῆς,
ἀντίος ἔστη Ἄρηος, ἐνὶ φρεσὶ θάρσος ἀέξων,
ἐσσυμένως· ὃ δέ οἱ σχεδὸν ἤλυθεν ἀχνύμενος κῆρ·
ἀμφότεροι δ' ἰάχοντε ἐπ' ἀλλήλοισιν ὄρουσαν,
ὡς δ' ὅτ' ἀπὸ μεγάλου πέτρη πρηῶνος ὀρούσῃ,
μακρὰ δ' ἐπιθρῴσκουσα κυλίνδεται, ἣ δέ τε ἠχῇ
ἔρχεται ἐμμεμαυῖα, πάγος δέ οἱ ἀντεβόλησε
ὑψηλός· τῷ δὴ συνενείκεται, ἔνθα μιν ἴσχει·
τόσσῃ ὁ μὲν ἰαχῇ βρισάρματος οὔλιος Ἄρης
κεκληγὼς ἐπόρουσεν· ὃ δ' ἐμμαπέως ὑπέδεκτο.
Αὐτὰρ Ἀθηναίη, κούρη Διὸς αἰγιόχοιο,
ἀντίη ἦλθεν Ἄρηος ἐρεμνὴν αἰγίδ' ἔχουσα·
δεινὰ δ' ὑπόδρα ἰδοῦσα ἔπεα πτερόεντα προσηύδα·

Φυσ. Ἱστορ. 8, 16), ἣν ἐμπειρίαν Ὅμηρος ἐπίσης καρποῦται (Ἰλ. Υ 170-1).

*γλάφει*] Τὴν γῆν δηλονότι σκάλλει.

432. Πρβλ. Ἰλ. Ρ 334: ἔγνω ἐσάντα ἰδών. Ἐνταῦθα ὅμως ὁ ἀόριστος γνωμικῶς, φασί, τίθεται.

433. Ζήτει τὰς σημειώσεις 416 καὶ 346.

434. *θάρσος ἀέξων*] Ἡ φράσις ἐσχημάτισται κατὰ τὸ «μένος ἀέξων» (Ἰλ. Ζ 261), οὐδὲ ἡμάρτηται. Ἡ εὐτολμία γὰρ κατὰ τὸ μᾶλλον ἢ ἧττον παροξυσμός ἐστιν, ὅστις τοτὲ μὲν ἐντεινομένης τῆς ψυχῆς αὐξάνεται, τοτὲ δὲ ἐλαττοῦται.

435. Ἡ διήγησις κατὰ τὸ σιωπώμενον προβέβηκεν· ἀποσιωπᾷ γάρ, ὅτι Ἄρης ἀπὸ τοῦ ἅρματος (372) ἀπεπήδησεν.

*ἀχνύμενος κῆρ*] = Ὀδ. κ 67. μ 153. 270 κά.

436. *ἐπ' ἀλλήλοισιν ὄρουσαν*] = Ἰλ. Ξ 401. Π 430.

Πρὸς 437 κἑ. παράθες 374 κἑ., ἅτινα νῦν ἀστόχως μεταβάλλονται.

*πρηῶνος*] Ἡσύχιος πρηὼν ἑρμηνεύει τὸ ὑπερέχον.

439. *ἐμμεμαυῖα*] Οὐδὲ ὁ λίθος ὁρμῆς καὶ ἐπιθυμίας στερεῖται· ἆρ' οὐ γὰρ ὁ Σισύφου *λᾶας* «ἀναιδής;»

*πάγος*] Ἀπὸ τὸ πήγνυμι, λόφος.

440. *συνενείκεται*] Ὑποτακτικὸς τοῦ ἀορίστου ἠνεικάμην.

441. *βρισάρματος*] Τὴν αὐτὴν ἐπωνυμίαν ἐν ὕμνῳ φέρει (Ὕμν. Ὁμηρ. 8,1)· ἣν ἐξηγούμεθα διὰ Ἰλ. Ε 838-9: «μέγα δ' ἔβραχε φήγινος ἄξων βριθοσύνῃ» καὶ βάρει Ἀθηνᾶς, ὅτε ἀνέβη εἰς τὸ Διομήδους ἅρμα.

*οὔλιος*] Ἴδε 193.

442. *ἐμμαπέως*] Πρβλ. Ὀδ. ξ 485: ὃ δ' ἄρ' ἐμμαπέως ὑπάκουσε, ἤτοι προθύμως.

443. Παρ' Ὁμήρῳ πλὴν τοῦ *αὐτὰρ* συχνάζει (Ἰλ. Ε 733 κτλ.).

444. *ἐρεμνὴν αἰγίδ'*] = Ἰλ. Δ 167 (ἐν τοῖς αὐτοῖς ποσὶ τοῦ ἑξαμέτρου). Πρβλ. Θ. 334. Νῦν μὲν τῆς αἰγίδος χρῆσιν οὐ ποιεῖται· ἔχει δὲ αὐτὴν ἤδη ὡς διαρκὲς σύμβολον.

445. Πρβλ. Ἰλ. Ο 13: δεινὰ δ' ὑ-

«Ἄρες, ἐπίσχε μένος κρατερὸν καὶ χεῖρας ἀάπτους.
Οὐ γάρ τοι θέμις ἐστὶν ἄπο κλυτὰ τεύχεα δῦσαι
Ἡρακλέα κτείναντα, Διὸς θρασυκάρδιον υἱόν.
Ἀλλ' ἄγε παῦε μάχης, μηδ' ἀντίος ἵστασ' ἐμεῖο».
Ὡς ἔφατ', ἀλλ' οὐ πεῖθ' Ἄρεος μεγαλήτορα θυμόν,
ἀλλὰ μέγα ἰάχων, φλογὶ εἴκελα τεύχεα πάλλων,
καρπαλίμως ἐπόρουσε βίῃ Ἡρακληείῃ,
κακτάμεναι μεμαώς, καί ῥ' ἔμβαλε χάλκεον ἔγχος,
σπερχνὸν ἑοῦ παιδὸς κοτέων πέρι τεθνηῶτος,
ἐν σάκεϊ μεγάλῳ. Ἄπο δὲ γλαυκῶπις Ἀθήνη
ἔγχεος ὁρμὴν ἔτραπ' ὀρεξαμένη ἀπὸ δίφρου.
Δριμὺ δ' Ἄρη' ἄχος εἷλεν· ἐρυσσάμενος δ' ἄορ ὀξὺ
ἔσσυτ' ἐφ' Ἡρακλῆϊ κρατερόφρονι· τὸν δ' ἐπιόντα
Ἀμφιτρυωνιάδης, δεινῆς ἀκόρητος ἀϋτῆς,
μηρὸν γυμνωθέντα σάκευς ὕπο δαιδαλέοιο
οὔτασ' ἐπικρατέως· δία δὲ μέγα σαρκὸς ἄραξε
δούρατι νωμήσας, ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ.

πόδρα ἰδών. Τὸ δεύτερον ἡμιστίχιον ἀπειράκις ἐν τοῖς ἐπικοῖς ποιήμασιν εὑρίσκεται.

446. *ἐπίσχε*] Οἱ νεώτεροι εἶπον: «ἐπίσχες».

*μένος κρατερόν*] Γνωστὴ ἐξ Ὁμήρου φράσις.

*ἀάπτους*] Ἔπιθι Θ. 649.

447. Πρβλ. 336-7. Κατὰ τὴν λογικὴν θετέον ἦν τὸ ἀπαρέμφατον *κτεῖναι* ἀντὶ τῆς μετοχῆς, ἐπεὶ τοῦτό γε κεφάλαιον.

449. *παῦε*] Οὐ πταίομεν, *παύω* λέγοντες ἀμεταβάτως, ἐπειδὴ καὶ οἱ παλαιοὶ ἐν ταῖς ἐποποιίαις (πρβλ. καὶ Ὀδ. δ 659: παῦσαν ἀέθλων) καὶ ἐν τῇ συνηθείᾳ (Ἀριστοφ. Βάτραχ. 122. 269. 580. Ἱππ. 919: παῦε) τὸ ἐνεργητικὸν γένος (μάλιστα κατὰ τὸν προστακτικὸν) μέσως ἐτίθεσαν.

450. *μεγαλήτορα θυμόν*] Ὁμηρικῶς.

451. *μέγα ἰάχων*] = Ἰλ. Β 13. Σ 160 (ἐν τῷ αὐτῷ τόπῳ).

*φλογὶ εἴκελα*] Ἴδε 345.

453. *κακτάμεναι*] Καὶ τοῦτον τὸν ἀντὶ τοῦ κατακτεῖναι τύπον οἱ Ὁμηρισταὶ γινώσκουσιν.

454. *σπερχνόν*] Ἐτυμολογητέον ἀπὸ τοῦ ῥήματος σπέρχω (σπεύδω).

455. *γλαυκῶπις*] Ἔπιθι Θ. 13.

456. *ὀρεξαμένη*] Τὸ ἕνεκα σωτηρίας προτεῖναι τὴν θείαν χεῖρα καλλιεπέστερον περιγράφεται Ἰλ. Δ 129 κἑ. καὶ Ε 853 κἑ.

457. *Δριμύ*] Ἴδε 261.

459. Πλατύνει τὸν 433 στ.,460 καὶ 461 δὲ ἐπαναλαμβάνουσι τὸν 334 καὶ 364 στ.

462. *δούρατι*] Συνάπτομεν μετὰ τῆς μετοχῆς ἅμα καὶ τοῦ ῥήματος.

*νωμήσας*] Ἰσοδυναμεῖ τῷ ἀνωτέρω δοκεύσας.

*ἐπὶ δὲ χθονὶ κάββαλε μέσσῃ*] Κατ-

Τῷ δὲ Φόβος καὶ Δεῖμος ἐύτροχον ἅρμα καὶ ἵππους
ἤλασαν αἶψ' ἐγγὺς καὶ ἀπὸ χθονὸς εὐρυοδείης
ἐς δίφρον θῆκαν πολυδαίδαλον· αἶψα δ' ἔπειτα
ἵππους μαστιέτην· ἵκοντο δὲ μακρὸν Ὄλυμπον.
Υἱὸς δ' Ἀλκμήνης καὶ κυδάλιμος Ἰόλαος
Κύκνον σκυλεύσαντες ἀπ' ὤμων τεύχεα καλὰ
νείσοντ'· αἶψα δ' ἔπειτα πόλιν Τρηχῖνος ἵκοντο
ἵπποις ὠκυπόδεσσιν. Ἀτὰρ γλαυκῶπις Ἀθήνη
ἐξίκετ' Ὄλυμπόν τε μέγαν καὶ δώματα πατρός.
Κύκνον δ' αὖ Κήϋξ θάπτεν καὶ λαὸς ἀπείρων,
οἵ ῥ' ἐγγὺς ναῖον πόλιος κλειτοῦ βασιλῆος
Ἄνθην Μυρμιδόνων τε πόλιν κλειτήν τ' Ἰαολκὸν
Ἄρνην τ' ἠδ' Ἑλίκην· πολλὸς δ' ἠγείρετο λαός,
τιμῶντες Κήϋκα, φίλον μακάρεσσι θεοῖσι.
Τοῦ δὲ τάφον καὶ σῆμ' ἀϊδὲς ποίησεν Ἄναυρος,

ἔβαλεν εἰς τὴν γῆν—καλῶς, ἀλλὰ πῶς εἰς τὴν μέσην, τῆς μάχης οὐ γινομένης ἐν διωρισμένῳ σταδίῳ; Ἡ φράσις βεβαίως ἀπὸ τῶν ἀγώνων εἴληπται.

463. Περὶ Φόβου καὶ Δείμου εἰς 195 εἴπομεν.

*ἐΰτροχον ἅρμα καὶ ἵππους*]= Ἰλ. Θ. 438.

464. *ἀπὸ χθονὸς εὐρυοδείης*] Ἴδε Ἔ. 197.

465. *αἶψα δ' ἔπειτα*]= Ἰλ. Ζ 415. Ψ 418.

461. *μακρὸν Ὄλυμπον*]= Ἰλ. Α 402 κἑ.

469. *πόλιν Τρηχῖνος*] Ἡ ἐπεξηγηματικὴ γενικὴ οὐ χρῄζει μαρτυριῶν, ἐπειδὴ Ὅμηρος πολλὰς τοιαύτας, οἷον «Τροίης πτολίεθρον», παρέχει.

472. *Κήϋξ*] Ἴδε 354.

*ἀπείρων*] Ἴδε Θ. 187.

473. Ὁ πληθυντικὸς ἀναφέρεται ἐνταῦθα καὶ 475-6 εἰς τὸ περιληπτικὸν *λαός*.

474-5. Αἱ αὐταὶ πόλεις ὠνομάσθησαν 380-1, πλὴν ἐνταῦθα τὴν Ἄνθειαν Ἄνθην εἴρηκε, καθὼς Ὅμηρος ἔνθα μὲν Πηνελόπειαν, ἔνθα δὲ Πηνελόπην λέγει.

476. *τιμῶντες*] Οὐκ ἀνάγκη, ἀλλ' ἐξ αἰδοῦς (354) πρὸς Κήϋκα τοῦτο ἐποίησαν· οὐκ οἶδ' ἅμα εἰ ὑπαινίττεται, ὅτι ἄλλως τὸν μιαρὸν ληστὴν οὐκ ἂν ἔθαψαν.

477. *τάφον καὶ σῆμ'*] Τὸν τάφον καὶ τὴν στήλην ἢ τὸν ἐπὶ ἐκείνου τύμβον.

*Ἄναυρος*] Χειμάρρους· ὡς κύριον σχεδὸν ὄνομα κεῖται ἐπὶ τοῦ χειμάρρου, ὃν διαβαίνων Ἰάσων τὸ ἕτερον ὑπόδημα ἀπώλεσεν. Ὁ ποιητὴς περὶ τούτου ἴσως ἐνθυμεῖται, εἰ καὶ πρὸς ἀνατολῆς τῶν Παγασῶν ἔρρεεν. Ἡ ἀφανιστικὴ δύναμις τῶν ποταμῶν, κατὰ τοὺς παλαιοτάτους ποιητὰς (Ἰλ. Η 84 κἑ. Ω 80 κἑ.), ἀνέκαθεν φοβερὰ ἦν· τῶν ὀρῶν τότε δένδροις κεκαλυμμένων, ὅπερ σημειούμεθα, διότι εἰσὶν οἱ τὴν αἰτίαν τοῖς ὑλοτόμοις ἐπιβάλλουσιν.

ὄμβρῳ χειμερίῳ πλήθων· τὼς γάρ μιν Ἀπόλλων
Λητοΐδης ἤνωξ', ὅτι ῥα κλειτὰς ἑκατόμβας,
ὅστις ἄγοι Πυθοῖδε, βίῃ σύλασκε δοκεύων.

479. *Λητοΐδης*] Ἐκρίναμεν τὰ μητρωνυμικὰ εἰς Θ. 1002. Τὸ ἀκροτελεύτιον ἐκ τῶν τοῦ Μαιονίδου θησαυρῶν προῆλθεν.

480. *ὅστις*] Εἴ τις.
*Πυθοῖδε*] Εἰς Δελφούς, κατὰ τὴν ἀρχαίαν ὀνομασίαν.
*δοκεύων*] Πρβλ. 333.



# ΚΡΙΤΙΚΟΝ ΠΑΡΑΡΤΗΜΑ

# ΚΡΙΤΙΚΟΝ ΠΑΡΑΡΤΗΜΑ

Ἡ ὕλη, ἥτις ἀποτελεῖ τὸν Apparatus Criticus, συνέστηκεν ἐκ γραφῶν, αἵτινες ἀλλήλων πολὺ παραλλάσσουσι κατὰ τὴν ἀρχαιότητα, καὶ δὴ τὴν ἀξίαν. Περὶ τῶν ἀρχῶν τοῦ γράφειν οἱ κριτικοὶ πολὺ διστάζουσιν· ἀλλ᾽ εἰ καὶ Ὅμηρος μόλις τοῖς μυστηριώδεσι καὶ *λυγροῖς σήμασι* τῶν Ἀσιανῶν ἐχρήσατο, Ἡσίοδος ἴσως τὰ γεννήματα τῶν «Ἡσιοδείων Μουσῶν» αὐτὸς ἀνέγραψε, πάντως δὲ οἱ ῥαψῳδοὶ τὰ ποιήματα διέδοσαν, μέχρις οὗ φιλόλογοι καὶ βιβλιοπῶλαι ἐγγράφως ἐφύλαξαν τὴν μνείαν τῶν Μουσείων ἐμπνεύσεων. Οἱ ἀντιγραφεῖς μέντοι οὐδαμῶς πιστοὶ καὶ ἀκριβεῖς ἦσαν, ὥστε, τῶν Ἑλληνικῶν γραμμάτων συλλεγομένων εἰς τὰς ἀπείρους βιβλιοθήκας τῶν Διαδόχων καὶ καταλογιζομένων, οἱ βασιλεῖς τοῖς ὑπ᾽ αὐτῶν τρεφομένοις σοφοῖς *διορθώσεις* τῶν τε ἄλλων ἀρχαίων ποιητῶν καὶ τοῦ Ἡσιόδου ἐπέταξαν. Ἐπειδὴ λοιπὸν οὔτε περὶ τῶν ἐπὶ μολύβδου Ἔργων τῶν Ἑλικωνίων, ἃ Πραξιφάνης ὁ Θεοφράστειος εἶδεν (1), οὔτε περί τινος ἄλλου π. Χ. χειρογράφου εἰπεῖν τι ἔχομεν, ἀρχὴ τῆς συζητήσεως γενέσθω ἀπὸ **τῶν πονημάτων τῶν παλαιῶν γραμματικῶν.**

Πρῶτον μὲν ἀναφέρομεν συγγράμματα, ἅτινα οὐκ ἀφορῶσιν εἰς τὴν καθαρὰν κρίσιν, οἷον τοῦ **Ἀριστοτέλους** «Ἀπορήματα Ἡσιόδου ἐν α´» (2) καὶ τὰ ἁπλῶς «Περὶ Ἡσιόδου» ἐπιγραφόμενα βιβλία **Αὐτοδώρου** τοῦ Κυμαίου, ὃς πρῶτος *γραμματικὸς* ἐπονομασθῆναι ἠξίωσε, καὶ **Κλεομένους** τοῦ Κυνικοῦ καὶ **Ἡρακλείδου** τοῦ ἐξ Ἡρακλείας (3). Πλὴν τούτων, ἐν τῇ κριτικῇ ἱστορίᾳ τοῦ Ἡσιόδου ἀπαντῶσι ταὐτὰ μεγάλα ὀνόματα, ὅσα ὁ Ὁμηρικὸς ἐκ τῶν εἰς τὸν Μαιονίδην σχολίων γνω-

(1) Πρόκλος εἰς τὰ Ἔργα προοίμ. σ. 4,12 ἔκδ. Gaisford.
(2) Εὑρίσκεται ἐν τῷ καταλόγῳ τῶν τοῦ Σταγιρίτου ἔργων.
(3) Ἴδε τὰ Anecdota Oxoniensia τοῦ Κραμήρου τ. Δ´, σ. 310, Κλήμεντα τὸν Ἀλεξανδρέα ἐν τῷ Α´ Στρωματεῖ, σ. 351, ἔκδ. Potter, Διογένη Λαέρτιον 5, 92.

ρίζει. Εἰ καὶ **Ζηνόδοτον** τὸν Ἐφέσιον οὐδεὶς διαρρήδην ἀναφέρει, βεβαίως **Ἀριστοφάνης** ὁ Βυζάντιος τὰ ποιήματα διώρθωσε προσγράψας εἰς τὴν ὤαν τὰ «κριτικὰ σημεῖα» (1) καὶ τὰ νόθα ποιήματα ἐκ τῆς συλλογῆς ἐξέβαλεν (2). Ἅμα δὲ **Ἀπολλώνιος ὁ Ῥόδιος** ἐν τοῖς «Πρὸς Ζηνόδοτον» οὐχὶ μόνον πολλὰς γραφὰς Ὁμηρικὰς ἐξήτασεν, ἀλλὰ καὶ περὶ Ἡσιόδου τινὰ ἐγκατέσπειρεν (3). Ἅπαντας τούτους παρηυδοκίμησεν **Ἀρίσταρχος** ὁ πάνυ, οὗπερ τὰ προσγεγραμμένα σημεῖα ὑπεμνημάτισεν ὁ πιστὸς αὐτοῦ ὀπαδὸς **Ἀριστόνικος**, ὃς Αὐγούστου βασιλεύοντος ἔγραψε «Περὶ τῶν σημείων τῶν τῇ Θεογονίᾳ Ἡσιόδου» (4). Διὰ τούτου καὶ τοῦ Διδυμείου ὑπομνήματος, περὶ οὗ ὀλίγον παρακατιόντες ἐροῦμεν, ὀλίγα περιλείμματα τῆς Ἀρισταρχείου διορθώσεως ἐν τοῖς σχολίοις ἐσώθησαν (5). Ἐκ τῶν Ἀριστάρχου μαθητῶν **Σέλευκος** διαπρέπει εἰς τὸ αὐθαίρετον τῆς γνώμης, τολμηρῶς ὀβελίζων καὶ μεταποιῶν τοὺς παραδεδομένους στίχους (6). Οὐδὲ οἱ ἐν Περγάμῳ ἀντίπαλοι τὰ Ἡσιόδου ποιήματα τοῖς Ἀλεξανδρεῦσι συνεχώρησαν, ἀλλὰ **Κράτης ὁ Μαλλώτης** (7) καὶ **Δημήτριος ὁ Ἰξίων** ἀποκαλούμενος (8) τοῖς ἑαυτῶν μύσταις τὸν Ἡσίοδον κατὰ τὸν οἰκεῖον τρόπον διώρθωσαν καὶ ἡρμήνευσαν. Ἐκ τῶν Ἀριστάρχου ἀντιπάλων ἦν καὶ **Ζηνόδοτος** ὁ ἐν ἄστει κληθείς, ὃς κατὰ Σουίδαν «Εἰς τὴν Ἡσιόδου Θεογονίαν» ἔγραψεν· εἰς τοῦτον ἄρ' ἀνήκουσι δύο σημειώσεις ἐξηγητικαὶ περὶ τοῦ ποταμοῦ Τερμησοῖο

(1) Σχόλ. Θεόγν. 126. 68, ὅτι ἐπεσημήνατο ταῦτα ὁ Ἀριστοφάνης.

(2) Ἴδε τῆς Ἀσπίδος ὑπόθεσιν καὶ Κοϊντιλιανὸν ἐν τῇ Ῥητορ. Εἰσαγ. 1,1,15: Is primus ὑποθήκας . . . negavit esse huius poëtae.

(3) Σχόλ. Ἔ. 824 (ἴδε ἀν.) καὶ Ἀσπ. ὑπόθ., ἔτι δὲ Σχόλ. Θεόγν. 26: ὅτι Ἀπολλώνιος μὲν ὁ Ῥόδιος λείπειν (μετὰ) τὸν πρῶτον στίχον φησίν (Τὸ ἀπρόσωπον *λείπει* ἐν τοῖς χειρογράφοις ἔλλειμμα δηλοῖ). Ἴδιον οὐδὲν σύγγραμμα περὶ παλαιοῦ τινος ἐξέδωκε· καὶ ἡ περὶ τῆς Ἀρχιλοχείου *ἀχνυμένης σκυτάλης* (Ἀθην. Δειπνοσοφ. 10,451 d) διατριβὴ Ἀριστοφάνη κατεπολέμησεν.

(4) Ἔπιθι τὸ Σουΐδα λεξικὸν λ. Ἀριστόνικος. Ὁ ἐτυμολόγος Ὠρίων κατὰ βραχυλογίαν γράφει (σ. 96,27): «οὕτως Ἀρίσταρχος ἐν τοῖς σημείοις Ἡσιόδου» (ὅπερ οὐ χρήζει διορθώσεως).

(5) Σχόλ. Θ. 79. 114. 138. 253 (αὐτολεξεί). Σχόλ. Ἔ. προοίμ. σ. 4,1 στ. 97. 200. 376. 738. Ἀριστόνικος ἀναφέρεται εἰς Θ. 178. Εἰς Θ. 991. Ῥουγκένιος *Ἀρίσταρχος* ἀντὶ τοῦ *Ἀρχέλοχος* γράφει· ἐξ ἐναντίας δὲ παρὰ Τζέτζῃ σ. 201, 25, ἔκδ. Gaisford *Ἀριστίππους* ἀντὶ τοῦ *Ἀριστάρχους* γραπτέον. Ἐτυμολογ. Γουδιαν. σ. 73,26... Ὥς φησιν Ἀλεξίων καὶ Ἀρίσταρχος (= σ. 71, 41 οὕτως εὗρον ἐν ὑπομνήσει Ἡσιόδου) ἀναφέρεται πρὸς τὴν λέξιν *Ἀργειφόντης*, ἣν Ἀρίσταρχος, οἶμαι, εἰς τὴν Ἰλιάδα ἐξηγήσατο. Πρὸς τούτοις, ἴχνη τινὰ τῶν σημείων ἐν τοῖς εἰς τὴν Θεογονίαν σχολίοις εὑρίσκονται 233· τὸ δὲ σημεῖον παράκειται ὅτι, 425. 484. 696. 697. 927 τὸ σημεῖον ὅτι, ἴσως δὲ καὶ 26. 68. κἀ. *ὅτι*.

(6) Σχόλ. Θ. 114. 160. 270. 573. Ἔ. 94. 551. Ἀσπ. 415. Πρβλ. Σουΐδαν λ. Σέλευκος Ἀλεξανδρεύς, «ἔγραψεν ἐξηγητικὰ εἰς πάντα ὡς εἰπεῖν ποιητήν».

(7) Σχόλ. Θ. 12. 142. Ἔ. 531.

(8) Σουΐδας λ.

[5] (1), καὶ τοῦ χάους (116). Τίνος κόμματος **Διονύσιος,** ὅστις ἐξηγήσατο Ἡσίοδον, ἦν, ἀγνοοῦμεν, τοῦτο μόνον μαθόντες, ὅτι πρὸς Ἡσίοδον, ἅμα ἐν ἐποποιίαις (ὑποθήκαις καὶ μετεωρολογουμένοις) ἀνθημιλλήθη (2). Τὴν πρώτην περίοδον τῆς κριτικῆς ἀποπεραίνει ὁ χαλκέντερος **Δίδυμος,** ὃς τὰ πρότερα ἅπαντα πονήματα συμπεριλαμβάνει καὶ τὰ πιθανὰ καὶ χρήσιμα ἐκλέγει· ὃ καὶ ἐπὶ Ἡσιόδου ἐποίησεν (3). Ἐπέχομεν ὀλίγον, ὅπως ἀναθεωρήσωμεν τὴν ἀξίαν τῶν ἐκδόσεων τούτων. Ὡς πρὸς τὴν ἀρχαιότητα, αἱ γραφαὶ αὐτῶν αἱ πολυτιμόταται πάντων εἰσίν· εἰ μέντοι ἀναγινώσκομεν: Ὁ δεῖνα, *γράφει*, ἤτοι μάλιστα *γραπτέον*, προσοχῆς δεῖ. Οἱ γὰρ ἀρχαῖοι τὰ κατὰ τὸ δοκοῦν διεφθαρμένα οὐχὶ μόνον διώρθωσαν ἐκ παλαιῶν καὶ ἀκριβῶν χειρογράφων, ἀλλὰ καὶ ἐξ εἰκασίας πολλὰ ἐνεωτέρισαν, οἷον ὁ Σέλευκος καὶ ὁ Κράτης, πρὸς τούτοις δὲ τὰ *ἀπρεπῆ* κατέκριναν. Τοῦτο δὲ τὸ μέγιστον, ὅτι τὰ σχόλια περὶ πολλῶν χωρίων μαρτυροῦσι τὴν ἀρχαιότητα γραφῶν.

Οἱ κατὰ τὴν δευτέραν περίοδον ἐξηγηταὶ τὸν μὲν νοῦν μάλιστα ἑρμηνεύουσι, τὴν δὲ κριτικὴν οὐκ ἐξασκοῦσι, πλὴν ὅταν ἀγανακτήσωσι πρὸς τὴν τῶν προκειμένων ἔννοιαν. Οἱ μὲν ἐπιτεμόντες τὰ παλαιὰ ὑπομνήματα ἠμνηστήθησαν, ἢ ἐκ τύχης μόνον τὸ ὄνομα αὐτῶν κατέλιπον, οἷον ὁ Γουδιανὸς Ἐτυμολόγος γράφει: «καθώς φησιν **Ἱερώνυμος** καὶ **Ἐπαφρόδιτος** ἐν ὑπομνήσει Ἀσπίδος Ἡσιόδου» (4). Οἱ δὲ φιλόσοφοι τοὺς Ἀλεξανδρεῖς ἅπαντας ὑπερηκόντισαν, καὶ περιώνυμοι, Ἡράκλεις, ἦσαν οἱ περὶ τὸν Ἡσίοδον σπουδάζοντες. **Πλούταρχος** ὁ ἐκ Χαιρωνείας καὶ συμπολίτης πως τοῦ ποιητοῦ τέσσαρα τοὐλάχιστον βιβλία περὶ τῶν Ἔργων ἔγραψεν (5), ἐν οἷς τὴν φιλοσοφίαν ἐξέθηκε καὶ τὰ μὴ ἐπιδοκιμασθέντα αὐστηρῶς ὠβέλισεν ἢ καὶ ἀπεσιώπησεν (οἷον 794-7), ὅπερ ἐποίησε τὸ μὲν ἐξ ἠθικῶν αἰτιῶν, τὸ δὲ ἐπειδὴ Ἡσίοδον μόνον οὐ προυτίμησε τοῦ Μαιονίδου (6). Τὸ πόνημα τοῦ ἀγχίνου φιλοσόφου ἐκαρπώσατο **Πρόκλος** ὁ Νεοπλατωνικὸς «Διάδοχος» († 485), ὃς ἑβδομήκοντα

(1) «Ἐν δὲ τοῖς Ζηνοδοτείοις γράφεται (ἤ, γράφει) Τερμησσοῖο (Τερμησοῖο)». Ἦ ἔγραφε ταῦτα Ἀπολλώνιος ἐν τοῖς πρὸς Ζηνόδοτον;

(2) Σχόλ. Ἔ. 10. Σουΐδας λ. Διονύσιος Κορίνθιος.

(3) Σχόλ. Θ. 126. Ἔ. 304.

(4) λ. Ἀλκαία, πρβλ. τὸ Angelicanum Etymologicum αὐτ. καὶ λ. ἀπότροπος, Ἐτυμολ. Μέγ. σ. 60, 5, Etym. Parisinum (ἴδε τὸ Γουδ. Ἐτυμολογ. σ. 724).

(5) Γέλλιος ἀναφέρει Πλούταρχον «ἐν τῷ δ' εἰς Ἡσίοδον ὑπομνήματι» (Noctes Atticæ 20, 8, 7). Πρὸς ἀποκατάστασιν μερικὴν τοῦ ἔργου χρησιμεύουσι τὰ λοιπὰ τοῦ φιλοσόφου συγγράμματα, διότι πολλάκις περὶ Ἡσιόδου στίχων λόγον ποιεῖται π. χ. ἐν τῷ: Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν, κεφ. 6.

(6) Πρβλ. Σχόλ. Ἔ. 580.

πέντε ἐτῶν ὤν (1), συνέγραψεν, ὡς Σουίδας φησίν, «ὑπόμνημα εἰς τὰ Ἡσιόδου Ἔργα καὶ Ἡμέρας» (2).

Οὐδὲν τούτων τῶν ὑπομνημάτων αὐτὸ καθ' αὐτὸ παραδέδοται, ἀλλὰ ἐχορήγησαν ἡμῖν τὰ σπουδαιότερα σχόλια. Ἀνώνυμοι γὰρ **σχολιασταὶ** κατὰ τοὺς πρώτους αἰῶνας τῆς ἀνατολικῆς αὐτοκρατορίας ἐπιτομὴν τῶν ὑπομνημάτων τῶν ἐκ τῆς δευτέρας ἐκείνης περιόδου ηὔξησαν ἰδίαις σημειώσεσιν, ὥστε τὸ σύγκραμα τοῦτο ἐχρησίμευε πρὸς τὴν ἐν τοῖς σχολείοις ἑρμηνείαν. Ὕστερον δὲ οἱ ἀντιγράφοντες τὰ ποιήματα τὰ σχόλια ὅσα ἐκ περισσοτέρων χειρογράφων σταχυολογήσαντες καὶ συντεμόντες προσέγραψαν εἰς τὰς ὤας. Ἐκ τίνων δὲ ὑπομνημάτων οἱ πρῶτοι σχολιασταὶ τὰ χρήσιμα ἠρύσαντο, ἄγνωστον, ἐπειδὴ τὰς ἀμέσους πηγὰς ἀποσιωπῶσι, βρενθυόμενοι ὀνόμασι παλαιῶν καὶ πολυθρυλήτων λογίων· πλὴν τὰ εἰς τὰ Ἔργα σχόλια τὸ πάλαι τὴν ἐπιγραφὴν «**Πρόκλου** καὶ ἄλλων σχόλια» ἔφερον, ἣν οἱ μεταγενέστεροι εἰς τὸ «Πρόκλου» συνέτεμον (3), καθάπερ τοῖς δὴ λεγομένοις μικροτέροις εἰς τὴν Ἰλιάδα σχολίοις ἐπέγραψαν ἁπλῶς «Διδύμου», καίτοι ὀλίγιστα εἰς τοῦτον ἀνῆκον. Πρὸς τούτοις, ἀξιομνημόνευτον, ὅτι πολλὰ καὶ ἀξιόλογα σχόλια οὐκέτι εὑρίσκονται ἐν τοῖς χειρογράφοις τῶν ποιημάτων, ἀλλὰ σῴζονται ἐν πᾶσι τοῖς λεγομένοις Ἐτυμολογικοῖς (4), παρ' Ἡσυχίῳ καὶ Ἀπολλωνίῳ σοφιστῇ, καὶ ἐν ταῖς εἰς τὴν Ἰλιάδα Παρεκβολαῖς τοῦ Εὐσταθίου. Καὶ ταῦτα μὲν τὰ «**παλαιὰ σχόλια**».

Κατὰ δὲ τὸν δωδέκατον αἰῶνα ἡ φιλολογία τῶν Ῥωμαίων παρήκμασεν, ὅθεν ἔν τε τοῖς ἐγχειριδίοις καὶ σχολίοις τὸ μὲν ἡ αὐτάρεσκος πολυλογία, τὸ δὲ ἡ «σχεδιαστικὴ» μέθοδος τὴν παλαιὰν παιδείαν ἀπέπνιξαν. Τὸν Ἡσίοδον ἡρμήνευσαν οἱ ἄνθρωποι, οἵτινες τοὺς «πραττομένους», ἤτοι ὑπὸ τῶν μαθητῶν ἀναγινωσκομένους ποιητὰς σχεδὸν ἅπαντας ἐξυδάρωσαν. **Ἰωάν-**

(1) Ἴδε Boissonade εἰς τὸν ὑπὸ Μαρίνου βίον τοῦ Πρόκλου σ. κδ' καὶ Cousin ἐν τοῖς τῆς ἐκδόσεως Προλεγομένοις σ. κ'.

(2) Οὐδαμοῦ εὑρίσκομεν σημεῖα τῶν Ἀλεξανδρέων, ἀλλ' ὅμως σημεῖα τῶν μεταγενεστέρων, καὶ ταῦτα ἐν κώδιξι τῆς Θεογονίας, οἷον ἐν τῷ Vaticanus 1332, (ἴδε Flach, σελ. 3) καὶ Monacensis 283, ὅπου σχόλιά τινα ἐξαίρονται σημείῳ, ὅπερ παρὰ μὲν τοῖς Ἕλλησι κεραύνιον, παρὰ δὲ τοῖς Λατίνοις ἄγκυρα ὠνομάζετο· ἐνταῦθα δεδιπλασίασται, τοῦ δευτέρου ἀνεστραμμένως κειμένου ὑποκάτω τῆς λέξεως *σημειοῦ*.

(3) Πρβλ. καὶ Usener ἐν τῷ «Rheinisches Museum», τ. ΚΒ', σ. 587 κἑ.

(4) Διαρρήδην γράφει ὁ Γουδιανὸς Ἐτυμολόγος σ. 71, 42: «οὕτως εὗρον ἐν ὑπομνήσει τοῦ Ἡσιόδου». Πρβλ. Ἐτυμολ. Μέγ. σ. 59, 32-5. 262, 49 κἑ. 293, 55 κἑ. Ἐτυμολ. Γουδ. στήλ. 333, 54-9. Ἐτυμολ. τὸ ἐν Λείδῃ (ἔκδ. Schäfer εἰς Γρηγόρ. Κορίνθ. σ. 612, σημ. 36).

νης **Τζέτζης,** ὃν ἐξετίμησέ τις ἂν εἰ μὴ αὐτὸς ἑαυτὸν ὑπερεπήνεσε γελοίως, παρέδωκεν «Ἐξηγήσεις εἰς Ἔργα καὶ Ἡμέρας» (1), αἳ ὀλίγην ὠφέλειαν χορηγοῦσιν, ἐπειδὴ τῆς μὲν ἐξηγήσεως παραμελεῖ, συχνάκις διισχυριζόμενος ὅτι «τὰ ἑξῆς δῆλα», ἀστρονόμου δὲ καὶ Ὀρφικοῦ δόξαν μᾶλλον ἐπιδιώκει. Εἰς δύο ὅμως ἀξιόλογός ἐστιν, ὅτι δῆλα δὴ καὶ πρὸ τῶν γνωστῶν ἡμῖν ἀντιγραφέων ἔζησε καὶ τὰ σχόλια τοῦ Πρόκλου πληρέστερα ἔτι ηὗρεν (2), ἐξ ὧν καὶ τὸ οὐσιωδέστερον τοῦ ὑφ' ἡμῶν ἐκδοθέντος ἐν τοῖς Προλεγομένοις βίου ἠρύσατο. Διακοσίοις σχεδὸν ἔτεσιν ὕστερον **Μανουὴλ Μοσχόπουλος,** ἤτοι ὁ Κρὴς ἢ ὁ ἀνεψιὸς αὐτοῦ (3), σχόλια, μᾶλλον δὲ γραμματικὴν ἀνάλυσιν, ὁποία ἐν τοῖς Ἑλληνικοῖς σχολείοις συχνάζει, συνέθηκεν· ἃ ἡμῖν ἀποτελοῦσι τὴν κατὰ τὴν ἀρχὴν τοῦ ιδ´ αἰῶνος κοινὴν γραφήν (vulgata). Τὸ περὶ τῶν Ἔργων καὶ Ἡμερῶν πόνημα τοῦ **Μαξίμου Πλανούδη** ἐν τῇ τῆς Νεαπόλεως βιβλιοθήκῃ (ἀρ. 165) ἀνέκδοτον κεῖται καὶ κείσθω. **Ἰωάννης ὁ Πρωτοσπαθάριος** ἔγραψε πρός τι τέκνον «Ἐξήγησιν φυσικὴν τῶν Ἡμερῶν» (ἤτοι Ἔ. 768-812). **Δημήτριος ὁ Τρικλίνιος** ἐκ τῶν σχολίων τοῦ «Πρόκλου» καὶ «Τζέτζου» πολλὰ ἐξέλεξε καί τινα προσέθηκεν (4). Οἱ μεθύστερον κώδικες ταῦτα τὰ νεώτερα κατ' ἐπιτομὴν συμμιγνύουσιν (5).

Τῶν μαθημάτων ἕνεκα τοὺς ποιητὰς ἀνέκαθεν παρέφραζον πεζῶς· οὕτω δὴ τῆς Ἀσπίδος **παράφρασιν** ἀτελῆ ἔχομεν (6), ἧς οὐδέν ἐστιν ὄφελος πρὸς τὴν κριτικήν, ἐπειδὴ ἡ κοινὴ ἔκφρασις ἀποδεικνύει ὅτι οὐχὶ πλέον ἢ ἑκατὸν ἔτεσι πρὸ τῆς Ἁλώσεως συνετέθη. Ὀλίγῳ πρότερον **Ἰωάννης διάκονος ὁ Πεδιάσιμος,** «ὕπατος τῶν φιλοσόφων» ὤν, «Σχόλια παραφραστικὰ εἰς τὴν Ἡσιόδου Ἀσπίδα» καί, χαρτοφύλαξ γενόμενος τῆς Βουλγαρίας, «Τεχνολογίαν εἰς τὴν Ἡσιόδου Ἀσπίδα» ἔγραψεν.

(1) Ἃς αὐτὸς μνημονεύει ἐν ταῖς Χιλιάσιν (6, 842). Προσαγορεύει ἀκροατάς (π.χ. σ. 157,16, ἔκδ. Gaisford).

(2) Usener (Rheinisches Museum, τ. ΚΒ´, σ. 588) τοῦτο ἀπέδειξεν ἐκ τῶν εἰς 82. 293. 346. 378 σχολίων.

(3) Κρῆτα αὐτὸν καλεῖ ὁ ἐν Ματρίτῳ κῶδιξ, ὃς ἐγράφη τῷ 1334 (ἀρ. 75, ἴδε τὸν Κατάλογον τοῦ Ἰριάρτου, σ. 272), ἀνεψιὸν δὲ ὁ Τρικλίνιος. Τίς εἴποι ἂν ἡμῖν εἰ ὁ «Μανουὴλ Κρήτης», ὃν Σάθας ὀνομάζει ἐν Καταλόγῳ τῆς Ἰβήρων μονῆς (Μεσαιων. Βιβλιοθ. Α´, σ. 283), ὁ αὐτὸς ἦν τούτῳ;

(4) Ἐν τῷ 16 κώδικι τῆς ἐν Φλωρεντίᾳ Μεδικείας βιβλιοθήκης εὑρίσκομεν: «Αἱ ἐκλογαὶ αὗται αἱ ἀπὸ τῆς ἐξηγήσεως τοῦ Τζέτζου τε καὶ τοῦ Πρόκλου εἰσὶν ἐκλεγεῖσαι παρὰ Δημητρίου τοῦ Τρικλινίου». Ὁ αὐτόγραφος Βενετικὸς κῶδιξ (ἀριθ. 464) ἐντὸς τοῦ 1316 καὶ 1320 γέγραπται· οὗ τὰ Τρικλινίου σχόλια, κατὰ τὴν τῶν Βυζαντίνων φράσιν, σταυρογραφοῦνται.

(5) Οἷον ὁ ἐν Βινδοβώνῃ, ἀρ. 128.

(6) Ἐκδέδοται ὑπὸ Φερδινάνδου Ranke (Hesiodi quod fertur Scutum Herculis, Quedlinburg 1840, σ. 41-65) ἐκ τοῦ ἐν Παρισίοις κώδικος, ἀρ. 2772.

Ἐν παραρτήματι ἐροῦμεν περὶ τῆς φυσικῆς ἑρμηνείας, ἧς ἐν τοῖς Προλεγομένοις ἐμνημονεύσαμεν. Ἐπεκράτησεν, ὅσον πρὸς τὸν περὶ Πανδώρας μῦθον, ἐν τοῖς τῶν φιλοσόφων ὑπομνήμασι καὶ εἰδικῶς ὁ ἱεροφάντης **Προκλήϊος** κατὰ Σουΐδαν «Εἰς τὸν παρ' Ἡσιόδῳ τῆς Πανδώρας μῦθον» σύγγραμμα ἐποίησεν. Μάλιστα δὲ περὶ τῆς Θεογονίας τοιαῦτα ἐλήρησαν. Εὐστάθιος (εἰς Ἰλ. Ξ 321) μνημονεύει ὅτι «**τινὲς** ἐν τοῖς κατὰ τὴν Θεογονίαν ἀλληγοροῦσιν». Ὧν οὐκ ὀλίγα περίεισιν α΄) **Ἰωάννου Διακόνου τοῦ Γαληνοῦ** Εἰς τὴν τοῦ Ἡσιόδου Θεογονίαν ἀλληγορία (1), ἣν πρὸς νέον τινὰ Ἰωάννην ἀπευθύνει· β΄) Ἐξήγησις τῆς τοῦ Ἡσιόδου Θεογονίας, ἣ κατὰ τὸν ια΄ ἢ ιβ΄ αἰῶνα συντέθειται· γ΄) Εἰς τὸ παρ' Ἡσιόδῳ κλαπὲν πῦρ ὑπὸ Προμηθέως καὶ εἰς τὴν ἀποσταλεῖσαν Ἐπιμηθεῖ Πανδώραν, ἀλληγορίαι δύο.

**Ἐξεδόθησαν** οἱ σχολιασταὶ ὑπὸ τῶν ἑξῆς:

Ἡσιόδου τοῦ Ἀσκραίου Ἔργα καὶ Ἡμέραι, Θεογονία, Ἀσπὶς Ἡρακλέους, ἅπαντα δὲ μετὰ πολλῶν καὶ καλίστων (sic) ἐξηγήσεων. Ἐν Βενετίᾳ, ἐπιμελείᾳ Ἰωάννου Φραγκίσκου Τριγκαβέλου 1537, 4ον (περιέχει τὰ Τζέτζου καὶ Μοσχοπούλου σχόλια).

Hesiodi opera omnia... et græca in omnia Hesiodi operi Ioannis Grammatici cognomento Tzetzis scholia, ἐν Βασιλείᾳ 1542 (Τὰ σχόλια, ἃ ὁ ἐκδότης Birchmann ἐδημοσίευσε καὶ κεχωρισμένως, ἠρύσατο ἐκ κώδικος τῆς ἐν Κανταβριγίᾳ βιβλιοθήκης).

Ἡσιόδου Ἀσκραίου τὰ εὑρισκόμενα ἔκδ. Daniel Heinsius, ἐν Λείδῃ 1603, 4ον. 1622, 8ον (περιέχει Πρόκλον, Μοσχόπουλον, Τζέτζην εἰς τὰ Ἔργα, Ἰωάννην Διάκονον καὶ τὰ ἀνώνυμα σχόλια). Οἷς τινα προσῆλθον ἐν τῇ ἐκδόσει, ἣν Lösner ἐν Λειψίᾳ 1778 καὶ Ῥηγιμοντίῳ 1787 ἐδημοσίευσεν.

Ταὐτὰ κατὰ περισσότερα χειρόγραφα ἐξέδωκε Gaisford ἐν τῷ β΄ τόμῳ τῆς συλλογῆς «Poëtae minores Græci».

Τὰ παλαιότερα σχόλια καθ' ἡμᾶς ἀναγινώσκονται ἐν ταῖσδε ταῖς ἐκδόσεσιν.

α΄) τὰ εἰς τὴν Θεογονίαν ἐν τῷ Γερμανικῷ βιβλίῳ·

Hans FLACH Glossen und Scholien zur hesiodischen Theogonie mit Prolegomena, Leipzig (Teubner) 1876, σ.

(1) Τοῦ αὐτοῦ περὶ τῶν τριῶν εἰδῶν τῆς ποιητικῆς ἀλληγορίας καὶ «ἀλληγορία ἀναγωγικὴ εἰς τὸ παρ' Ὁμήρῳ ῥηθέν: οἱ δὲ θεοὶ πὰρ Ζηνὶ» κτλ. ἔκδ. Flach, ἐν τῷ κατωτέρῳ μνημονευθησομένῳ ἔργῳ, ἐν Βιέννῃ κείμεναι. Ἡ χρονολογία ἀσαφής, πλὴν ὅτι ἐν τῷ τέλει τὴν ἐν Θούλῃ παιδείαν, ἤτοι τὰς Ἑλληνικὰς ἐν Βρεττανίᾳ σπουδὰς ὑπαινίττεται. — Ἀνέκδοτος ἴσως ἡ Φυσικὴ Ἐξήγησις, ἢ ἐν τῷ Palatinus 319 φυλλ. 309 κεῖται μετὰ τὴν ἀνωτέρω μνημονευομένην Ἐξήγησιν.

205-291 (σ. 183-204 περιέχονται αἱ μεσόστιχοι γλῶσσαι καὶ σ. 295-419 τὰ ἀλληγορικά).

β') τὰ εἰς τὰ Ἔργα ἐν τῇ κεχωρισμένῃ ἐκδόσει αὐτῶν, ἣ ἐπιμελείᾳ τοῦ Ed. Vollbehr ἐξεδόθη ἐν Κιλίᾳ 1844, σ. 121-237.

γ') τὰ εἰς τὴν Ἀσπίδα ἐν τῇ εἰδικῇ ἐκδόσει τοῦ ποιήματος, σχολιασθείσῃ ὑπὸ Φερδινάνδου Ranke (Quedlinburg, 1840), σ. 23-40 καὶ 298-9 ὑποσημ.

Οἱ σχολιασταὶ οὔτε ὁλοκλήρως οὔτε καλῶς μέχρι τοῦ νῦν ἐδημοσιεύθησαν· διὸ ἀπαριθμοῦμεν διὰ βραχέων τὰ χειρόγραφα, ἄν ποτε συμβῇ συμπρᾶξαι ἄνδρα σιδηροῦν καὶ δωρητὴν ἢ βιβλιοπώλην γενναῖον πρὸς τὰ Ἔργα. Ὅσοι μὲν οὖν κώδικες τὰ σχόλια ἐν ταῖς ᾤαις τοῦ κειμένου παρέχουσιν, ἐν τῷ τῶν χειρογράφων καταλόγῳ δηλωθήσονται ἀστερίσκοις, ὑπάρχουσι δὲ καὶ οἵτινες ἐκλελεγμένα ἔχουσι τὰ σχόλια κεχωρισμένως. Ὁ ἀρχαιότατος εὑρίσκεται ἐν τῷ Supplément des manuscrits grecs τῆς ἐν Παρισίοις βιβλιοθήκης ἀριθ. 679 (τοῦ ιβ' αἰῶνος), οἱ δὲ λοιποὶ ὡς ἐπὶ τὸ πλεῖστον ἀνήκουσιν εἰς τὴν κατὰ τὸν ιε' αἰῶνα ἀναγέννησιν τῶν γραμμάτων: ἐν μὲν Ῥώμῃ Palatinus 126 φυλλ. 130 κέ. 425 (417) Barberinus 275, ἐν δὲ Μαδρίτῃ ἀριθ. 8, ἐν δὲ Παρισίοις ἀρ. 2708 καὶ 2771, ἐν Δαρμστάδῃ καὶ Μονάχῳ ἀριθ. 91 (1) καὶ 182 φ. 171 κέ. καὶ Βολφενπύττελ (Gudianus 74), ἐν Βιέννῃ ἀριθ. 35,2 καὶ 128, ἐν Ὀξωνίᾳ Miscellaneus 215 φ. 80—228.

Πλὴν ἀποσπασμάτων τινῶν λεξιλογικῶν, οἱ σχολιασταὶ ἡμᾶς ὠφελοῦσι πλεῖστα τῷ μαρτυρεῖν τὴν τότε παράδοσιν, διότι τὰ ἀρχαιότατα χειρόγραφα πολὺ νεώτερά εἰσιν. Ἔστιν ὅμως ὅτε διστάζομεν, πότερον σχόλιόν ἐστι τῶν παλαιῶν καὶ δοκίμων ἢ ὑπὸ Βυζαντίνων παρενετέθη.

Καιρὸς ἤδη τοῦ εἰπεῖν περὶ τῶν **χειρογράφων.** Ἡ ἀνεπτυγμένη κριτική, οἵα καθ' ἡμᾶς ἐξασκεῖται, ἐκ τοῦ συγκεχυμένου διαφόρων γραφῶν πλήθους σχηματίζει *στέμμα* τῶν κωδίκων, ὅπερ ἀποδεικνύει τὴν πρὸς ἄλληλα συγγένειαν περισσοτέρων χειρογράφων καὶ ἀναφέρει αὐτὰ εἰς ἓν ἢ πλέονα ἀρχέτυπα. Ὡς πρὸς τὸν Ἡσίοδον, τοῦτο οὐκ ἐπέτυχε μέχρι τοῦ νῦν, διότι ὀλίγιστα χειρόγραφα ἐξήντληνται. Πλὴν ὁ ἐν Πράγῃ καθηγητὴς Rzach ἤρξατο τῆς ἐργασίας, ἐξιὼν ἀπὸ ἀκριβῶν περὶ τῶν διαφόρων γραφῶν σημειώσεων, καί, ὡς ἐλπίζομεν, οὐκ ἀποκαμεῖται, πρὶν ἂν ἔλθῃ πρὸς τὸ τέλος. Ἐπειδὴ τὰ χειρόγραφα διεσπαρμένα εἰσὶν ἐπὶ πολλὰς χώρας καὶ πόλεις, ἐν αἷς καὶ κατοικούμεναι ὑφ' Ἑλλήνων, ἀπαριθμοῦμεν ἅπαντα ὅπως στρέψωμεν

(1) Τὰ ἀξιολογώτερα ἐξέδωκεν Usener ἐν τῷ Rheinisches Museum, τ. κϐ' (1867), σ. 587—97.

τὴν προσοχὴν τῶν πανταχοῦ φιλοπόνων εἰς αὐτά. Οἱ ἀστερίσκοι, ὡς εἴπομεν, σημαίνουσι τὸ πεπλουτίσθαι ἑρμηνευτικοῖς σχολίοις. Τὴν ἡλικίαν, οὕτως εἰπεῖν, τῶν νεωτέρων χειρογράφων, ἤτοι τῶν κατὰ τὸν ιε΄ καὶ ις΄ αἰῶνα γεγραμμένων οὐ σημειούμεθα.

1. Τὰ ἅπαντα περιέχονται ἐν τοῖς ἑξῆς· Ὁ ἀρχαιότατος κῶδιξ κατὰ τὸν ιβ΄ ἢ ιγ΄ αἰῶνα ἐγράφη, ὃν Φίλελφος τῷ 1423 ἠγόρασεν ἐν Κωνσταντινουπόλει, νῦν δὲ εὑρίσκεται ἐν Φλωρεντίᾳ καὶ ὀνομάζεται Laurentianus 32, 16. Πρὸς τούτῳ γινώσκομεν τάδε·

Ἐν τῇ Ἀνατολῇ

α΄) ἐν τῇ ἐπὶ τοῦ Ἁγίου Ὄρους μονῇ τῆς Λαύρας (1),

β΄) τεμάχη κώδικος ἐν τῷ κώδικι ἀρ. 325 τῆς Λαύρας τοῦ Ἁγ. Σάββα, ὃς εὑρισκόμενος νῦν ἐν Ἱεροσολύμοις, περιγραφήσεται ὑπὸ τοῦ φιλοπονωτάτου Ἀθανασίου Παπαδοπούλου Κεραμέως ἐν τῷ Καταλόγῳ τῶν αὐτόθι χειρογράφων.

Ἐν τῇ Ἑλλάδι ἡ τῶν Μετεώρων μονὴ χειρόγραφόν ποτε εἶχεν (2)· ἐπωλήθη μέντοι ἢ ἐκλάπη.

Ἐν Νεαπόλει εἷς.

Ἐν Ῥώμῃ Barberinus ἀριθ. 159, 275, 287, 315, 378, *Vallicellianus F 16.

Ἐν Φλωρεντίᾳ *Laurentianus 31, 24, καὶ *ἀριθ. 2823 τῆς Ἀββατίας (ιδ΄, πρότερον ἀπὸ τοῦ κτήτορος ὀνομασθεὶς Schellershemensis).

Ἐν Βενετίᾳ *Marcianus 464 (κῶδιξ ὑπὸ τοῦ Τρικλινίου γραφθεὶς τῷ 1316-20) (3), *M 480, *Paulinus cl. 9 cod. 6 (ιδ΄ ἢ ιε΄).

Ἐν Μεδιολάνῳ ς΄ Ambrosiani ἐκ τοῦ ιδ΄—ις΄ αἰῶνος, ἐξ ὧν εἷς ἔχει σχόλια.

Ἐν τῷ ἐν Ἐσκουριάλῃ * ἀριθ. III, Φ 16.

Ἐν Παρισίοις *2708 καὶ 2772 τοῦ ιδ΄ αἰῶνος 2678. *2763. *2776. *2833. 2834. 2877.

Ἐν Ἀγγλίᾳ Κανταβριγίᾳ καὶ Λονδῖνον τρία ἀντίγραφα ἔχουσι (Codex Collegii Trinitatis ἢ Galeanus, Harleianus 5724 ιδ΄ ἢ ιε΄ καὶ ἀριθ. 522 τοῦ Βρεττανικοῦ Μουσείου)· τίς δὲ οἶδε πόσα κλαπέντα ἢ λάθρα ἀγορασθέντα ἐκ τῆς Ἀνατολῆς, κρύπτονται

(1) Οἱ πλεῖστοι κώδικες μετηνέχθησαν πρὸς τὴν ἐν Μόσχᾳ Ἱερὰν Σύνοδον. Ὁ Παναγιώτατος Οἰκουμενικὸς Πατριάρχης ηὐδόκησέ με συστῆσαι διὰ πιττακίου πρὸς τοὺς μοναχοὺς τοῦ Ἁγίου Ὄρους, ᾧ δυστυχῶς οὐκ ἐδυνήθην χρήσασθαι ἐλλείψει τοῦ καιροῦ.

(2) Curzon, Besuch in den Klöstern der Levante, σ. 162.

(3) Ὁ ἐνταῦθα καθηγητὴς Ῥουδόλφος Schöll εὐηρεστήθη μοι δοῦναι ἐκλογὰς τῶν σχολίων.

ἐν βιβλιοθήκαις ἰδιωτῶν, οἷον ὁ φιλέλλην Ἀντώνιος Askew ποτὲ χειρόγραφον εἶχεν (1).

Ἐν Εἰδελβέργῃ * ἀριθ. 18.

Ἐν Βρατισλάβῃ rep. II fol. n. 63.

Ἐν τῇ βιβλιοθήκῃ τῆς ἐν Μόσχᾳ Ἱερᾶς Συνόδου ἀριθ. 284 καὶ *374 (ιδ', ιε').

2. Ἄλλα στεροῦνται ἤτοι τῆς **Ἀσπίδος,** οἷον ἐν Ῥώμῃ Vaticanus 915 ιδ'—ιε' καὶ *1332 ιδ', Palatinus 385, 73, Casanatensis J II 6 (βομβύκινος), ἐν Ὀξωνίᾳ *Baroccianus 60 καὶ ἐν Λονδίνῳ κῶδιξ τῆς Βασιλικῆς Ἑταιρείας, ἢ τῶν **Ἔργων** ὡς ὁ Λαυρεντιανὸς ἀριθ. 31,20 καὶ 31, 32, ὁ* Παρισῖνος «Supplément 652», κῶδιξ τοῦ ἐν Κανταβριγίᾳ σχολίου τοῦ Ἐμμανουήλ, Monacensis *283, Rehdigeranus ἢ Vratislavensis II 63 καὶ Olomucensis, περὶ οὗ Wrobel διατρίβει ἐν τοῖς Πρακτικοῖς τῆς ἐν Βιέννῃ Ἀκαδημείας (τ. ϞΘ', σ. 615 κέ.) ἢ καὶ τῆς **Θεογονέας** οἷον ὁ παλαιὸς Ambrosianus C 222 ord. inf. ἐν Μεδιολάνῳ (ιγ', ἴδε Rzach ἐν τῷ περιοδικῷ Wiener Studien τ. Ε', σ. 175—84), Vaticanus 1910 (ἐλλιπής), οἱ Παρισῖνοι ἀρ. *1320 (ιδ'), 2551,* 2772 (ιδ' ἢ ιε'), *2773 (ιδ'), τέλος δὲ ὁ ἐκ Βιτεμβέργης τῷ 1881 ἐπανενεχθεὶς εἰς Εἰδελβέργην βομβύκινος κῶδιξ. **Παλαιότερος τούτων ὁ Παρισῖνος «Supplément 663», ὃς περιέχει μέρη τῆς Θεογονέας καὶ Ἀσπίδος, ἐγράφη δὲ κατὰ τὸν ιβ' αἰῶνα.** Ὃν οὐ κατωρθώσαμεν ἐκμεταλλεύσασθαι, ἐπειδὴ μέχρι τοῦ νῦν προσεμείναμεν εἰς μάτην τὴν τοῦ κώδικος πρὸς τὴν ἐνταῦθα βιβλιοθήκην ἀποστολήν.

3. Πολλὰ περιορίζονται εἰς ἓν καὶ μόνον ποίημα, ὡς εἰς τὴν **Θεογονέαν** ὁ ἐν τῷ παλαιῷ σεραϊλίῳ κῶδιξ ἀριθ. 23, 17 (ἴδε Blass ἐν τῷ Ἑρμῇ, τ. κγ', σ. 221), Vaticanus 1409 ιδ' καὶ 1948, Palatinus 142 φ. 113, Laurentianus 91,10 ιδ', μέχρι τοῦ 706 στ., Taurinensis B III 16, Baroccianus ἢ Bodleianus *109, *ἀρ. 225 τῆς ἐν Μόσχᾳ Ἱερᾶς Συνόδου (2) ἢ τὴν **Ἀσπίδα** Neapolitanus II D 4, *Vaticanus 1332 φ. 227-30 (στ. 1-112), *Casanatensis G V 5 φ. 82-86 (στ. 1-319) Laurentianus 32, 33 (στ. 1-82), Burneianus ἀριθ. 109 ἐν Ὀξωνίᾳ, Vossianus ἐν Λείδῃ.

Τῶν **Ἔργων** ἀναφέρομεν πρῶτον τὰ πρὸ τοῦ ιδ' αἰῶνος

(1) Ἴδε Köhler ἐν τῷ Index Lectionum τῆς Κιλίας 1766, φυλλ. Β'.

(2) Montfaucon, ἐπιθεωρῶν Νεάπολιν, χειρόγραφον εἶδεν ἐν τῇ μονῇ Giovannini de' Carbonari (diarium σ. 311). Canterus (Novæ Lectiones 4,21) ἐχρήσατο γεγραμμένῳ βιβλίῳ τῆς τοῦ Ἑλληνιστοῦ Βουδαίου βιβλιοθήκης. Ἐν τῷ ἐν Ἐσκουριάλῃ καὶ ἄλλα πολλὰ καὶ Ἡσιόδου χειρόγραφον κατεκαύθη (ἴδε τὸν τοῦ Γάλλου Miller σ. 337, ἀριθ. 62).

χειρόγραφα· τὰ παλαιότατα δηλαδή, ὧν καθ' ὅλου ἔχομεν, εἰσὶ δύο τῷ ια' αἰῶνι γεγραμμένα, ὁ Λαυρεντιανὸς ἀριθ. 31,39 (1), καὶ *Παρισῖνος 2771. Ὧν ἔχεται ὁ ἐν Μεσσήνῃ τοῦ ιϐ', ἐξ οὗ ἀπεγράφη ὁ Παρισῖνος 2773. Τοῦ δὲ ιγ' ἑπτὰ ἐν τῷ Βατικανῷ κεῖνται (ἀριθ. 44. 49. 50. 51. 57. 121. 1363). Ὕστερον τούτων θαυμαστὸν πλῆθος ἀντιγραφέων περὶ τὰ Ἔργα ἐκοπίασαν. Ἐν μὲν Νεαπόλει κεῖνται ἑπτὰ κώδικες (*II C 34. *II F 5. *33. 43), ἐν δὲ τῇ Βατικανῇ οὐ μεῖον ἢ δέκα πέντε (Vaticanus 38.53.1311. 1384. 1392 1421, Reginensis *92. 142. 152, Ottobonianus 210. 280. 306, Palatinus *151 φ. 239. 190.290), ἔτι δὲ ἐν Ῥώμῃ *Casanatensis G IV, ἐν δὲ Φλωρεντίᾳ ὀκτὼ (Laurentianus *31,5. *31,23. 31,37. *32,2, 32,36. 32,41, Conventi Soppressi *8 [2720], πρϐλ. Anecdota Varia Græca ἔκδ. Schöl καὶ Studemunt Α', σ. 91, ὑποσημ. Riccardianus 71), ἐν δὲ Μεδιολάνῳ ἕξ, ἐν δὲ Βενετίᾳ *Marcianus 466, ἐν δὲ Μεσσήνῃ δεύτερός τις νεώτερος, ὧν τῆς μονῆς San Placido. Ἡ Ἱσπανία ἔχει δύο ἢ τρεῖς (Matritensis *75. *103. *Escurialensis ἀριθ. 365 τοῦ παλαιοῦ καταλόγου σ. 356, ἔκδ. Miller), Παρίσιοι δὲ τρεῖς καίδεκα (*425 *1310. 2553. 2556. *2707. 2718. *2758. *2774. *2775. *2780. *2786, Suppl. *498. *683), ἡ δὲ Ὀξωνία ἑπτά (Baroccianus *46, Bodleianus 699. 731, Laudianus 10, *54, D'Orvillianus X 1, Miscellaneus *99), τὸ δὲ ἐν Ὁλλανδίᾳ Λούγδουνον δύο, τέλος δὲ ἡ ἐν Βιέννῃ βιϐλιοθήκη ὀκτὼ χορηγεῖ (35. 106. 109. 134. 146. 167. 168. 242). Πλὴν τούτων πολλαὶ βιϐλιοθῆκαι κεκόσμηνται ἑνὶ μόνον ἀντιγράφῳ, οἷον αἱ τῶν πόλεων Τουρίκου (e 136) καὶ τοῦ Ἁγίου Γάλλου (340), Λειψίας, Νοριμϐέργης, Ἐλϐίγγης, Βρατισλάϐης (ἀριθ. 143, Rehdigeranus), τῶν Πανεπιστημίων Κανταϐριγίας *Nn. III 16 (Κατάλογ. τ. Δ', σ. 487), Μονάχου, Ἐρλάγγης (ἀριθ. 89), ἔτι δὲ τῶν βασιλικῶν αἱ τῶν ἐν Μονάχῳ (*334) καὶ Δρέσδῃ (Da *19. *20) καὶ τῆς ἡγεμονικῆς ἐν Γόθῃ, πρὸς τούτοις καὶ ἡ τῆς ἐν Μόσχᾳ Ἱερᾶς Συνόδου (*73) καὶ τοῦ τυπογραφείου αὐτοῦ (*59) (2). Ἐξ ὧν ὁ ἐν Ἐρλάγγῃ κῶδιξ μάλιστα ἀξιόλογός ἐστι τοῖς Ἕλλησι, διότι ὁ Ἑλληνιστὴς Λουδοϐῖκος Καμεράριος δῶρον αὐτὸν ἔλαϐε παρὰ τοῦ Πατριάρχου Κυρίλλου τοῦ Λουκάρεως. Ἀλλὰ διὰ τί τοσαῦτα ψυχρὰ ὀνόματα καὶ ἀριθμοὺς ἀπεταμιεύσαμεν; Πρῶτον μὲν ἵνα ἐκφανῇ πρόδηλον, ὅτι τὰ Ἔργα παρὰ τοῖς Βυζαντίνοις, ἴσως δὲ καὶ παρὰ τοῖς πα-

(1) Οὗ εἰκόνα χορηγεῖ Flach ἐν τῇ διατριϐῇ «Die beiden ältesten Handschriften des Hesiod» (Λειψ. 1877).

(2) Ποῖ ἀπεσύρθη ὁ μετὰ σχολίων κῶδιξ τοῦ Θεοδωρίκου Λαγγίου, ἀγνοοῦμεν (ἴδε Canteri Novæ Lectiones V 23).

λαιοῖς ἐπρώτευον καὶ πολλῷ μάλιστα τῶν Ἡσιοδείων ἐδιδάσκοντο· β') ὅτι ἡ γνῶσις τῆς παραδόσεως ἀνεπαρκὴς μέχρι τοῦ νῦν ἐστι, διότι πάνυ πολλοὶ τούτων ἄγνωστοι· γ') ὅτι τὰ Ἔργα ἀναγκαίως ἐκ τῆς πολλῆς ἀναγνώσεως καὶ ἀντιγραφῆς διεφθάρησαν, ἐπειδὴ τὸ μὲν ὁ ἀριθμὸς τῶν ἀντιγραφέων σχέσιν ἔχει πρὸς τὸν τῶν γραφικῶν σφαλμάτων, τὸ δὲ οἱ διδάσκαλοι χάριν τῶν μαθητῶν συχνάκις τὰ ἐξηγήσεως χρήζοντα ἀντικατέστησαν διὰ τῶν κοινῶν.

Πρὸς τοῖς πλήρεσι χειρογράφοις εὑρίσκομεν συχνάκις ἐν ταῖς βιβλιοθήκαις ἐκλογὰς ἐξ ἄλλων τε ποιητῶν, καὶ δὴ καὶ τῶν Ἔργων, αἳ μέχρι τοῦ παρόντος παρημέληνται, π. χ. ἐν τῷ Neapolitanus II C 33 φύλλ. 8-11 μετὰ σχολίων, Laurentianus 31,5. 87,10, Benedictinus B ἐν Φλωρεντίᾳ (ἴδε Resler ἐν τῷ Φιλολόγῳ τ. Δ', σ. 511).

Οὕτως εἶχεν ἡ κριτικὴ ὕλη πρὸ τοῦ 1887. Ἀλλ' ἀπό τινος οἱ θησαυρώδεις τάφοι τῶν Αἰγυπτίων πολλὰς λακίδας παπύρου ἀνέπεμψαν, αἵτινες καὶ τὴν Ἡσιόδου κρίσιν ὠφέλησαν. Ἀποσπάσματα τῶν Ἔργων καὶ τῆς Ἀσπίδος ηὑρέθησαν ἐν τῇ ἐκ Φαϊούμ, ἤτοι Ἀρσινόης, συλλογῇ τοῦ Αὐστριακοῦ ἀρχίδουκος Rainer (1)· οὐδὲ ἡ Θεογονία ἀπρομήθευτος ἀπέβη, ἀλλὰ ἐκ τοῦ Ἀχμὶμ χωρίου στίχοι ἐν καλύμματι βιβλίου ἀνεφάνησαν (νῦν δὲ ἐν Παρισίοις φυλάσσονται) (2). Ὧν τὴν κριτικὴν ἀξίαν ἐξετάζει Rzach ἐπισταμένως, ἐκεῖθεν ἐξάγων, ὅτι καθόλου ἡ παράδοσις ἀπὸ τοῦ μ. Χ. 400 — τότε δῆλα δὴ ἐγράφησαν — οὐ πολὺ ἐπὶ τὸ χεῖρον ἔκλινεν (3).

Ἐπειδὴ λοιπὸν ἡ παλαιὰ παράδοσις ἡμῖν ἄγνωστος, πλὴν ἐκ τῶν ἀπολειμμάτων τῶν δοκίμων σχολίων καὶ τῶν ἐν παπύρῳ ἐκείνων ἀποσπασμάτων, ἀκριβεστάτης συλλογῆς ἄξιαι **αἱ Ἡσιοδείων χωρέων παραθέσεις,** καθόσον ἀποδεικνύουσιν, ὅτι γραφή τις εἰς παλαιοὺς χρόνους ἀνήκει. Τῶν συγγραφέων μέντοι διάφορα πολλάκις ἀναφερόντων τῶν ἐν τοῖς χειρογράφοις παραδεδομένων, οὐκ εἰκῇ εἰρητέον ὅτι, λόγου χάριν Ἀριστοτέλης τὰ ποιήματα ἀνέγνω πολὺ διαφέροντα. Ὅπερ ὀρθῶς ἂν ἐλέγετο, εἰ οἱ παλαιοὶ βιβλία ἀνέφερον κατὰ τὸν τρόπον τοῦ ἐπιμελοῦς φιλολόγου, ὅστις, εἰς χεῖρας λαβὼν αὐτὸ τὸ βιβλίον ἐκγράφει αὐτολεξεὶ ὅσα ἀναφέρει· πάλαι δὲ οἱ πλεῖστοι ἐκ τῶν ὀλίγων βι-

(1) Ἴδε Mittheilungen aus der Sammlung der Papyrus, Erzherzog Rainer σ. 73—83 (Ἔ. 251—66. 283—96. 313—29. 346—61. 686—709. 718—40. 750—812. 817—28. Ἀσπ. 5—30. 434—40. 465—70).

(2) Ἔπιθι Wilcken ἐν τοῖς Πρακτικοῖς τῆς Πρωσσικῆς Ἀκαδημείας τ. ΛΘ' (1887), σ. 807 κἑ. (Θ. 75—106. 109—10. 112—45).

(3) Die neuen Papyrusfragmente des Hesiodos, Wiener Studien 1888 τ. Ι', τεῦχος α'. Εὐνοίᾳ τοῦ συγγραφέως, ἐκτύπου κεχωρισμένου χρῆσιν ποιοῦμαι.

βλίων ὅσα εἶχον ἢ ἐδανείζοντο, ἀπεστήθιζον τὰ μάλιστ' ἀρεσκόμενα. Ἀναφέρουσι λοιπὸν τοὺς ποιητὰς ὡς ἐπὶ τὸ πλεῖστον ἀπὸ μνήμης, ὥστε, καίπερ τὴν μνήμην ἔχοντες στερεωτέραν ἡμῶν, συχνάκις ἐσφάλλοντο (1), ὅπερ μάλιστα συνέβη ἐν χωρίοις ἀσαφέσι καὶ ἀλλοκότοις. Οὐδέ, πλειόνων συγγραφέων συμφωνούντων εἰς μίαν γραφήν, ταύτην παραδεχόμεθα, εἴπερ τῷ ὄντι αἱ μαρτυρίαι αὐτῶν ἀντιστοιχοῦσι μιᾷ. Π. χ. τὰ παρὰ Πλάτωνι Ἡσιόδεια χωρία ὑπὸ τῶν μεταγενεστέρων φιλοσόφων ἐπαναλαμβάνονται ἐκ τῆς Πλάτωνος ἀναγνώσεως, οὐχὶ ἐκ τῶν χειρογράφων τοῦ ποιητοῦ· ὡσαύτως οἱ ἀνθολογοῦντες (Στοβαῖος, Ὠρίων, Μακάριος ἐν τῇ Ῥοδωνιᾷ κἄ.) πολλὰς γνώμας αὐτοῦ παρ' ἀλλήλων δέχονται, μὴ ἀνελίξαντες τὰ ποιήματα αὐτά.

Διελθόντες τὰ ὄργανα τῆς κρίσεως, τρεπόμεθα πρὸς **τοὺς νεωτέρους κριτικούς,** ἀρχὴν ποιούμενοι, ὡς ἔθος, ἀπὸ τῆς πρώτης ἐκδόσεως. Ὁ περιώνυμος βιβλιοπώλης καὶ ἐκδότης Ἄλδος Μανούτιος, ὁ προστάτης τῶν εἰς Βενετίαν καταφυγόντων λογίων Ἑλλήνων, ἐξέδωκε τῷ 1495 «Hesiodi Ascræi poëtæ Theogonia Aspis Georgicorum libri II». Αὕτη ἡ ἀληθὴς editio princeps, διότι τινὲς οὐκ ὀρθῶς ἔγραψαν, ὅτι Δημήτριος Χαλκονδύλης ἐν Μεδιολάνῳ τῷ 1493 μετὰ τῶν Ἰσοκράτους λόγων καὶ τὰ Ἔργα ἐξέδωκεν. Ἡ ἔκδοσις αὕτη, ἡ συνεκολλήθη ὑπό τινων βιβλιοδετῶν μετὰ τοῦ Ἰσοκράτους, ἄγνωστον πότε καὶ ποῦ καὶ ὑπὸ τίνος ἐδημοσιεύθη. Αἱ παλαιαὶ ἐκδόσεις, ὧν τὸ πλῆθος μόλις ἂν ἐξαντληθῆναι δύναιτο, οὐδὲν ἡμᾶς ὠφελοῦσιν, ἐπειδὴ οὐδὲν ἔχουσιν ἴδιον εἰ μὴ τυπογραφικὰ σφάλματα. Ἡ ἀληθὴς κρίσις ἄρχεται ἀπὸ Ἐρρίκου Στεφάνου, ὅσπερ Ἡσίοδον διωρθώσατο ἐν τῷ Corpus poëtarum Græcorum principum carminis heroici (1566). Ἔπειτα ὁ σοφὸς Δανιὴλ Heinsius ἐξέδωκεν «Ἡσιόδου Ἀσκραίου τὰ Εὑρισκόμενα» (ἐν Ἀντβέρπῃ) 1603 4ον. 1612. 1620. 1622 8ον καὶ χωρὶς τῶν σχολίων ἐν Λουγδούνῳ τῆς Ὀλλανδίας 1613. 1622). Μετὰ δὲ τοῦτον ὁ Grævius αὐτὸς μὲν οὐδὲν προύκοψεν, ἀλλὰ τὰς κριτικὰς σημειώσεις τοῦ Ἰωσὴφ Σκαλιγέρου, Φραγκίσκου Γυιέτου (Guiet), Στεφάνου Κληρικοῦ ἐδημοσίευσεν ἐν τῇ ἑαυτοῦ ἐκδόσει (Amsterdam 1667 καὶ 1701). Τὴν κριτικὴν σκευὴν ηὔξησαν Θωμᾶς Robinson (ἐν Ὀξωνίᾳ 1737 καὶ ἐν Λονδίνῳ 1756) καὶ ὁ Ἰταλὸς ἡγούμενος Lanzi (Di Esiodo Ascreo i Lavori e le Giornate opera con L codici riscontrata, ἐν Φλωρεντίᾳ 1808). Τὰς τῶν κωδίκων γραφὰς ἀναγκαῖον συλλέξαι

(1) Römer ἐδοκίμασε τὰ παρ' Ἀριστοτέλει Ὁμηρικὰ χωρία ὑπὸ ταύτην τὴν ἔποψιν ἐν τοῖς Πρακτικοῖς τῆς Βαυαρικῆς Ἀκαδημείας (1884 φυλλ. 6'). Ἡμεῖς αὐτοὶ παρατηροῦμεν, ὅτι συχνάκις χωρίον τοῦ ποιητοῦ παραλλάσσει ἐν τοῖς λεγομένοις Ἐτυμολογικοῖς, καίτοι τὰ ἄρθρα ἀντεγράφησαν ἐκ τῆς αὐτῆς πηγῆς.

α') ἐκ τῆς ἐκδόσεως τοῦ Lanzi.

β') Ἐκ τῶν ἐκδόσεων τοῦ Δαβὶδ Ἰωάννου van Lennep (Θεογονία Amsterdam 1843, Ἔργα 1847, Ἀσπὶς 1854).

γ') Hesiodea quæ supersunt omnia, ediderunt Armin. Köchly et Godofr. Kinkel, ἐν Λειψίᾳ 1870.

δ') Ἡσιόδου τὰ Σῳζόμενα. Hesiodi quæ feruntur omnia rec. Aloisius Rzach, ἐν Λειψίᾳ 1884.

Πρὸς τούτοις, ἀναφέρομεν εἰκασίας πρὸς διόρθωσιν τοῦ κειμένου ἐκ τῶν ἐκδόσεων τοῦ G. H. Schäfer (ἐν Λειψίᾳ 1818), τοῦ Λουδοβ. Dindorf (αὐτ. 1825), τοῦ Καρ. Göttling (αὐτ. 1831, β' ἔκδ. 1843, γ', ἣν διεσκεύασε Flach 1878), τοῦ Ἄγγλου Φ. Α. Paley (ἐν Λονδίνῳ 1861), Γ. Φ. Schömann (ἐν Βερολίνῳ 1869), Fick (ἐν Γοτθίγγῃ 1887, ὃς μεταφράζει τὰ Ἡσιόδου ποιήματα Αἰολιστί)· ἔτι δὲ ἐκ τῶν τῆς Θεογονίας, αἵτινες τὰ ὀνόματα φέρουσι τοῦ Φριδερ. Αὐγ. Wolf (ἐν Ἅλλῃ 1783), τοῦ Ἐδ. Gerhard (Βερολ. 1856), τοῦ Φ. Γ. Welcker (Elberfeld 1865), Γ. Φ. Schömann (Βερολ. 1868), Flach (αὐτ. 1873) καὶ ἐκ τῶν Hesiodi Opera et Dies recensuit F. A. *Spohn* (ἐν Λειψίᾳ 1819), «Die Werke und Tage des Hesiodos. Nach ihrer Composition geprüft und erklärt von Aug. *Steitz* (αὐτ. 1869), Hesiodi Scutum Herculis ed. C. F. Heinrich (ἐν Βρατισλαβίᾳ 1802), Hesiodi quod fertur Scutum Herculis ex recognitione et cum animadversione Fr. Aug. Wolfii ed. C. Ferd. Ranke (Quedlinburg 1840). Οὐδὲ τέλος ἤδη τῆς βιβλιογραφίας, ἐπειδή, ὁρμώμενοι ἐκ τοῦ παραδείγματος τῶν ἐν Παρισίοις Ἀκαδημικῶν, οἱ λόγιοι κριτικὰς σημειώσεις εἰς πλέονα περιοδικὰ κατεχώρισαν. Ἂς ἐνταῦθα ἀναφέρομεν χάριν τοῦ τυπογράφου, παραπέμποντες δῆλα δὴ ἐν ταῖς Κριτικαῖς Σημειώσεσι πρὸς τὸν ἀριθμόν, ὃν φέρει τὸ πόνημα ἐν τῷ ἑξῆς καταλόγῳ.

1. F. Ph. Bauermeister, Observationum in Hesiodi carmina specimen I., Göttingen 1815.

2. Th. Bergk ἐν τοῖς περιοδικοῖς Philologus τ. ις' (1860) σ. 581-4. κθ' (1870) σ. 319, λ' (1871) σ. 677, λβ' (1873) σ. 563 καὶ 669-81.

3. Th. Bergk Rheinisches Museum τ. ιθ' (1864) σ. 602. κ' (1865) σ. 288. μ' σ. 620-21.

4. Th. Bergk ἐν τῷ Jahrbücher für klassische Philologie τ. ριζ' (1878) σ. 33-6.

5. C. G. Cobet ἐν τῇ «Μνημοσύνῃ» β' σειρᾶς τ. Α' (1873), σ. 39-40, Δ' (1876), σ. 260.

6. F. A. Hagen, Meletemata Critica in Hesiodi Erga, α′ Düren 1841, β′ 1848, γ′ 1854 (προγράμματα).

7. Mor. Haupt, ἐν τῷ «Ἑρμῇ» Α′ (1866), σ. 251-3 = Opuscula Γ′ (1876), σ. 340-3.

8. Gottfried Hermann, Opuscula τ. ς′.

9. E. von Leutsch, ἐν τῷ Philologus τ. λε′ (1876), σ. 533.

10. Aug. Meineke, ἐν τῷ «Ἑρμῇ» τ. Α′ (1866), σ. 326-8.

11. *Menrad*, ἐν τῷ Philologischer Anzeiger 1887 σελ. 428-40.

12. Ch. Guil. Mitscherlich, Observationes in Hesiodi Opera et Dies, Göttingen 1824.

13. Ὁ αὐτός, Disquiritur de nonnullis Hesiodi locis, αὐτ. 1824.

14. Guil. Jul. Carol. Mützell, de emendatione Theogoniæ Hesiodeæ, ἐν Λειψίᾳ 1833.

15. A. Nauck, ἐν τῷ Philologus τ. ε′ (1850), σ. 364-6.

16. Ὁ αὐτός, ἐν τῷ Bulletin de l' académie impériale des sciences de St-Pétersbourg τ. ιζ′ (1872), σ. 223-27. κβ′ (1877), σ. 45-6 = Mélanges grécoromaines τ. γ′, σ. 269-76. δ′, σ. 154 κἑ. ε′, σ. 133-51 (χρώμεθα τοῖς Mélanges).

17. Rudolf Peppmüller, ἐν τῷ Philologus τ. λδ′ (1876), σ. 180-2. λθ′ (1881), σ. 393.

18. Ὁ αὐτός, ἐν τῷ περιοδικῷ Rheinisches Museum τ. λ′, σ. 462-4. 622-6.

19. W. Ribbeck, ἐν τῷ Rheinisches Museum τ. λγ′ (1878), σ. 300-1.

20. Rzach ἐν τῷ περ. Wiener Studien τ. ε′, σ. 175-204.

21. Scheer, ἐν τῷ Rheinisches Museum τ. κγ′ (1868), σ. 684-6. κδ′ (1867), σ. 623-7.

22. Leopold Schmidt, ἐν τῷ αὐτῷ περιοδικῷ τ. ζ′ (1850), σ. 148-9.

23. Otto Schneider, ἐν τῷ Zeitschrift für die Altertumswissenschaft 1840, ἀριθ. 72.

24. K. Schwenck, ἐν τῷ Philologus τ. ιθ′ (1863), σ. 464.

25. Levin, ἐν τῇ Histoire de l' académie des inscriptions τ. Γ′, σ. 122, 130. Ε′, σ. 153.

26. H. Usener, ἐν τῷ Rheinisches Museum τ. κγ′ (1868), σ. 147-8.

27. Fr. Wieseler, Observationes in Theogoniam Hesiodeam, Göttingen 1863 (ἐν τῷ Καταλόγῳ τῶν χειμερινῶν μαθημάτων τοῦ Πανεπιστημίου).

28. Ὁ αὐτός, Schedæ criticæ atque exegeticæ in aliquot scriptores Græcos et Latinos, αὐτ. 1869 (ἐν τῷ Καταλόγῳ τῶν θερινῶν μαθημάτων).

29. Ὁ αὐτός, Coniecturæ in Hesiodi Theogoniam et Sophoclis Antigonam, αὐτ. 1872 (ἐν τῷ Καταλόγῳ τῶν θερινῶν μαθημάτων).

Καὶ ταῦτα μὲν ταῦτα, ἄλλα δὲ σοφοὶ ἄνδρες ἐν παρόδῳ ἔγραψαν, ἅτινα ἐν τῷ οἰκείῳ τόπῳ μνημονεύσομεν. Εἴη δὲ ἡμῖν ἀποπερᾶναι ταύτην τὴν ἔκθεσιν εἰς εἶδος ὕλης κριτικῆς ὅ,τι πάλαι μετὰ πλείστης σπουδῆς ἀνεζητεῖτο καὶ ἀνιχνεύετο, ἤγουν τὰς ἐκδόσεις, αἳ φέρουσιν Ἑλληνιστῶν (οἷον Κασαυβόνου, Σκαλιγέρου καὶ ἄλλων ἧττον περιωνύμων) σημειώσεις ἐγγράφους ἐν ταῖς ᾤαις (cum notis manuscriptis).

Ὁ ἀοίδιμος Θύρσιος ἐξέδωκεν ἐν τοῖς Acta Philologorum Monacensium (Α', σ. 309-10) ὅσα Πέτρος Βικτώριος ἐκ χειρογράφου ἐξέλεξεν. Ἡμεῖς δὲ ἐξητάσαμεν αὐτοῖς ὄμμασι τὸ βιβλίον καὶ παρετηρήσαμεν, ὅτι τὴν μὲν ἀρχὴν τῆς Θεογονίας ἀντιπαρέβαλε πρὸς Laurentianus 31,32, τὰ δὲ Ἔργα πρὸς δύο χειρόγραφα, ἃ δηλοῖ τοῖς σημείοις .m. καὶ .n. Ἄλλαι σημειώσεις στεροῦνται τοιούτων σημείων. Εἰς τοιαῦτα στρέψαντες τὴν προσοχὴν τῶν φιλοβίβλων ἀναγνωστῶν, πρότερον τῶν Ἡσιοδείων ποιημάτων τὰς ὑφ' ἡμῶν προπεμφθείσας βιογραφίας κριτικῶς ἐξετάσομεν.

Τὸ μὲν οὖν πόνημα τοῦ **Τζέτζου** σῴζεται ἐν κώδιξι πολλοῖς (Vaticanus 1409, Parisinus ἀριθ. 2758 καὶ Suppl. 683, Laurentianus 31,24. σ. 64. 32, 2 σ. 62. 32, 16 σ. 235, Venetus 466, Neapolitanus 54, Monacensis 334, φύλλ. 99 Gottorpiensis, (1) Mosquensis, Cantabrigensis, ᾧ ἐχρήσατο ὁ ἐκδοὺς τὰ σχόλια ἐν Βασιλείᾳ. Δηλοῦμεν δὲ τὰς πηγὰς ταύτας διὰ τῶν ἀρχικῶν γραμμάτων. Διαφέρουσι δὲ πρῶτον πάντων τῷ ὅτι οἱ μὲν τῶν ἀντιγραφέων τὴν μετὰ τῆς εἰσηγήσεως συνέχειαν τοῦ βίου φυλάσσουσιν, οἱ δὲ κεχωρισμένως αὐτὸν ἀντιγράφουσι, μεταβάλλοντες τὴν ἀρχὴν «οὗτος οὖν ὁ Ἡσίοδος» (Ve B) ἢ «οὗτος ὁ Ἡσίοδος (L 31, 24. 32,16 Ve 466) ἢ «οὗτος Ἡσίοδος (N M) εἰς «Ἡσίοδος ὁ ποιητής» (L 32, 2) ἢ ἁπλῶς «Ἡσίοδος» (Va P). Οὐκ ἔχομεν τοσαύτην χώραν, ὥστε ἀπαριθμῆσαι τὰς διαφόρους γραφὰς τῶν χειρογράφων ἢ τὰ ἔν τισι συντετμημένα χωρία· μνημονεύομεν ὅμως, ὅτι στ. 8 ἐγράψαμεν *φησὶ* ἀντὶ τοῦ παραδεδομένου *φασί*, ὅπερ πολλάκις συγχέεται ἐν τοῖς χειρογράφοις καὶ ὅτι στ. 13 διωρθώσατο Rzach *ἐποίμανε* κατὰ τὸν κοινὸν τύπον ἀντὶ τοῦ φερομένου *ἐποίμαινε*.

(1) Ἴδε Morhof, polyhistor (ἔκδ. 1708) τ. Α', σ. 72.

Πρὸς τούτοις παραθετέον τὰ περὶ ὧν εἴπομεν σχόλια τοῦ Τζέτζου αὐτοῦ· εἰσὶ δὲ τάδε· στ. 2 (B) κατῴκουν δὲ ἐν τῇ Κύμῃ· αὕτη ἡ Κύμη περὶ τὴν «Μιτυλήνην ἐστίν, καλεῖται δὲ νῦν [ὢ τῆς τοῦ οἰκουροῦ σοφίας!] Φρικωνίς, ἡ δὲ ἑτέρα Κύμη, ὅθεν ἦν Αἴολος καὶ ἡ Σίβυλλα τῆς Ἰταλίας» (ὁ Ve παρέχει τὰ ἀπὸ τῆς *αὕτη* λέξεως ὄπισθεν τοῦ στ. 8 ποιμαίνειν)· στ. 29· α΄) «ὥσπερ καὶ ὁ Σωφρονίσκου Σωκράτης ὁ λιθοξόος καὶ ὁ ἰχθυοπώλης Δημάδης καὶ ὁ τῆς τυμπανιστρίας Αἰσχίνης, Σίμων τε ὁ σκυτεὺς καὶ ὁ λαχανεὺς Εὐριπίδης ἔτι τε Σκύθης ὁ Ἀνάχαρσις καὶ ἄμφω τὼ δούλω Αἴσωπος καὶ Ἐπίκτητος καὶ ὁ Σύρος ῥήτωρ ὁ Λουκιανὸς ὁ λιθοξόος τε καὶ ἡμίδουλος καὶ οἱ λοιποί (Va P Ve B, N ἐν τῇ ᾤᾳ, λείπει δὲ ἐν M ἅμα τοῖς ἀπὸ *ἐλισσομένας*). Ὥσπερ καὶ παρ' ἡμῖν ὁ χρυσογνώμων ἐκεῖνος Σωτήριχος καὶ ὁ νῦν περιὼν τῆς Νικομήδους (1) οἰνοκράτης ἀρχιερεύς, ὃς οὐδὲ νῦν ἐθέλει τοῦ πιθεῶνος ἐξίστασθαι, ἀλλ' ἔτι τὸν οἶνον μιγνύει καὶ μεταβάλλει τοὺς ἀμφορεῖς (Va P B)»· β΄) «ἀλλὰ ταῦτα μυθοπλαστούμενα περὶ (τῆς τοῦ B) Ἡσιόδου δαφνοφαγίας καὶ εἰσαγωγῆς (ἀγωγῆς B Ve) ἐκείνου (λείπει ἐν Ve) καὶ τῆς (λ. Ve) παιδεύσεως» (N ἐν τῇ ᾤᾳ, ἀλλὰ B καὶ Ve ταῦτα φέρουσιν ἐν τῷ πέρατι τοῦ κεφαλαίου οὕτως· «ἀλλὰ ταῦτα **μὲν τὰ** μ. κτλ.»)· γ΄) «οὕτω γοῦν καὶ οἱ νέοι πονείτωσαν· μὴ δὲ καραδοκούντων τὰς (λείπει N) τοιαύτας παρθένους νωθρευομένους· εἰ γὰρ καὶ ἐπ' αὐτοὺς ἔλθωσι, γυμνώσουσιν, ἀλλ' οὐ σοφίσουσι» (N M) ἢ «ἔνθεν τοι μή τις τῶν νέων νωκελὴς καὶ ῥᾴθυμος καὶ ἀμβλὺς περὶ λόγους τελείτω καὶ μονονουχὶ καθευδέτω τοῖς περὶ τὸν Ἡσίοδον τούτοις μύθοις ἠπατημένος (τοῦτον ἡ. μ. B) καὶ παρ' αὐτὸν ἐπελθεῖν δαφνηφορούσας τινὰς παρθένους καραδοκῶν ψωμιζούσας (τὰς B) δάφνας καὶ δεδυνημένας ἀκαριαίως σοφίζειν, ἀλλὰ τῇ ἀλληγορίᾳ ταύτῃ προσέχων καὶ πόνοις προσκείμενος καὶ πάντας τούτους τοὺς προκειμένους ἔχων (ἢ ὡς πρὸς B) παράδειγμα σπουδαιοτέρως ἐχέσθω (ἀντεχέσθω B) τῶν λόγων καὶ μόχθῳ τοὺς θησαυροὺς τῆς σοφίας λαμβάνων, ταμιευέτω εἰς τὸ προκόλπιον· παρθένους δὲ δαφνηφορούσας καὶ σοφιζούσας ἀκαριαίως, μηδεὶς ἐλπιζέτω· κἂν γὰρ καὶ παρά τινας νῦν παρθένοι δαφνηφόροι ἀφίξονται, γυμνώσουσι πάντων, ἀλλ' οὐ σοφίσουσιν· ἔνθεν τοι, πάντες νέοι, πονεῖτε καθάπερ Ἡσίοδος καὶ δρέψασθε Μουσῶν ὡς ἐκεῖνος καὶ δάφνας ἀμαράντους Ἑλικωνίτιδας» (B Ve πλὴν τῶν ἀπὸ *κἂν*)· στ. 77 «Ἀστυπαλαιεὺς δ' ἦν τῷ γένει ὁ Φάλαρις, ὡς αὐτός φησιν, ἐπιστολαῖς ταῖς αὐτοῦ, τύραννος δὲ Ἀκραγαντίνων, ἐγὼ δ' οὐκ ἀκριβολογησάμενος Ἀκραγαντῖνον ἐκάλεσα τῇ κοινῇ συνηθείᾳ χρώμενος· ἡ δὲ

(1) Ἤγουν τῆς Νικομηδείας.

Ἀστυπάλη πόλις τῆς Σάμου ἐστὶν» (Va PB) ἢ «ὃς τῷ μὲν γένει ἦν Ἀστυπαλαιεύς· ἡ δ' Ἀστυπάλη πόλις ἦν Σάμου» (N ἐν τῇ ᾤᾳ). Τὰ λοιπὰ ἀνατίθεμεν εἰς εἰδικὴν ἐξέτασιν τῶν οἳ βίους ποιητῶν συνέγραψαν, πλὴν ὅτι στ. 62 *Εὔφρονος* κάλλιον κεῖται ἢ τὸ ἐν B *Εὐφορίωνος*, ἐπειδὴ ἐκεῖνο ἐπ' ἀληθείᾳ Φωκικὸν ὄνομα ἦν (Corpus Inscriptionum 1569).

Ὁ **Ἀγὼν** (σ. 10 κέ. ἐν ἑνὶ καὶ μόνῳ κώδικι (Laurentianus 56, 1) φέρεται, οὗ ἐκ τῶν γραφῶν διωρθωσάμεθα τὰς ἑξῆς (1) Κεφ. α' (2) καὶ πρῶτοί τε Κρηϊθίδος, κεφ. β'. Biora (Μαίονα Westermann, Βιογράφοι σ. 33 - 45). Εὐ.αίων (Εὐμαίων. W Εὐγαίων), ι... τα... όρ... (Δμασαγόραν, πρβλ. Εὐστάθ. Ὀδ. μ 63, Nietzsche, ὃς ἐξέδωκε τὸν Ἀγῶνα ἐν τοῖς Acta Societatis philologæ Lipsiensis 2. A σ. 7 - 23 Μαιαγόραν, Τζέτζ. Μασ(σ)αγόραν ἢ Μεσσαγόραν), ὅθεν Rohde, Rheinisches Museum τ. λϛ', σ. 417,1 εἰκάζει Μνασαγόραν, Θεμίτην (Θεμιστῶ Barnesius), κεφ. γ' Αὐλητὴν (Αὐλητὴς ἐγώ, Ἄλτης Welcker, der epische Cyklus A', σ. 149), ὀνομασθῆναι αὐτὸν (W), κεφ. δ' Ἀδιανοῦ, κεφ. ε' Θοώσης (Αἰθούσης N) Ἁρμονίδην (Ἰαδμονίδην N, πρβλ. Ἡρόδοτ. 2, 134. Πλουτάρχ. Ἠθικ. σ. 557), Ἀπελλαῖον (Göttling, Ἀπέλλην S), Πέρσου (Ἀπελλαίου ἐγώ, Ἀπέλλου N), Αὐλίδι τῆς Βοιωτίας (Χαλκίδι τῆς Εὐβοίας N), σ. 13 ὅμως (ὅπως), αὐτοὺς προσαγορευθῆναι (αὐ. στίχους π.), σ. 14 λείπει «καναχήποδες ἵπποι» Lilius Gyraldus dialogus β', ὑψαύχενες S, κρατερώνυχες B), πτολέμου (πτολέμοιο ἐγώ, πολέμοιο S), ἰοῖσιν ἄλλων (ἰοὺς οὔλων ἤγουν ὀλεθρίων ἐγώ, ἰοῖσιν ὅλων S χυδαίως), σ. 15 οὔτ' ἄρ' (ἦ τ' ἄρα Hermann Opuscula ϛ', σ. 282, οὔτ' ἄρα ἢ εὖτ' ἄρα G), βιο (βιοῖο), σ. 16 ὁ στίχος *φεῦγον* . . . κεῖται πρὸ τοῦ ἄσμενοι... (N), τοὺς τέσσαρας στίχους N ἀπένειμε τῷ Ἡσιόδῳ, G δὲ τὸν α' γ' δ', H δὲ (σ. 284) τὸν α' καὶ β', σ. 17 κρεῶν δέκα δύο μυριάδες εὖν (ἐξηλείψαμεν ὗν, τῶν πρὸ ἡμῶν ἐκβαλόντων συνάμα ε), ὑψίστοι (-οιο), ἐναρμόζον (B), [σ. 18 γράψον ἐν τῷ κειμένῳ· εὔχεσθαι δὲ θεοῖς **ὅ,τι**], ἑαυτῷ (ἐῷ θυμῷ N, ἑαυτῷ ἀεὶ S), ἔχειν σ' (ἔχεις Hutchinson ἐν τῇ τοῦ Robinson ἐκδόσει), βροτοῖσι (βροτοῖς B, βροτῶν ποίοις N), ἔτι (ἐπὶ), ἡσθέντα (ἡ. τε S), σ. 19 ἀμητοῖο (ἀμήτου), σ. 19 οἳ δ' ἄγγεα, γυμνός (-ούς) θ' ἀμάειν, ἀσπὶς δ' ἄρ, κεφ. ϛ', σ. 20 ὅσην τ' σ. 21 ἐνηπόδῳ (ἐν Ἡσιόδῳ G, ἐν ἀνδραπόδῳ B), αἰτίᾳ ἀνελόντας (αἰ. αὐτὸν

(1) Τὸ τοῦ διορθωσαμένου ὄνομα ἐν παρενθέσει προστίθεται πλὴν Ἑρρίκου Στεφάνου, ὃς τὸν Ἀγῶνα πρῶτος ἐξέδωκε τῷ 1573.

(2) Ἐγὼ οὐκ αἴτιος τοῦ ὅτι οἱ τῶν στίχων ἀριθμοὶ λείπουσι, σημειωσάμενος αὐτοὺς ἐν τῷ πρωτοτύπῳ.

ἀν. N, αἰ. ἀνελθόντας S, αἰ. ἐναλόντας Friedel), δημώδους (Δημωνίδου ἐγώ, δημώδους, Τρωΐλου N χρῆσιν ποιούμενος ὅσων Πλούταρχος ἐν τῷ τῶν Ἑπτὰ σοφῶν συμποσίῳ κ. 19 λέγει), κ. ζ′, σ. 21 ζ (‚ζ Hermann), σ. 22 δῶρον τόδ' (B), μϐφ καὶ μ‚ε Μ‚ϐ′ καὶ Μ‚εφ′ N), νίφῃσι (νείφῃσι ἐγώ, ἴδε Gustav Meyer, Grammatik σ. 128 τῆς ϐ′ ἐκδ.), σ. 23 ἄλλην (καὶ ἄλλην H), καλλιεπίῃ σοφίῃ τε (-εῖ -είῃ), ποινῆς (-ὴν B), σ. 24 λιπόμεθα, ὅσ' ἕλομεν. Τὰ λοιπὰ οὐ μεταϐάλλομεν, ἐπειδὴ ὅσα ἄλλοι πρὸ ἡμῶν προεϐάλοντο πολλάκις οὐκ ἀναγκαῖα ἡγησάμεθα, οἷον τὸν ἐν σ. 14 πληθυντικὸν τύπον κορέσθην (=ἐκορέσθησαν) εὑρήσομεν ὀλίγον παρακατιόντες, ὅτι ἐν τοῖς Ἡσιόδου καὶ Ὁμήρου ἀντιγράφοις φέρεται καὶ ἡ φράσις «ἥμενοι οὕτως» (σ. 16) ἀναπολεῖ ἡμῖν πολλὰς ὁμοιοτρόπους, ἐν αἷς τὸ ἐπίρρημα κατ' εὐφημισμὸν κεῖται. — Εἴπερ ὁ Ἀγὼν συνεγράφη κατὰ τὸν δεύτερον μ. X. αἰῶνα, Φιλόστρατος ὁ ῥήτωρ ἐν τῷ ἡρωϊκῷ αὐτὸν αἰνίττεται (18, 2): «Ὅτε δὴ ᾖσαι ἄμφω ἐν Χαλκίδι, τὸν μὲν τὰ ἑπτὰ (γρ. ἕνδεκα) ἔπη τὰ περὶ τοῖν Αἰάντοιν καὶ ὡς αἱ φάλαγγες αὐτοῖς ἀραρυῖαί τε ἦσαν καὶ καρτεραί, τὸν δὲ τὰ πρὸς τὸν ἀδελφὸν τὸν ἑαυτοῦ Πέρσην» κτλ.

Ἐν τῇ **Πλουτάρχου** ἱστορίᾳ (σ. 24) Wilamowitz (ἐν τῷ Ἑρμῇ τ. ιδ′, σ. 161) ἀθετεῖ «Ὁμήρου καὶ Ἡσιόδου». Ἐν τῷ **Σουΐδᾳ** ἄρθρῳ ἀπεδεξάμεθα τὴν διόρθωσιν «προτερεῖν» ἀντὶ τῆς παραδεδομένης γραφῆς «συμπροτερεῖν», συμφωνοῦντες ἀπροαιρέτως τῷ Wolff, ὅς συνέλεξε τὰ Πορφυρίου περὶ τῶν χρηστηρίων ἀποσπάσματα (σ. 26). Σουΐδας ἢ ὁ ἐξ οὗ ἠρύσατο Ἡσύχιος ὁ Ἰλλούστριος τὰ τελευταῖα προσέθηκεν ἐξ ἄλλης πηγῆς, διὸ ἀσυνδέτως εἴρηκεν.

Ἀλλὰ καιρὸς ἤδη τοῦ μεταϐῆναι ἀπὸ τῶν περὶ τὸν Ἡσίοδον πρὸς τὰ ποιήματα αὐτά. Ἵνα μὴ παρεκϐῇ τὸ παράρτημα τοὺς καλῶς κειμένους ὅρους, συνελέξαμεν τὰς γενικωτέρας σημειώσεις εἰς προοίμιόν τι, ἐλπίζοντες ἅμα ὅτι διὰ τούτων τὴν μέθοδον τῆς κρίσεως ἐπιδείξομεν.

Ὁ διορθώσειν μέλλων τὰ Ἡσιόδου ποιήματα παλαίει πρὸς δυσλυτότερα προσκόμματα ἢ ὁ Ὁμηριστής, ἐπειδὴ τὸ σπουδαιότατον ὄργανον τοῦ κριτικοῦ, τὰ ποιήματα αὐτὰ καθ' αὐτὰ πολλῷ ὀλιγωτέρους στίχους περιέχουσιν, ὥστε καὶ πολλῷ σπανιώτερον παράλληλα χωρία εὑρίσκονται. Ὅθεν πλειστάκις ἀναγκάζεται βλέπειν πέραν πρὸς τοὺς λοιποὺς ἐποποιούς. Ἀλλὰ τίνας χρὴ ἐπερωτῆσαι ὡς βεϐαίους συμμάρτυρας; Ἐκ τῶν κατὰ τὸ μᾶλλον ἢ ἧττον συγχρονούντων ἐποποιῶν ἔχομεν λιτώτατα θρύμματα, πρὸς ἅτινα συνδετέον τινὰς τῶν Ὁμηρικῶν λεγομένων Ὕμνων, οἵπερ ὅμως διεφθάρησαν ὑπό τε τῶν ἀντιγραφέων καὶ ἐκ-

δοτῶν. Ὁ Μαιονίδης πολλάκις μὲν συμβοηθεῖ πρὸς δικαιολογίαν γραφῆς διαφισβητουμένης, ἄλλως δὲ πλανᾷ μᾶλλον ἢ καθοδηγεῖ, διότι Ἡσίοδος ὡς μήτε σύγχρονος μήτε ὁμόφυλος ὢν αὐτοῦ, εἰς πολλὰ παραλλάσσει. Πρὸς τούτοις οἱ μεθύστερον ἢ ἀντιγράψαντες ἢ διορθώσαντες τὰ ποιήματα αὐτοῦ, πολλὰ χωρία μετέβαλον καὶ μετέπλασαν καθ' Ὁμηρικὰ παραδείγματα, μάλιστα δὲ κατ' ἔπεα πτερόεντά, ὅσα ἔμαθον ἐν τοῖς διδασκαλείοις. Ταὐτὸ ἐγένετο ἐν ταῖς ἄλλαις μεθ' Ὅμηρον ἐποποιίαις (1), ὥστε τὸ ὅτι ὁ στίχος ἔν τισι χειρογράφοις Ὁμηρικόν τινα μᾶλλον ἀντηχεῖ ἢ ἐν ἄλλοις τεκμήριον μᾶλλον ὀνθυλεύσεως ἤπερ γνησίας γραφῆς.

Ἡ κριτικὴ ὕλη, ὡς εἴπομεν, συνέστηκε α') ἐκ γραφῶν τῶν χειρογράφων (2), β') ἐκ τῶν λημμάτων τῶν σχολιαστῶν (πλὴν τῶν τοῦ λήγοντος μεσαιῶνος Βυζαντίνων), γ') ἐξ ὧν παρέχουσιν οἱ στίχους ἀναφέροντες συγγραφεῖς, οἵτινες πολλαχοῦ ἐξαπατῶνται τῇ μνήμῃ, δ') ἐκ τῶν παραλλήλων χωρίων, ἅτινα διαμερίσειέ τις ἂν εἰς πρωτότυπα καὶ κακόζηλα (3) καὶ ἁπλῶς παράλληλα. Παράδοξον ἂν ἦν, εἰ ἀνεφέρομεν τὰ γραφικῶς ἢ γραμματικῶς ἡμαρτημένα ἅπαντα. Διὸ παραλείπομεν τὰ ἑξῆς:

α') τοὺς ἐν τῇ συνηθείᾳ τύπους, οἳ παρὰ πᾶσι τοῖς ποιηταῖς πολλάκις ἀντικατέστησαν τοὺς ἐπικούς, π. χ. ὀρχοῦνται Θ. 4, πρῶτα 24, ἴσμεν 27, θεῶν 41, αὖθις 50, (4) τοὺς εἰς οις καὶ αις δοτικοὺς κτλ.

β') τὰς παρατροπὰς τῶν σπανίων τύπων, ὅσας ἀρίδηλον, ὅτι οἱ Βυζαντῖνοι διέπραξαν, οἷον ἔλον ἀντὶ τοῦ ἔδον Θ. 30, καὶ πεπατημένα σφάλματα, λ. χ. οὐδέποτε, οἶμαι, *ἀρότου* ἐν ἅπασι κεῖται, πολλῶν γραφόντων *ἀρότρου*.

γ') τοὺς ὑπερεπικοὺς τύπους, οἵτινες ἀναιροῦσι τὸ μέτρον, λ.χ. ἀπασάων Θ. 79, λαοῖσι 88, Νυμφάων 130, Ὠκεανοῖο 368, Ἀΐδαο 774, Περσεφόνειαν 913, Ζηνὸς 537 (καὶ ἄλλοθι, ἴδε D'Orville, Vannus Critica σ. 189), χρύσειος 578, ἐνὶ 306.

δ') τὰ ἐκ τῆς προφορᾶς ἁμαρτήματα, ἤγουν τὸ συγχέεσθαι ι,

(1) Λ. χ. ἐν ταῖς Ὀρφικαῖς, ἴδε Ἑρμᾶννον εἰς Ἀργοναυτ. 442. 505. 515. 1251. 1304.

(2) Ἃς προφέρομεν ἀνωνύμως, τὸ μὲν ὅτι ἄλλος ἐκδότης ἄλλοις σημείοις χρῆται, τὸ δὲ ἐπειδὴ περὶ τῶν πλείστων χειρογράφων αἱ ἀντιπαραβολαὶ (collationes) ἀνίκανοι. Αὐτοὶ γὰρ παρετηρήσαμεν, ὅτι τὰ δὴ λεγόμενα «ἅπαξ γραφόμενα» κατὰ τὸ πλεῖστον μέρος ἀπαντῶσιν ἐν δύο καὶ τρισὶ χειρογράφοις. Φειδώμεθα λοιπὸν τοῦ χώρου!

(3) Ioann. Rosenboom, Quaestiones de Orphei Argonauticorum elocutione (Dissertationes philologæ Halenses τ. θ', σ. 69-128) σ. 92-4. Αἱ παρὰ Βιργιλίῳ ἀντηχήσεις συνειλεγμέναι εἰσὶν ἐν τῇ μεγάλῃ ὑπὸ Ribbeck ἐκδόσει.

(4) Ἐν τοιούτοις οἱ ἀντιγραφεῖς ἥκιστα ἀξιόπιστοί εἰσι, πλὴν ὁ γράψας τὸν περιώνυμον Λαυρεντιανὸν κώδικα ἐν τῷ Ἀπολλωνίου τοῦ Ῥοδίου κειμένῳ πανταχοῦ σχεδὸν (πλὴν 2,574. 3,741) σῴζει τὸ αὖτις.

η, ῃ, ει, οι (καὶ λοιπὸν τὰς τρεῖς τοῦ ῥήματος κλίσεις κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον) υ—αι, ε (ἴδε Κόντον ἐν τῷ Λογίῳ Ἑρμῇ τ. Ε΄, σ. 94 κέ.) — ο, ω (π. χ. Ποσειδάονα 15, ἕδων 30, ὥσπερ καὶ *ἔγνων* γράφεται, περὶ οὗ ἔπιθι Nauck ἐν τοῖς Mélanges gréco-romaines τ. Δ΄, σ. 25-6) — ου καὶ ω, οἷον πλήθουσι Ἔ. 461, νεουμένη 462 — β, μβ οἷον ἐβασίλευε καὶ ἐμβασίλευε—σ, σσ—ρ, ρρ καὶ ἄλλους διπλασιασμούς, π. χ. Ἔ. 2 ἐννέπετε ἢ ἐνέπετε, 22 ἀρόμεναι, ἀρόμμεναι, ἀρώμεναι (1) — στ καὶ οθ, π. χ. πρόστ' Θ. 746 — γγ, γκ οἷον Λυγγῆος Ἀσπ. 327 — ἔτι δὲ τὴν διαφορὰν τῶν πνευμάτων.

ε΄) τοὺς διαφέροντας τόνους, διότι οὗτοί τε καὶ τὰ πνεύματα οὐκ ἐκ παλαιᾶς παραδόσεως ἐγράφοντο καὶ ἐν τοῖς παλαιοτάτοις ἀντιγράφοις θαυμαστὸν ὅσον ἡμάρτηνται.

ϛ΄) τὰς ἐμβεβλημένας παρὰ τὸ μέτρον ἐξηγητικὰς λέξεις οἷον Θ. 7 ἀκροτάτῳ **ἐν** Ἑλικῶνι, 28 εὖτ' **ἂν** ἐθέλωμεν.

ζ΄) τὸ ἔν τισι παραλείπεσθαι ἢ προστίθεσθαι *τε*, π. χ. Θ. 34 πρῶτον (τε) καὶ ὕστατον, 43 δώματα (τ') ἀθανάτων ἢ καὶ «δώματ' ἀθανάτων» 50 ἀνθρώπων γένος, καὶ ἐξ ἐναντίας 45. Γαῖά τε καὶ Οὐρανός. Ὡσαύτως οὐ μνημονεύομεν τὰς στερεοτύπους συγχύσεις τῶν μορίων *δὲ* καὶ *τὲ* (π. χ. Θ. 123. 124) ἢ τὸ ὅτι οἱ ἀναφέροντες ἀξίωμά τι παραλείπουσι τὴν ἐν τῷ κειμένῳ σύνδεσιν. Ὁ ἐπιστάμενος τὴν νέαν γλῶσσαν οὐκ ἀπορήσει διὰ τί πανταχοῦ οὔτε καὶ οὐδὲ ἢ μήτε καὶ μηδὲ εἰκῇ γράφονται.

η΄) τὸ ἐκπεσεῖν στίχους διὰ τὸ *ὁμοίαρκτον* ἢ *ὁμοιοτέλευτον*, π. χ. Θ. 27. 833. 941 κέ. καὶ 66-7. 293-4. 339-40. 560-1. 737, 753. Ἦσαν δὲ καὶ οἳ ἐντὸς τῶν στίχων ἀπεπλανήθησαν τῷ ὄμματι πρὸς τὴν κάτω λέξιν π. χ. ἀπὸ τοῦ ἀζόμενος (532) πρὸς τὸ χωόμενος (533) ἢ ἀπὸ τοῦ ῥα (550) πρὸς ταὐτὸ (551) πρβλ. καὶ 581-2. Ἀσπ. 120-1. 181-2.

θ΄) τὰ τρανὰ ἁμαρτήματα, οἷστισιν ἅπας τις γραφεὺς ἂν περιπέσοι.

ι΄) τὰ γενόμενα ἐκ τῶν συντόμως γεγραμμένων καταλήξεων, οἷον Ἀσπ. 161 ποιήσασα καὶ ποιήσασθαι, 180 μακρὴν καὶ μακρόν. Ἐξ ὁμοίας αἰτίας *εμ* ἐκλαμβάνεται *αμ* π. χ. Ἀσπ. 109 ἀμπελάσαντες.

Οὕτως ἐπετέμομεν τὴν δαψιλῆ ὕλην συστηματικῶς, ἄλλα δὲ ἐπίσης ἀνακρῖναι προειλόμεθα ἐνταῦθα, ἅτε συχνότερον ἀπαντῶντα ἐν τοῖς ποιήμασιν. Πρῶτον μὲν οὖν ἐκτίθεμεν τοὺς κανόνας, καθ' οὓς ἐσχηματίσαμεν τὴν **ὀρθογραφίαν.** Βεβαιοῦται ἤδη,

(1) Οἱ Βοιωτοὶ μάλιστα περὶ αὐτοὺς ἀβέβαιοι ἦσαν, ὡς γινώσκομεν ἐκ τῶν ἐπιγραφῶν (πρβλ. Ἀγαθθὼ Collitz 1030, Ἀφθοννὼ 1035, Παρθεννὼ 1060, Φιλλὼ 1065, Βίοττος 1098).

ὅτι οὐδὲν χειρόγραφον, ὅσον καὶ ἂν ᾖ παλαιὸν καὶ ἐπιμελές, τηρεῖ τὴν ὀρθογραφίαν, ἥτινι ἐχρήσατο ὁ συγγραφεὺς αὐτός. Οὐδὲ οἱ τῶν παλαιῶν γραμματικῶν κανόνες ἄγουσιν ἡμᾶς ἐγγύτερον τῆς ἀληθείας· ἐκεῖνοι γὰρ παρήγαγον αὐτοὺς ὡς ἐπὶ τὸ πλεῖστον διὰ μεθόδου, ἥτις νῦν γέλωτ' ἂν κινήσειεν. Ἀντὶ τούτων λοιπὸν ἀρυόμεθα τοὺς ὀρθογραφικοὺς κανόνας ἐκ τῶν ἐπιγραφῶν καὶ ἐξ ἐπιστημονικῶν ἐτυμολογιῶν. Ὅθεν γραπτέον:

α') Ὡς πρὸς τὰ πνεύματα

*ἀθρόος*, *ἀκοίτης* καὶ *ἄκοιτις*, *ἄλοχος* διότι ἡ πρόθεσις ἐγένετο ἐκ τοῦ ΣΑ, τὸ δὲ ἀρκτικὸν σῖγμα ἐγέννησε πνεῦμα δασύ. Περὶ τοῦ πρώτου οἱ μεταγενέστεροι ἀμφέβαλλον ὡς ἀκολουθοῦντος τοῦ δασέος θῆτα (ἴδε Jan, Anecdota Græca σ. κα', La Roche εἰς Ὀδυσσ. α 27, Hoffmann, Φ und X der Ilias σ. 125-6), οὐ πεισθέντες Ἀριστάρχῳ (Ἡρωδιαν. εἰς Μ 391) οὐδὲ τοῖς ἀρχαίοις τῶν Ἀττικῶν ἀντιγράφοις (Εὐστάθ. Ὀδ. α 27, πρβλ. Σχόλ. Ἀριστοφ. Ἀχαρν. 26 προπαροξύνειν δὲ δεῖ τὸ ὄνομα καὶ δασύνειν τὴν πρώτην συλλαβὴν Ἀττικῶς) οὐδὲ τοῖς παραλλήλοις ὑφαίνω, ἀθύρω (Ἀττικῶς), ἀφή. Ἴδε Riemann ἐν τῷ Bulletin de correspondance hellénique γ', σ. 492.

*ἀνύω*, *ἀνύτω* ἅτε συγγενὲς τῷ Ἰνδικῷ sanôti· ἔπιθι καὶ Μοῖριν σ. 198, 14 καὶ Schanz ἐν τῇ Πλάτωνος ἐκδόσει τ. Ε', μ. α' προοιμ. § 1.

*ἐάων*, *ἐΰς* καὶ *εἴκελος ἴκελος*, ἐπειδὴ πάλαι ποτὲ ἤρχοντο ἀπὸ τοῦ ἁπλοῦ διγάμματος, οὐχὶ σF, οἷον ἕ. Ἴδε Spitzner εἰς Ἰλ. Β 478. Ν 53.

*ἦκα*, πρὸς ἀναλογίαν τοῦ ἥσσων καὶ ἥκιστος. «Τοῦτο δὲ παρὰ τῷ ποιητῇ ψιλοῦται καὶ δηλοῖ τὸ ἐλάσσων, παρὰ δὲ Ἀττικοῖς δασύνεται καὶ σημαίνει τὸ οὐδὲ ὅλως» (Ἡρωδιανὸς Σχόλ. Ἰλ. Ψ 531). Τὸ διάφορον ἄρα πνεῦμα ἐκφράσαι εἶχε τῆς σημασίας διαφοράν, ἥτις τῷ ὄντι οὐχ ὑπῆρχεν.

*ἵημι* καὶ *ἴημι*. Οὐ λέγομεν, ἀντὶ τοῦ, φοβούμενοι τοὺς τῆς παραδόσεως ὀπαδούς, ἀλλὰ παραπέμπομεν τὸν ἀναγνώστην εἰς Θ. 830 ὄπ' ἱεῖσαι. Πρὸς τούτοις τὸ δασὺ πνεῦμα οὐ δικαιολογεῖται διὰ τῆς ἐτυμολογίας.

β') περὶ τῆς διφθόγου ει καὶ τοῦ ἁπλοῦ ἰῶτα σημειωτέον, ὅτι ὀρθὸν

*γλαυκειόω*, ὥσπερ *γλαυκειοῦς* γράφεται ἐν Ἀττικῇ ἐπιγραφῇ (Corpus Inscr. Atticarum τ. Β', 759 II, 11)· περὶ τῶν ἀναλόγων τύπων ἔγραψε Meisterhans, Grammatik der attischen Inschriften σ. 65.

*μειξ-*, οὐχὶ μιξ-κατὰ τὰς Ἀττικὰς ἐπιγραφάς (Meisterhans σ. 25). Καὶ ἔξω Ἀθηνῶν εὑρίσκομεν Μεῖξις (=σμεῖξις) ἐν ἀρ-

χαίᾳ τῆς Κερκύρας ἐπιγραφῇ (Röhl Inscr. Antiquissimæ 344).

*νείσομαι*, ὥσπερ γράφεται παρ' Ὁμήρῳ ὑπὸ τῶν «παλαιῶν» (Εὐστάθ. Ὀδ. ι 58), ἐν τῷ Laurentianus τῶν Ἀπολλωνίου Ἀργοναυτικῶν καὶ ἄλλοθι, π.χ. Ἕ. 237 ἐν τῷ Turicensis Ἰλ. Ν 186 γρ., Ἡσύχ. λ. ἐπινείσεται Ἄρατ. 21 γρ. Ὁ πρῶτος τῆς διαφθορᾶς βαθμὸς ἔνθεν μὲν *νίσομαι* (π.χ. Kaibel Ἐπιγρ. 208,2 Ἀνθολογ. 7,566,3. 9,118,2. Ἰλ. Ν 186 γρ. Ψ 76) ἔνθεν δὲ *νείσσομαι* (Ἀνθολογ. 7,566,3 κατὰ Πλανούδην, καὶ Μοσχόπουλος εἰς Ἕ. 237), ὁ δὲ δεύτερος *νίσσομαι* (Εὐστάθ. Ἰλ. Ψ 76. Π 779), ὅπερ οὐδεὶς γραμματικὸς ἐξηγεῖσθαι δύναται. Πρβλ. Ἐτυμολογ. Μέγ. σ. 606,12 καὶ Ἐτυμολογ. Γουδιαν. στήλ. 410 λ. νίσομαι «ὤφειλε διὰ τῆς ει διφθόγγου..., ἀλλ' ἡ παράδοσις ἔχει τὸ ι θεματικόν». Ἧς παραδόσεως ἡ πλημμελὴς αἰτία γνωρίζεται ἐκ τῶν εἰς τὰ Ἀράτεια 21 σχολίων. Ἄλλοι ἀπένειμαν τὸ μὲν ἁπλοῦν σ τῷ μέλλοντι, τὸ δὲ διπλοῦν τῷ ἐνεστῶτι (Εὐστάθ. Ἰλ. Ψ 76). Πρβλ. Valckenär εἰς Θεόκριτον 7, 25. Ruhnken Epistola Critica Α', σ. 99, Blomfield εἰς Αἰσχύλ. Προμηθ. 540.

*τείω* καὶ *τεισ-*, ὡς ἀποδεικνύουσιν οἱ λίθοι (Meisterhans σ. 24, Meyer Grammatik, σ. 128.

*Χίρων*, καθάπερ τὸ ὄνομα γέγραπται ἐπὶ τῶν ἀρχαίων ἀγγείων πάντων (Kretschmer, Kuhns Zeitschrift κθ', σ. 419). Ἡ διὰ τῆς διφθόγγου γραφὴ ἐνίκησεν, ὅτι παρέχει εὔκολον ἐτυμολογίαν.

γ') Τὸ ἰῶτα δεῖ προσκεῖσθαι ἐν ταῖς ἑξῆς λέξεσι·

*θνῄσκω* καὶ *θρῴσκω*, ὥσπερ ἐν τῷ Venetus A τῆς Ἰλιάδος καὶ τῷ Laurentianus τοῦ Ἀπολλωνίου φέρονται. Παράθες καὶ Κουμανούδη Ἐπιγρ. Ἐπιτυμβίδ. 28 θνηισκον, Ἐτυμολ. Μέγ. λ. θνῄσκω σ. 452,29 κέ. «ὁ Δίδυμος χωρὶς τοῦ ι.., οἱ δὲ λέγουσι σὺν τῷ ι, ὅτι οἱ Αἰολεῖς θναίσκω καὶ μναίσκω λέγουσι διὰ τοῦ αι διφθόγγου . . . ἡ παράδοσις ἔχει τὸ ι», Anecdota Oxoniensia Α', σ. 196,32. 203,20 καὶ Parisina τ. Γ', σ. 323,26, Εὐστάθ. Ἰλ. Β 702, Usener Rheinisches Museum 1865, σ. 245 κέ.

*θυίω*, ἂν ᾖ συνώνυμον τοῦ μαίνομαι. Ἡ γραφὴ αὕτη ἀναγκαία πρὸς διάκρισιν τῶν δύο ῥημάτων· κεῖται λοιπὸν ἐν τῷ περιωνύμῳ Venetus A τῆς Ἰλιάδος (Φ 234. Ψ 230) καὶ τῷ Laurentianus τῶν Ἀργοναυτικῶν (3,754) καὶ παραδέδοται Ὕμν. Ὁμηρ. 3,560. Ὁ δὲ μεῖζον, ὁ πάπυρος ἐκεῖνος ἐτήρησεν αὐτὸ τὸ *θυῖον* Θ. 131. Τὸ κύριον ὄνομα *Θυίων* εὑρίσκεται ἐν τῷ Corpus Inscr. Β', προσθ. 1796 ϐ καὶ τῷ «Παρνασσῷ» 1880, σ. 735-6.

*σῴζω*, ὥσπερ ἐν ταῖς πρὸ τοῦ 160 π. Χ. ἐπιγραφαῖς (Meist. σ. 87), Ἀνθολογ. 5,62. 6,194, Σοφοκλ. Οἰδίπ. Κολων. 566. 1210, «παράδοσις» δὲ ὀνομάζεται ἐν Ἐτυμολ. Μεγ. σ. 741, 27 καὶ Ζωναρᾶ Λεξ. σ. 1706. Ἔπιθι καὶ Usener, Jahrbücher für Philologie τ. ϟα', σ. 240-1. Ἐπίσης τὰ εἰς η καταλήγοντα ἐπιρρήματα ἔχουσι τὸ ἰῶτα προσγεγραμμένα (ἔπιθι Usener αὐτ., La Roche ἐν τῷ Αὐστριακῷ Περιοδικῷ 1865, σ. 97 καὶ Meisterh. σ. 64).

δ') τέλος δὲ γραπτέον *γίγνομαι* καὶ *γιγνώσκω*, ἐπειδὴ ἡ τοῦ δευτέρου γάμμα ἔκθλιψις οὐκ ἀπαντᾷ πρότερον ἢ μετὰ τὴν κατ' ἐξοχὴν Ἀττικὴν περίοδον (ἴδε Meist. σ. 84-5)· διὸ Ἡρακλείδης (Εὐστάθ. Ὀδ. μ 295) καὶ Μοῖρις (σ. 108) κατέκριναν τὸ γίνομαι καὶ γινώσκω.

*ἴσσος* ἀντὶ τοῦ κοινῶς φερομένου ἐν ταῖς ἐκδόσεσιν *ἴσος*· ὃ ἐγένετο ἐκ τοῦ ϜίσϜος, ὅθεν ἐν Κρητικαῖς καὶ Λεσβικαῖς ἐπιγραφαῖς γράφεται *ἴσσος*, καὶ ἐπιδοκιμάζεται ὑπὸ τοῦ Gustav Meyer ἐν § 268 καὶ 292 τῆς Γραμματικῆς. Οὕτω δὴ εὑρίσκομεν στ. 896 τὴν γραφὴν *ἶσσον* καὶ Ὕμν. Ὁμηρ. 2,311 ἐν ἅπασι τοῖς χειρογράφοις *εἴσσης*. Ἡ γραφὴ εὐκολύνει ἅμα τὴν ἐξήγησιν τοῦ βραχέος σχήματος *ἴσος*, ὅπερ εὑρίσκεται τὸ πρῶτον Ε. 752, καθάπερ ἐκ τοῦ *μέσσος* ἐγένετο *μέσος*.

*φαιδύνω* ἀντὶ τοῦ παραδεδομένου φαιδρύνω, ὃ ἔλαβε τὸ ῥῶ ἀπὸ τοῦ φαιδρὸς ἐπιθέτου (ὥσπερ ἐρυθραίνομαι γρ. Ἀράτ. Διοσ. 103 καὶ Ὀππιαν. Ἁλιευτ. 5, 271 καὶ ἀλιτραίνεται γρ. Ἔ. 330). Πρβλ. φαιδυντὴς Corpus Inscr. Atticarum τ. Γ', 283. 291. 928. 3859. Μετὰ τοῦ ρ γράφεται Kaibel Ἐπιγράμμ. 1075,6 καὶ Corpus Inscr. Græc. 8639 = Kaibel 1064,11.

Ὅσον δὲ πρὸς τοὺς καθαρῶς **ἐπικοὺς τύπους,** οἱ Ἀρίσταρχοι ἐδίσταζον, πότερον τήνδε καὶ τήνδε λέξιν γράφεσθαι δεῖ διὰ τοῦ ἦτα ἢ τῆς διφθόγγου, π. χ. Ἰλ. Β 517: Φωκείων ἢ Φωκήων. Παράδοσις γὰρ βεβαία οὐχ ὑπῆρχεν, ἔνθεν μὲν ἐπειδὴ ε καὶ ει καὶ η παρὰ τοῖς παλαιοῖς Ἀττικοῖς καὶ ἄλλοις τῶν Ἑλλήνων ἐγράφοντο τῷ αὐτῷ γράμματι Ε, ἔνθεν δὲ ἀφοῦ τὸ ει καὶ τὸ η συνέπεσον εἰς τὸν αὐτὸν φθόγγον. Δεύτερον δέ, τὰ διπλᾶ σύμφωνα ὑπὸ τῶν Ἑλλήνων οὐδέποτε, καὶ ἥκιστα ἐν τοῖς ἀρχαίοις γράμμασιν, ἠκριβολογήθησαν· ὅθεν ἐπὶ τῶν λίθων εὑρίσκομεν λόγου χάριν *ὑποδείσας* (⏑ – – –, Kaibel Ἐπιγράμμ. 61,85) οὐχὶ ὑποδδείσας καὶ *εὐμελίαο* (⏑ – ⏑ ⏑ – ⏑, αὐτ. 537, 5) οὐχὶ ἐϋμμελίαο. Ὁ νοῦς ἄρα ἐν τοιούτοις πλείονος ἄξιος ἢ αἱ παραδεδομέναι γραφαί. Ἀναγινώσκομεν λοιπὸν κατὰ τοὺς φθογγολογικοὺς νόμους *ἥαται* (ἄλλως εἵαται), *τεθνηώς* (ἄλλως τεθνειὼς ἤ, ὥσπερ ἐν τῷ Venetus A τεθνηιώς), *ἀπεῦρα* παρὰ τὸ ἐν ἅπασιν

*ἀπηύρα*, ὅπερ τετύπωται κατὰ τὸν ἐνεστῶτα ἀπαυράω· τῷ ὄντι δὲ ἡ ῥίζα FΕΡ ἦν, ὥστε ὁ δεύτερος ἀόριστος τὴν μὲν ὁριστικὴν εἶχεν *ἀπεῦρα* = ἀπέFρα, τὴν δὲ μετοχὴν *ἀπούρας* = ἀπόFρας. Ἐκ τῶν αὐτῶν αἰτιῶν ἐμέλλομεν γράψαι, ὅσαι συλλαβαὶ ἐξ ἀνάγκης χάριν τοῦ μέτρου διεκτέτανται, οἷον *Ἡρακλεείη* (‒ ‒ ⏖ ‒ ‒), *γενόμενος* (⏖ ⏑ ⏑ ‒), *ἐν* πρὸ δύο βραχειῶν συλλαβῶν (Θ. 290. 304) (1) διὰ τῶν βραχέων φωνηέντων, ὑποδηλοῦντες τὸ μετρικὸν πάθος γράμμασι προσκλινέσιν (ἀλλὰ ἐν τοῖς πρώτοις τοὐλάχιστον φύλλοις οὐκ ἐξετυπώθησαν τοιουτοτρόπως). Οἱ ἀρχαιότατοι τὰ ἀρκτικὰ γράμματα, ὧν ἔμπροσθεν τὸ βραχὺ φωνῆεν διεξετείνετο, ἐδάσυνον καὶ μετὰ τοῦ δασέος πνεύματος ἔγραφον, ὡς μαρτυροῦσι *λαβὼν* ἐφ' ὅρου τῶν Αἰγινητῶν (Röhl, Inscr. Antiquissimæ 360), ἐπὶ δὲ μελανοχρόων ἀγγείων τῶν Ἀθηναίων Λάβετος (Benndorf, griechische und sicilische Vasenbilder πίν. 29,3), Λέων (Ἐφημερ. Ἀρχαιολ. 1886, πίν. 7), Μόψος (Corpus Inscr. 7382). Ἴσως ποτὲ τολμήσει τις ταῦτα εἰσαγαγεῖν εἰς τὰς τῶν ἀρχαίων ποιητῶν ἐκδόσεις.

Πρὸς τὰς **συναλοιφὰς** οἱ πλεῖστοι κριτικοὶ καθ' ἡμᾶς οὕτως ἔχουσιν, ὥστε ἐφ' ὅσον δυνατὸν διαστέλλουσιν αὐτὰς καὶ τοὐλάχιστον τὴν συνίζησιν προαιροῦνται τῆς συναλοιφῆς. Οὓς σεβόμενοι ὡς ἀγχίνως εἰσορμῶντας εἰς τὰ μυστήρια τῆς ἀρχαίας γλώσσης, οὐ τολμῶμεν ἐκπλεῦσαι πρὸς ἀγνώστους χώρας ἐν τῷδε τῷ λέμβῳ. Διὸ ἀφίεμεν τὰς συναλοιφὰς σχεδὸν ἀνεπάφους, κατανοήσαντες ἅμα, ὅτι ἀδύνατον ἀποπερατῶσαι τὴν μέθοδον ταύτην ἄνευ σιδήρου καὶ πυρός, καὶ ὑποπτεύσαντες μὴ συναλείφῃ ἄλλοτε μὲν ὁ ποιητὴς ἐξεπίτηδες, ἄλλοτε δὲ διαιρῇ χάριν εὐφωνίας. Οὐδενὸς ἧττον εὑρήσεις ἐν τῇ ἐκδόσει ἡμῶν *ἀάτη* καὶ *ἄατος* διεσταλμένα, διότι τῶν γραφῶν τούτων ὑπολείμματα σῴζονται Ἔ. 352 (: ἴσ' ἀάτῃσι, ἐν τῷ παπύρῳ) καὶ Θ. 714, Ἀσπ. 59 (κατὰ τὸν Ἀμβροσιανὸν κώδικα), Ἀπολλών. Ῥόδ. 1,459, Ἡσύχ. λ. ἄατος. Πρβλ. καὶ Nauck (16) τόμ. Γ', σ. 231 κέ. **Συνιζήσεις** δὲ ἀποδεχόμεθα πολλάς, ἐπειδὴ τοιαῦται ἐν τοῖς ἀρχαιοτάτοις ἐπιγράμμασιν ἤδη, ἅτινα ἐφύλαξαν λίθοι ἀμετάβλητα, εὑρίσκονται· λ. χ. Οἰανθέος (Kaibel Ἐπιγρ. 179,2). Περὶ δὲ τῆς προφορᾶς αὐτῶν Ποντικός τις φιλόλογος διδασκέτω τοὺς ξένους πῶς τὸ ε συμμίγνυται μετὰ τοῦ α ἐν τῇ διαλέκτῳ τῆς πατρίδος αὐτοῦ.

Τὰ **τονικὰ παραγγέλματα** τῶν παλαιῶν σφόδρα παραλλάττουσιν ἐπὶ λέξεων ἀπηρχαιωμένων. Ἂν ποτε διχογνωμονή-

(1) Τὸ γράψαι *εἰν* ὡσαύτως περισσὸν ἔμπροσθεν διγάμματος (Ἔ. 364. 407). Ἅπαντα ταῦτα οὐ νεωτερίζομεν, ἀλλὰ ἐκ χειρογράφων διαβεβαιῶσαι ἔχομεν.

σωσι, πότερον ἡ λέξις βαρύτονος ἢ ὀξύτονος, οὐκ ἔχομεν τεκμήρια εἰ μὴ τὴν ἀναλογίαν. Ἄλλως δὲ ἔχει ἐπὶ τῆς περισπωμένης. Ὅτι γὰρ γραπτέον ἶς ἀντὶ τοῦ ἐν τῇ παραδόσει ἴς (Ε. 518), ἀποδεικνύει τὸ Ὁμηρικὸν ἶνα, ἔτι δὲ τὸ Λατινικὸν vis βεβαιότατα. Ὡσαύτως γράφομεν *λῖς* ἀκολουθοῦντες Ἡρωδιανῷ (Σχόλ. Ἰλ. Λ 480), «Ἀριστάρχῳ δὲ ἐπείσθη ἡ παράδοσις ὀξύνοντι» (αὐτ.). *Λεῖς* ὅμως κεῖται παρὰ Γελλίῳ (13,7,5). *Ἄγχι* καὶ *ταχὺς* ἔχουσι τὸ α βραχύ, ὅθεν καὶ *ἆσσον* (πρβλ. Ἡρωδιαν. π. μονήρ. λέξ. 41) καὶ *θᾶσσον* (π. χ. Ὕμν. Ὁμηρ. 3,255 καὶ γρ. ἔν τισι χωρίοις τῶν Ὁμηρικῶν ποιημάτων) ὀρθογραφοῦνται. Καὶ ταῦτα μὲν ταῦτα· συστηματικῶς δὲ ἐνταῦθα πρόκειται πρῶτον μὲν περὶ τῶν δὴ λεγομένων Αἰολικῶν τόνων, οὓς οὐ παραδεχόμεθα, ἐπειδὴ ἡ ἐπικὴ διάλεκτος Αἰολισμοῖς οὐ μέμικται (1). Καὶ λοιπὸν γράφομεν· ἀκαχημένος οὐχὶ ἀκαχήμενος, μητιέτα οὐχὶ μητίετα. Ἔπειτα τοῖς τόνοις χρώμεθα ἕνεκα διασαφήσεως τοῦ κειμένου· διακρίνομεν λοιπὸν τὰ ἄρθρα ἀπὸ τῶν ὁμοφώνων ἀντωνυμιῶν, τούτοις μόνοις ἀποδιδόντες τόνους (2).

Περὶ **τοῦ ἐφελκυστικοῦ νῦ** ἐμάθομεν πρὸ ἐνίων ἐτῶν, ὅτι ἡ χρῆσις αὐτοῦ πάλαι ποτὲ ὡς φαίνεται αὐθαιρέτως καὶ εἰκῇ— ἤ ποτε χάριν εὐφωνίας;—ἐγένετο (3). Στηριζόμενοι λοιπὸν ἐπὶ τῶν Βοιωτικῶν ἐπιγραφῶν, ὅπου τὸ νῦ σπανιώτερον κεῖται, οὐ τίθεμεν αὐτὸ εἰ μὴ ἐν χασμῳδίᾳ ἢ ὅπως ἐμφήνωμεν τὴν ληγούσης πρὸ συμφώνου ἁπλοῦ διέκτασιν.

Ἀλλὰ τίνα γνώμην ἔχεις περὶ **τοῦ διγάμματος;** ἐρωτήσει τις ἡμᾶς, καθάπερ γραμματικώτατός τις τοῦτο μάλιστα μαθεῖν παρὰ τοῦ ἐκδότου ἐζήτησεν. Τοῦτό γε πρόδηλον ἂν εἴη, ὅτι τὸ δίγαμμα, μᾶλλον δὲ ἡ ἐνέργεια αὐτοῦ ἐν τῇ παραδόσει οὐ φυλάσσεται πανταχοῦ, ὅπου κατὰ τοὺς ἐτυμολόγους πάλαι ποτὲ ἔκειτο. Διὸ τὸ μὲν τηροῦμεν τὰ παραδεδομένα ἴχνη αὐτοῦ, ἐκβάλλοντες τὰ εἰς κώδικάς τινας ἐμβληθέντα παραπληρώματα, οἷον γ′, δ′ (4), τὸ δὲ οὐκ ἐπανάγομεν ἐξ εἰκασίας τὸν φθόγγον, ὅπου ἐξηφανίσθη.

Τῶν τόνων καὶ πνευμάτων οὐ μᾶλλον ἀνέκαθεν παρεδόθησαν

(1) Ἴδε τὰς διατριβάς, ἃς κατεχωρίσαμεν ἐν τῷ Φιλολόγῳ τ. μγ′, σ. 1 κἑ. καὶ μδ′, σ. 201 κἑ. Ἑπομένως δασύνομεν τοὺς ψευδαιολικοὺς τύπους π. χ. *ἅμυδις*, ὥσπερ καὶ τῶν γραμματικῶν τινες καὶ Γρηγόριος ὁ Ναζιανζηνός (Ἀνθολ. 8,40,2: πάνθ' ἅμυδις), οὐκ ἀποσιωπῶντες ὅτι Ἰλ. Μ 385 νῦν ἐν ἅπασι φέρεται: «πάντ' ἄμυδις».

(2) Περὶ τῶν παλαιῶν κανόνων εἴρηται ὑπὸ τοῦ Schömann, Animadversiones ad veterum grammaticorum doctrinam de articulo σ. 300.

(3) Ἴδε τὴν Γραμματικὴν τοῦ Meyer § 306-7 καὶ τὴν διατριβήν μου, ἣ κατακεχώρισται ἐν τοῖς τῆς Βαυαρικῆς Ἀκαδημείας Πρακτικοῖς 1888, Β′, σ. 261-2.

(4) Ἔπιθι Hartel, Zeitschrift für österreichische Gymnasien 1876, σ. 637-8.

ἡ τῶν λέξεων **διαχώρισις** καὶ **ἡ στίξις.** Ἐπειδὴ αἱ λέξεις μέχρι τοῦ μέσου αἰῶνος τὰ μάλιστα ἀδιαλείπτως συνήπτοντο, πολλὰ ζητήματα ὑπάρχουσι, π.χ. τοτὲ μὲν ἀναγινώσκομεν *ἤ τι* τοτὲ δὲ *ἤτοι*. Πολὺ μᾶλλον ἀμφισβητεῖται περὶ τοῦ ΔΗΤΟΙ, ὅπερ ἐκλαμβάνεσθαι δύναται καὶ *δή τοι* καὶ *δ' ἤτοι*. Ἐξέδομεν *δ' ἤτοι* πρὸς ἀναλογίαν τῶν φράσεων *ῥ' ἤτοι* (Ἰλ. Σ 237) καὶ *ἀλλ' ἤτοι* (Ἰλ. Α 140 κἀ.). Ἐν τούτοις καὶ οἱ ἐναντίοι ἔχουσι παραθεῖναι «καὶ δή τοι» (Ἀπολλών. 2,841), «μὲν δή τοι» (Θεόκριτ. 25, 142), ἔτι δὲ ἐκ τοῦ πεζοῦ λόγου· οὐ δή τοι ἀμάρτυρον Θουκυδ. 2,41, ὡς δήτοι τὸ λεγόμενον Πλάτ. Τίμ. 26 Β, σοφιστὴν δή τοι ὀνομάζουσι Πρωταγόρ. σ. 311 Ε. Τὰ λοιπὰ ἀδιάφορα, οἷον «ὅς δή τοι», ἢ «δ' ἤτοι» (Ἰλ. Κ 318. Χ 12. Ω 731. Ὀδ. υ 289. Ἀπολλών. 3,958). Τί δὲ ΗΔΕ; ἠδέ; ἢ δέ; ἤδε; Τοῦτο ὁ νοῦς δηλώσει, ἀλλ' ἥκιστα ἡ παράδοσις (1). Πότερον οἱ ἀρχαῖοι ἀνεγίνωσκον οὐδέ, μηδὲ ἢ οὐ δέ, μὴ δέ. Ἀγνοοῦμεν, ἀλλὰ ὠφέλιμον ἂν εἴη, εἰ συνεθισθείημεν διακρῖναι τὸ *οὐδὲ* (χυδαίως οὔτε, μήτε) καὶ τὸ *οὐ δέ* (ἀλλὰ δέν...) (2). Κάλλιον καὶ εἰ ἐγράφομεν *ὅτ' ἂν* καὶ *ὁπότ' ἂν*, ἐπειδὴ οἱ Βυζαντῖνοι εἰσέτι ᾔσθοντο τὴν σύνθεσιν (πρβλ. Ἰλ. Φ 340 καὶ 375 γρ.). Περὶ ἄλλων ἡ κρίσις ἀσφαλεστέρα. Ὅμηρος καὶ Ἡσίοδος *τὸ πρὶν* καὶ *τὸ πάρος* δῆλον ὅτι οὐκ ἐξεδέξαντο μίαν λέξιν, τοῦ ἄρθρου τότε οὐκ ἤδη τετριμμένου, ἀλλὰ ἀρτιγεννήτου πως ὄντος· ἔξω λοιπὸν τὸ ὑφὲν *τοπρὶν* καὶ *τοπάρος!* Ὡσαύτως οὐ διστάζομεν περὶ τοῦ ΕΥΤΕΘΕΛΩΜΕΝ ὅτι ἀναλυτέον *εὖτ' ἐθέλωμεν* κτλ., διότι Ἡσίοδος μόνῳ τῷ πλήρει σχήματι ἐθέλω χρῆται.

Λείπεται ἤδη τὸ προπέμπειν σημειώσεις περὶ τῆς τοῦ ἑπομένου παραρτήματος διατάξεως. Τὸν πρῶτον τόπον πανταχοῦ καθέξει ἡ γραφή, ἣν παρεδεξάμεθα εἰς τὸ κείμενον. Ὄπισθεν δὲ τῆς ἀγκύλης αἱ παραλλάττουσαι κεῖνται, ὅσας ἐκ χειρογράφων συνελέξαμεν· αἷστισιν ἐκ τούτων προστίθενται ἐν παρενθέσει ὀνόματα συγγραφέων, διαβεβαιοῦνται ταῖς μαρτυρίαις τούτων, ὅσαις δὲ ὄνομα ἁπλοῦν χωρὶς ἀγκυλῶν πρόσκειται, ἐν οὐδενὶ ἀντιγράφῳ εὑρίσκονται, ἀλλ' ἤρυνται ἐκ μόνου τοῦ συγγραφέως. Τὰς τῶν νεωτέρων κριτικῶν εἰκασίας μηνύσει τὸ ξένον τοῦ προηγουμένου ὀνόματος, τοῦ ἐν παρενθέσει ἀριθμοῦ ἀναπέμποντος εἰς τὸν κατάλογον, ὃν κατεχωρίσαμεν σ. 391. Ταύτας ἀπαριθμοῦντες, τὴν παρὰ τοῖς πλείστοις Γερμανοῖς συνήθειαν τηροῦμεν, ὅτι δῆλα δὴ πλειόνων συμφωνησάντων εἴτε ἀκόντων εἴτε ἐκ προαιρέσεως εἰς τὴν αὐτὴν εἰκασίαν, ὁ πρῶτος δημοσιεύσας αὐτὴν ὀνομασθή-

(1) Πρβλ. Spitzner εἰς Νικηφόρον τὸν Βλεμμύδην σ. 23 κέ.
(2) G. H. Schäfer ἐν τῷ Appendix ad Bastii epistolam criticam, Λειψ. 1809, σ. 29. 30.

σεται, ὥστε, εἴποτε εἰκασία τις ηὑρέθη γεγραμμένη ἐν χειρογράφῳ, ὁ εὐτυχήσας τῆς εὑρέσεως ἀποβαλεῖ τὸ δίκαιον τοῦ μνημονεύεσθαι. Οὐδὲν παρελίπομεν ὡς τρανῶς κακὸν καὶ γέλοιον. Ἡ γὰρ τῶν ἀνθρώπων κρίσις καὶ περὶ τῶν φαινομένων ἐναργῶν πολλάκις διαφέρει, ἀμβλυνθεῖσα τῇ εὐδόξου ὀνόματος λαμπρότητι, ἔτι δὲ ὁ σπουδάζων τὴν κριτικὴν μανθάνει τὸ ὀρθὸν καὶ ὑγιὲς κάλλιστα ἐκ διαγνώσεως τῶν νοσούντων. Ὅσα δὲ εἴπομεν ἐν ταῖς ἀνωτέρω σημειώσεσιν, ἐν τοῖς ἑπομένοις οὐ δισσολογοῦμεν. Σκοποῦμεν δὲ καὶ τοῦτο, ὅτι ἡ τῆς φθορᾶς αἰτία φανερὰ γίνεται.

Οἱ κριτικοὶ εἰς μάτην ἀναζητήσουσιν ἐν τούτῳ τῷ παραρτήματι τὰς ἀθετήσεις καὶ χωρίων μεταποιήσεις, ὅσας οἱ ἀνιχνεύοντες τὴν γένεσιν καὶ συγκόλλησιν τῶν ποιημάτων διεκύβευσαν. Ἁπλοῦ μὲν γὰρ καταλόγου οὐδὲν ὄφελος, ἀνάκρισις δὲ τῶν ζητημάτων οὐ τούτου τοῦ ἔργου, καίτοι ἐν πολλαῖς ἐξηγητικαῖς σημειώσεσι διὰ βραχέων ἀπηντήσαμεν πρὸς ἐνστάσεις τῶν σκεπτικῶν. Τοῦτό γε βεβαιότατον, ὅτι ἅπαντα τὰ πρωτόλεια τῆς ἐπικῆς ποιήσεως ηὔξηνται ἐμβλήμασι τῶν ῥαψῳδῶν, οἵτινες τὰ παραδεδομένα ᾄσματα δημοσίως ἐξεφώνησαν· ὁμοίως καὶ νῦν τὰ δημοτικὰ οὐδέποτε, ὡς εἰπεῖν, πλὴν τῶν ὑπὸ τῶν διδασκάλων παραδιδομένων ᾄδονται ἀμεταβλήτως, τοτὲ μὲν προστιθεμένων στίχων ἐξ αὐτοσχεδίου ἢ καὶ ἐξ ἄλλων ποιήσεων, τοτὲ δὲ μεταποιουμένων τῶν εἰσβολῶν καὶ μεταβάσεων. Τούτων ἐπίσης ἴχνη εὑρίσκομεν ἐν τοῖς Ἡσιοδείοις ποιήμασιν (ἴδε Θ. 591. 807 κέ.).

Περὶ πολλῶν γραφῶν, αἵτινες παρέχουσι φράσιν ἐκλεκτοτέραν πολὺν χρόνον διασκεψάμενοι εἰ δεῖ δέξασθαι αὐτὰς εἰς τὸ κείμενον, ἀπεσύρθημεν, ὑπείκοντες τῇ τῶν πρότερον ἐκδοτῶν ὑπολήψει. Ἀλλ' ἆρ' οὐ τὸ Παράρτημα πρόσκειται αὐτοῦ τούτου ἕνεκα, ἵνα μηδὲν ᾖ δεδογματισμένον, ἀλλ' ἅπας τις ἔχῃ τὴν ἐλευθερίαν τοῦ ἐκλέξαι ὅ,τι ἂν αὐτῷ δοκῇ προτιμότερον; Ἂν δέ τινες μεμψιμοιρήσωσι τὴν βραχυλογίαν τῶν σημειώσεων, διαλογιζέσθωσαν, ὅτι οὐκ εἴχομεν στάδιον ἀπεριόριστον, ἀλλά, καὶ φύσει κλίνοντες πρὸς τὸ ὀλιγολογεῖν, προσέτι χαλιναγωγούμεθα πρὸς τὸ Ἑλληνικὸν μέτρον. Ἀλλὰ «τῷ σοφῷ ἀρκεῖ».



# ΕΙΣ ΤΗΝ ΘΕΟΓΟΝΙΑΝ

---

2. *αἴθ'*] αἰ Flach, ἐρειδόμενος ἐπὶ τοῦ διγάμματος, ἀφ' οὗ ἤρχετό ποτε τὸ ΕΛΙΚ θέμα.

3. *καίτε περὶ* (Σχόλ. Ἐτυμολ. Μεγ. σ. 473,11, Ἐτυμολ. Φλωρεντ. ἔκδ. Miller, σ. 169, Λουκιαν. π. ὀρχήσεως 24)] (Λιβαν. λόγ. ιθ', τ. Γ', σ. 352, ἔκδ. Reiske) καί τ' ἐπί. Ἡ αἰτία παλαιογραφική, διότι ἐκεῖνο μὲν $\overset{\epsilon}{\pi}$ τοῦτο δὲ $\overset{\pi}{\epsilon}$ ἐγράφετο (πρβλ. Bast ἐν τῇ ὑπὸ Schäfer ἐκδόσει τοῦ Γρηγορίου τοῦ Κορινθίου σ. 783-4.

5. *Περμησ(σ)οῖο* (Παρνησοῖο, ἐν τῷ ἀρχαιοτάτῳ Πάρμησον Σχολ. ἐκ τῶν Κράτητος Βοιωτικῶν)] Τερμησ(σ)οῖο («ἐν δὲ τοῖς Ζηνοδοτείοις γράφει, ἤ, γράφεται Τ.» Σχόλ., ἐστὶ δὲ καὶ λῆμμα τοῦ ἐν Monacensis 91 σχολίου). Ὥσπερ καὶ Τευμήσ(σ)ιος καὶ Πευμάτ(τ)ιος (ἴδε Ἀθήναιον τ. θ', σ. 361 = Collitz Dialektinschriften 380) φέρεται, ὡσαύτως οὔτε Ζηνόδοτος οὔτε οἱ ἀντίπαλοι τῆς ἀληθείας ἂν ἁμάρτοιεν· οἱ ἔγγραφοι λίθοι δῆλα δὴ παρέχουσι τὸν Βοιωτικὸν τύπον *Περμασὸς* ἐν τῷ ὀνόματι Περμασίχιος (Collitz 823) καὶ κατὰ τὸν τῶν αὐτοκρατόρων αἰῶνα τὸ Ἡσιόδειον *Περμησσός* (Bulletin de correspondance hellénique τ. Γ', σ. 445). Γράφομεν τὸ σίγμα ἁπλῶς, ἐπειδὴ τὸ διπλοῦν κατὰ τὴν Βοιωτικὴν διάλεκτον ἐγένετ' ἂν *ττ* (Περματτός).

6. Πότερον γραπτέον Ἱππουκρήνης ἢ διεσταλμένως Ἵππου κρήνης, τοῦτο οὐ μανθάνομεν παρὰ τῶν ἀντιγραφέων, ἐπειδὴ τὰ παλαιὰ χειρόγραφα ἄτονα ἦσαν. Εἰ καὶ Gerhard (Lectiones Apollonianæ σ. 146) συστέλλει τὸ ὄνομα ἐκ μετρικῶν αἰτιῶν, τὸ ζήτημα ἄλλως λύεται ἀπὸ τῶν ἑξῆς χωρίων. Καλλιμάχ. Ὕμν. 5,71: Ἵππω ἐπὶ κράνᾳ, Παυσαν. 9,31,3: ἡ τοῦ Ἵππου καλουμένη κρήνη, Λουκιαν. πρὸς τὸν ἀπαίδευτον 3: τὴν τοῦ Ἵππου κρήνην, Ἰωάνν. Γαλησιώτ. Ἀλληγ. Θεογ. σ. 546: κρήνη Ἵππου (πρὸς ἅπερ ἀντιπαραβάλλομεν Διόδωρ. 20,55: τὴν Ἵππου καλουμένην Ἄκραν, 57: ἐπὶ τὴν ὀνομαζομένην Ἄκραν Ἵππου). Ἡ δὲ ἑτέρα γραφὴ κατὰ τοὺς τῶν αὐτοκρατόρων χρόνους ἤκμασεν, ὅθεν ἐκ τοῦ Ἱππουκρήνη ἐγένετο τὸ ἀληθῶς σύνθετον Ἱπποκρήνη,

ὅπερ παρὰ τοῖς Λατινικοῖς ποιηταῖς ἐν χρήσει ἦν, καὶ ἐγέννησε τὰ παράγωγα Ἱπποκρηναῖος (πηγαὶ ἐν τῷ ἀνωνύμῳ Ἡρακλέους Ὕμνῳ 5) καὶ Ἱπποκρηνίς (Σέρβιος εἰς Βιργιλ. Ἐκλογ. 7,21).

7. *ἐνεποιήσαντο*] ἀνεποιήσαντο (κατὰ τὴν φράσιν: ἀνεγείρω χορόν)· ἐνὶ (γρ. ἔνι) ποιήσαντο Heyne ἐν σημειώσει εἰς Ἰλ. Ω 616.

9. *πολλῇ* («τὸ σημεῖον ὅτι τὸν ἀέρα λέγει, ὥσπερ καὶ τὸν ἀέρα» Σχόλ. 697, ὅπερ τὴν γραφὴν ἀποδεικνύει Ἀριστάρχου, πρβλ. στ. 697: ἠέρα δῖαν Εὐστάθ. Ἰλ. Γ.376: «ἠέρα δὲ τὴν σκότωσιν εἴτουν τὸν ἀφώτιστον ἀέρα μυριαχοῦ κατὰ θηλυκὸν γένος φησὶν»)] πολλῷ, ὥσπερ ἑξάμετρος ἐπιγραφῆς τινος (Kaibel 312,5) καταλήγει εἰς τὰς αὐτὰς λέξεις «ἠέρι πολλῷ».

12. *Ἀργείην*] Ἀργεΐην Hartel (Zeitschrift für österreich. Gymnasien 1876, σ. 622).

15. *Ποσειδάωνα γαιήοχον*. Κατὰ τὸ φαινόμενον ὑπέρμετρόν ἐστι, διὸ ἀντιγραφεῖς τινες *γεήοχον* ἔγραψαν· τὸ αὐτὸ ἐγένετο Πινδάρ. Ὀλυμπ. 13,81 (γαιαόχῳ-γεαόχῳ). Ἀλλὰ οἱ παλαιοὶ ταύτην τὴν γραφὴν ἠγνόουν (Εὐστάθ. Ὀδυσσ. σ. 1392,23 κέ.), καίτοι περὶ τοῦ γαιοῦχος ἢ γεοῦχος ἐδίσταζον. Τῶν δὲ ποιητῶν οὐδείς ποτε τῷ τύπῳ γεή- ἐχρήσατο. Διὸ ἐξηγούμεθα τὴν βραχύτητα τῆς συλλαβῆς ἐκ τῆς ποιότητος τοῦ ἰῶτα, ἧς πολλὰ παραδείγματα εὑρήσεις παρὰ τῷ Hartel (homerische Studien τ. γ΄, σ. 7 κέ.). Οὐκ ἀναγκαῖον ἄρα εἰκάσαι «Ποσειδάω» (Göttling), μάλιστα «Ποσειδάωνα καὶ Ἥφαιστον κλυτοτέχνην» (Mützell 14, σ. 227).

17. *Ἥβην*] Ἥρην Πλουτάρχ. Συμποσ. 9,15,7 (τὰ ὀνόματα ταῦτα συγχέονται καὶ ἄλλοθι π. χ. Ἀχίλλ. Τάτ. 2,37)· Φοίβην Schömann

18. *Ἠῶ*] Ἠόα Nauck (16) τ. Ε΄, σ. 134.

*λαμπρὰν* (Πρβλ. Χρησμ. Σιβύλλ. 3,65: ἠέλιον πυρόεντα μέγαν λαμπράν τε σελήνην)] λαμπρὴν Hermann (8) σ. 153· ἔπιθι τὴν Εἰσαγωγήν (σ. 38). — Ἀντιγραφεῖς τινες μετέβαλον τὴν τάξιν τοῦ 18 καὶ 19 στ. ὅπως συνταχθῶσιν αἱ φυσικαὶ προσωποποιήσεις. Διὰ ταύτην τὴν αἰτίαν ἐν χειρογράφοις τισίν, ἤτοι ὁ 18 ἢ ὁ 19 λείπει. Μάρτυς δὲ τοῦ 19 καθίσταται ὁ ῥήτωρ Ἀριστείδης (τ. Β΄, σ. 369, ἔκδ. Jebb, 497, ἔκδ. Dindorf).

19. *τε ἰδέ*] Τε ἠδὲ Ἀριστείδ. αὐτ., ὅπερ «ἐκ πλήρους» γέγραπται ἀντὶ τοῦ ὑπὸ Bentley εἰσαγομένου *τ' ἠδέ*. Ἡ αὐτὴ διαφορὰ ἐν πολλοῖς Ὁμήρου στίχοις (οἷον Ἰλ. Δ 147) ἀπαντᾷ, πρβλ. Näke, Opuscula τ. Α΄, σ. 218-23, La Roche ἐν τῷ εἰς Ἰλ. Δ 147 παραρτήματι, Nauck (16) τ. Δ΄, σ. 614. Ε΄, σ. 152-3.

Πρὸ τοῦ *ἰδὲ* τὰ φωνήεντα οὐκ ἐκβάλλονται εἰμὴ σπανιώτατα (πρβλ. Ἡσιόδ. Ἀπόσπ. παρὰ Σχολ. Ἀράτ. 172 στίχ. 3 καὶ Στράβ. ζ', σ. 300 καὶ Hermann ἐν τῇ τῶν Ὀρφικῶν ἐκδόσει σ. 813).

*ἀγκυλομήτην*] ἀγκυλόμητιν. Περὶ τῶν μετὰ τοῦ μῆτις συντεθειμένων λέξεων Nauck (16,τ. Δ',σ. 109 κέ., πρβλ. Naber ἐν τῇ Μνημοσύνῃ, δευτ. σειρ. τ. ιβ', σ. 348) ἀνάριθμον πλῆθος μαρτυρίων συνεσώρευσεν.

24. *ἔειπον*] ἔειπαν. Ὁ ἀόριστος καὶ παρ' Ὁμήρῳ κατ' ἀμφοτέρους τοὺς τύπους φέρεται, οὐδὲ τολμῶμεν διατείνεσθαι ἤτοι ὅτι ὁ διὰ τοῦ ᾱ ἐκ τῆς κοινῆς συνηθείας εἰσέφρησεν, ἢ ὅτι ὁ διὰ τοῦ ō κατὰ τὴν τῶν Ἀττικῶν ποιητῶν χρῆσιν ἀντικατέστησε τὸν πρωτοφανῆ.

*γηρύσασθαι*] μυθήσασθαι. Ὁμηρικῶς (Ἰλ. Ζ 382: ἀληθέα μυθήσασθαι). Οἱ σχολιασταὶ ἑκατέραν γραφὴν ἀναφέρουσιν. Πρβλ. Ἔ. 260 Ὕμν. Ὁμηρ. 3,426. Αἰσχύλ. Προμηθ. 78. Πινδάρ. Ἰσθμ. 1,34 κτλ. Τὸ μυθήσασθαι Ὁμηρίζει. *Γηρύσασθαι* δὲ μεθύστερον ἐν ταὐτῷ τόπῳ ἔμεινεν ἐπὶ Μουσῶν ἢ ᾠδῶν (Ἀπολλων. Ῥοδ. Ἀργον. 2,847: Μουσέων ὕπο γ. Χρησμὸς παρὰ Πορφυρίῳ ἐν βίῳ Πλωτίνου 22 στ. 4: κλήζω καὶ Μούσας ξυνὴν ὄπα γ. Ὀρφ. Λιθικ. 60: ἀοιδῆς γ.).

*ἔφασαν*] Fick σ. 70: ἄρ' ἔφαν.

29. *μεγάλου*] μεγάλαι.

31. *δρέψασαι*] δρεψάμεναι (Τζέτζης ἐν βίῳ) δρέψασθαι (Σχόλ., Ἀριστείδ. τ. Β', σ. 370, Jebb, 480, Dind.). Τὴν μετοχὴν ἀνέγνωσαν ὡσαύτως Ἀσκληπιάδης (Ἀνθολογ. 9,64,3: καλλιπέτηλον ἐρυσσάμεναι) καὶ Λιβάνιος (ἐπιστ. 410: ᾧ δάφνην ἔδοσαν, 1147: κλάδον εἴληφε παρ' ἐκείνων), καὶ τὴν τοῦ ἐνεργητικοῦ γε προυτιμήσαμεν, ὅτι κανονικώτερον κεῖται, εἰ καὶ οἱ ἐποποιοὶ τὸν περὶ τοῦ μέσου κανόνα ἐλευθέρως παραβαίνουσιν. Ὁ Mützell (14) σ. 376 διισχυρίζεται, ὅτι ἦσαν οἳ ἀνέγνωσαν *θρέψασθαι*. Καὶ τῷ ὄντι ὁ σχολιαστὴς πρὸς τὸ προκείμενον χωρίον ἀναφέρει Σοφοκλέα (Ἀπόσπ. 777: δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα) καὶ Λυκόφρονα (6: δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα), ἐπίσης δὲ Τζέτζης ἐν τῷ βίῳ διηγεῖται, ὅτι αἱ Μοῦσαι «δρεψάμεναι κλῶνας ἐκ δάφνης αὐτὸν ἐπεσίτισαν», ᾧ συνᾴδουσιν Ἰωάννης Γαλησιώτης (σ. 545: ἡ τοῦ φυτοῦ γεῦσις, 546: δάφνης ἀπογεύεσθαι) καὶ Νικηφόρος Χοῦμνος (ἐν τοῖς Ἀνεκδότοις τοῦ Boissonade τ. Γ', σ. 385: τὸ τῶν Μουσῶν δαφνοφάγον θρέμμα) καὶ Νικηφόρος ὁ τὸν Συνέσιον ἑρμηνεύσας (σ. 371 ἔκδ. Petavius: δάφνης φύλλῳ θρεψάσας αὐτόν). Κατ' ἐμὲ δὲ πρόδηλον, ὅτι τὸ μὲν Λυκόφρων, οὗπερ ἡ αἰνιγματολογία ἔθελξε τοὺς Βυζαντί-

νους, τὸ δὲ ὁ παρ' ἐκείνοις πολὺς ἔπαινος *μουσόθρεπτος* (π. χ. παρὰ Θεοδώρῳ Προδρόμῳ, Notices et extraits des manuscrits τ. κγ', σ. 2,8) ἤγαγον τοὺς γραμματικοὺς πρὸς τὸ ἀποδέχεσθαι ἔδον ὡς ἔθρεψαν (ἀπὸ τῆς ῥίζης ΕΔ, ἧς παράγωγος ὁ *ἔδομαι* μέλλων).

*θηητόν*] θειητόν. Ἀλλὰ ἀνήκει εἰς τὸ ῥῆμα θηέομαι=θεϜάομαι, ὅθεν Δωρικῶς ἔχει *θαητόν* (Corpus Inscriptionum 2439 =Kaibel 189,2).

32. Ἐν τοῖς χειρογράφοις κεῖται *θείην ἵνα* (Ἀριστείδ. αὐτ.) κακῶς· ὃ τινες διώρθωσαν εἰς *θείαν ἵνα ἤ*, γράφοντες ἅμα *κλύοιμι* ἀντὶ τοῦ *κλείοιμι*, εἰς *θείην ὥστε* ἢ *θείην ὄφρα*, ὅθεν ὁ Ἑρρῖκος Στέφανος ἐξετύπωσε *θείην ὡς κλείοιμι*. Παραδεχόμεθα τὴν διόρθωσιν τοῦ Göttling, ὃς ἐν τῇ πρώτῃ ἐκδόσει γράψας *δῖαν ἵνα*, ἐν τῇ δευτέρᾳ εἴκασε *θέσπιν ἵνα*· τούτου τοῦ ἐπιθέτου παραδείγματα Ὁμηρικὰ ἀναφέρομεν ἐν τῇ σημειώσει, πρὸς τούτοις δὲ τὸ Ἡσυχίου «θέσπιν, θείαν φήμην» δηλοῖ τὸν τρόπον, ᾧ ἡ σπανιωτέρα λέξις ἐξεβλήθη. Ἔτι δὲ Ἀριστείδης (αὐτ.) καὶ Λουκιανὸς (Ἡσιόδ. 1) μεταφράζουσι θεσπέσιον ἢ θεσπεσίαν.

*κλείοιμι*] κλείοιμι Nauck (13) Γ', 213, 8.

33. Ἐγράψαμεν *μ' ἐκέλονθ'*, οὐχὶ *με κέλονθ'*, διότι ἡ ἀποκοπὴ τῆς αὐξήσεως οὐκ ἐγένετο εἰ μὴ τοῦ μέτρου χάριν.

34. Paley προβάλλεται *πρῶτον καὶ ἐς ὕστερον*, διότι *τε* λείπει ἐν κώδιξί τισιν· ἡ ἔλλειψις μέντοι αὕτη τοσοῦτο συχνάζει ἐν τοῖς ἧττον ἐπιμελῶς γεγραμμένοις, ὥστε οὐκ ἀξία σημειώσεως.

*ὕστερον* (Σχόλ.)] *ὕστατον* ἀναγινώσκει ὁ διορθωτὴς τοῦ παλαιοτάτου κώδικος, ὥσπερ κεῖται Ὕμν. Ὁμηρ. 21,4: πρῶτόν τε καὶ ὕστατον αἰὲν ἀείδει· ἐνταῦθα ὅμως *πρῶτον* ἀφορᾷ οὐκ εἰς τὴν ἀρχὴν ἡστινοσοῦν ᾠδῆς, ἀλλ' εἰς τὸν ἑξῆς εἰς τὰς Μούσας ὕμνον.

35. Schömann· ποτὶ δρῦν ἢ ποτὶ πέτρην.

38. *εἰρεῦσαι*] (Ἡσύχ.) Schömann εἴρουσαι.

41. *σκιδναμένη*] κιδναμένη (Ἰλ. Ψ 227: ὑπεὶρ ἅλα κίδναται).

44. *αἰδοῖον* (Σχόλ. τὸ τίμιον γένος τῶν θεῶν] αἰδοίων· πρβλ. 346) θυγατέρων ἱερὸν γένος.

*κλείουσιν*] Nauck κλείουσιν, ἴδε 32.

*ἔτικτε(ν)* (Σχόλ. καὶ Σχόλ. Ὁμηρ.)] παραδέδοται ἐν ἅπασι, πλὴν *ἔτικτον* εἰκάζει γραμματικός τις ἐν τῷ Παρισίνῳ ἀρ. 2772· ἴδε τὰς γραφὰς τοῦ στ. 703. Ταύτην τὴν διόρθωσιν εἰσηγάγομεν εἰς τὸ κείμενον, ἐπειδὴ ὁ ἑνικός, τιθέμενος ἀμέσως μετὰ δύο στενῶς συνδεδεμένα ὑποκείμενα, ἀπαραδειγμάτιστός ἐστιν.

48. *λήγουσί τ'*] λήγουσαί τ' (Σχόλ. τῆς ἐν Βασιλείᾳ ἐκδόσεως) ὅπερ ἀπαράδεκτον, τοῦ σπονδειακοῦ ἀποφεύγοντος τὴν λέξεως λήγουσαν (ἴδε Rzach ἐν τῷ Jahresbericht über die Fort-

schritte der klassischen Alterthumswissenschaft 1880, σ. 106). Οὐδὲν ἧττον σπουδαῖοι ἄνδρες ἀπήτησαν ἁρμονίαν τῶν κώλων κατὰ τὸ ψευδησιόδειον (Σχόλ. Ἰλιάδ. Σ 570) «ἀρχόμενοί τε Λίνον καὶ λήγοντες καλέουσιν», καὶ Ὕμν. Ὁμηρ. 34,18: ᾄδομεν ἀρχόμενοι λήγοντές τ', ὅθεν Dindorf μὲν ἐξέδωκεν «ὑμνεῦσιν ἰδὲ λήγουσιν ἀοιδῆς», Bergk δὲ ἐν τῷ Φιλολόγῳ τ. κθ', σ. 319 «λήγοντέ τ' ἀοιδῆς» (ἐπειδὴ οἱ ποιηταὶ ἐνίοτε ταῖς μετοχαῖς χρῶνται ὡς διγενέσιν).

*ἀοιδῆς*] Lennep εἰς Κόλουθον σ. 90: ἀοιδῇ, πρὸς ὃ βιβλίον Halm ἐν τῇ ᾤᾳ ἐσημειώσατο «ἀοιδαῖς».

49. *ὅσσον*] τόσσον. Ἡ κατὰ παρένθεσιν ἐκλαμβανομένη γραφὴ αὕτη μοὶ ἀρέσκει, καίτοι εἰκασία πως φαίνεται, τῆς συντάξεως μὴ οὔσης σαφοῦς.

*φέρτατος*] φέρτερος. Οἱ ἀντιγραφεῖς, μετὰ τὸ ἀπολέσθαι τὸν ὑπερθετικὸν ἐν τῇ συνηθείᾳ τὰς καταλήξεις *τερος* καὶ *τατος* συχνότατα συνέχεαν, ὥστε ἀδύνατον σχεδὸν βεβαιῶσαι, πότε ἡ σύγχυσις αὕτη ἀρχὴν ἔλαβεν.

*κράτεϊ*] Ἔγραψαν κάρτει, ἵνα παρεκκλίνωσι τὴν διέκτασιν τοῦ ἰῶτα. Πρβλ. 644. Ἰλ. Η 142: κράτεΐ γε κτλ.

56. *μητιέτα*] Ἀρίσταρχος ἐτόνισε μητίετα, καὶ ἐπεκράτησεν ἡ ἀνάγνωσις, καὶ ἴσως πλεονασμός ἐστι τοῦ ε (Σχόλ. Ἰλ. Α 175).

57. *νόσφι*] Καὶ ταύτης τῆς λέξεως ὁ τόνος ἀμφιγνοεῖται (ἴδε *νοσφὶ* ἐν τῷ Σχεδιογραφικῷ Λεξικῷ, ὃ ἐξέδωκε Boissonade ἐν Ἀνεκδότων τ. Δ', σ. 398).

59. *ἐτελέσθην*] ἐτελέσθη· πρβλ. ἐμιάνθην Ἰλ. Δ 146 καὶ τὰς ἐπιγραφὰς τὰς Κρητικὰς καὶ Κῳικὰς καὶ Δελφικάς, ἃς ἀπαριθμεῖ Gustav Meyer ἐν τῇ Γραμματικῇ (σ. 468 τῆς β' ἐκδ.).

61. *μέμβλεται*] Ὁ ἀσαφὴς τύπος ὑπὸ τῶν Βυζαντίνων μετεβλήθη εἰς μέμηλέ τ' ἢ μέλλεται.

64. Ἐνταῦθα τὸ *τε* οὐ τετήρηται, πλὴν ἐν τῷ παλαιοτάτῳ κώδικι (;) καὶ Σχόλ. Πινδάρ. Ὀλ. 9, 39. Ὁ Πλούταρχος ἀπὸ μνήμης ἀναφέρει (Πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου 2 σελ. 49 f): «πὰρ δ' αὐτῇ Χάριτές **τε** καὶ Ἵμερος οἰκί' **ἔθεντο**».

*οἰκί' ἔχουσι*] Lennep ἑδριόωνται.

65. *στόμα*] Γρ. στόματ' διὰ τὸ χασμῳδεῖν *στόμα ὄσσαν*· ἀλλὰ ἐν τῇ βουκολικῇ τμήσει ἐπιτρέπεται· οὐδὲ ἐπὶ πλειόνων ὁ ἑνικὸς προσκρούει, πρβλ. Ἀπολλών. Ῥόδ. 3, 410 καὶ 496: στόματι φλόγα φυσιόωντες. — Ὁ στίχος ὑπὸ τοῦ Welcker καὶ Schömann ἐντελῶς μεταποιεῖται, ἤτοι «ἐν θαλίῃς [δ'] ἐρατήν γε διὰ στ. ὄ. ἱ.» (W) ἢ «ἐν θαλίῃς δ' ἐρόεσσαν ἀπὸ στομάτων ὄπ' ἱεῖσαι» (S, πρβλ. 830).

66. *νόμους*] νομούς, κατὰ τὸν κανόνα τοῦ Ἀριστάρχου, ὅς τὴν λέξιν ἐκείνην ἐκ τῶν Ὁμηρικῶν ποιημάτων ἐξώρισεν (Ἀριστόνικος εἰς Ὀδ. α 3. ρ 487).

67. *κλείουσιν* (Περὶ τῆς διαστολῆς ἔπιθι στ. 32)] κλείουσαι.

68. *ἀγαλλόμεναι*] Wolf ἀμειβόμεναι, ὥσπερ Ἰλ. Α 604. Αἱ Μοῦσαι φιλοδοξοῦσιν οὐχ ἧττον ἢ οἱ θιασῶται αὐτῶν.

69. *περὶ δ'*] Guiet λέγει, ὅτι ἄμεινον ἂν ἐγράφετο *περὶ δὲ σφέας*, κατὰ τὸ σιωπώμενον, ὡς φαίνεται, ἐκβαλὼν τὸ μέλαινα.

71. *πατέρ' εἰς ὃν* ἢ *πατέρ' εἰς ἑὸν* παραδέδοται ὑπὸ τῶν ἀντιγραφέων, ἀνθ' οὗ παραδεχόμεθα τὴν εἰκασίαν τοῦ Brugmann (ein Problem der homerische Textkritik σ. 29) «πατέρα ὅν (σFὸν»)=Ἀσπ. 59. Scheer (Rheinisches Museum τ. κγ', σ. 685) προβάλλεται: *πατέρα σφὸν* = Ὀδ. ω 411, ὅπερ οὐκ ἀναγκαῖον, ἐπειδὴ ὃς παρὰ τοῖς ἐπικοῖς ὡς κοινὴ ἀντωνυμία τῶν τε τριῶν προσώπων καὶ τῶν τριῶν ἀριθμῶν ἐχρησίμευεν. Ἡ αἰτιατικὴ μετὰ τῶν σημαινόντων κίνησίν τινα ῥημάτων συντάσσεται ἐπὶ προσώπου, ὥσπερ μετὰ τοῦ ἵκω, ἱκάνω, ἔτι δὲ Πινδάρ. Ἰσθμ. 2,48: ξεῖνον ἐμὸν ἠθεῖον ἔλθῃς, Σοφοκλ. Φιλοκτ. 141: σὲ τόδ' ἐλήλυθε πᾶν κράτος, Εὐριπ. Ἱππόλ. 1371: μ' ὀδύνα βαίνει, Ἀριστοφ. Νεφέλ. 30: χρέος ἔβα με.

*οὐρανὸν*] οὐρανῷ, κατὰ τὴν κοινὴν σύνταξιν· ἴδε ὅσα εἴπομεν σ. 38.

*ἐμβασιλεύει*] ἐμβασίλευεν· ἆρ' ἐνενόησαν οἱ τοῦτο γράφοντες τὴν σημασίαν τοῦ ἀορίστου (ἐγένετο βασιλεύς);

73. *κάρτεϊ*] Θεόφιλ. πρὸς Αὐτόλυκον 2,6 κῶδ. Β: κάρτ' εὖ, γράφ. ἐΰ.

*ἕκαστα*] (Θεόφιλ. αὐτ.) *ἕκαστον*, ἐν κώδικι Φλωρεντίνῳ, τοῦ διορθωτοῦ προσκρούοντος τῷ ἐπικῷ πληθυντικῷ.

74. *ἀθανάτοις*] (Θεόφιλ. αὐτ.) ἀθανάτους.

*διέταξεν ὁμῶς*] Guiet διέταξε νόμοις, Lennep διέταξε νόμους (πρβλ. 66. Ἔ. 276).

*καὶ ἐπέφραδε*] Ἡ παρὰ Θεοφίλῳ γραφὴ τοῦ κώδ. Β «καὶ πέφραδε» παρίστησι τὴν ἐν τῇ συνηθείᾳ συναλοιφὴν τοῦ *καὶ* καὶ τῆς αὐξήσεως.

78. *Πολύμνια*] Schmidt (20) εἰσφέρειν βούλεται τὸν ἐν τῷ τοῦ François φερωνύμῳ ἀγγείῳ τύπον *Πολύμνις*. Αὐτὸ δὲ τὸ Πολύμνια ἐπιγέγραπται εἰς τὸ ἐν τῷ Ἑλικωνίῳ ἄλσει ἄγαλμα (Ἀθήναιον Η', σ. 282, Collitz Dialektinschriften 805, 6').

79. *δὲ*] Διόδωρ. 4,7 *σφεων*, Ἰωάνν. Διάκ. εἰς τὴν Θεογον. σ. 552,12 *καί*, Στοβαῖος Ἀνθολογ. 48,12 (διεφθαρμένως γράφεται: Καλλιόπη τ' εἴδει) καὶ Μακρόβιος εἰς τὸ Σκιπίωνος ἐνύπνιον 2, 3 *δή*, ὅπερ νεώτερός τις εἰς τὸν παλαιότατον κώδικα

εἰσέγραψε, πρβλ. 361. Ὀδ. η 156. Ἡ κρίσις ἀσαφής, διότι *δὲ καὶ δὴ* πλειστάκις συνεχύθησαν, ἐξ οὗ τοῦτο ἐξηφανίσθη ἐκ τῆς συνηθείας.

80. *γὰρ καὶ* (Παρὰ Δίωνι Χρυσοστόμῳ 2,24, σ. 81 καὶ Θεμιστίῳ λόγ. 9 σ. 122 A)] Πλουτάρχ. Ἠθικ. τ. Β', σ. 746 D. 801 E *δή*, Ἀριστείδ. λόγ. 6', σ. 131 (98) *καὶ* Στοβ. αὐτ. *μὲν γὰρ ἢ γὰρ ἢ γὰρ καί*. Τὸ τοῦ Δίωνος χωρίον ἀποδεικνύει, ὅτι ὁ στίχος συνάφειαν ἔχει πρὸς τὸ ἑπόμενον· στικτέον λοιπὸν τῷ κόμματι ἀντὶ τοῦ κώλου.

81. *τιμήσωσι* (Παρὰ Δίωνι καὶ Θεμιστίῳ)] τιμήσουσι (Ἀριστείδ., Στοβ., Θεμιστ. λόγ. 31, σ. 355 C)· ὁ χωρὶς τοῦ ἂν ἢ κε μορίου ὑποτακτικὸς ὑπὸ τῶν μεταγενεστέρων διωρθώθη, ὡς ᾤοντο, συχνάκις.

82. Οἱ μὲν γράφουσι *γινόμενον* (γιγν.), οἱ δὲ *γεινόμενον*. Προτιμῶμεν τὸν ἀόριστον, διότι ἀντιπαραβάλλομεν τὸν μῦθον, ὡς ἡμέρας τινὰς **μετὰ** τὸ γεννηθῆναι αἱ Μοῖραι αὐτοπροσώπως πρὸς τὰ ἀρτίτοκα παιδία ἔρχονται· ὁ δὲ ἐνεστὼς ἀφῃρημένος μᾶλλόν ἐστι καὶ ἐναργείας στερεῖται.

83. Ἐν τοῖς χειρογράφοις οὐ χωρὶς τοῦ παπύρου εὑρίσκομεν *τ' ἐσίδωσι* (ὡς παρὰ Δίωνι καὶ Στοβ. γρ.) ἢ *τ' ἐπίδωσι* (ὃ αἰνίττεται τὸ Θεμιστίου *ἐφορῶσαι*). Ὁ δὲ σχολιαστὴς ἀνέγνω τὸ ἁπλοῦν *ἴδωσι* καὶ δὴ παρὰ Στοβαίῳ καὶ ἐν ἑνὶ κώδικι τοῦ Δίωνος κεῖται *τε ἴδωσι*. Τοῦτο βεβαίως γνήσιον, τῶν προθέσεων εἰσκλαπεισῶν ὑπὸ τῶν ἀπείρων τοῦ διγάμματος. Ὡσαύτως Ὕμν. Ὁμηρ. 2, 163 (1,331) μόνος ὁ ἐν Μόσχᾳ κῶδιξ ἔσωσε τὴν γραφὴν «ἡ δὲ ἰδοῦσα», τῶν ἄλλων παρεγγραψάντων *ἐσ*-. Ὁ εἰς Ἡσίοδον σχολιαστὴς Καλλιμάχου ἐπίγραμμα (23 [21], 5. 6) ἀναφέρει, ἐν ᾧ εὑρίσκομεν «Μοῦσαι γὰρ ὅσους **ἴδον** ὄμματι παῖδας ἀχριβίους, παλαιοὺς οὐκ ἀπέθεντο φίλους».

83. *τῷ* (Ἀριστείδ. αὐτ.)] Θεμιστ. λόγ. 9,122 A τοῦ ἐν πεζῇ μεταφράσει.

*γλώσσῃ*] Παρ' Ἀριστείδῃ (αὐτ.) οἱ κώδικες οὐ συνᾴδουσι (γλώσσῃ, -ης, -ην !)

*χεύουσιν* ἐν τῷ ἀρχαιοτάτῳ κώδικι (Ἀριστείδ. λόγ. θ', σ. 146 Dindorf γρ. Θεμιστ. αὐτ.), ἴδε G. Meyer ἐν τῇ Γραμματικῇ σ. 515, ἔκδ. 6'] χείουσιν ἐν τῷ παπύρῳ καὶ ἄλλοις ἀντιγράφοις Ἡσιόδου τε καὶ Ἀριστείδου. Στοβ. αὐτ. ἀναγινώσκει χέουσιν ἢ χείουσιν ἢ προχέουσιν.

*ἐέρσην* ἢ *ἐέρσην* (Σχόλ. καὶ Θεμίστ. αὐτ.)] ἀοιδὴν (Στοβ., Ἀριστείδ.), ὃ οὐχ ἁρμόδιον, ὡς ἐξάγεται ἐκ τῶν ἑπομένων. Τοῖς ἐν τῇ ἐξηγητικῇ σημειώσει παρατεθειμένοις χωρίοις προστίθεμεν ἐξ ἐπιστολῆς Θεοφυλάκτου τοῦ Βουλγαρίας (ιβ', στήλ. 377 B,

ἐκδ. Migne): «ἀεί μοι τῶν τῶν γραμμάτων τὸν δρόσον ἐνσταζόντων τῆς παρακλήσεως» καὶ ἐκ τῶν Βιργιλίου καταλέπτων (5 ἢ 7, 2): inflata rore non Achaico verba» (περὶ τῶν ῥητόρων ὁ λόγος). Οὐδὲ πολὺ παραλλάσσει ἡ μεταφορὰ «Ἑλικωνίδος ὄμβρος ἀοιδῆς» (Νέστωρ Λαρανδεὺς Ἀνθολογ. 9,364,2) ἢ «ῥοαῖσι Μοισᾶν» (Πινδάρ. Νεμ. 7,12).

84. *τοῦ δ'*] Paley καὶ (ὅπως ἰσχύσῃ τὸ δίγαμμα τοῦ *ἔπος*).

*ἔπε'* (Ἀριστείδ. γρ. τοῦ δ' ἄρ' ἔπε')]. Ἦσαν οἳ τὴν ἀπόστροφον οὐ παρεδέξαντο, ὅθεν ἔγραψαν ἤτοι ἔπη (Στοβ. γρ.) ἢ τὸ ε ἅπαξ (*ἔπε ἐκ*) ἔθεσαν (οὕτω ὁ γράψας τὸν πάπυρον καὶ ὁ τὸ τῆς Ἀββατίας λεγόμενον ἀντίγραφον).

*δέ νυ*, πρβλ. οὐδέ νυ Ἀσπ. 170, ἀλλά νυ Θ. 687. Ἔ. 513. 684], εἰς *δέ τε* συμφωνεῖ ὁ πάπυρος μετὰ τῶν κωδίκων τοῦ Ἀριστείδου καὶ Θεμιστίου (αὐτ.).

86. *ἀσφαλέως* (Στοβ.)] Ἀριστείδ. αὐτ. ἀτρεκέως, ἐξ ἀναμνήσεως Ὁμηρικῶν στίχων.

*ἀγορεύων*] Lennep ἐν τῇ Κολούθου ἐξηγήσει σ. 50 εἰκάζει *ἀγορεύει*, συνάπτων στ. 92 πρὸς τὸν 87 καὶ παραβάλλων Ὀδ. θ 172.

87. *αἶψά τε*] (Στοβ. αὐτ. καὶ Ἐπικτήτ. Διατρ. 2,12,16). Ἡ σύνταξις αὕτη ὑπὸ πολλῶν ἀπεδοκιμάσθη ἢ οὐκ ἐνενοήθη· ἀλλὰ παράβαλε Θουκυδίδ. 7,32,2: ἀφυλάκτοις τε καὶ ἐξαίφνης ἐπιγενόμενοι διέφθειραν, Πλάτ. Φαίδ. σ. 79: καλῶς καὶ ἀληθῆ λέγεις, Πρωταγ. 336: ἀπεκρίνατο διὰ βραχέων τε καὶ αὐτὰ τὰ ἐρωτώμενα, καὶ πολλὰ ὅμοια. Οὐκ ἀναγκαῖον ἄρα γράψαι *αἶψά κε* (ὡς ἐν τῷ παπύρῳ καθάπερ *ἂν* μετὰ τοῦ ἀορίστου ἢ παρατατικοῦ Ἀττικῶς συνήθειάν πως δηλοῖ, τῶν ἐποποιῶν χρωμένων τῷ ἁπλῷ ῥήματι) ἢ *αἶψά γε* (Ellger, de proœmio Theogoniæ Hesiodeæ, ἐναίσ. διατρ. τῆς Γοττίγγης σ. 13) ἢ *αἶψ' ὅγε* ἢ *καὶ αἶψά τι* ὡς Schömann, ὅσπερ παρατίθησι τὸ μὲν Θ. 102. 330, τὸ δὲ Ἀσπ. 79.

*ἐπισταμένως* (Ἐπίκτητ.)] ἔν τισι τοῦ Στοβαίου ἀντιγράφοις κεῖται *ἐπιστάμενος*, διότι ἐκ τῆς παθητικῆς μετοχῆς τοῦ ἐνεστῶτος σπανιώτατα τυποῦνται ἐπιρρήματα.

88 καὶ 89. μεταποιεῖ ῥιζόθεν ὁ Schömann.

*τοὔνεκα γάρ* (Σχόλ. Σοφ. Φιλοκτ. 137. Στοβ. Ἀνθολογ. 48,10)] Ἀριστείδ. τούνεκεν ἄρ', ἐξ εἰκασίας μεταβαλὼν τὸ δυσεξήγητον μόριον. Ὁ *ἕνεκεν* τύπος ὅμως πολλῷ ὕστερον ἤκμαζεν, ἴδε Meisterhans, Grammatik der attischen Inschriften σ. 104. Ὁμοίως ὁ Στοβαῖος 80,14 ὀρθῶς ἀναφέρει *οὕνεκα λαοῖς*, ἐν δὲ τῷ ἑτέρῳ χωρίῳ *οὕνεκεν ἄλλοις* ἢ *οὕνεκ' ἄλλοις*.

91. *ἐρχόμενον*] Göttling Ἐρχομενὸν (Βοιωτικῶς = Ὀρχομενόν).

*ἀν' ἀγῶνα* ἐφύλαξαν ὁ πάπυρος ἐν τῷ κειμένῳ καὶ ὁ σχολιαστής, οὗτινος τὴν ἐξήγησιν οἱ ἀντιγραφεῖς ἔσωσαν προτιθέντες «ἀνὰ ἄστυ], ὅτι γράφεται· ἀν' ἀγῶνα»] κτλ. Τὴν αὐτὴν γραφὴν ἀναφέρουσι δύο σχολιασταὶ εἰς Ἰλ. Ω 1 (ἴδε καὶ τὸν Εὐστάθιον). Οἱ δὲ πλεῖστοι τὴν Βοιωτικὴν λέξιν μετεποίησαν κατὰ Ὀδ. θ 173 εἰς *ἀνὰ ἄστυ* (Στοβ. 80,14).

*θεὸν ὥς*] Τὸ κατ' ἀναστροφὴν ὡς εἶχεν ἄφωνον ἐν τῇ ἀρχῇ, διὸ ἡ τῆς προηγουμένης λέξεως λήγουσα διεκτείνεται. Ὁ ἀγνοοῦντές τινες ἐνταῦθά τε καὶ Ὀδ. τ 279 παρενέβαλον *θ'* ἢ *δ'* (Monacensis 283).

*ἱλάσκονται*] Ἐκ τοῦ αὐτοῦ Ὁμηρικοῦ στίχου εἰσέφρησε τὸ ῥῆμα *εἰσορόωσιν*, ὃ παρέχουσιν ὅ τε πάπυρος καὶ Πλούταρχος ἐν τῷ κατ' Ἐπικούρου σ. 1098 E.

92. *αἰδοῖ*] Rzach αἰδόϊ.

93. *οἷά τε* πρόσκομμα ἦν τοῖς αὐστηροῖς γραμματικοῖς, οἵτινες ἀνεζήτησαν συμφωνίαν τοῦ ὑποκειμένου καὶ τοῦ κατηγορήματος. Διὸ ἐν τῷ παπύρῳ ἀναγινώσκεται *τοίη*· οἱ δὲ Βυζαντῖνοι, οἳ συχνάκις τὸν θηλυκὸν τύπον *οἵα* ἐξέλαβον ὡς τροχαῖον καὶ *οἷα* ἔγραψαν, οὐδὲν μετέβαλον πλὴν διέφθειράν τινες τὸ *τε* εἰς τὸ ὑπέρμετρον *τοι*· Schömann δὲ ἐκ τῆς αὐτῆς αἰτίας ἔγραψεν: οἷά τε ἱερὰ δῶρ' ἀ.

94. Ἐν τῷ Marcianus 9, 6 καὶ Paulinus ἐξέπεσε διὰ τὸ ὅμοιον τῆς ἀρχῆς (οἷά τε [τοι] Μουσάων, ἐκ γάρ τοι Μ.). Ὁ Parisinus 2708 ἔχει αὐτὸν ἐν τῇ ᾤᾳ· ταὐτὸ ἐγένετο ἐν τῷ πρωτοτύπῳ τοῦ τῆς Ἀββατίας κώδικος, ὅθεν ὁ ἀντιγραφεὺς πλημμελῶς τὸν στίχον ἔθηκε πρὸ τοῦ 93.

*γάρ* (Σχόλ. Ἰλ. Α 17 γρ. Ὕμν. Ὁμηρ. 25, 2, Κορνουτ. 32 σ. 68, 6 γρ.)] γάρ τοι (Σχόλ. Θ. 30, Κουρνουτ. γρ. Σχόλ. Ἰλ. γρ. Σχόλ. Πινδάρ. Νεμ. 3, 1. Πυθ. 4, 313. Matranga Anecdota Græca σ. 405, διεφθαρμένως ἔκπαστοι Cramer Anecdota Oxoniensia Δ', σ. 408). Ἡ διαφορὰ αὕτη ἐγένετο ἐκ τοῦ διγνωμονεῖν πότερον γραπτέον *Μουσάων* (Ὕμν. 25, 2. Σχόλ. Ἰλ. Cramer Anecdota Parisina τ. Γ', σ. 275, ὅπου παρεμβέβληται *τε*) ἢ *Μουσέων* (Σχόλ. εἰς 30, Σχόλ. Πινδάρ. Πυθ.). Θεμίστιος (7,89 C. 13,170 B) καὶ Εὐστάθιος (Ἰλ. σ. 76,1) παραφράζουσί πως τὸν στίχον, διὸ ἀντικαθιστᾶσι τὸ ἀσύνηθες *γὰρ* διὰ τοῦ *μέν*· ὥστε Paley ἐντεῦθεν οὐκ ἐδυνήθη διαβεβαιῶσαι τὴν εἰκασίαν *ἐκ μὲν γὰρ Μουσέων*.

*ἑκηβόλου Ἀπόλλωνος* (Ὕμν. Ὁμηρ. 25, 2)] Θεμίστιος ἀκαίρως ἐμνήσθη τῆς Ὁμηρικῆς φράσεως «Ἀπόλλωνος ἑκάτοιο»

(Ἰλ. Η 83. Υ 295. Ὕμν. Ὁμηρ. 1, 1), οὐδὲ ἧττον ἀκαίρως σχολιαστής τις (εἰς 30) «Ἑλικώνιον» Ἀπόλλωνα ἐπενόησεν.

95. *ἐπὶ χθόνα* (Κορνουτ. αὐτ. γρ.), πρβλ. Θ. 187. 531. Ἔ. 11. 505] ἐν ἑνὶ κώδικι καὶ παρ' ἄλλοις (Ὕμν. Ὁμηρ. 25, 3. Κουρνουτ. γρ. [ἐ. χ. καὶ βασιλῆες]. Σχόλ. Ἰλ. καὶ Πινδάρ. Πυθ. αὐτ. Matranga καὶ Cramer αὐτ.) κατὰ κοινοτέραν σύνταξιν γράφεται *ἐπὶ χθονί*, πρβλ. 556. 564.

97. *φίλωνται* (Ὕμν. Ὁμηρ. 25, 5) ἀνήκει, ὡς εἴπομεν, εἰς τὸν ἀόριστον ἐφιλάμην, ὃς ἀπαντᾷ ἐν τοῖς Ἀπολλωνίου Ἀργοναυτικοῖς (3,1001) καὶ ἐπιτυμβιδίοις ἐπιγραφαῖς (Kaibel Epigrammata Græca 247,2. 269,4. 580,2). Ὁ δὲ ἐνεστὼς σῴζεται ἐν τῷ ὀνόματι τῆς Ἀθηναΐδος Φιλομένης, ᾗ ἀντιστοιχεῖ ὁ Χῖος Φίλης (ἐπὶ νομίσματος, ἴδε Zeitschrift für Numismatik 14,154). Οἱ μὴ δεινοὶ περὶ τὴν ποιητικὴν ἔκφρασιν ἐτόνισαν ἐνταῦθα καὶ Ὕμν. Ὁμηρ. 5,488: φιλῶνται, καίτοι τοῦτο τὸ ῥῆμα το ῐ ἔχει βραχύ· καὶ δὴ μετεβλήθη κατὰ τὸν ἐπικὸν κανόνα εἰς *φιλεῦνται* ἢ φιλέονται (γραφὴ ἀποσπάσματος παρὰ Bandini Catalogus codicum Græcorum bibliothecæ Laurentianæ τ. Γ', σ. 391).

*ῥέει* (Ὕμν. Ὁμηρ. 25,5)] ῥέεν.

*αὐδή* ] ἀοιδὴ Peppmüller, Philologischer Anzeiger τ. ιδ', σ. 502,5· ἀλλ' ἴδε στ. 31. 39. Ἀσπ. 278. 396 καὶ τὸ παράγωγον *αὐδήεις*, ὃ ἐπὶ ᾀδόντων κεῖται (Ὀδ. κ 136. λ 8. μ 150. 449. Ἡσίοδ. παρὰ Κλήμεντι τῷ Ἀλεξανδρεῖ Στρωμ. Α', σ. 123 S).

98. *πένθος ἔχων νεοκηδέϊ θ.*] Nauck (16) τ. Ε', σ. 135 κῆδος ἔ. νεοπενθέϊ θ. ὡς Ὀδ. λ. 39, νεοπενθέα θυμὸν ἔχουσαι· *νεοκηδὴς* γὰρ ἅπαξ εἴρηται. Ἀλλὰ καὶ τὸ Ὁμηρικὸν ἐπίθετον ἅπαξ πως λεγόμενον ἂν ὀνομασθείη, ἐπειδὴ ἄλλοθι μὲν ὑπάρχει (Kaibel Ἐπιγράμμ. 222, 3. 655,1), ἀλλ' ἐκεῖ παθητικὴν ἔχει σημασίαν.

99. *ἄζηται*] Wakefield, Silva Critica Α',σ.24 ἵζηται, ἐπειδὴ ἀληθῶς οἱ βαθέως πενθοῦντες ἐκάθηντο ἐπὶ τοῦ ἐδάφους. Ὁ δὲ Nauck (αὐτ.) ἀναζητεῖ τοιοῦτόν τι, οἷον οἰμώζῃ ἢ κλαίῃ. Τῇ ἐξηγητικῇ σημειώσει προστίθεμεν ὅτι Ἡροδότ. 3, 91 γράφεται «ἀσθείη τὴν ψυχήν». Ἀνάλογα τοὐλάχιστον παραδείγματα τάδε: Μανέθ. Ἀποτελ. 2, 169: αὐχμηρούς, ἐὸν ἦτορ ἀεὶ βλάπτοντας ἀνίαις, καὶ Χριστόδωρ. 188: αὐχμὸν ἀνίης.

100. *κλεῖα*] Nauck (16) τ. Γ', σ. 210 κλέεα.

101. *ὑμνήσῃ*] Ἐν τῷ παπύρῳ, ὡς δοκεῖν, γράφεται *ὑμνευσαι*.

102. *αἶψ' ὅγε*] αἶψά τε (ἐκ στ. 87 εἴληπται), αἶψα (αἶψ) δ' ὅ.

*δυσφρονέων (-άων)*] Ἡ σπανία λέξις ἔν τισιν ἀντικατεστάθη

τῇ κοινοτέρᾳ *δυσφροσυνέων* (π. χ. Σιμωνίδ. Ἀπόσπ. 86: οἶνον ἀμύντορα δυσφροσυνάων)· ἐν δὲ ἑνὶ τῶν Παρισίνων ἐξ εἰκασίας κεῖται ἡ μετοχὴ δυσφορέων (ἤτοι κακῶς φέρων).

*οὐδέ τι*] Nauck (16) τ. Ε', 136 οὐδ' ἔτι.

105. *ἱερόν*] Θεόφιλ. αὐτ. κῶδ. Β μακάρων.

106. Ὁ ἀρχαιότατος κῶδιξ ἐπιφέρει τ' πρὸς τὸ Γῆς ὄνομα· Köchly, Opuscula Α', σ. 256 Γαίης ἐγένοντο, Peppmüller (Philologische Rundschau 1885, στήλ. 388*) «οἳ Γαίης τ' ἐγένοντο».

107. *τε* (Θεόφιλ. πρὸς Αὐτόλυκον 2,6 σ. 85)] δέ. Οἱ Βυζαντῖνοι ὅσον δυνατὸν τὴν πρὸ ἀφώνου μεθ' ὑγροῦ διέκτασιν ἐξαφανίζουσιν ἐξ εἰκασμοῦ, οἷον καὶ ἐνταῦθα οἱ μὲν γράφουσι *δή*, οἳ δὲ *καί*, καίτοι τὸ μόριον τοῦτο παρὰ τοῖς παλαιοῖς οὐδέποτε κατέχει τὴν τοῦ συνωνύμου *τε* θέσιν. Ἀναλόγως τὸ ἑπόμενον *θ'* ἤτοι μεταβάλλεται εἰς δ', ἢ λείπει (Θεόφιλ. αὐτ.).

108. *θεοί*] Scheer (Rheinisches Museum 24, 624) χάος, πρβλ. 116.

109. *οἴδματι θυίων*] Οἱ μεμψιμοιροῦντες τὸν ποιητικὸν ἑνικὸν ἔγραψαν οἴδμασιν (ὥς τινες καὶ 131) ἢ οἴδματα. Ἱππόλυτος ἐν τῷ αἱρέσεων Ἐλέγχῳ 1,26 ἐκ στήθους ἀναφέρει τὸ ἀκροτελεύτιον «οἶδμά τε πόντου».

110. *λαμπετόωντα*] Οἱ ἀντιγραφεῖς τοῦ Ἱππολύτου καὶ ὁ γράψας τὸν Β τοῦ Θεοφίλου παρέχουσι λεπτέοντα, λεπτόεντα, λεπτήεντα, ἃ ἐγένοντο ἴσως ἐκ τῆς κατὰ τὴν κοινὴν προφορὰν γραφὴν λαπετόοντα.

111. Λείπει ἐν τῷ παπύρῳ καὶ ἐν τῷ Ἱππολύτου, τοῦ ὀφθαλμοῦ ὑπεραλλομένου τὸν στίχον διὰ τὸ ὁμοίαρκτον (οἵ τ'—ὥστ').

112. *ἄφενος* (Θεόφιλ.)] ἄφενον (ἐντεῦθεν παρέφθαρται τὸ Ἱππολύτου ὡς στέφανον). Ἐκεῖνο βεβαιοῦται καὶ ἐκ τοῦ Ἰνδικοῦ ápnas, ὃ ἐπίσης οὐδέτερον, καὶ ἐκ τοῦ παραγώγου ἀφνειός (=ἀφνεσ-ιός). «Εὕρηται δὲ καὶ παρά τισι καὶ ἀρσενικῶς *ὁ ἄφενος*» (Εὐστάθ. Ἰλ. Α 171). Πρβλ. καὶ τὴν εἰς Ἔ. 24 κριτικὴν σημείωσιν.

114. 115. «Ταῦτα τὰ δύο ἔπη ὁ Σέλευκος ἀθετεῖ· οἱ δὲ περὶ Ἀρίσταρχον τὸ «ἐξ ἀρχῆς» (115) μόνον ψέγουσιν» (Σχόλιον). Δηλονότι τὸν πλεονασμὸν ἐκάκιζον.

*εἴπαθ' ὅ,τι*] Ἱππόλ. αὐτ.· ἔπειτα ὅ,τι περ. Ἡ γραφὴ μεταβέβληται ἕνεκα τοῦ διγάμματος, ὃ σῴζει τὸ μακρὸν τοῦ *καὶ* πρὸ τοῦ *εἴπατε*.

116. ἤτοι (Κορνουτ. 17. Πλουτάρχ. Συμποσ. 5, 5, π. Ἴσιδος σ. 374 Β, πότερον ὕδ. ἢ φῶς σ. 955 Ε. Ψευδοφίλων π. ἀφθαρσίας κόσμου σ. 941 D. Σέξτ. Ἐμπειρ. Πυρρων. 3.121.

123. Ἀχίλλ. Τάτ. Εἰσαγ. εἰς Ἄρατον κ. 2, σ. 125, ἔκδ. Petavius. Πρόκλος εἰς Κράτυλον σ. 71, ἔκδ. Boissonade. Σιμπλίκιος εἰς Ἀριστοτέλ. π. οὐρανοῦ Α', φύλλ. 346 Β. Στοβ. Ἐκλογ. Φυσ. 1,10 (11) 1. Ἀπόσπ. παρὰ Peyron ἐν τῇ Ἐμπεδοκλέους καὶ Παρμενίδου ἐκδόσει σ. 16. Probus ad Vergilii Bucolica 6,31. Κλήμης ὁ Ῥώμης ὁμιλ. 6,3 σ. 678. Ἱππόλ. αὐτ. Θεόφιλ. πρὸς Αὐτόλ. 2,5, σ. 90. Σχόλ. Κλήμ. Ἀλεξανδρ. τ. Δ', σ. 111 τῆς ἐκδόσεως τοῦ Klotz, πρβλ. Χρησμ. Σιβύλλ. 5,2: ἤτοι μὲν πρώτιστα)]. Ἐντεῦθεν πρόδηλον, ὅτι ἡ Ἀριστοτέλους γραφὴ «πάντων μὲν πρώτιστα» (Μεταφυσ. 1,4, σ. 984 b 27, Φυσικῆς Ἀκροάσ. 4,1 σ. 208 b, 30-1 πρβλ. Σέξτ. Ἐμπειρ. Μαθημ. 9,8) ἐσφαλμένη ἐστί, μᾶλλον δὲ ὅτι ἐκδεκτέον αὐτὴν ὡς παράφρασιν, οἷον ἐν τῇ περὶ Ξενοφάνους διατριβῇ (1, σ. 975 a 11) ἀναγινώσκομεν: «Πρῶτον μὲν πάντων χάος ἐγένετ'»· παραλείπει γὰρ τὰ προηγούμενα, πρὸς ἅπερ ἀναφέρεται τὸ ἤτοι.

*πρώτιστα*] Μόνος ὁ Σέξτος (Πυρρων. αὐτ.) γράφει *γὰρ πρῶτα*, πλὴν δύο τῶν Ἱππολύτου κωδίκων ἔχουσι *γὰρ πρώτιστα*.

118. Οὐκ ἐστίξαμεν ἐν τῷ τέλει τοῦ στίχου ἐκλαβόντες τὰ Τάρταρα οὐχ ὡς τέταρτον στοιχεῖον κοσμικόν, ἀλλ' ὡς «εἶδος» τῶν Τιτάνων, καθάπερ Ζήνων ὁ Στωϊκὸς (Σχόλ. Ἀπολλων. Ῥοδ. 1,498) καὶ ἄλλοι, οἵτινες διὰ τοῦτο πολλάκις παρέλιπον ἀναφέροντες τοῦτόν τε καὶ τὸν ἑπόμενον στίχον (Ἀριστοτέλ. Μεταφ. καὶ π. Ξενοφάν. αὐτ., Πλάτων (;) Συμπόσ. κ. 6, σ. 778 Β, Σέξτ. Ἐμπειρ. μαθημ. αὐτ., Λιβάνιος τ. Δ', σ. 405, Σχόλ. Κλήμ. Προτρεπτ. 46, 22).

*οἳ*] Κορνοῦτ. γρ. τοί.

*κάρη*] Ἱππόλυτος κάρην κατὰ τὴν τοῦ παρακμάσαντος Ἑλληνισμοῦ κλίσιν, ἥτις πολλὰ τῶν παλαιῶν ἀντίγραφα ἐμόλυνεν, οἷον Λυκόφρ. Ἀλεξ. 436, Διονύσ. Περιηγ. 562. 1049, Νίκανδρ. Θηρ. 131, Κόϊντ. Σμυρν. 11, 58, ἴδε Näke, de Callimachi Hecale σ. 113.

119. *Τάρταρά τ'* (Σχολιαστὴς τοῦ Venetus A καὶ Εὐστάθιος εἰς Ἰλ. Α 312. Χοιροβοσκὸς ἐν τῷ Γουδιανῷ Ἐτυμολογικῷ σ. 314, 15, Ἐτυμολογικὸν Μέγ. σ. 502,31)] Πλούταρχος Ἠθικ. σ. 948 F: Τάρταρον, διότι ὁ πληθυντικὸς ἐν τῇ καθαρᾷ γλώσσῃ τῶν λογογράφων οὐχ ὑπάρχει.

*ἠερόεντα*] Ἡ λέξις παρ' ἐνίοις τῶν ἀνωτέρω ὀνομασθέντων συγγραφέων θαυμαστὸν ὅσον νοσεῖ, οἷον ἠρόεντα (Χοιροβοσκός), ἠρέοντα (Στοβαῖος γρ.) ἠνεμόεντα (Ἱππόλυτος), εὐρυόδοντα (Κορνοῦτος, ὃς ἴσως ηὗρε *εὐρώεντα*, πρβλ. τὸ Ὀρφικὸν ἀπόσπασμα, ὃ σέσωσται ὑπὸ Πρόκλου εἰς Τίμαιον σ. 211 καὶ Χρησμ. Σιβύλλ. 4,185: Τάρταρά τ' εὐρώεντα, μυχοὶ στυγίη δέ τε γέεννα).

*μυχῷ*] Κορνοῦτος σ. 28, 17 καὶ Θεόφιλ. κῶδ. Β μυχόν· ὁ Τάρταρος δηλαδή, κατὰ τούτους, τῆς γῆς μυχός ἐστιν. Σπανία μὲν οὖν ἡ ὀνόματος μετὰ δοτικῆς τὸν τόπον δηλούσης σύνταξις, τοῖς δὲ ἐπικοῖς ἐπιτρέπεται (Καλλιμάχ. Ὕμν. 4, 189. 5, 18. Νίκανδρ. Ἀλεξ. 138-9).

*εὐρυοδείης*] Ἱππόλ. γρ. εὐρωδίης.

120. *κάλλιστος ἐν ἀθανάτοισι θεοῖσι* (Σέξτ. Κορνοῦτ., Ἱππόλ., Θεόφιλ., Στοβ. αὐτ.)] Ἀριστοτέλης συνέχεε τὸν στίχον μεθ' Ὕμν. Ὁμηρ. 2, 149 (: ὅς κε θεοῖσι μεταπρέποι ἀθανάτοισι) ἢ ἄλλου τινός, πάντως δὲ ἀναφέρει (Μεταφ. καὶ π. Ξενοφάν. αὐτ.) «πάντεσι μεταπρέπει ἀθανάτοισι».

121. *τε*] Peppmüller (17) δὲ.

122. *δάμναται*] Οἱ ἀναζητοῦντες τὸ ἐνεργητικὸν γένος ἔγραψαν δάμνα τε (Vaticanus 915) ἢ δαμνᾷ τε (ὡς ἐν δύο Ἱππολύτου ἀντιγράφοις), ὃ ἐκ πλήρους κεῖται ἀντὶ τοῦ «δαμνᾷ τ'». Ὅστις ἂν ἐπιδοκιμάσῃ τὴν γραφὴν (ὡς ὁ κριτικώτατος Γοδοφρέδος Ἑρμᾶννος), μεταφέρει τὸ κόμμα ὄπισθεν τοῦ «ἀνθρώπων». Ἐκ τῶν αὐτῶν αἰτιῶν Schömann τὴν γραφὴν τρέπει πρὸς μετοχὴν (δαμνάς τ'). Ὁμοιοτρόπως διστάζουσι περὶ Ὀδ. λ 221, πότερον γραπτέον: δάμνατ'(αι) ἢ δαμνᾷ ἢ δάμνα (ὃ βεβαίως κεῖται Ἰλ. Π 103), πρβλ. Lobeck, Elementa Pathologiæ τ. Β', σ. 123. 308, Κόντον ἐν τ. Α' τοῦ Λογίου Ἑρμοῦ σ. 33*, Nauck, Mélanges gréco-romaines τ. Δ', σ. 485 κέ., Ludwich, Aristarchs homerische Teatkritik τ. Α', σ. 588. Ἀρκούμεθα τῷ διαβεβαιῶσαι τὴν χρῆσιν τοῦ μέσου γένους· Ὀδ. ξ 488: ἀλλά με χεῖμα δάμναται, Ἀρχιλόχ. Ἀπόσπ. 85, Ὕμν. Ὁμηρ. 4,17, Βακχυλίδ. ἐν τῇ Ἀνθολογίᾳ τοῦ Στοβαίου 55,3. Αἰσχύλ. Προμηθ. 164. Εὐριπίδ. Ἀπόσπ. 27,5. Ἀπολλών. Ῥόδ. 2,407, Νίκανδρ. Ἀλεξ. 422, Θεόκριτ. 29,23 (: Ἔρως. . . ὃς ἀνδρῶν φρένας εὐμαρέως ὑποδάμναται), ἔτι δὲ Ἰλ. Ξ 199 κατὰ τὴν Πορσωνίου εἰκασίαν.

*στήθεσσι*] Ἱππόλ. στήθεσφι.

*ἐπίφρονα*] Κορνοῦτ. γρ. ἐχέφρονα, ὅπερ εἴληπται ἐκ στ. 88.

124. *Ἡμέρη-α* (Ἐτυμολ. Μέγ. 429, 26)] Ἀμμώνιος σ. 66 Ἡμέραι.

125. Λείπει παρὰ Κορνούτῳ, Ἱππολύτῳ κἄ. ἴδε Mützell (14) σ. 403-4, ἐπιμαρτυροῦσι δὲ Κικέρων De natura deorum Γ 17), Ὑγῖνος (ἐν τῷ προοιμίῳ τῶν Μύθων) καὶ μάλιστα Θεόφιλος, πλὴν ὁ κῶδιξ Β αὐτοῦ παραλείπει 125 ἅμα τῷ 124.

126. *δέ τοι πρῶτον μὲν* (Στοβαῖος Ἐκλογ. Φυσ. 1,11. Σχόλ. Σοφοκλ. Ἠλέκτρ. 86. Σχόλ. Ἀράτ. 22. Μελέτιος π. τῆς τοῦ ἀνθρώπου διασκευῆς κ. ιε')] Ὁ πλεονασμὸς τῶν μορίων τοὺς ἐκ

μνήμης ἀναφέροντας τὸν στίχον διετάραξεν, ὥστε αἵδε αἱ γραφαὶ ἀπαντῶσι: δέ τοι πρῶτον (Σχόλ. λεγόμενα Mosquensia εἰς Ἄρατ. 22, ὅπου ἀναγινώσκομεν ἐν τοῖς περαιτέρω· γείνατο ἴσην ἑαυτοῦ), δέ τοι πρώτιστον (Σχόλ. Πινδάρ. Νεμ. 6,1), μέν τοι πρῶτον (Ὠρίων Ἐτυμολογ. σ. 118, 30), δὲ πρῶτον (Ἐτυμολογ. Μέγ. σ. 642,11), πρῶτα μὲν (Ἱππόλ. γρ., ἐν ἄλλοις δὲ «δέ τοι πρώτη μὲν»). Ἐξ ὧν πρόδηλον, ὅτι οὐδὲν ἴχνος παλαιᾶς γραφῆς εὑρίσκεται, ἀλλὰ καθαρῶς ἡμάρτηται. Πλὴν ὁ Ἑρμᾶννος ἀντὶ τοῦ *τοι* ἔγραψε (Ϝ)οί.

*ἶσον (ἴσσον) ἑαυτῇ*] Ὁ πάπυρος οὐ διαφέρει εἰ μὴ εἰς τὸν Ἡροδότειον τύπον *ἑωυτῇ*. Πρὸς τούτοις μανθάνομεν ἀπὸ τῶν σχολίων, ὅτι οἵ τε Ἀλεξανδρεῖς καὶ Περγαμηνοὶ ἄλλην γραφὴν οὐκ ἐγίνωσκον, καίπερ ἀποροῦντές πως περὶ τῆς ἐξηγήσεως. Οὐ χρήζομεν λοιπὸν τῶν ἑξῆς εἰκασιῶν· πάντοσε ἶσον (Hermann [8] σ. 161), αὐτῇ Ϝῖσον ἢ αὐτῇ εἶσον (Lennep), ἶσον ἁπάντῃ (Mützell [14] σ. 406, ἶσά οἱ αὐτῇ (Göttling), ἶσον ἐόντα (Köchly Opuscula Α΄, σ. 263), ἶσον ἑανῷ (Merkel ἐν τῷ Φιλολόγῳ τ. ις΄, σ. 144 Ὀρφικῶς).

127. *ἀστερόενθ' ἵνα μιν*] Ἱππόλυτ.: ἀστερόεντα δύναμιν.

*πάντα καλύπτοι -η, -ει* (Ὠρίων Ἐτυμολογικὸν Μέγ., Στοβ., Σχόλ. Πινδάρ. αὐτ., Μελέτιος σελ. 94, 2, ἔκδ. Ritschl, Κύριλλος κατ' Ἰουλιανοῦ Β΄, σ. 55. Θεόφιλ. -ειν Ὠριγένης)] Τοσούτοις μάρτυσι μόνος ἐναντιοῦται Κορνοῦτος 17 σ. 29,7, ἔκδ. Lang «πᾶσαν ἐέργοι»· ἆρά γε συνέχεε τὸν Ἡσιόδειον στίχον καὶ ἄλλου ποιητοῦ (λ. χ. Ὀρφικοῦ) τινα; Πάντως ἐν τοῖς εἰς Ἰλ. Μ 5 σχολίοις ἀνωνύμως παρατίθεται «ἵνα μιῇ (γρ. μιν) μερὶ (γρ. περὶ) πᾶσαν ἐέργοι».

128. *ὄφρ'*] Στοβαῖος γρ.: ὅς ῥ' (ὅθεν Kock ἠρύσατο τὴν εἰκασίαν ὅτι γραπτέον *ὅς τ'*), Κορνοῦτ. αὐτ.: ἠδ' ἢ ἡ δ', Ἱππόλυτος «ὄφρα ἐῇ» ἢ «ὄφρ' ἔνι».

*θεοῖς* (Κορνοῦτος καὶ Θεόφιλος, ὃ διέφθειραν οἱ ἀντιγράψαντες τὸν Στοβαῖον εἰς *θεοὶ* καὶ *θεὸς*)] θεῶν (Εὐσεβ. Παρασκ. Εὐαγγελ. 5,36, σ. 234 Α).

129. Οἵ τε ἀντιγραφεῖς καὶ Θεόφιλος παρέχουσι τὴν γραφὴν *θεῶν*, πλὴν παρ' Ἱππολύτῳ ἐξ ἀπροσεξίας φέρεται *ὅσα* (θεὰ κατὰ τὸν Usener, ΘΕΑ γὰρ καὶ ΟϹΑ ὁμοιότατα). Ἑρμᾶννος δὲ (8 σ. 162) νουνεχῶς εἰσήγαγε τὸ θηλυκὸν θεᾶν (ἴδε στ. 41), στηριζόμενος ἐπὶ τῶν Ὁμηρικῶν (Ἰλ. Ω 615-6)· «θεάων ἔμμεναι εὐνὰς Νυμφάων». Καὶ ἀληθῶς γε φαίνεται, ὅτι ὁ ἀρσενικὸς τύπος ἐπανελήφθη ἀτόπως ἐκ τοῦ προηγουμένου στίχου. Καλὴ δὲ καὶ ἡ γραφὴ *θεά*.

*ἐναύλους*] Θεόφιλ. χαρίεσσαν ἐν αὐτοῖς, d'Orville εἰς Χαρίτωνα σ. 283, ἔκδ. Λειψ. ἐπαύλεις.

130. Τὸ διεφθάρθαι *νῦν φωναὶ* παρὰ Θεοφίλῳ ἐκ *νυμφῶν αἳ* ὑποδηλοῖ ὅτι αὐτόθι ἐγέγραπτο καθάπερ ἐν ἐπιγραφαῖς νυνφῶν.

134. Οἱ μὲν γράφουσι Κρεῖον, οἱ δὲ Κρῖον ἢ Κριόν. Ἐκεῖνο μὲν οὖν ὑπερήσπισεν ὁ φιλόσοφος Ζήνων (ἴδε τὰ σχόλια), τοῦτο δὲ τὰ Ἐτυμολογικὰ (τὸ Μέγα σ. 539,20 καὶ τὸ Γουδιανὸν σ. 346, 44 κέ.). Ἀρίσταρχος δὲ ὠξυτόνησε τὴν λέξιν (Ἐτυμολ. Μέγ. σ. 346,41. Ἐτυμολ. Γουδιαν. σ. 346,46). Τὴν Κρεῖον γραφήν, διότι βασιλικόν τι δηλοῖ καίπερ ἡγούμενοι πιθανωτέραν, ὅμως τοῦτο συνομολογοῦμεν, ὅτι τὸ ΚΡΙΟΣ ὄνομα ἐν χρήσει ἦν (ἔπιθι τὴν ἐπιγραφήν, ἣν ἐξέδοσαν Στ. Κουμανούδης ἐν ταῖς Ἐπιτυμβιδ. Ἐπιγρ. 3076 καὶ Kaibel Ἐπιγράμμ. 33).

135. Ἡ παραδεδομένη γραφὴ ἔχει ὧδε: Θεῖάν τε Ῥεῖάν τε, ἤ: Θείαν τε Ῥείαν τε· ἐν δὲ Ὀρφικῷ στίχῳ (Lobeck Aglaophamus σ. 505) τὸ αὐτὸ ἡμιστίχιον φέρεται «Θείαν τε Ῥείην τε». Ἡ ἀπορία ἥκιστα λύεται ἐκ τῶν Ὁμηρικῶν ποιημάτων· Ἰλ. Ξ 203 Ἀριστοφάνης καὶ Ἀρίσταρχος (περὶ οὗ ἔπιθι Lehrs de Aristarchi studiis Homericis σ. 463, ἔκδ. β') ἀνέγνωσαν Ῥείας, ἄλλοι δὲ Ῥείης. Μόνον ἐν τοῖς Ὁμηρικοῖς Ὕμνοις *Ῥείη* βεβαιοῦται ἐκ τοῦ μέτρου (1,93. 5,443). Τί οὖν ἄμεινον παρ' Ἡσιόδῳ; Ἐν πᾶσι τοῖς χωρίοις ἡ λήγουσα δύναται ἀποδεχθῆναι βραχεῖα (135. 467. 625. 634) καὶ μάλιστα ἐν στ. 453 τοῦτο ἀναγκαῖον, ἂν μὴ μεταβάλωμεν τὰ ἑπόμενα. Οὐδὲν ἧττον σῴζομεν τὰ μακρὰ σχήματα, ἐπειδὴ οἱ μεταγενέστεροι ποιηταὶ ταῦτα ηὗρον ἐν τοῖς τότε κώδιξιν· ἄλλως γὰρ οὐκ ἂν ἐχρήσαντο αὐτοῖς· ἔτι δέ, ὥσπερ καὶ Μαῖα καὶ Μαίη λέγεται, οὕτω καὶ Ῥείη οὐ παράδοξον ἀντὶ τοῦ Ῥεῖα. Ὅσον δὲ πρὸς τὸν διὰ τῆς μακρᾶς ᾱ τύπον, ἀποδῶμέν τι καὶ εἰς τὴν εὐφωνίαν. Ὅμηρος δῆλα δὴ *θεὰ* εἶπεν, οὐχὶ θεή, ὅστις δὲ ἂν πιστεύσῃ τοῖς λίθοις μᾶλλον ἢ τῇ παγκοίνῳ παραδόσει, ἀναγινωσκέτω ἐν παλαιᾷ **Ἰωνικῇ** ἐπὶ Νάξου ἐπιγραφῇ (Röhl, Inscriptiones Græcæ Antiquissimæ 411) Δωροθέ**α**.

137. *μέθ' ὁπλότατος* (Κορνοῦτ. 17)] Ἱππόλυτ. αὐτ. μεθ' ὑκρότατος.

138. *ἤχθηρε*] Winterton ἔχθηρε.

139. *ἦτορ*] ὕβριν (ὅπερ πρότερον ἑρμηνείας χάριν ἐπάνω ἐγέγραπτο).

140. *τε Στερόπην* (Σχόλ. πρβλ. Ἀθηναγόραν 18 σ. 18, Εὐστάθιον εἰς Ὀδύσσ. σ. 1622,50, Σχόλ. Ἀπολλων. Ῥοδ. 1,730, Νόννον εἰς Γρηγόρ. Ναζιανζ. μῦθ. 73, Ἀπολλόδωρον Βιβλιοθ. 1,1,2, Ὑγῖνον Μῦθ. προοίμ. σ. 3, Τζέτζ. Θεογον. 62 καὶ τοὺς

ποιητάς, εἰς οὕστινας παραπέμπουσι Spanhemius εἰς Καλλιμάχ. Ὕμν. Δηλ. 68 καὶ Mützell [14] σ. 224 κέ., Χοιροβοσκὸς σ. 142, ἔκδ. Gaisford παρέχει τὸν τόνον Στεροπήν)] τ' Ἀστερόπην (πρὸς ὁμοιότητα τῆς ἐν τῇ συνηθείᾳ λέξεως ἀστραπή).

*ὀβριμόθυμον* (Σέξτ. Ἐμπειρ. Γραμματ. 9 σ. 253, Ἐτυμολ. Μέγ. 613,23)] ὀμβριμόθυμον. Ὁ λαός, ἄπειρος ὢν τῆς ἐτυμολογίας καὶ ἀγνοῶν, ὅτι τὸ ο προυτέθη τοῦ θέματος βριμ, εἰκῇ ἠτυμολόγησεν «**ὀμβ**ριμόθυμον» (ὥσπερ *ὄμβριμος* καὶ Θ. 839. 996 καὶ ἐν τοῖς Ὁμηρικοῖς ποιήμασι συχνάκις φέρεται, ἴδε W. C. Kayser ἐν τῷ Φιλολόγῳ τ. ιη', σελ. 655 κέ. καὶ J. Hoffmann ἐν τῇ ἐκδόσει τῆς Φ καὶ Χ τῆς Ἰλιάδος σ. 121-2). Ἐκεῖνο δὲ ἀποδεικνύεται γνήσιον ἐξ ἐπιγραφῆς Περγαμηνῆς, ἥτις Γίγαντά τινα «Ὄβριμον» ὀνομάζει.

141. *Ζηνὶ βροντήν τ' ἔδοσαν* (οὗ ζήλῳ ὁ ἐν τῷ «Ἀγλαοφάμῳ» τοῦ Lobeck σ. 504 Ὀρφικὸς εἶπε: «Ζηνὶ βροντήν τ' ἔπορον»)] Σχόλ. Ἀπολλων. Ῥοδ. 1, 730: βροντὴν Ζηνὶ ἔδοσαν (ἐν τῷ Λαυρεντιανῷ) ἤ: βροντήν τε Ζηνὶ δόσαν (ἐν τῷ Παρισίνῳ).

*κεραυνόν* (Σχόλ. Ἀπολλων. αὐτ.)] κεραυνούς, κατὰ τὴν τῶν πεζῶν χρῆσιν.

142. «Κράτης ἀντὶ τούτων ἄλλον στίχον παρατίθεται: «οἳ δ' ἐξ ἀθανάτων θνητοὶ τράφεν αὐδήεντες»· πῶς γὰρ τοὺς αὐτοὺς θεοῖς ἐναλιγκίους λέγει καὶ ἐν τῷ τῶν Λευκιππιδῶν Καταλόγῳ ὑπὸ Ἀπόλλωνος ἀνῃρῆσθαι ποιεῖ;» (Σχόλιον).

143. *ἐνέκειτο* (καθάπερ 145, Εὐστάθ. Ὀδ. σ. 1392,36 κέ. 1622,45 κέ. Θεόγνωστος σ. 134, ἔκδ. Cramer)] ἐπέκειτο, πρβλ. Θεόκριτ. 11,33: εἷς δ' ὀφθαλμὸς ἔπεστι, Ἀπολλόδωρ. Βιβλιοθ. 1,1,2: εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου.

*μοῦνος δ' ὀφθαλμός* (Cramer Anecdota Oxoniensia A', σ. 254. B', σ. 457, Χοιροβοσκὸς σ. 198, ἔκδ. Gaisford)] Wilhelm Dindorf ἐν τῷ πρὸς τοὺς Grammatici Græci τ. A', σ. XIII προλόγῳ ἐχρήσατο Ἡρωδιανοῦ χωρίῳ (π. μονήρους λέξεως σ. 18, 29, τ. B', σ. 924, 28, ἔκδ. Lentz: ὀφθαλμὸς δὲ ἔεις ἐν μέσῳ ἔκειτο μετώπῳ) ἕνεκα τοῦ προβάλλεσθαι «ὀφθαλμὸς δὲ ἔεις».

144. *ὄνομ' ἦσαν ἐπώνυμον* (Ἐτυμολ. Γουδιαν. σ. 352, 43 κέ., Cramer Anecdota Oxoniensia A', σ. 254,2 πρβλ. Ὀδ. η 54: Ἀρήτη δ' ὄνομα ἐστὶν ἐπώνυμον, 2409 ὅ. ἔστιν ἐπ.)] ἐν χειρογράφῳ φέρεται «ὄνομ' ἔσαν» ἤγουν ἔσσαν (πρβλ. Ἐτυμολ. τῆς ἐν Κοπεγχάγῃ βιβλιοθήκης σ. 937, ἔκδ. Sturz: οὖν μέσσαν), ᾧ συμφωνεῖ ἡ ὑπεριωνικὴ γραφή: «οὔνομ' ἔσαν»· ὁ δὲ ἀρχαιότατος ἔγραψεν: «οὔνομ' ἦσαν». Ἐκ τούτων κατ' εἰκασίαν ἐγένετο ἡ ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σ. 544,7 μετάθεσις: «ἔσαν

οὔνομ'» (πρβλ. «ἦσαν οὔνομ'» Σχόλ. Ὀδυσσ. ι 106)· ὁ αὐτὸς ἐξέβαλε καὶ τὸν πλεονασμὸν διορθῶν «ἐπώνυμοι» (Anecdota Oxoniensia Β', σ. 457,1) καὶ τὸ ἔξαλλον σφέων, γράφει γὰρ «ἄρ' αὐτοῖς» (ὡς ἐν τῷ Γουδιανῷ αὐτ. καὶ παρὰ Cramer Anecdota Oxoniensia τ. Α', σ. 254, Β', σ. 457).

145. Κοινῶς φέρεται ἕεις, ἔεις, εἷς, ὅπερ οἱ μεταγενέστεροί τε ποιηταὶ (Συριανὸς Ἀνθολογ. 7, 341, 4 κά. ἴδε Nauck Mélanges τ. Δ', σ. 491-2) καὶ γραμματικοὶ ἐξέλαβον ὡς ἐπικὸν σχῆμα τοῦ εἷς ἀριθμοῦ. Ἐπειδὴ ὅμως οἱ γλωσσολόγοι σφόδρα ἀποροῦσι περὶ τοῦ πλεονασμοῦ τοῦ ε, διώρθωσα *εὖς*. Πρότερον ἤδη Robortellus (Annotationes in Virgilium σ. 1448, ἔκδ. Gruter) ὑπετόπασεν, ὡς ἡ πρωτοφανὴς γραφὴ ἦν ἑῷ, ᾧ συνᾴδει ἡ τοῦ κόμιτος Natalis (Mythologia 9, 8 σ. 984) εἰκασία «ἑοῖς—μετώποις».

146. *ἦσαν ἐπ' ἔργοις*] Τοῦ διγάμματος χάριν Lennep εἰσήγαγε τὸν βραχὺν τύπον *ἦν* (ἴδε 321. 825) *ἐπὶ ἔργοις* (Köchly Opusc. σ. 266: ἔργῳ).

147. *ἐξεγένοντο*] Ἀστερόεντος κατ' ἀνάμνησιν τῆς πολλῆς φράσεως.

148. Τὸ *τε* μόριον οὐ παραδέδοται, ἀλλ' εἰσβέβληται ὑπὸ Γοδοφρέδου Ἑρμάννου (8) σ. 163.

*οὐκ*] ἠδ' (διότι παρενόησαν τὸν νοῦν).

Οὗτος ὁ στίχος καὶ ὁ ἑπόμενος ἀντήλλαξαν τὴν θέσιν ἐν τῷ Παρισίνῳ ἀριθ. 2763 καὶ τῷ Ῥεδιγεριάνῳ· ὁ δὲ γράψας τὸν Παρισῖνον ἀριθ. 2833, εὑρὼν σημεῖον τῆς μεταθέσεως ἐν τῷ πρωτοτύπῳ, ἐπελάθετο τοῦ γράψαι τὸν πρότερον.

149. *τε Βριάρεως* (Ἰλ. Α 403)] Schömann τ' Ὀβριάρεως, Fick ΒριϜαρεύς (ἐξ οὗ οἱ παλαιοὶ ἐτυμολόγοι παρήγαγον τὸ σύνηθες σχῆμα).

Ὁ δεύτερος τοτὲ μὲν Γύης, τοτὲ δὲ Γύγης καλεῖται· ἴδε καὶ στ. 734. Ἐπειδὴ τὰ ὀνόματα ἀμφότερα ἁρμόζουσι καὶ κατὰ τὸν μέσον αἰῶνα *Γύης* καὶ *Γύγης* οὐ διέφερον εἰ μὴ γραφικῶς, παρατίθεμεν οὐχὶ τὰς ἐν τοῖς κώδιξι γραφάς, ἀλλὰ τὰς διαρρήδην μαρτυρίας τῶν γραμματικῶν, αἳ συνᾴδουσιν εἰς τὸν τύπον Γύγης, Ἡρῳδιανοῦ παρὰ Πρισκιανῷ 6, 11 καὶ Χοιροβοσκῷ Bekker Anecdota σ. 1359, Ἀρκαδίου ἐν τῷ περὶ τόνων σ. 23, 16, σχολιαστοῦ εἰς Νικάνδρου Θηριακὰ 633.

150. *ἀπ'*] ἐπ'.

151. Τὸ ἐπίθετον ἐν τοῖς χειρογράφοις ὧδε φέρεται· ἄπλαστοι ἢ ἄπλατοι. Ἀλλὰ ὁ Γοδοφρέδος Ἑρμᾶννος διώρθωσεν (8, σ. 164) *ἄπληστοι*, κατὰ μετάθεσιν, ὁποία καὶ ἀπαντᾷ ἐν τοῖς

τύποις *πλῆ-το* καὶ *ἔ-πλη-ντο*. Τοῦτο εὑρίσκομεν 153, ἐκτὸς τῶν δύο ἄλλων σχημάτων.

154. *ὅσσοι*] Mützell σ. 95 τόσσοι (πρβλ. 421). Τὸ μόριον γέγραπται *γάρ*· ἐπειδὴ ὅμως οὐ δικαιολογεῖται, ἄλλοι ἄλλα προεβάλοντο, ὁ μὲν Τρικλίνιος *δέ*, Ἑρμᾶννος δὲ *μέν*, Gerhard δὲ *δ' ἄρ* (Overbeck ἐν τῷ Rheinisches Museum τ. ιθ', σ. 626: οὗτοι δ' ἄρ'), ὁ δὲ Wieseler (25) *πάρ*.... ἐξ ἐγένοντο (πρβλ. Πλάτ. Συμπόσ. σ. 179 Β). Ἡμεῖς ἀγαπῶμεν διαστέλλοντες τὸ μόριον (*γ' ἄρ*), ἴδε Brunck εἰς Εὐριπ. Μήδ. 122.

155. *δεινότατοι παίδων*] Flach (System der Theogonie σ. 34) οὗτοι δεινότατοι.

*δ'*] Ὁ μὲν Guiet ἐξέβαλε τὸ μόριον, ὁ δὲ Overbeck αὐτ. ἔγραψε *τ'*.

156. *καὶ τῶν*] Schömann Opuscula Β', σ. 98 τούτων.

157. *ἀπεκρύπτεσκε* ὁ Λαυρεντιανὸς 31, 20] ἀπεκρύπτασκε, ἀποκρύπτασκε, κατὰ τὸ παράγωγον κρυπτάζω, πρβλ. Ἀσπ. 256 καὶ Κόϊντ. Σμυρν. 4, 445: ῥίπτασκε, Ἰλ. Θ 272: κρύπτασκε. Οἱ τύποι οὐκ ἀμάρτυροι, ἀλλ' ἀνεξήγητοι. Βεβαιότερον δὲ κρῖναι περὶ τοῦ δευτέρου τύπου, πότερον *ἀνίεσκε* ἢ *ἀνίησκε* γραπτέον. Τὸ γὰρ *ἀνίησκε* ἤτοι ἐγράφη κατὰ τὴν ἀναλογίαν τοῦ ἀνίημι ἢ ἀντιπαρεβλήθη τοῖς μεσαιωνικοῖς μάλιστα καὶ Κυπριακοῖς διὰ τοῦ *ισκω* τύποις. Τὸ ἀνίεσκε ἀναλογεῖ τῷ μεθίεσκε Ἀπολλών. Ῥόδ. 3,274. 4,622.

158. *ἐπετέρπετο*] ἐπιτέρπετο· Ἐτυμολ. Φλωρεντ. σ. 184, ἔκδ. Miller ἐπιτέρπεται (ἀγνοίᾳ τοῦ ἑπομένου διγάμματος). Θαυμαστὸν ὅσον διέφθαρται ἐν τῷ Γουδιανῷ ἐτυμολογικῷ (σ. 317,41: ἐπέρτετος ἔργων).

159. *στοναχίζετο*] στεναχίζετο. Ἡ αὐτὴ διαφορὰ εὑρίσκεται ἐν τοῖς Ὁμηρικοῖς χειρογράφοις (περὶ ὧν ἔπιθι Spitzner ἐν τῷ γ' εἰς Ἰλιάδα παραρτήματι Buttmann Lexilogus Α', σ. 214 La Roche, homerische Textkritik). Προβαλλόμεθα δὲ στοναχίζετο ἐκ τοῦ ὅτι *στοναχέω* μὲν ὑπάρχει (Ἰλ. Σ 124. Σοφοκλ. Ἠλέκτρ. 131), *στεναχέω* δὲ οὐδόλως. Ζηνόδοτος καὶ Ἀριστοφάνης ὅμως *στεναχὴ* ἐπεδοκίμασαν ἀντὶ τοῦ *στοναχή* (ἴδε Δίδυμον εἰς Ἰλ. Ω 512. Ὀδ. ε 83).

160. *στεινομένη*] Σέλευκος ἁρμοδιώτερον ἡγήσατο «ἀχνυμένη». Εἰ καὶ στείνομαι ἄλλοθι ἐπὶ λύπης ἐν χρήσει ἐστίν (ἴδε Ἔ. 178 γρ.). Ἐνταῦθα δεκτέον πλαστικῶς, ὅτι οἱ γιγαντικοὶ Τιτᾶνες ὑπερπληροῦσι τὴν ὑπόγειον χώραν.

*ἐπεφράσσατο*] Göttling προθυμεῖται ἐκφυγεῖν τὴν καλουμένην Ἀττικὴν συγκοπὴν γράφων: «δολίην τε κακήν τ' ἐφράσσατο τέχνην» (πρβλ. Ὀδ. δ 529: δολίην ἐφράσσατο τέχνην, Νόνν.

Διονυσ. 37, 351: δολίην ἐφράσσατο βουλήν). Ἡ αὐτὴ συγκοπὴ μέντοι εὑρίσκεται Ὀδ. ο 444: ὑμῖν δ' ἐπιφράσσετ' ὄλεθρον, Ἔ. 655: προπεφραδμένα, πρβλ. καὶ Ὄθρυος Θ. 632. Ἐν ταῖς λέξεσιν Ἀφροδίτη, Ἀμφιτρύων, ἀκροκνέφαιος (Ἔ. 567) ἡ συγκοπὴ ἐξ ἀνάγκης γίνεται.

165. *πατέρος*] πατρός, πατρί, ὥσπερ 171 φέρεται καὶ πατέρος καὶ πατρός, ἐξ ὧν ἐξελέξαμεν τὸν μὴ κοινὸν τύπον, πρβλ. Ὀδ. λ 501, Gustav Meyer, griechische Grammatik § 339.

*κε*] δὲ, γε, τε, μέν· πάντων δὲ τούτων αἴτιον ἡ ἐκ τῶν τριῶν κ κακοφωνία· ἧσπερ παραδείγματα κεῖνται ἐν τῇ σημειώσει, οἷς πρόσθες ὅσα Lobeck (Paralipomena Grammaticæ Græcæ τ. Α', σ. 8) ἔγραψεν.

167. *ἄρα*] ἀνά.

168. *μέγας* πρβλ. 459. 473. 495] μέγα.

169. *ἂψ*] ἂψ δ' αἶψ'.

170. *κεν*] γεν. ὅ,τι πάντως ὑπῆρχεν ἅμα τῷ *γε*,—ἐνταῦθα δὲ οὐχ ἁρμόζει ἕνεκα τοῦ ἑπομένου γ'.

174. *χειρὶ*] χερσίν. Παρ' Ἡσιόδῳ οὐχ ἧττον ἢ ἐν τοῖς Ὁμηρικοῖς ποιήμασιν ὁ ἑνικὸς χειρὶ καὶ ὁ πληθυντικὸς χερσὶν εἰκῇ γράφονται, πρβλ. La Roche, homerische Textkritik σ. 378.

178. Οἱ Ἀλεξανδρεῖς οὐχ ὡμογνωμόνησαν περὶ τοῦ τόνου τῆς λέξεως *λοχεος*, ὡς μανθάνομεν παρ' Ἡρῳδιανοῦ ἐν τοῖς εἰς Ἰλ. Ψ 160 σχολίοις· «καὶ παρὰ τὸ λοχεύω δὲ ὁ λοχεὸς ἔσται», κατ' ὀξεῖαν τάσιν· «ὁ δ' ἐκ λοχεοῖο πάϊς»· ἀλλ' οὖν γε βαρυτόνως οἱ πλείους ἀνέγνωσαν, πλεονασμὸν ἐκδεξάμενοι τοῦ ε̄, ὥστε παρὰ τὴν λόχου γενικὴν λόχοιο γενέσθαι καὶ λοχέοιο. Οἷς προστίθεται ἐν τοῖς Ἡσιοδείοις σχολίοις: «Ἀριστόνικος λοχεοῖο φησὶν ὡς θυρεοῖο». Πρβλ. καὶ Εὐστάθ. σ. 1293,41. 1682,36. Ὠρίωνα Ἐτυμολ. σ. 148,3, Ἐτυμολ. Μέγ. σ. 59,43. 130,49. 509,47. 636,27. 742,31 κά. (ἴδε Mützell [14] σ. 204). Ὅθεν καὶ οἱ ἀντιγραφεῖς ἀλλήλοις διαφέρονται, ἡμεῖς δὲ πειθόμεθα τῇ ἀναλογίᾳ. Νεώτεροί τινες ἀποδοκιμάζοντες τὸ σχῆμα τῆς λέξεως ἔγραψαν: «ἔκ τε λόχοιο» (Heyne) ἤ: «ἐκ λόκχοιο» (Paley) ἤ: «ἐκ λεχρίοιο» ἤτοι ἐκ πλαγίου (Ahrens παρὰ Gruppe, über die Theogonie des Hesiod, Berlin 1841 σ. 157, ὃς παρατίθησιν ἐκ τῶν Ῥωμαϊκῶν Ζητημάτων [42] τοῦ Πλουτάρχου· «γέγραφεν Ἀντίμαχος Ἡσιόδῳ πειθόμενος: «λέχριε δὲ δρεπάνῳ τέμνων ἄπο μήδεα πατρός»).

179 καὶ 180 ἀναγινώσκει Guiet *τε* καὶ *τ'* ἀντὶ τῶν δύο *δέ*.

180. Καὶ ἐν τοῖς ἄλλοις χωρίοις (πλὴν τοῦ 200) Nauck γράφει μέζεα, τὴν αἰσχρὰν δηλαδὴ λέξιν ἀντικαθιστὰς τῇ εὐφήμῳ (σ. 404-5).

182. *ἐξοπίσω*] Wieseler ἐξολίσων, Scheer [19α] σ. 685: ἐς πόντον.

*ἐτώσια*] Flach: ἐτώσι' ἄμ'. Ἡ χασμῳδία συγχωρεῖται ἐν τῇ βουκολικῇ τομῇ.

184. *πάσας δέξατο* (Σχόλ., Ἐτυμολ. Γουδιαν. σ. 206, 46 πᾶσας δεἰξατο)] «πᾶσας ἐδέξατο» εὑρίσκομεν ἐν τῷ Baroccianus καὶ Laurentianus 31,32, ὅ ἀδιστάκτως ἂν ἡγούμεθα γραφὴν τὴν γνησίαν, εἰ μὴ οὐχὶ μόνον Ἡσίοδος, ἀλλὰ καὶ οἱ Βυζαντῖνοι πολλάκις τὴν λήγουσαν *ας* τῶν αἰτιατικῶν κατ' ἀναλογίαν τῆς τρίτης κλίσεως ἐμέτρησαν ὡς βραχεῖαν (*). Τίς ἄρα ἂν εἴποι ποτέρα ἡ γραφὴ ἐστι παλαιοτάτη ἢ νεωτάτη;

*περιπλομένων δ' ἐνιαυτῶν*] Ἐτυμολ. Γουδ. αὐτ. περιπλομένῳ δ' ἐνιαυτῷ (ὥσπερ οἱ ἄνθρωποι ἐντὸς ἔτους γεννῶνται). Ἐκ ταύτης τῆς αἰτίας ὁ μεταφραστὴς Mombritius χρῆται τῷ ἑνικῷ (hinc longus sibi vertitur annus). Ἀλλὰ καὶ Ἡγησίνους ἢ Ἡγησῖνος ἐν Ἀτθίδι (Παυσαν. 9, 29, 1) ἐπ' ἀνθρώπων τόνδε τὸν στίχον ἐποίησεν: «ἣ δὴ οἱ τέκε παῖδα περιπλομένων ἐνιαυτῶν».

185. *γείνατ'*] Ἐτυμ. Γουδ. αὐτ. γείνετ'.

*Ἐρινῦς*] Ἐριννῦς· ἡ ὀρθὴ γραφὴ ἐξάγεται ἐκ τῶν ἐτυμολογιῶν τῶν παλαιῶν (Ἐτυμ. Μέγ. σ. 374,9 κἑ. Ἐτυμ. Γουδ. σ. 206,42, Ὥρου Ἐτυμ. σ. 57,11, Εὐστάθ. Ἰλ. Ι 454, Παυσαν. 8,25,6 Τζέτζ. Χιλιάδ. 817).

186. Λείπει ἐν τῷ Baroccianus 60.

188. *ἀποτμήξας*] Guiet ἀποτμήσασκ'.

189. *κάββαλ'*] κάμβαλ' ὥσπερ Ἰλ. Ψ 683 γρ. καὶ Ἡσύχ. λ., περὶ ὧν ἔπιθι Hoffmann, Quæstiones Homericæ 1, 82. Ἀμφότεραι αἱ γραφαὶ ἐκφράζουσι τὸν αὐτὸν φθόγγον, ἤγουν τὸ τραχὺ b.

*ἀπ' ἠπείροιο*] ἐπ' Ἠπείροιο, ἢ ἠπείροιο. Περὶ τῆς Κερκύρας, ἣ καὶ Δρεπάνη ὠνομάζετο, «Τίμαιός φησιν, ᾧ ἐξέτεμε τοῦ Οὐρανοῦ [ὁ Κρόνος] ἢ τοῦ Κρόνου τὰ αἰδοῖα ὁ Ζεύς, τοῦτο δρέπανον (δρέπανον) κεκρύφθαι». (Σχόλ. Ἀπολλων. Ῥοδ. 4,984). Οὗτος ὁ μῦθος δῆλον ὅτι αἴτιος ἦν τῆς διαφόρου γραφῆς, καίτοι ἀπᾴδει πρὸς τὰ ἑπόμενα.

191. *ὤρνυτο*] ὡρμὰ (=ὥρμα) γρ. ἐν τῷ ἀρχαιοτάτῳ.

192. *ἔπλητ'*] Köchly Opuscula σ. 267: ἔπλετο.

193. Ὁ σπάνιος τύπος *ἔπλητο* ὡσαύτως τῷ ἄπλητος (151) τοὺς μὴ δεινοὺς περὶ τὴν γραμματικὴν εἰς ἀπορίαν κατέστησε, διὸ προυτίμησαν τὸ πασίγνωστον ἔπλετο.

195. *ὑπὸ*] ὑπαί. Ἐν ταῖς ἐποποιίαις *ἀπὸ* καὶ *ὑπὸ* πολλάκις

(*) Ἐντεῦθεν συνέχεαν τοὺς πληθυντικούς, ἀναλογίζοντες γυναῖκας: γυναῖκες= χῶρας: χῶρες.

κατὰ τὸ φαινόμενον ἰαμβικῶς κεῖνται, τῷ ὄντι δὲ διεκτείνονται τῷ διγάμματι, οἷον ἐνταῦθα ἀναγνωστέον «ὑπὸ Ϝραδινοῖσι» (Αἰολιστὶ βραδίνοισι) ἢ ὑπορραδινοῖσι καὶ ἄλλοθι «ὑπὸ δϜεινοῖο». Οἱ τοῦτο ἀγνοοῦντες ὅμως συχνάκις εἰσήγαγον τοὺς ἰδιωτισμοὺς *ἀπαὶ* καὶ *ὑπαί* (ἴδε Spitzner, De versu heroico σ. 52-3. 59).

*τὴν δ'*] Ἐτυμολ. Μέγ. σ. 179,5 τὴν.

196. Τὸ πρῶτον ἡμιστίχιον ἐν τοῖς πλείστοις κώδιξιν οὕτω φέρεται: «ἀφρογένειαν (-ην) τε θεάν» (Ἐτυμολογ. Φλωρεντ., ἔκδ. Miller, σ. 198) ἢ καί: «ἀφρογένειαν θεὰν» (-όν) (Ἐτυμ. Μέγ. αὐτ.). Τὸ ὑπέρμετρον ἐκίνησε τοὺς κριτικοὺς πρὸς εἰκασίας, καὶ ὁ μὲν Guiet προυβάλετο «ἀφρογενῆ τε» (Πρβλ. Ὁμηρ. Ὀδ. β 421. σ. 201 κἀ.), ὃ παρεδέξατο ὁ Reiz, πλὴν ὅτι ἀντὶ τῆς συναλοιφῆς ἔγραψε κατὰ συνίζησιν. Παρὰ τοῖς μετ' Ἀλέξανδρον ἐπικοῖς ἀμφότερα τὰ σύνθετα ἐν χρήσει ἦσαν (ἴδε Mützell σ. 425).

197. *οὕνεκ' ἐν* (Ἐτυμ. Φλωρεντ. αὐτ.)]. Ἐτυμ. Μέγ. σ. 179, 7: οὕνεκεν· ἀλλὰ *ἕνεκεν* καὶ τὰ ὅμοια οὐχ εὑρίσκονται εἰμὴ ἐν τῇ κοινῇ (ἴδε Meisterhans, Grammatik der attischen Inschriften σ. 104).

198. *θρέφθη*] Ἐτυμ. Φλωρεντ. τράφη, κοινῶς.

*Κυθήροις*] Ἐτυμ. Γουδιαν. σ. 351,58: Κυθήρας, πρβλ. Σχόλ. Ὀδ. κ 81. Σουίδ. λ. Κυθήρηθεν.

199. Λείπει ἐν τῷ Μεγ. Ἐτυμολ. σ. 179, 8.

Ἐν τοῖς ἀντιγράφοις ἡ παράδοσις ἔχει, *Κυπρογένεια δ'* (Σχόλ. «ἐναλλαγὴ τῆς συντάξεως καλεῖται»), Κυπρογένειαν (ην) δ' (θ') Κυπρογενέα (-γένεα) δ' (θ'). Τρικλίνιος ἀναγινώσκει: «Κυπρογένει' ὅτι», ἀλλ' ἀναζητοῦμεν σύνδεσιν. Κάλλιον ἄρα ὅπερ Robinson προυβάλετο «Κυπρογενῆ (ῆ-έα) δ' ὅτι». *Κυπρογενὴς* μὲν οὖν εὑρίσκεται Ὕμν. Ὁμηρ. 10,1 παρὰ Σόλωνι (Πλουτάρχ. Σόλ. 31) Θεόγνιδ. 1304. 1323. 1332. 1382. 1385. 1386, Πινδάρ. Ὀλυμπ. 11 (10), 125, ἐν ἀδεσπότῳ λυρικῷ παρ' Ἀριστοτέλει (Ἠθ. Νικομάχ. 7, 7 σ. 1149), ἐν ἐπιγράμματι τοῦ δευτέρου μ. Χ. αἰῶνος (Kaibel 257,2 = Κύπριος) κτλ. *Κυπρογένεια* δὲ παρὰ Σαπφοῖ Ἀπόσπ. 87, Πανυάσει (Ἀπόσπ. 13 παρ' Ἀθην. Δειπνοσ. 2,36 D στ. 3), Ἀριστοφάν. Λυσιστράτ. 551 καὶ ἐν ἀδεσπότῳ λυρικῷ (Ἐτυμολ. Μέγ. 666,51). Τὰς μαρτυρίας τῶν μεταγενεστέρων ἐπικῶν εὑρήσεις παρὰ Mützell σ. 424.

*γέντο* (Χωρίκιος σ. 129,7 κέ., ἔκδ. Boissonade, παρέφθαρται εἰς «γένετο» ἢ παραπέφρασται εἰς «ἐγένετο» (ὥσπερ Ἐτυμ. Φλωρεντ.)· οὐδὲ «γένοιτο» ἄλλοθεν ἢ ἐξ εἰκασίας εἰσέφρησεν. D'Orville, Vannus Critica σ. 450) ἀναγινώσκει μετὰ τῆς αὐξήσεως «ὅτ' ἐγένετο».

«*περικλύστῳ*» ἐφύλαξεν οὐδεὶς ἀντιγραφεὺς τῆς Θεογονίας, ἀλλὰ τὰ εἰς Ἰλ. Ε 422 σχόλια (= Ἐτυμολ. Μέγ. σ. 547,20 καὶ Γουδιαν. σ. 355,10)· τοῦτο δηλαδὴ ἐπίθετόν ἐστι τῶν νήσων (οἷον Δῆλος Ὕμν. Ὁμηρ. 2,3: γᾶ Κύπρις Kaibel Ἐπιγράμμ. 846,3). Οἱ δὲ λοιποὶ ἅμα τῷ Φλωρεντίνῳ Ἐτυμολογικῷ γράφουσι *πολυκλύστῳ*· πρβλ. τὴν εἰς 290 κριτ. σημείωσιν. Ὁ δὲ Παρισῖνος ἀριθ. 2678 παρέχει διάφορον ἐντελῶς κείμενον, «Κύπρῳ ἐνὶ καλῇ», τοῦ γραφέως δῆλα δή—ἆρά γε Κύπριος ἦν τὸ γένος; —ἀποροῦντος περὶ τοῦ δυσοιωνίστου ἐπιθέτου· καὶ ἄλλοι διὰ τὴν αὐτὴν αἰτίαν ἀνέγνωσαν «πολυκλύστῳ ἐνὶ πόντῳ» (Χωρίκ. καὶ Ἐτυμ. Φλωρεντ. αὐτ.).

200. Λείπει ἐν τῷ Παρισίνῳ ἀριθ. 2776 ὡς ἀπρεπής, ὁ δὲ προηγούμενος ἐν τῷ Μεγάλ. Ἐτυμολ. σ. 179,8.

Οὐχ ἅπαντες ὠξυτόνησαν τὸ ἐπίθετον *φιλο(μ)μηδής*, οἳ μὲν ἀποβλέποντες πρὸς τὸ Ὁμηρικὸν φιλομμειδής, οἳ δὲ πρὸς τὴν Ἡσιόδειον ἀπὸ τοῦ μήδεα ἐτυμολογίαν. Ἐννοεῖται, ὅτι καὶ πολλοὶ ἔγραψαν Ὁμηρικῶς *φιλομμειδὴς*, περὶ οὗ ἴδε τὴν σημείωσιν ἡμῶν, ἢ ἐξ ἐναντίας, ὡς Ἄλδος Μανούτιος (πρβλ. Σχόλ. Διδύμ. Ἰλ. Γ 424. Anecdota Parisina τ. Δ΄, σ. 193), *μειδέων*. Τὴν Ἡσιόδου ὀρθογραφίαν παρεδέξαντο, ἂν πειθώμεθα τοῖς ἀντιγραφεῦσι, καὶ ὁ τὰ Κύπρια ποιήσας (παρ' Ἀθην. Δειπνοσ. 15, σ. 682 F) καὶ Μανέθων Ἀποτελέσμ. 2,313. Οὐδὲ ἄλλως ἡ παράδοσις ἀμετάβλητος ἔμεινεν. Καὶ ἡ συνίζησις καὶ τὸ πολλάκις ἁπλῶς γεγράφθαι φιλομηδέα διετάραξαν τοὺς γραμματικοὺς καὶ παρέσυραν πρὸς εἰκασίας. Τρικλίνιος ἐτόλμησε «καὶ φιλομηδέα δ' αὖ (πρβλ. 256), ὅθεν ἐν τῷ Monacensis 283 κατὰ μῖξιν κεῖται «ἠδὲ φιλομήδεα αὖ», ἀνώνυμος δὲ «καὶ φιλομήδειαν» (Παρισῖν. 2708, -εία Bodleianus).

*ὅτι* (Σχόλ. Διδύμ. Ἰλ. Γ 424, Ἐτυμ. Φλωρεντ. κἀ.)] Τριχᾶς περὶ μέτρων σ. 73: ὅτε.

201. *τῇ*] Ἐτυμ. Φλωρεντ. σ. 168: τῷ (καὶ ἐν τοῖς περαιτέρω «ὡμάρπτησε»).

202. *γε(ι)νομένῃ*] γειναμένῃ, πρὸς διάκρισιν τοῦ ἐν συνηθείᾳ ἐνεστῶτος «γίνομαι», πρβλ. τὸ ἐν τῇ κοινῇ συνηθείᾳ «ἔγεινα».

203. *ἔχει*] «ἔχεν» κεῖται ἐν τῷ ἀρχαιοτάτῳ Λαυρεντιανῷ, ἐπειδὴ ὁ συντελικὸς (λέλογχε) ἐν τῷ παρακμάσαντι Ἑλληνισμῷ τοῦ ἀορίστου οὐ παρήλλασσεν εἰς τὴν σημασίαν· ἐπικῶς δὲ ὁμοίαν ἔχει δύναμιν τῷ ἐνεστῶτι.

205. *μειδήματα* (Κορνοῦτ. 24) ὅθεν ἠρύσατο τὴν λέξιν ποιητὴς τῆς Ἀνθολογίας 5,198,3] Διὰ τὸ σπάνιον αὐτῆς ἐξ Ὁμήρου ἔλαβον τὸ μᾶλλον τετριμμένον *μελεδήματα*.

207. «Τιτὰν διὰ τοῦ ῑ γράφεται», παραινεῖ ὁ σχολιαστής,

ἐπειδὴ ἦσαν οἳ τῇ διφθόγγῳ ἐχρῶντο (π. χ. Τειτᾶν' Kaibel 261,4, Ἱππόλυτ. περὶ αἱρέσεων Α', σ. 25, πρβλ. Ἡσύχ. λέξ. 2,666, ἄλλοι δὲ «Τιττάν», οἷον παρὰ Πρόκλῳ εἰς Τίμ. σ. 53 C).

208. *τέκεν*] Köchly Opuscula σ. 263: τέκετ'.

210. *τοῖο δ' ἔπειτα*] Τρικλίνιος: τοῖς δ' ἤπειτα (ὅθεν Λαυρεντ. 31,20: τοῖς δ' ἔπειτα). Παράθες ἃ ἐροῦμεν περὶ τοῦ 405. — Ὁ Βατικανὸς ἀριθ. 915 παρέχει τὸ ἔμβλημα «ἐκ παιδός περ ἑοῦ· ὡς γὰρ πεπρωμένον ἐστί»· οὗτος λοιπὸν παρενόησε τὴν ἀντωνυμίαν *τοῖο*, ἀναφέρων αὐτὴν πρὸς τὸν Κρόνον, διὸ καὶ στ. 207 *τὸν* γέγραφεν ἀντὶ τοῦ ἐν τοῖς ἄλλοις *τούς*.

211. *στυγερόν τε*] Petrus Victorius (Variæ Lectiones β', γ' κ. δ') στυγερόεντα.

212. *ἔτικτε*] Mure (history of the languageand litterature of ancient Greece τ. Β', σ. 414) ἔπειτα· ἀλλὰ παρεῖδε τὴν λέξιν *δεύτερον* (214).

213. *οὔτινι*] ᾧτινι (ὤ-, ᾧ-) ἢ οὔτι (γράψον: οὔτοι).

214. *Μῶμον* (Σχόλ., Τζέτζ. Θεογον. 115)] Εἰς τὸν τῆς Ἀββατίας κώδικα ἀναγνώστης τις εἰσέγραψε *Μῶλον* ἐκ τῶν Ἰωάννου Διακόνου Ἀλληγοριῶν (σ. 559,30). Ὑγῖνος ἐν τῷ τῶν Μύθων προλόγῳ ἀπαριθμεῖ ἀντὶ τοῦ δαίμονος Discordia.

215. Fick ἐποίησε τόνδε τὸν στίχον: ... αἶσίν τε πέραν κλυτοῦ Ὠκεανοῖο χρύσεα μᾶλα μέλοντι.

216. *μέλουσι*] Βατικανὸς 1332: μελέοντι· ἆρά γε τοῦτο ἡγητέον ἴχνος τι τοῦ μὴ Ἰωνικοῦ τύπου μέλοντι; Ἰωάννης σ. 559, 36 κέ.: μέμηλε.

217. *καὶ Μοίρας καὶ Κῆρας*] Ἑρμᾶννος «Κῆρας δ' αὖ καὶ Μοῖρᾶς», Wieseler: «καὶ μογερὰς δὴ Κῆρας». E. Braun (Mythologie § 258): «καὶ Μοῖραν καὶ Κῆρας».

*νηλεοποίνας*] νηλεοποίνους (Στοβαίου Ἐκλογ. Φυσ. 1,5 [4], 5, Σχόλ.), ἐν δὲ Λαυρεντιανῷ τινι σεσημείωται ἐν τῇ ὤᾳ· γράφεται, κλεοποίνους (Στοβαίου Ἐκλογ. Φυσ. 1, 3 [4], 38 καὶ Ἰωάνν. Διάκ. σ. 560 «ὡς γέρας παρεχόμεναι καὶ κλέα τοῖς ἀνθρώποις ἐκ πόνων τῶν ἐν νυκτί»). Ruhnken ὀρθότερον ἐνόμισε *νηλαοποίνους*, ἀλλὰ καὶ Ὀρφ. Ἀργον. 1373 ἡ παράδοσις οὐχὶ τοῦτο ἔχει, ἀλλὰ «ἠλιτόποινον Ἐρινύν». Τὴν δὲ ἐν τοῖς χειρογράφοις λέξιν Voss (Kritische Blätter τ. Α', σ. 358) παράγει ἀπὸ τοῦ ἠλεός, ὃ σημαίνει «μάταιος» ἐν ἀποσπάσματι Καλλιμάχου (173 ἐν Ἐτυμολ. Μεγ. σ. 425,47). Τοῦτο μὲν φιλοθεώτερον, οὐ μὴν ἀληθέστερον ἐν ἔργῳ ποιητοῦ ἀπαισιόφρονος.

218 καὶ 219. Παραλείπονται ὑπὸ Στοβαίου (Ἐκλογ. Φυσ. 1,3,38), βεβαίως ὡς ἀδιάφοροι πρὸς τὸν σκοπὸν αὐτοῦ· ὁ 218 ἀναφέρεται ἐν τοῖς εἰς Πίνδαρον σχολίοις (Ὀλ. 7,118).

*Κλωθώ*] Nauck (16) τ. ε', σ. 134.

219. *διδοῦσι*] Προπαροξυτόνως γραπτέον, ἂν ἡ τοῦ Meyer (Γραμματ. σ. 413) ἀπὸ τοῦ δίδοντι ἐτυμολογία ἐπιδοκιμασθῇ.

220. Ὁ ἀρχαιότατος Λαυρεντιανὸς ἔχει τὴν γραφὴν «ἐφέπουσιν», ἐν τοῖς λοιποῖς ἀναγινωσκομένου *ἐφέπουσαι*, διότι τὸ ἑξῆς *οὐδέ ποτε* ἐξελήφθη ὡς μία λέξις· τὸ κολάζειν ὅμως τὰς ἁμαρτίας οὐ παρασύμπτωμά ἐστιν, ἀλλὰ κεφάλαιον.

221. *χόλοιο*] λόχοιο.

222. *πρίν γ' ἀπὸ τῷ δώωσι*] πρὶν ἂν ἀποδώωσι (Στοβ. Ἐκλογ. Φυσ. 1, 3, 38), Ἀττικωτέρᾳ συντάξει.

223. *Νέμεσιν*] Heyne Μέμψιν, περὶ οὗ Wolf διετείνατο, ὅτι Ἰωάννης ὁ Διάκονος τοῦτο τὸ ὄνομα ἀνέγνω. Τῷ ὄντι δὲ παρέφρασε τὸ κείμενον κατὰ τὸ σχόλιον: «Νέμεσιν δὲ λέγει τὴν Μέμψιν», Ἐτυμολ. Μέγ. σ. 600,29 «Νέμεσις] μέμψις, μομφή», Ἡσύχ. «νέμεσις] ὕβρις, μέμψις, φθόνος», Εὐστάθ. εἰς Ἰλ. σ. 430, 5. 917, 21.

224. *Φιλότητα*] Guiet: Δολότητα, Peppmüller (17) σ. 463: Κακότητα.

227. *Λήθην*] Ruhnken Epistola Critica σ. 96: Ἄτην (πρβλ. 230), Heyne: Λοιμόν, Schömann: Δῆριν (πρβλ. Ἰλ. Ρ 158, Bergk griechische Literaturgeschichte τ. Α', σ. 992, σημ. 68 : Λάσθην.

*Λιμὸν* μαρτυροῦσιν ὁ σχολιαστὴς καὶ Βιργίλιος (Αἰν. 6,276) ἀντὶ τοῦ Λοιμόν, ὅπερ ἐξ ἐναντίας ἡ Σίβυλλα ὑπερασπίζεται (3,603: καὶ πόλεμον καὶ λοιμὸν ἰδ' ἄλγεα δακρυόεντα· ὁ λιμὸς δῆλα δὴ ἐν τοῖς ἔμπροσθεν μνημονεύεται). Schömann Opuscula τ. Β', σ. 484 ὑποσημ. 15 οὐκ ἀπίθανον ἡγεῖται, ὅτι ἐγέγραπτο *Λοιγόν*. Τίς Ἕλλην ἀγνοεῖ τὸ Θουκυδίδου περὶ τοῦ πότερον *λιμὸς* ἢ *λοιμὸς* χωρίον (2,54) ;

227 καὶ 228. Μετήλλαξαν τὴν θέσιν ἐν τῷ Medic.

228. *Φόβους* (οἵτινες τρόπον τινὰ ἀναλέλυνται Ἀσπ. 155 εἰς τοὺς συνωνύμους Φόβον καὶ Δεῖμον)] Φόνους (Τζέτζ. Θεογον. 121), ὃ ἐξ εἰκασίας εἰσβέβληται, ἀφοῦ ἡ τῆς *φόβου* λέξεως σημασία παρέκλινεν ἀπὸ τῆς ἐν τῷ πολέμῳ φυγῆς πρὸς τὸ καθόλου δέος. Ὀδ. λ 612 (ὅς συνᾴδει τῷ προκειμένῳ πλὴν τῆς πτώσεως) παρέχει ἄνευ ἐξαιρέσεως τὴν γραφὴν *φόνοι*.

229. *Νείκεα*] Ὁ μεταφραστὴς Mombritius *νίκεα* ἐξέλαβεν ὡς πληθυντικὸν τοῦ νῖκος· ἡ λέξις ἐν τῷ παρακμάσαντι Ἑλληνισμῷ ἐσυνωνύμει τῷ νίκῃ καὶ ἔζησεν εἰσέτι ἐπὶ τῆς Κρήτης κατὰ τὸν τοῦ Ἐρωτοκρίτου ποιητήν.

*Ψευδέας* (ψυδέας Fick) *τε λόγους*] Ἵνα μὴ ἐκφρασθῇ προσωποποίησις διὰ δύο λέξεων, πολλοὶ ἀντιγραφεῖς καὶ ὁ σχολια-

στὴς ἔγραψαν ψεύδεα (ψεύδεια), στίζοντες ἔμπροσθεν τοῦ *λόγους* ἢ καὶ εἰσβάλλοντες τὸ τ' μόριον ὄπισθεν. Ἢ αἴτιον ἦν ὅπερ ἐν τοῖς εἰς Ἰλ. Δ 235 σχολίοις μανθάνομεν; «Ὁ Ἑρμαπίας προσηγορικὸν ἀναγινώσκει ψεύδεσιν ὡς τείχεσιν, ἐπεὶ οὐδέποτε, φησίν, οἶδεν ὁ ποιητὴς ἁπλοῦν τὸ ψευδής, ἐν δὲ συνθέτῳ φιλοψευδὴς κτλ.

*Ἀμφιλογίας* (Ἀμφιλλογίας Guiet)] Ἐν τῇ ἐξηγήσει καὶ τῷ Vaticanus 1332 διὰ τοῦ συνωνύμου ἀντιλογίας ἡρμήνευται, ὅπερ ὁ γράψας τὸν Vaticanus 1948 ἀντήλλαξε τῆς γνησίας λέξεως.

230. *Ἀάτην* (ἴδε σ. 402 Ἄτην)] Ruhnken Ἀπάτην (πρβλ. 224).

*τε συνήθεας*] Menrad (11) σ. 430: θ' ὁμοϜήθεας.

232. Flach: ὅτε τίς κε Ϝεκὼν.

234. *αὐτὰρ* (ἀτὰρ)] Οἱ ἀκριβέστεροι περὶ τὴν μετρικὴν παρετήρησαν, ὅτι *αὐτὰρ* παρὰ τοῖς ἐπικοῖς οὐδέποτε φέρει τὸν μετρικὸν τόνον ἐπὶ τῆς λη γούσης (Gerhard, Lectiones Appolonianæ σ. 112 καὶ Nauck (16) τ. Δ', σ. 615), ὅθεν ἐνταῦθα διαφόρως προσεπάθησαν ἀφανίσαι τὸ πρόσκρουμα, εἰκάζοντες «ὃν δὴ» (Wernicke εἰς Τρυφιόδωρον σ. 60), Hermann τὸν δή, Schömann τὸν δ' ἄρ, Schenkl (ἐν τῇ τοῦ Rzach ἐκδόσει) ὃν τ' ἄρ. Ἐπειδὴ μέντοι οὐ κατανοοῦμεν τὴν λογικὴν ἢ γλωσσικὴν αἰτίαν τοῦ συμπτώματος πλὴν ὅτι ἡ μακρὰ συλλαβὴ πολὺ συχνότερον ἐν τῇ ἄρσει κεῖται ἤπερ ἡ φύσει βραχεῖα, τοῦτον τὸν στίχον μεταποιῆσαι οὐ τολμῶμεν· ἄλλως δὲ ἔχουσιν Ἰλ. Δ 542. Ψ 694 κἀ· Τρυφιόδωρ. 119. Χρησμ. παρ' Ἡλιοδώρ. 2,35, στ. 1, ὅπου πρὸς διόρθωσιν ἀρκεῖ ἡ ἐκ πλήρους γραφὴ τῆς προηγουμένης λέξεως (π. χ. «ἐλοῦσα, ἀτὰρ», οὐχὶ «ἐλοῦσ' αὐτάρ»).

235. *θεμιστέων* (-άων,-ῶν, κατὰ δὲ τὴν χυδαίαν προφορὰν τῆς συνιζήσεως θεμιστίων,-είων)] ἐν τῷ ἀρχαιοτάτῳ Λαυρεντιανῷ τονίζεται θεμίστων, τοῦ Ὁμηρικοῦ τύπου ὄντος θέμιστος. Ἡ λέξις Θεμίστη ἅπαξ μὲν εἴρηται, ὀρθῶς δὲ παρῆκται. Πρὸς τούτῳ ἡ θεὸς ἐν ἐπιγραφῇ Θεσσαλικῇ πρὸ ὀλίγου ἀνευρεθείσῃ (Collitz, Dialektinschriften 370) ὀνομάζεται *Θεμίσστα.*

238. *Κητώ*] Nauck (16) τ. Ε', σ. 134: Κητόα.

239. *ἀδάμαντα*] Ἡ τομὴ δικαιολογεῖ τὴν χασμῳδίαν, διὸ οὐκ ἀναγκαῖον γράψαι ἀδάμαντος, ὅπερ ὅμως σαφέστερον ἦν. *Ἀδάμας* ἐπιθετικῶς κεῖται ἐν τῷ Ἡσυχίου Λεξικῷ, πιθανῶς δὲ καὶ Ὀρφ. Λιθικ. 192.

240. *μεγήρατα* (ἤγουν μέγ' ἐρατὰ) (Ἐτυμ. Μέγ. σ. 574,52)] μεγήριτα. Οἱ σχολιασταί, ἐξ ὧν ἀρύεται Ἡσύχιος ἐν τῷ Λεξικῷ, ἀποβλέπουσι πρὸς τὰς γραφὰς ἀμφοτέρας. Αἱ Νηρεΐδες

οὐ πολυέριστοί εἰσιν, ἀλλά, ὡς εἴπομεν, πολὺ ἐρατειναί. Ὁ εἰς Ἰλ. Χ 349 ἀρχαιότατος σχολιαστὴς τὸ δεύτερον ἐπίθετον ἐξηγεῖται τολμηρῶς «θεοῖς ἐρίζοντα».

241. *Πρωτώ*, ὄνομα εὐστοχώτατον ὂν ἐν τῇ ἀρχῇ τοῦ καταλόγου, κεῖται ἐν ἅπασι τοῖς κώδιξι καὶ παρ' Ἀπολλοδώρῳ· ἀλλὰ ἐν τῷ 248 στ. πάλιν τινὲς παρέχουσι ταὐτό, ὅθεν Ἰωάννης ὁ Διάκονος ἐν τῷ προτέρῳ τόπῳ εἴκασε Πρωθὼ ἀπὸ τοῦ «πρώθειν τὰς νῆας». Græviυs προυβάλετο γράψαι ἐν τῷ ἑτέρῳ τῶν δύο χωρίων Κραντὼ, ὁ δὲ Wolf Πλωτὼ, ὅπερ εἰς τὸν 248 εἰσήγαγεν ἤδη Gyraldus (Dialog. σ. 174 Ε). Ἀναζητοῦντες ποία σύγχυσις πιθανωτάτη, διαβλέπομεν τὸ Ὁμηρικὸν πρωτότυπον (Ἰλ. Σ 43), ὅτι αἴτιον ἐγένετο τῆς ἐπαναλήψεως. Διορθωτέον ἄρα τὸ δεύτερον χωρίον, καὶ τοῦτο οὐχὶ ὡς Lennep Προθόη τε, ἀλλὰ ἁπλούστατα τῷ ὁμοιοτάτῳ *Πρωθώ*.

*Εὐκράντη*] Εὐκράτη (Ἀπολλόδωρ.). Ἀμφότεραι τοῖς σχολιασταῖς ἤδη προύκειντο, ἀλλὰ οὗτοι ἤδη ἐγνώρισαν τὸ μὴ ἐπικὸν τοῦ δευτέρου σχήματος, διὸ ἔγραψαν καὶ Εὐκρήτη. Ἕνεκα τῆς αὐτῆς αἰτίας ἡμεῖς προυτιμήσαμεν τὸ πρότερον σχῆμα.

244. *Γαλήνη*] Τρικλίνιος Γαληναίη, ὃ καλόν, ἐξαλειφθέντος τοῦ *τε* μορίου· τῷ γαληναίη τύπῳ χρῶνται Καλλίμαχος ἐπιγρ. 5, 5, Ἀπολλώνιος Ῥόδιος 1, 1156, Ἄρατος 813, Ὀππιανὸς Ἁλιευτ. 1,460 (Περὶ τῶν παραλλήλων ἔπιθι Sturz, de dialecto Macedonica σ. 173, Schäfer εἰς Γρηγόριον τὸν Κορίνθου σ. 394).

245. *Κυμοθόη* (Σχόλ. Ἀπολλοδ.)] Κυμοθέη, κατὰ τὴν τοῦ Ἰωάννου ἐτυμολογίαν ἀπὸ τοῦ «κύμασι θέειν».

*Σπειώ*] Nauck (16) τ. Γ', σ. 217 ἀναλύει τὴν δίφθογγον εἰς -εε-, ὃ οὐδέποτε ὑπῆρχε (ἴδε Rödiger, Sigma und Jota in Wechselbeziehung, Berlin 1884 σ. 9), διὸ Zacher (Wochenschrift für klassische Philologie τ. Α', σ. 1318) ἀπαιτεῖ Σπεϊώ.

*Θοὴ* (Ἰωάνν. Διάκ.)] Θόη (Σχόλ.). Ἡμεῖς πειθόμεθα τοῖς ἀριθμητικοῖς. Οὐ συντιθέμεθα λοιπὸν τῷ Valckenär (εἰς Ἀμμώνιον σ. 165) ἀναγινώσκοντι «Θόη δ' Ἁλίη» ὥσπερ Ἰλ. Σ 40 κεῖται.

246 καὶ 247. Ἔν τισι μετατέθεινται· τῇ δὲ κοινῇ συνᾴδουσιν Ἰωάννης καὶ Σουΐδας (λ. Μελίτη).

*Πασιθέη* (Σχόλ., Ἰωάνν.)] Ὁ ἐν Ταυρίνῳ κῶδιξ ἀναλόγως τῷ Κυμοθόη παρέχει Πασιθόη.

*Ἀγαύη*] Ἡ παράδοσις ἔχει Ἀγαυή, καθάπερ προστέτακται ὑφ' Ἡρῳδιανοῦ εἰς Ἰλ. Ι 150 καὶ Ο 445 ἐπὶ τῶν «ἐπαίνων» ὀνομάτων. Ὃς κανὼν ἐπιτετήδευται.

247. *Εὐνείκη*] Græevius Εὐνίκη. Τὸ Ἡσιόδειον ὄνομα παρὰ τοῖς Δωριεῦσι καὶ Αἰολεῦσιν ἐν χρήσει ἦν (Θεόκριτ. 13, 45. 21, 1. 42, Σουίδ. λ. Σαπφώ).

248. Ὁμοίως ἀναγινώσκομεν, ὥσπερ «τινὲς» ἐν τοῖς εἰς Ἰλ. Σ 44 σχολίοις οὐχὶ Δυναμένη, ἀλλὰ Δυναμενή.

249. *Ἀκταίη*] L. Dindorf: Ἀκραίη.

*Πρωτομέδεια*] Blomfield εἰς Αἰσχύλ. Ἑπτὰ ἐπὶ Θήβας 123: Πρωνομέδεια.

250. *Πανόπη*] Ἐπειδὴ ὁ στίχος οὐχ ὁλόκληρος, ὁ Ἑρμᾶννος (εἰς Ὀρφικὰ σ. 728) προυβάλετο Πανόπεια (πρβλ. Νόνν. Διονυσ. 39,255. 43, 100. 264. Βιργιλ. Αἰν. 5,240, 765), ὁ Flach Πανόπη καὶ ἀγακλειτὴ Γ. (πρβλ. Ἰλ. Σ 45), ὁ δὲ Paulson σ. 150 Π. καὶ ἐϋειδὴς Γ. Ἡμεῖς δὲ ἰδόντες, ὅτι τὸ *τε* συχνότατα ἐξέπεσε, τοῦτο δὴ εἰσεβάλομεν.

253. *ζαθέων*] Scheer (19 β) σ. 684-5 ζαχρηῶν. Bergk ἐν τῷ Φιλολόγῳ λβ', σ. 563 ζαέων (Σχόλ. «ἄγαν πνεόντων»).

*Κυματολήγη* (Σχόλ., πρβλ. ἐπιγραφὴν ἀγγείου Annali dell' Institute archeologico τ. Δ', σ. 124)] κυματολήγῃ ἔγραψεν Ἀρίσταρχος, ἵνα μὴ ἀποβαίνωσι *νά* Νηρεΐδες, συναριθμουμένης καὶ Θόης (245).

254. *καὶ ἐϋσφύρῳ*] Τρικλίνιος σύν τ' εὐσφύρῳ. Bergk αὐτ. συντέμνει τοὺς δύο στίχους: «Πρηΰνει πνοιάς τ' ἀνέμων σὺν Κυματολήγῃ.

255. *θ' Ἁλιμήδη*] τ' Ἀλιμήδη.

256. *τε φιλομμειδὴς*] Τρικλίνιος· φιλομειδὴς δ' αὖ (τ' αὖ), ἐπειδὴ ἐν τῷ ἀρχετύπῳ ἀνέγνω φιλομειδὴς δι' ἑνὸς μ.

257. *Λειαγόρη*] Τὸ ὅτι ἴσως ἀνήκει εἰς τὸ λαός (Ἰωνιστὶ ληός), παρώρμα ἂν ἡμᾶς πρὸς τὸ διὰ η γράψαι, εἰ μὴ ηὑρίσκομεν ἤδη ἐν Ἀττικῇ ἐπιγραφῇ Β',553,21 τὸ ὄνομα «Λειωγόρου».

*Λαομέδεια*] Ὁ σχολιαστὴς παρατίθησι τὴν περίεργον γραφὴν *Ἀλλομέδεια* («ἡ ἀλλοτρίων ἐν τῷ πλῷ μνήμη πραγμάτων»).

258. Ἀποκαμόντων τῶν ὀφθαλμῶν ἀπὸ τοῦ τῶν ὀνομάτων πλήθους, ἀντιγραφεῖς τινες ὑπερήλαντο τὸν στίχον τόνδε.

*Πουλυνόμη*] Ὁ Ψευδαπολλόδωρος (Βιβλιοθ. 1,2,7) φαίνεται ὅτι ἀνέγνω Πουλυνόη, ὅπερ ὁμοιοτελευτεῖ μετὰ τοῦ ἑπομένου ὀνόματος. Ἐξ ἐναντίας δὲ τοῦτο ἔγραψάν τινες Αὐτονόμη, ἀλλ' ὁ σχολιαστὴς καὶ Ἀπολλόδωρος καὶ Εὐστάθιος (Ἰλ. Σ 471. Ὀδ. η 25. θ 557) συμφωνοῦσιν εἰς τὴν παράδοσιν.

*Λυσιάνασσα*] Hermann, Briefe an Creuzer σ. 90 Λυσιάνειρα (ἥτις βασιλέως δίκην λύει τὰς συνόδους τῶν ἀνδρῶν), Göttling ἔκδ. α' Ὑσιάνασσα.

259. *φυήν*] Φυὴ (ἢ φυῇ;).

260. *δίη τε ἥ τε* (Τρικλίνιος: ἡ δὲ μὲν Ἵππη] Ἐν τῷ Monacensis 283, ὅπου τὸ *δέμας* ἐξέπεσεν, ὁ σχολιαστὴς ἀντὶ τούτου προσέθηκε *δέ μεν*· ἡ γραφὴ σαφηνίζει τὴν τῆς Τρικλινίου γένεσιν· Göttling «καλή τε», ἢ «ῥοδίη τε», ἢ «καὶ δῖα», Paley «θείη τε», ἀμφότεροι οὐχ ὑγιὲς ἡγούμενοι τὸ θηλυκὸν *δίη* ἀντὶ τοῦ Ὁμηρικοῦ δῖα (=δίϜ-ια). Ἀλλὰ καὶ ἀνώνυμός τις ποιητὴς (Σχόλ. Πινδάρ. Νεμ. 2,16) ἐποίησε «δίη τε Κελαινώ».

261. *Προνόη*] Σχόλ. εἰς 253: Πατρονόη (ἐξαλειφθέντος τοῦ προηγουμένου: τε).

262. Ἐν πᾶσι φέρεται Νημερτής θ' (πρβλ. Ἰλ. Σ 46. Ἐμπεδοκλ. στ. 14), κατὰ δὲ τὰ σχόλια ἐν ἄλλοις ἔκειτο ἐπιθετικῶς *νημερτής*, ὃ παρεδεξάμεθα—εἰ μή τις λέγει, ὅτι Ἡσίοδος ἐκ στήθους ἀριθμῶν ἐσφάλη εἰς μίαν Νηρεΐδα. Heyne (εἰς Ἰλ. Σ 46) ἀποζητεῖ τὸ θηλυκὸν σχῆμα Νημερτίς.

264. *ἔργα Ϝιδυῖαι* Lennep] ἔργ' εἰδυῖαι, ἐν πᾶσιν· ἀλλὰ τὸ θηλυκὸν ἐπικῶς τὸ βραχὺ φωνῆεν ἔχει.

265. *βαθυρρείταο*] Nauck (16) Ε' 136: βαθυρρεέταο.

*Ἅρπυιας ἢ Ἁρπυῖας, -υίας*] Nauck (16) Ε' 134 καὶ Fick: Ἀρέπυιας, κατὰ παλαιοκορινθιακὴν ἐπιγραφὴν ἀγγείου.

267. «Ἡ δὲ ἑτέρα (Ἅρπυια) καλουμένη Ὠκυπέτη, ὡς δὲ ἔνιοι Ὠκυθόη, Ἡσίοδος δὲ λέγει αὐτὴν Ὠκυπόδην»· οὕτως ὁ Ψευδαπολλόδωρος (1, 9, 27, 7) ὅσπερ βεβαίως οὐ ψεύδεται, εἰ καὶ ἡ παράδοσις ἅμα τοῖς σχολίοις καὶ ἄλλοις μάρτυσιν (Ἐτυμολογ. Μέγ. σ. 148,29. Σχόλ. Ἀπολλ. Ῥοδ. 2,276. Σχόλ. Ἰλ. Π 150) ἔχει Ὠκυπέτη. Εὐκατάληπτον γάρ, ὅτι τὸ τετριμμένον ὄνομα ἀντικατέστησε τὸ ἅπαξ εἰρημένον.

268. *ἕπονται*] Schömann σ. ζ': ἕποντο, ὅπερ ἀποζητεῖ ὁ πεπατημένος περὶ τῶν Ἁρπυιῶν μῦθος.

269. *ὠκείῃς*] ὠκυέσι.

*μεταχρόνιαι*] Ἐρρῖκος Στέφανος ἐν τῷ Θησαυρῷ: μεταχθόνιαι, ὅπερ ἔν τισι γράφεται Ἀπολλων. Ἀργοναυτ. 2, 589. Ἡ παράδοσις μέντοι ἐνταῦθα καὶ ἄλλοθι (οἷον παρὰ Μαξίμῳ 420) ἀπαραλλάκτως παρέχει τὴν γραφὴν «μεταχρόνιος».

270. *Φόρκυι* (Δράκων σ. 94,14, -υ)] -υνι, ἧς καταλήξεως ὅμως τὸ ῡ μακρόν. Πρβλ. 333. 336.

*Γραίας* (Δράκων αὐτ. γρείας, χυδαίᾳ προφορᾷ)] Göttling: παῖδας, Köchly: κούρας, Wieseler (25): πηράς.

*καλλιπαρῄας*] καλλιπαρῄους (Σχόλ., Δράκων αὐτ.). Σέλευκος τὰς Γραίας, αἵπερ ὑπὸ τῶν μεταγενεστέρων ὑπελαμβάνοντο μονόφθαλμοι καὶ μονόδοντες, ἀναξίους ἡγήσατο τοῦ ἐπιθέτου τούτου, ὅθεν προυβάλετο «καλλιπάρῃος», ἐνθυμηθεὶς τὸν 238 στ.

271. *γενετῆς*] (Εὐστάθ. Ἰλ. Α 350 σ. 116,27)] γενεῆς.

272. *ἐρχόμενοι*] Clericus: ἑρπόμενοι, παθητικῶς μᾶλλον ἢ Ἡσιοδείως.

273. *Πεμφρηδὼ* (Σχόλ. Ἀπολλων. 4, 1515, ἄλλως *Πεφρηδὼ*)] Πεφρηδὼ ἢ Πεφριδὼ (Ἰωάνν. Διάκ., Τζέτζ. Λυκόφρ. 838, Σχόλ. Αἰσχύλ. Προμηθ. 793, Ἐτυμολ. Φλωρεντ. σ. 243, Ἀπολλόδωρ. 2,4,2,3). Ἡ δυσεξήγητος λέξις ὑπ' ἄλλων μετεβλήθη κατὰ τὴν κοινῶν ὀνομάτων ὁμοιότητα, οἷον Τεφρηδὼ (οὕτως ὁ ἐν Ταυρίνῳ κῶδιξ) παρὰ τὸ τέφρα ἢ Μεμφρηδώ (Ἀπολλόδωρ. αὐτ. γρ.) καὶ Μεμφήδη (Ζηνοβ. Παροιμ. 1,41 σ. 16,5) παρὰ τὸ μέμφομαι. Ἡ ἀπόφασις ἡμῶν ἐγένετο, ἀφοῦ ἐγνωρίσαμεν τὴν κατόπτρου Τυρρηνικοῦ ἐπιγραφὴν Pemphetru (ἡ δὲ Ἐνυὼ ἐκεῖ Enie καλεῖται).

*ἐύπεπλον ἢ εὔπεπλον*] Lolling παρὰ Wies. (27): ἰόπεπλον. Rzach σ. 373 περὶ τοῦ ευ- τοῦτο διορίζει, ὅτι διῃρημένως γραπτέον ἐϋ- πρὸ δύο συμφώνων οἷον ἐϋδμήτοιο. Ἐπειδὴ ἡ παράδοσις ἐν τοιούτοις ἀβέβαιος καὶ φυσικῶς οὐδὲν ὑπάρχει χωρίον, ὅπου ἡ διαίρεσις καὶ πρὸ ἁπλοῦ συμφώνου ἀναγκαία, τὸ ζήτημα μεταξὺ καταλείπομεν· πλὴν κατὰ πᾶσαν πιθανότητα ἐν τῷ πέμπτῳ ποδὶ αὕτη προτιμοτέρα.

274. *Γοργούς*] Heyne: Γοργοῦς.

Ἡ αἰτιατικὴ ἐσχηματίσθη ἀναλόγως τοῖς εἰς ō θέμασιν, ὥσπερ τὰς εἰκοὺς Ἀριστοφάν. Νεφέλ. 559, λεχοὶ Ὀρφ. Ὕμν. 2 (1), 10, λεχοὺς Σχόλ. Ἀπολλων. Ῥοδ. 2, 1010.

275. *Νυκτὸς* Gerhard] νυκτός. Ἡ γὰρ θεὸς αὐτόθι τὴν ἑαυτῆς οἰκίαν ἔχει (748 κέ.).

276. *Σθεν(ν)ώ* (Ἡρῳδιαν. περὶ μον. λέξεως σ. 13)] Σθεινώ (Σχόλ.). Τὸ ὄνομα οὐχ ἁρμόζει εἰς τὸ δακτυλικὸν μέτρον.

*Εὐρυάλη τε*] Ἰωάννης σ. 563 γρ.: Εὐρυάλεια.

*αἳ*] Hermann (8) σ. 169: ταί.

277. *ἀγήρῳ*] ἀγήρως. Menrad (11) σ. 430: ἀγηράω. Περὶ τῆς κλίσεως πολλὰ ἐδίσταζον (ἔπιθι καὶ τὰ εἰς Ὀδ. ε 218 σχόλια) καὶ ἦσαν οἳ οὐκ ἐνεθυμήθησαν περὶ τοῦ συνηλεῖφθαι ἐκ τοῦ ἀγήραος. Τὸ ἀγήραοι λοιπὸν ἀποτελεῖ ἀγήρῳ.

280. *Περσεὺς κεφαλὴν*] Σχόλ. Πινδάρ. Ὀλ. 13, 89 γρ. κεφαλὴν Περσεύς. Ὃ μνημονεύομεν, ἵνα προσέχῃ τις τὸν νοῦν τῇ περὶ τὴν εὐφωνίαν ἐπιμελείᾳ τοῦ ποιητοῦ.

281. *ἔκθορε Χρυσάωρ* Παρισῖν. 2678] ἐξέθορε Χρυσάωρ (Σχόλ. Πινδάρ.). Ἡ λεγομένη Ἀττικὴ ἐλάττωσις συγχωρεῖται μάλιστα ἐν ταῖς καταλήξεσιν. Πολλοὶ Βυζαντῖνοι ἔγραψαν καὶ ἐνταῦθα καὶ 287: Χρυσάορ, ὥσπερ καὶ Τζέτζης ἐν τοῖς Μεθ' Ὅμηρον 181: Χαλκάορ, παρὰ τὴν ἄορ λέξιν· καίτοι ἡ ὀνομαστικὴ τῶν ἀρσενικῶν χρήζει σημείου τῆς κλίσεως.

282. *ἦν ὅτ' ἄρ'* (ἂν)] Nauck (16) Δ', σ. 390,8. Ε', σ. 140: ἦεν ὅτ'.

*περὶ*] παρὰ. Αἴπερ ἐν τοῖς κώδιξι πολλάκις συγχέονται, οἷον ἐν τῇ ἀρχῇ τοῦ Ἡσιόδου Βίου. Πρβλ. πρὸς τὴν χρῆσιν Ἰλ. Β 757: οἳ περὶ Πηνειὸν καὶ Πήλιον εἰνοσίφυλλον ναῖον.

*πηγὰς*] πηγὴν. Ὁ πληθυντικὸς μᾶλλον ἀντηχεῖ τὸ κύριον ὄνομα.

283. *ἔχεν*] ἔχων, παρεννοουμένης τῆς βραχυλογίας. Mützell σ. 67 διισχυρίζεται, ὅτι τὸ ἄορ ἔχει πανταχοῦ τὸ ᾱ μακρόν, καθάπερ Ἀσπ. 221 καὶ 457, ὅθεν γράφει: γείνεθ' (οὕτω τινὲς κώδικες), ὃ δ' ἆορ ἔχεν χρύσεον, καθόσον καὶ ἐν τῷ εἰρημένῳ Παρισίνῳ φέρεται «γίνεθ' ὁ δ' ἆορ ἔχων χρύσεον». Ὁ δὲ Hermann γράφει: γέντο δ' ἄορ χρύσειον ἑλὼν, τὸν στίχον τιθεὶς ἐν παρενθέσει ὄπισθεν τοῦ 280.

287. *τρικέφαλον* (Σχόλ., Ἰωάνν. Διάκ., Σουΐδας λ. κυνοκέφαλος, Σχόλ. Ἀριστοφ. Ἱππ. 414, Σχόλ. Ἀριστείδ. τ. Γ', σ. 547), πρβλ. Ὀρφ. Ἀργοναυτ. 979: τρισσοκέφαλος, Ἀριστοφάν. Ἱππ. 416 ἐν χρησμῷ: κυνοκεφάλῳ, Εὔβουλ. κωμ. Ἀπόσπ. 105,10 ἐν αἰνίγματι: ἀμφικέφαλος, ἐπιγραφὴν ἀγάλματος Ἀττικοῦ παρ' Εὐσταθ. Ἰλ. Ω 336: τετρακέφαλε] Οἱ προσκρούσαντες τῇ τοῦ ᾱ διεκτάσει εἴκασαν «τρικάρηνον», πρβλ. καὶ 312.

288. Ἐπειδὴ ὁ στίχος χωρὶς αἰτίας ἐξωτερικῆς ἔν τισι μὲν λείπει, ἐν δὲ ἄλλοις κεῖται ὄπισθεν τοῦ 279, ἴσως ἐμβέβληται ὑπ' ἀναγνώστου, ὅστις ἐγνώρισε τοὺς ἀπὸ 979. Οὐδὲν ἧττον ἀπαιτεῖται μνεία τῆς μητρός.

290. *βουσὶν ἐπ'*] βουσὶ πάρ'.

*εἰλιπόδεσσι* (εἰ.)] εἰλοπόδεσσι (Χρησμ. Σιβύλλ. 1,59). Ὦρος δικαιολογεῖ τὸ ἰῶτα (Ἐτυμολ. Μέγ. σ. 299,25 κἑ.).

*περιρρύτῳ*] πολυρρύτῳ. Ὅμοιόν τι συνέβη 199.

*τῷ*] τὼ, ὅπερ τὴν μονοτονίαν ἂν ηὔξανεν. Hermann (8) σ. 236: τὸ Fεργάζεσθαι ἄριστον.

*ἀρίστω*] Ὁ κῶδιξ τῆς Ἀββατίας: ἀμείνω.

439. *ἐρίσαντε* (-τ')] Ἡ γραφὴ ἐρίσαντες (Ἐτυμολ. Γουδιαν. Anecdota Oxoniensia) περισσὴ διὰ τὴν τομήν.

440. *τὸ δὲ ἔργον*] Bentley: Ϝέργον δὲ. Lennep: τὰ δὲ Ϝέργα Ϝετώσια.

442. Παρελείφθη ὑπὸ τοῦ γράψαντος τὸν ἐν Μεσσάνῃ κώδικα, μαρτυρεῖ δὲ ὑπὲρ αὐτοῦ ὁ μέγας Ἐτυμολόγος σ. 201,18.

*δειπνήσας*] Τὸ τῆς ἐν Κανταβριγίᾳ Ἁγ. Τριάδος χειρόγραφον ἔχει προσγεγραμμένον· «γρ. τρυφήσας».

*ὀκτάβλωμον*] Cobet, Miscellanea Critica 1876, σ. 413 ἀναγινώσκει ὀκτώβλωμον, καθάπερ ὀκτώμηνος καὶ ὀκτώπους· ἀλλὰ τούτοις ἀντιρροποῦσιν ἡ Ἡσιόδειος καὶ ἡ Ὁμηρικὴ λέξις ὀκτάκνημος (Ἰλ. Ε 723).

443. *ὅς κ'*] ὥς κ', Bentley: ὅς Ϝέργου.

*ἰθείην* Bentley] ἰθείαν, ἰθεῖαν, ἰθεῖάν κ' Λαυρεντ. 32, 16, Hermann: ἰθεῖαν Ϝαύλακα (;), Nauck (16) τ. δ', σ. 628: ἰθύντατα. Εἰ καὶ οὗτος, τ. ε', σ. 183 ὑποσημ. 40, ἅπαντα τὰ παραδείγματα ἐξαλείφει, ἀδύνατον ἀρνηθῆναι, ὅτι Ἡρόδοτος καὶ Ἱπποκράτης τῇ *έη* καταλήξει ἀντὶ τῆς *εῖα* χρῶνται, καὶ ἐν τῇ Ἰλιάδι ἤδη *βαθέην* φέρεται (Π 766). Ὁ Galeanus παρέχει Ἔ. 16: βαρείην. Τοῦτο ἐγένετο κατ' ἀναλογίαν τῶν λοιπῶν θηλυκῶν, καθάπερ ἐν τοῖς Ἡσιοδείοις *δίη* καὶ *Μαίη* ἀντὶ τοῦ δῖα καὶ Μαῖα εὑρίσκονται.

444. *μηκέτι*] Wakefield, Silva Critica τ. δ', σ. 58: μηδέ τι.

448. *φράζεσθαι δ' εὖτ' ἂν*] Σχόλ. Ἀράτ. 1010: φράζεο δ' αὖτε ἐάν.

*φωνὴν γεράνου*] Διὰ τὸ ἑπόμενον φωνῆεν αἱ λέξεις ὑπ' ἐνίων μετετέθησαν. Σχόλ. Ἀράτ. 1010: γεράνων φωνῆς.

*ἐπακούσῃς* (Σχόλ. Ἀράτ.)] ἐπακούσαις, ὁ κῶδιξ τῆς Ἀββατίας καὶ Σχόλ. Ἀριστοφάν. Ὄρνιθ. 710: ἐσακούσῃ, ἐσακούσῃ Βατικαν. 1384.

451. *ὀμβρηροῦ* (πρβλ. ὀμβρηρῶς παρὰ Φίλωνι καὶ ὀμβρήρεα κράζων Νίκανδρ. Θηρ. 406)] ὀμβρινοῦ (-ηνοῦ) (Σχόλ. Ἀράτ.). Ἡ λέξις οὐχ ὑπῆρχεν.

*ἀβούτεω* (Ἡσύχ., Ἐτυμολ. Μέγ. σ. 3,52)] Καππότας αὐτ. σ. 32: ἀβούλεω.

452. *βοῦς*] βόας. Ὁ κανονικὸς τύπος ἐστὶ βοῦς=βοῦ-νς. Ὁ *βόας* ἐσχηματίσθη μεθύστερον παρὰ τὴν ὀνομαστικήν.

*ἐόντας*] ἐούσας.

453. *γὰρ ἔπος*] Lennep: τὸ Ϝέπος, Paley: δὲ Ϝ., Schömann: γε Ϝ.

454. *πάρα δ' ἔργα*] Lennep: πάρα Ϝέεργα.

455. *δ' ἀνὴρ*] Καππότας σ. 32: θ' ἀνήρ. M. Hecht (die griechische Bedeutungslehre, 1888, σ. 136) στίζει ὄπισθεν τοῦ ἀφνειός, ὥσπερ ἂν εἰ ὁ ἀνὴρ εἶπε τὰ ἑξῆς.

456. *τὸ* (Ϝ)*οἶδ'*] τόδ' οἶδ', τό γ' οἶδ'.

*δέ τε* (Πλάτ. Θεαίτητ. 207 Α. Σχόλ. Ἰλ. Β 649, Ἐτυμολ. Μέγ. σ. 283,21)] δέ γε, δὲ.

*ἀμάξης, ἀμ.*] ἀμάξῃ,-ῃ.

*πρόσθεν*] Λαυρεντιαν. 31,24: πρῶτον.

457. *ἐχέμεν* Ϝ*οικῆϊα*] δεῖ ἔχειν οἰ.

458. *δὴ πρώτιστ'*] δὲ πρ.

*φανήῃ* (=φανῇ) Heyne Παράρτ. ϐ' εἰς Ἰλ. Μ 41 τ. ς', σ. 364] φανείῃ. Spohn: φανείῃ.

459. *δὴ*] δεῖ.

462. *ἔαρι* Πολυδεύκης 1,223, ἴδε 477. 492. 569] εἴαρι, ἦρι.

463. *ἔτι κουφίζουσαν* (Εὐστάθ. Ἰλ. Π 391)] Hermann (8) σ. 237: ἐπικουφίζουσαν.

466. *ἐκτελέα*] Λαυρεντ. 32,16: ἐντελέα (ἤγουν ἐντελῶς).

468. *ὅρπηκα* (οὐχὶ ὄρπηκα, ἐπειδὴ ἡ ῥίζα ἑρπ=σερπ, Λατινιστὶ serp)] Brunck: ὅρπηκι.

*ἴκηαι*] Grævius: ἵηαι.

469. *μεσ(σ)άβων* (Ἡσύχ.)] μεσάβῳ. Bergk (3, κ'): μέσαϐον, ὥστε τὸ *ἔνδρυον* ἐπίθετον.

*τυτθὸς*] Schäfer εἰς Διονύσ. Ἁλικαρν. π. συνθέσεως σ. 62: τυτθὸν, πρϐλ. Ἰλ. Ε 443: τυτθὸν ὀπίσσω, Θεόκριτ. 1,45: τυτθὸν δ' ὅσσον ἄπωθεν.

470. *δμωὸς*] δμῶος. Περὶ τοῦ τόνου εἴρηται ἐν τοῖς ἀνωτέρω, ἴδε 430.

*τιθείη*] Paley: τιθείῃ.

471. *σπέρματα κακκρύπτων*] Ἡ ἀλλόκοτος ἔκθλιψις αἰτία ἐγένετο τριῶν εἰκασιῶν τῶν παλαιῶν, σπέρματα κρύπτων ἢ σπέρμα κατακρύπτων ἢ σπέρμα κάκκρύπτων (οὕτω τὸ ἐν Ἱεροσολύμοις χειρόγραφον).

473. Δάσυνε ἁδροσύνῃ, τῆς ῥίζης οὔσης ΣϜΑΔ.

476. *βιότου-οιο αἰρεύμενον* (αἱρεύμενον, τροπῇ Αἰολικῇ, ὥς φησι τὸ Μέγα Ἐτυμολογικὸν σ. 38,14 κέ. ἐρεύμενον) ὅ,τι ὁ Μοσχόπουλος ἐξηγεῖται *ἐρευγόμενον!*] Guiet: βιότοιο ἐρεμμένον ἢ ἐρέμμενον (παρὰ τὸ ἐρέπτω), Clericus: ἐρεύγμενον, Grævius: ἐρευγμένον, Hermann (8 σ. 638): βιότου ἠρευγμένον, Bentley: βιότοιό γ' ἐρεύμενον.

477. *εὐοχθέων* (Σχόλιον τῶν τε χειρογράφων καὶ τὸ σῳζόμενον ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σ. 401, 15, Εὐστάθ. Ἰλ. Α 517. 591. Ὀδ. α 23, πρϐλ. τὸ *εὔοχθοι* τοῦ Βακχυλίδου παρ' Ἀθηναίῳ 5,178 Β)] εὐοχέων, εὐωχέων,-ῶν παρὰ τὸ εὐωχία. Guiet: εὐεκτῶν.

*ἵξεαι*] ἵξηαι (Ἐτυμολ. Μέγ.), ἵκηαι (-εαι), ἵξεις (ἥξεις).

479. *κεν*] Guiet: κὲν (=καὶ ἐν!).

*ἀρόης*] ἀρόῳς.

480. *περὶ*] πέρι.

*χειρὸς*] Guiet: χεῖρας, Hermann (8) σ. 238: χειρὶ ἢ χερσὶ (Ὁ πληθυντικὸς οὐχ ἁρμόζει, τοῦ θεριστοῦ δραττομένου τοῦ σίτου μιᾷ χειρί), Schömann: περ χείρεσι ἔργον. Ἡ ἔννοια, ἥτις ὑπόκειται τῇ φράσει «ὀλίγον χειρὸς», ἐκφράζεται ὑπὸ τοῦ Ἑλληνίζοντος Προπερτίου ταῖς λέξεσιν «in parva manu» (Ἐλεγ. 2, 7, 51).

484. *καταθνητοῖσι νοῆσαι*] κατὰ θνητοῖσι νοῆσαι. Ἡ σύνθετος *κατανοέω* νῦν γε οὐχ εὑρίσκεται πρότερον Ἡροδότου καὶ Ἱπποκράτους.

485. *ἀρόσῃς*] ἀρόῳς, ἴδε 479.

486. *κόκκυξ*] Ὁ ἀρχαιότατος Λαυρεντιανὸς παρέχει σχῆμα, ἐξ οὗ τὸ καθ' ἡμᾶς *κοῦκκος* προῆλθε, *κόκκυς*.

*κοκκύζει* (-ῃ)] Σχόλ. Ἀριστοφ. Ὄρνιθ. 505: κοκκύσῃ. Paulson σ. 46, ὑποσημ. 1: κοκκύζει κόκκυξ.

490. *πρωτηρότῃ* (πρωταρότῃ, Ἀμμών. λ. ἀψαρότης)] προηρότῃ, προαρότῃ, προαρηρότῃ, προαρηρότι (πρβλ. ἀρηρομένη Ἰλ. Σ 548, Ὀππιαν. Κυνηγ. 4,436). Κόντος (ἐν Λογ. Ἑρμῇ Ε', σ. 68) διστάζει περὶ τῆς ὑγιείας τῆς γραφῆς. Καὶ ἡμεῖς ἂν ἐγράφομεν πρῳηρότῃ ἤτοι τῷ πρωῒ ἀρόσαντι (καθάπερ πρωϊανθὴς, -βλαστος, -καρπος, -σπορος), εἰ τὰ νῦν ἀντικείμενα *πρώϊμα* καὶ *ὄψιμα* καὶ ἐν τῇ Ἄσκρᾳ ἐγνωρίζοντο.

*ἰσοφαρίζοι*] Capelle, philologischer Anzeiger τ. ζ', σ. 293: ἀντιφερίζοι.

491. *εὖ*] Rzach: ἐὺ.

492. *μήτ' ἔαρ*] Kidd σημείωσ. εἰς τὰ Miscellanea τοῦ Dawes σ. 195: μήτ' ἦρ. Πρβλ. 462. Paley: μὴ Fέαρ, ἤ, Fείαρ.

*πολιὸν*] Παρισ. 1320: λευκὸν.

493. *χαλκῆον* ἢ *χαλκήϊον*, ἐγὼ (πρβλ. Ὀδ. σ 327: χαλκήϊον δόμον)] χαλκεῖον.

*θῶκον* (Ἐτυμολ. Φλωρεντ. σ. 22, Εὐστάθ. Ὀδ. σ 328)] Σχόλ. Ὀδ. σ 327 γρ. οὐδὸν (συγχύσει τούτου τε τοῦ στίχου καὶ Θ. 811).

Τὸ πρωτοφανὲς ΕΠΑΛΕΑ τοτὲ μὲν ὑφ' ἕν, τοτὲ δὲ κατὰ διαίρεσιν ἀναγινώσκεται, ὅθεν καὶ *ἐπ' ἀλέᾳ* ἡμάρτηται. Ἡγούμεθα ἀναγκαίαν τὴν ὑφ' ἓν γραφήν, διότι οὕτως ἡ ἐν τῇ ἄρσει χρῆσις τοῦ ᾰ μᾶλλον δικαιολογεῖται. Göttling: ἔπ' ἀλέα, Hermann: παρὰ δ' ἀλέα, Wakefield εἰς Βιργιλ. Γεωργ. 1,300: κἄπαλεύεο ἢ χὐπαλεύεο.

494. *ἀνέρα*, Ἐτυμολογικὸν τὸ ἐν Λείδῃ ἀναφερόμενον ὑπὸ τοῦ Gaisford, Poëtæ Minores τ. γ', σ. 201 = 6', σ. 303 ἔκδ. Λειψ.]. Οἱ λοιποὶ ἅπαντες παρέχουσιν *ἀνέρας* διὰ τὴν δὴ δοκοῦσαν χασμῳδίαν.

*ἔργων*] ἔργων, ἔργον, ἐέργον (-ων), εἶργον (Ἐτυμολ. Λείδ.) ἢ εἴργων. Meursius εἰς Λυκόφρον. 543: εἴργων. Lennep εἰς Κόλουθον β. γ', κ. θ' σ. 173 = 203: ἀνέρ' ἀεργόν.

495. *κ'*] Wakefield αὐτ.: γ'.

*μέγα* (Ϝ)*οἶκον*] μέγαν οἶκον, ὁ ἐν Ἱεροσολύμοις κῶδιξ καὶ Ἄλδος.

*ὀφέλλῃ*] Brunck: ὀφέλλοι.

496 καὶ 497 παρελείφθησαν ὑπὸ τοῦ γράψαντος τὸν τῆς Ἀββατίας κώδικα.

*μή σε*] μὴ δὲ, ὁ ἐν Σαγγάλλῃ κῶδιξ.

498. *κενεὴν ἐπὶ ἐλπίδα*] Paley: κενεῇ ἐπὶ ἐλπίδι.

499. *θυμῷ* Στοβ. Ἀνθολ. 30,10] θυμὸν.

500. *κομίζει* (Στοβ.)] κομίζειν Λαυρεντιαν. 31,39, ὃ ἐξήρτηται ἐκ τοῦ ἀγαθή. Ζήτει εἰς 317.

501. *ἤῃ* ἐγὼ (εἴῃ Hermann)] εἴῃ. Παράθες φανήῃ 458.

504. *Ληναιῶνα, κάκ' ἤματα*] Steitz: Βουκάτιον κακά τ' ἤματα, ἵνα εἰσαχθῇ τὸ Βοιωτικὸν ὄνομα.

*βουδόρα*] Ἄλλοι ἐτόνισαν *βούδορα* ἤτοι «ἐν οἷς βόες ἀποδέρονται» (Εὐστάθ. Ἰλ. Ρ 549) ἢ «τὰ αἴτια τοῦ ἀποδέρεσθαι τοὺς βόας» (Σχόλ.). Ἐτυμολ. Φλωρεντ.: σ. 206 παρέχει τὴν σύνθετον «βούδροσα», ὅπερ φαίνεται ὅτι εἰρωνικῶς ἐξελήφθη.

505. *πηγάδας*] Ἐτυμολ. Φλωρεντ.: παγάδας,: κατὰ τὴν παγετὸς λέξιν.

506. *τελέθουσι*] τελέθωσι(ν).

507. *ὅστε* (ὥστε)] ἅστε, αἴτε.

509. *δρῦς*] Nauck (16, δ') σ. 487: δρύας. Ζήτει εἰς 452.

510. *πιλνᾷ*, ὥσπερ πιλνᾷς Ὕμν. Ὁμηρ. 5, 115] πιδνᾷ, πιτνᾷ, πίλνη Λαυρεντ. 31,39. Bergk, Poëtæ Lyrici Græci τ. γ', σ. 92, ἔκδ. δ': πίλναι, Αἰολικῶς ἀντὶ τοῦ πίλνησι. Nauck αὐτ.: ἐν βήσσῃσι πελᾷ.

512. *οὐρὰς* (Γρηγόρ. Κορίνθ. Ἰωνικ. Διαλεκ. 142, Ἐτυμολ. Μέγ. σ. 575,12)] Etymol. Havniense ἐν τῷ Γουδιανῷ σ. 966, ἔκδ. Sturz: οὐρὴν.

*μέζε'*] Steitz: μεῖδε' = μῆδε'.

515. *ῥινοῦ*] ῥινὸς.

516. *δι' αἶγα ἄησι*] Παρισ. 1320: δι' αἰγαὸς ἄησι, ἤγουν δι' αἶγα (ὃς) ἄησι. Gerhard, Lectiones Apollonianæ σ. 178:

διάησ' αἶγα, Schäfer: δι'αἰγὸς ἄησι τανύτριχος· οὔτι δὲ πώεα.

*δ' οὔτι*] Paley: δ' οἰῶν.

*Βορέαο*] Βορέου ὅ,τι καὶ Ὀρφ. Ἀργον. 219 παραδέδοται, Βινδοβων. 242: Βορεο. Rzach: Βορέω. Οὐχ ἧττον ὁ πρωτοφανὴς τύπος ἀμφιγνοεῖται.

520. *ἔντοσθε(ν)*] ἔντοσθι. Οἱ ἀντιγραφεῖς πολλάκις διχογνωμονοῦσι περὶ τῶν τύπων τούτων, π. χ. 542 (Παρισ. 2758 ἔντοσθι) καὶ Κόϊντ. Σμυρν. 1,468.

*φίλη παρὰ μητέρι μίμνει*] μίμνει (-ῃ) π. μ. κεδνῇ, ἀμφότερα δὲ συνέμιξε Παρισ. 2833 (φίλη παρὰ μητέρι κεδνῇ). Hermann (8) σ. 240: μίμνῃ.

521. *ἔργα* (Ϝ)*ἰδυῖα* Lennep] ἔργ' εἰδυῖα, ἴδε Θ. 313.

522. *εὖ τὲ*, ὁ Olomucensis καὶ τὸ τοῦ ἐν Βασιλείᾳ μεταφραστοῦ χειρόγραφον] εὖτε.

523. *μυχίη* (Σχόλ. «εἴσω μυχῶν τοῦ οἴκου»)] νυχίη (Σχόλ. ἄλλως «δι' ὅλην τὴν νύκτα»). Παράθες Θ. 991.

*ἔνδοθι* (Ϝ)*οἴκου*] ἔνδοθεν οἴκου. Οἱ κώδικες ὡσαύτως παραλλάσσουσιν ἐν 601 καὶ 733.

524. *τένθει* (γράψον *τένθῃ*) Σχόλ. Ἀριστοφ. Εἰρήν. 1009, Σουΐδ.λ. τένθαις, Cramer Anecdota Oxoniensia Β',σ. 437,23] τένδει, ἐν ἅπασι καὶ Σχόλ. Ἀριστοφάν. ἄλλ., Ἐτυμολ. Μέγ. σ. 111,6 327,24. Ἐτυμολ. Φλωρεντ. σ. 35, Ἐτυμολ. Γουδιαν. λ. ἐλεδώνη σ. 180.29, Ἡσύχ. λ. τένδει, Σουΐδ. λ. ἐλεδώνη καὶ τένδει, Εὐστάθ. Ἰλ. Ι 536, Anecdota Parisina τ. δ', σ. 132, *τέμνει* Ἀντίγον. Καρυστ. 25 (21). Ἐλάβομεν ὑπ' ὄψει τὰς λέξεις τένθης, προτένθης, τενθεύω.

525. *καὶ* (Ϝ)*ἤθεσι* (Ἐτυμολ. Φλωρεντ. σ. 35)] καὶ ἐν ἤθεσι (Πλούταρχ. Πότερα τῶν ζῴων φρονιμώτερα κ. 9 σ. 965 F).

526. *οὐ γάρ οἱ*] Παρισ. 2707: οὐ γὰρ. Hermann, ὃς συνάπτει τὸν στίχον πρὸς τὸν 525, προτείνει «οὐδέ (Ϝ)οἱ» (εἰς τὰ Ὀρφικὰ σ. 780). Παράθες μέντοι Ὕμν. Ὁμηρ. 4,9: οὐ γὰρ οἱ (-◡◡).

528. *Πανελλήνεσσι*] παρ' Ἑλλήνεσσι (Σχόλ. παρ' ἡμῖν καὶ ἐν κώδιξι Φρυνίχου Ἐκλογ. σ. 101, Θωμᾶ τοῦ Μαγίστρου καὶ Ζωναρᾶ σ. 407).

*φαείνῃ,-ει*] φανείη (γράφε *φανείῃ*) Λαυρεντιαν. 31,39.

530. *λυγρὸν*] λυγρῶς.

*μυλιόωντες*] Κράτης ἀνέγνω *μαλκιόωντες*, ὡς μανθάνομεν ἐκ τῶν σχολίων τῶν τε ἐν τοῖς ἀντιγράφοις καὶ ἐν τῷ Μεγ. Ἐτυμολ. σ. 594, 46 κέ. Ταύτῃ τῇ λέξει χρῆται Ἄρατος 294: *ναύτῃ μαλκιόωντι*, ἤγουν ῥιγοῦντι. Cobet, Variae Lectiones σ.

131, ἔκδ. Β' ὀρθὸν μόνον νομίζει *μαλκίοντες*, ὅπερ κεῖται ἐν τῷ Ἡσυχίου Λεξικῷ· *μαλκίειν*, τὸ ὑπὸ ψύχους συνεσπάσθαι τὰς χεῖρας· *μαλκίετον*, μαλακῶς καὶ ἀσθενῶς ἔχετον· ἐπιεικῶς δὲ τοὺς ὑπὸ κρύους κεκμηκότας *μαλκίειν* λέγουσιν.

*δρία* (δρύα)] Ὁ ἀστρολόγος Μάξιμος ἀνέγνω *δρυμὰ* (47: ἀνὰ δ. βησσήεντα).

532. *οἵ*] Brunck: οἷ=ὅποι, Brugmann, ein Problem σ. 18: οἷ=αὐτοῖς, ὥστε δεῖ στῖξαι ἐν τοῖς ἔμπροσθεν, Peppmüller (17, λθ'): ὡς.

*ἔχουσι*] Brunck: ἔλωσι, Peppmüller: ἔχωσι.

533. *γλάφυ*] Ὁ Μέγας Ἐτυμολόγος (σ. 233,54 κέ.) παραγγέλλει τὴν ὀξυτόνησιν.

*πετρῆεν* (Ἐτυμολ. Μέγ.)] Cramer, Anecdota Parisina γ', σ. 188: πετρῶεν.

*τότε δὴ*] τὸ δὲ δὴ, τότε. Hermann (8) σ. 241: τοὶ δὲ . . . βροτοὶ, ὅπερ ἀντὶ τοῦ *βροτῷ* πρῶτος Wachler γράψαι παρήνεσεν. Lennep: τρίποδ' ἀνέρι (F)ἶσοι.

533. *ἴσσοι* (ἶσοι)] Παρισ. 2708: ἶσα, ὡς Ἰλ. Ε 71 κά.

534. *οὖτ'*] ᾧτ'. Wachler: ὦντ'.

*νῶτα* (νῶτ')] Gerhard, Lectiones Apollonii σ. 178: νῶτον, καὶ Schömann: νῶτά τ' ἔαγε, κάρη τ', Bergk, Poëtæ Lyrici Γ', σ. 89, ἔκδ. δ': νῶτ' εὔαγε, ἀμελείᾳ τοῦ διγάμματος.

*ἔαγε*] ἐάγην Bentley. Ὁ παρακείμενος ἐκεῖνος βεβαιοῦται χωρίοις Σαπφοῦς (παρὰ τῷ περὶ ὕψους ἀνωνύμῳ 10,2), Ἡροδότου 7,224 (κατεηγότα) καὶ Ἀττικῆς ἐπιγραφῆς Corpus Inscr. Att. Β', ἀριθ. 61,42 (κατεαγότας).

535. *ἀλευόμενοι* (Χοιροβοσκὸς ἐν τοῖς Βεκκήρου Ἀνεκδότοις σ. 1229)] ἀλευάμενοι (Cramer, Anecdota Oxoniensia Α', σ. 174,23, -ος, Χοιροβοσκὸς σ. 118 Gaisford, ἀνευώμενον Ἰωάνν. Ἀλεξανδρ. σ. 12,20 Dindorf).

536. *ἔρυμα*] Payne-Knight, on Greek alphabet σ. 104: ῥύFμα.

537. *τε μαλακὴν*] μὲν μ.

539. *ἀτρεμέωσι(ν)*] ἀτρομέωσι, παρὰ τὸ ἄτρομος, καθάπερ ἐκείνη ἡ λέξις παρῆκται ἀπὸ τῆς ἀτρεμής.

543. *ὁπότε*] ὁπότ' ἄν, ἤ, ὁπόταν, διὰ τὴν ὑποτακτικήν.

544. *νώτῳ*] Grævius: ὤμῳ.

545. *κεφαλῆφι δ'* (Ἐτυμολ. Μέγ. σ. 672,2)] κεφαλῇ δ' ἐφ' Turicensis.

547. *γάρ τ' ἠὼς*] Paley: γὰρ Fηὼς.

548. *ἠῷος*] Wachler: ἦμος. Τὸ ἐπίθετον γράφεται καὶ *ἠοῖος* (Ἀπολλών. Ῥόδ. σ. ια', ἔκδ. Merkel).

549. *πυροφόρος τέταται*] πυρφόρος εντέταται, Σέλευκος: ὀμβροφόρος, Wernicke εἰς Τρυφιόδωρ. σ. 276: ὑγροπόρος, Hermann: πυροφόροις . . . ἔργοις, ἤτοι πυροὺς φέρουσι (Ἰλ. Μ 314 καὶ Ξ 123: ἄρουρα, Φ 602 πεδίον, Ὀδ. γ 495, Ὕμν. Ὁμηρ. 2,50, Σόλωνος Ἀπόσπ. 13,20. 24,2. Θέογν. 988, Σιμων. Ἀπόσπ. 15, Χοιρίλ. Σαμ. Ἀπόσπ. 3, Εὐριπίδ. Φοίνισσ. 644, Ἀπολλών. Ῥόδ. 1, 628, 796). Ἡ *πῦρ* λέξις ἐν τῇ συνθέσει πλειστάκις μὲν ἀμετάβλητος μένει, ἐνίοτε δὲ προσλαμβάνει τὸ ο, οἷον ἐν Ἀττικῇ ἐπιγραφῇ (Berliner philolog. Wochenschrift 1888, σ. 1486 καὶ ἐν Dittenberger, Sylloge Inscriptionum 362).

*μακάρων ἐπὶ ἔργοις* = Μάξιμ. π. καταρχῶν στ. 543] Ruhnken, Epistola Critica σ. 85: μερόπων ἐ. ἐ., ἀλλὰ *μέροπες* ἀπολύτως οὐκ ἐν χρήσει ἦν πρὸ τοῦ Αἰσχύλου (Στοβ. Ἐκλογ. 1,7, Β).

550. *ὅστε ἀρυσσάμενος*] Wernicke εἰς Τρυφιόδωρον σ. 277: ὅστ' ἀναρυσσάμενος, Gerhard, Lectiones Apollonianae σ. 176: ὅστ' ἀπαρυσσάμενος, Paulson σ. 162: ὅστ' ἄρ' ἀρυσσάμενος.

*αἰεναόντων*] αἰὲν ναόντων, αἰὲν ἀόντων, αἰὲν ἐόντων. Εἰς τοιουτοτρόπους φθορὰς ἀφορᾷ ἡ Εὐσταθίου εἰς Ὀδ. ν 109 σημείωσις· «τὸ δὲ ὕδατα αἰενάοντα ἐν ἑνὶ μέρει λόγου γράφεται καὶ δι' ἑνὸς ν, διὰ τὸ μέτρον· φέρεται δ' ἔν τισι καὶ ἀενάοντα κατ' ἔκτασιν τῆς ἀρχούσης, πρὸς ὁμοιότητα τοῦ ἀκάματος καὶ ἀθάνατος καὶ τῶν ὁμοίων ὅσα τριβράχεα». Stephanus: ἀεναόντων. Bekker ἐν τῇ δευτέρα τῆς Ὀδυσσείας ἐκδόσει ν 109 ἀναγινώσκει: αἰὲ ναόντων.

554. *ἔργον*] ἔργα.

556. *θήη* Λαυρεντιαν. 31,37 γράψον θήη, ὡς παραινεῖ Rzach] θείη. Dindorf: θείη.

*κατά θ' εἵματα*] Paley: καὶ Fείματα.

*δεύη* Λαυρεντ. 31,39] δεύσῃ.

557. *ὑπαλεύασθαι*] Παρισ. 2776: ἀπαλεύασθαι.

559. *τώμισυ* (Εὐστάθ. Ἰλ. Β 401), πρβλ. τοὔνεκα Θ. 88. Ἔ. 49] θὤμισυ (Ἐτυμολ. Φλωρεντ. σ. 44). Krebs: θ' ἥμισυ.

*ἐπ' ἀνέρι δὲ* (Ἐτυμολ. Φλωρεντ.)] βούσ' ἐπὶ δ' ἀνέρι, ἐπ' ἀνέρι τὸ, ἐξ ὧν τινων γραφῶν συνερρύη ἡ τοῦ Μεγάλου Ἐτυμολόγου γραφὴ σ. 145,7 *ἐπὶ δ' ἀνέρι τὸ*· ἐν δ' ἐνίοις εὑρίσκομεν *ἐπ' ἀνέρι πλεῖον* ἢ *ἐπ' ἀνέρι καὶ πλεῖον*.

561. «Τοῦτον καὶ τοὺς ἑξῆς δύο διαγράφει Πλούταρχος» (Σχόλιον).

*φυλασσόμενος*] Hermann (8) σ. 243: φυλασσομένοις, ἐξαλείψας τὴν μεταξὺ τούτου καὶ τοῦ προηγουμένου στίχου στιγμήν.

564. *δ' ἐξήκοντα*] δὴ ἑξήκοντα Λαυρεντιαν. 31, 39. Flach: εὖτ' ἂν Fεξήκοντα, ἤ, ἣν δὴ Fεξήκοντα.

567. *ἀκροκνέφαιος*] Λαυρεντιαν. 31,24: ἀκρονέφαιος. Λουκιανὸς (Λεξιφάν. 11) καὶ Ἡσύχιος ἀναφέρουσι τὰς λέξεις ἀκροκνεφὲς καὶ ἀκρόκνεφα. Ἡ σύνθετος ἀναλύεται ὑπ' Ἀράτου 308 «ἀκρόθι νυκτός».

568. *ὀρθογόη* (Σχόλ. Ἡσύχ. ὀ., ἡ χελιδών, Φωτίου Λεξ. ὀ., χελιδὼν)] ὀρθρογόη (Σουίδ.), πρβλ. Ἀνθολογ. 6, 247, 1 κατὰ μὲν Πλανούδην «ὀρθρολάλοισι χελιδόσιν», κατὰ δὲ τὴν Παλατίνην Ἀνθολογ. ὀρθριλ. Ἔπιθι καὶ τὸ Μέγα Ἐτυμολογικὸν σ. 631,4: ὀρθογόη] ἡ μεγάλως θρηνοῦσα ἢ ὑπὸ τὸν ὄρθρον ἠχοῦσα, καὶ τὸ Γουδιανὸν σ. 433,38] ἡ χελιδὼν ἡ ὑπὸ τὸν ὄρθρον γεννῶσα (;) καὶ οὐκ *ὀρθοβόην* ὥς τινες. Ταῦτα ἐκ τῶν σχολίων ἐπήγασαν, ἐν οἷς εὑρίσκομεν τάδε· «Ὀρθογόη δὲ ἡ χελιδὼν διὰ τὸν μῦθον, ὅς φησιν αὐτὴν διὰ τὴν λύπην ᾄδειν τὴν Φιλομήλαν οὖσαν Ἀττικήν. Πλάτων δὲ οὐδὲν ζῷον λυπούμενον ᾄδειν φησίν, οὐδὲ αὐτὴν τὴν χελιδόνα καὶ τὴν ἀηδόνα καὶ τὸν ἔποπα. Τί οὖν ἔδει καλεῖν αὐτὴν *ὀρθογόην*; εἰ μὴ ἄρα *ὀρθοβόην* γραπτέον, ὥς τινες». Ἐκ τούτων διαφαίνεται πρῶτον μὲν ὅτι οἱ φιλόσοφοι μετέβαλον ἐξ αἰτίας ἀνεπαρκοῦς τὴν παράδοσιν, δεύτερον δὲ ὅτι τὸ *ὀρθογόη* οὐκ ἀνήκει εἰς τὸν αἰῶνα τοῦ Νεοπλατωνικοῦ Πρόκλου, ὅσπερ δῆλα δὴ ἐκεῖνα ἔγραψεν.

571. *βαίνῃ* (-ει)] βαίῃ.

574. *ἠῶ*] Gerhard, Lectiones Apollonianæ σ. 145: ἠόα, Göttling: κοῖτον ἐπ' ἠῶ, ἀλλ' ἔπιθι ὅσα εἴπομεν εἰς Θ. 435. Τίς ταῦτα μετέθηκεν, εἴπερ ἡ παράδοσις οὕτως εἶχεν;

*κοῖτον*] κοίτην.

575. *τ'*] Guiet: δ', ὥστε συναπτέον τὴν πρότασιν μετὰ τοῦ 576.

576. *ἀγινεῖν*] ἀγείρειν. *Ἀγείρει* καρπὸν ἢ ὁ βασιλεὺς ἀπὸ τῶν ὑποχειρίων ἢ ὁ πτωχὸς ἀπὸ τῶν φιλοδώρων (Ὀδ. ρ 362. τ 197).

577. *ὄρθρου*] ὄρθου. Ζήτει εἰς Θ. 293.

*εἴη* Schäfer] εἴῃ.

578. *γάρ τ' ἔργοιο*] Lennep: γὰρ Fέργοιο.

*ἀπομείρεται*] ἀπαμείρεται (Εὐστάθ. Ἰλ. Ν 573. Φ 394. Ὀδ. ξ 434). Ταὐτὸ ἀνέγνωσάν τινες τῶν παλαιῶν ἐν τῷ ὁμοίῳ στίχῳ Ὀδ. ρ 223: ἥμισυ γάρ τ' ἀρετῆς ἀπαμείρεται εὐρυόπα Ζεὺς (κοινῶς φέρεται *ἀποαίνυται*). Ἴδε καὶ Θ. 801.

579. *δὲ καὶ ἔργου*] Bentley: δέ τε Fέργου.

583. *καταχεύετ'* = καταχεύεται] κατεχεύατ', ἐπιχεύετ' (Γρηγόρ. Κορίνθ. Διαλεκτ. σ. 62 γρ.), ἐπεχεύατ'. Marckscheffel,

De Hesiodi Fragmentis σ. 152, ὑποσημ. *καταχεύει*, ἐκ τοῦ παραλλήλου τῆς Ἀσπίδος χωρίου καὶ τοῦ Σαπφοῦς.

586. *ἀφαυρότατοι*] ἀφαυρότεροι.

*δέ τοι*] δέ τε, δέ τ', δὲ.

588. *δέ τε χρὼς*] Hermann εἰς τὰ Ὀρφικὰ σ. 757: δὲ χρὼς σπονδειακῶς.

*τότ' ἤδη*] Παρισ. 2758: *τότ' ἦαρ*, ὁ τοῦ ἐν Λειψίᾳ πανεπιστημίου κῶδιξ *καὶ ἤδη*, Paley: τότ' εἴη, Hecker: τόθ' ἡδύ.

589. *πετραίη τε σκιὴ*] Ἐπειδὴ τε διαμένει βραχύ, ἄλλοι ἄλλα ἐπενόησαν, Βυζαντῖνοι *πετραίη σκιή*, Ἄγγλος τις ἐν Monthly Review 1785 June σ. 428: πέτρη τε σκιερὴ, Dawes, Miscellanea σ. 8: πετραίη τε κιὴ, καθάπερ γράφουσι Κάμανδρος, κίδνημι, κάπετος, Nauck ἐν τῷ Φιλολόγῳ ε', σ. 365: πετραίη συκέη, ἡ φράσις ἀπαντᾷ παρ' Ἀρχιλόχῳ καὶ Ἱππώνακτι. Ὁ στίχος κατὰ τὴν μετρικὴν ποιότητα οὐ διαφέρει τοῦ Θ. 345: θεῖόν τε Σκάμανδρον. Paulson σ. 93 ἐκδέχεται «πετραίη» ὡς ἐθνικόν.

*βύβλινος* γράφομεν, οὐχὶ βίβλινος, ὡς Σουΐδας, Ἡσύχιος καὶ ἄλλοι, πεισθέντες τοῖς τῶν Ἡρακλεωτῶν πίναξιν (Corpus Inscr. γ', ἀριθ. 5774: ἁ βυβλία 5775: βυβλίναν μασχάλαν). Lennep ὁ διγαμματοκόπος τίθησιν *εἴη* ἀντὶ τοῦ οἶνος.

590. Τὸ α τῆς *μᾶζα* λέξεως βραχύ, ὥστε οὐ καλῶς περισπᾶται ὑπὸ Δρακοντίου (σ. 72. 100) καὶ πολλῶν ἄλλων.

*σβεννυμενάων*] Κατ' Εὐστάθιον (Ἰλ. Β 267) ἐφέρετο ἔν τισι «ζβεννυμενάων»· ὁ αὐτὸς ἐξ Αἰλίου Διονυσίου τοῦ Ἀττικιστοῦ ἀναφέρει ὁμοιοτρόπους γραφὰς ἐν τῇ εἰς Ἰλ. Β 267 παρεκβολῇ, μανθάνομεν δὲ καὶ χρήσιμα παρὰ Λουκιανῷ ἐν τῇ ἀστείᾳ Δίκῃ φωνηέντων κ. 9 καὶ ὑπὸ Σέξτου Ἐμπειρικοῦ κ. μαθημ. 1,169. Ἐκ τῶν ἐπιγραφῶν πολλὰ παρατίθησιν ὁ Meyer ἐν § 226 τῆς Γραμματικῆς.

591. *μήπω*] οὔπω, ὁ τῆς Ἀββατίας κῶδιξ.

592. *πινέμεν οἶνον*] πιέμεν οἶνον, Lennep: πίνειν Ϝοῖνον.

593. *ἐν σκιῇ*] σκιῇ Λαυρεντιαν. 31,39.

594. *ἀκραέος* (Σχόλ.)] εὐκραέος, εὐκρατέος. Ἐπίσης Ὀδ. β 421 κατ' Εὐστάθιον ἦσαν οἵτινες ἔγραψαν *εὐκραῆ Ζέφυρον* ἀντὶ τοῦ ἐν τοῖς πολλοῖς *ἀκραῆ Ζέφυρον*· ταὐτὸ ἐγένετο Ἀπολλ. Ῥόδ. 2,721, ὥσπερ Νικήτας Εὐγενιανὸς (8,111) τὸν Ζέφυρον ὀνομάζει «εὐκραὲς πνέοντα» καὶ Ὀππιανὸς Ἁλιευτ. 1,210 λέγει: «εὐκραεῖς ἀνέμων αὔρας». Ἀλλ' ὅμως *ἀκραὴς* καὶ ἐν πολλοῖς χωρίοις εὑρίσκεται (Ὀδ. ξ 253. 299. Ἀπολλών. Ῥόδ. 1,606. Ὀρφ. Ἀργον. 487. 1128. 1155).

*Ζεφύρου*] ἀνέμου.

*πρόσωπα*] πρόσωπον. Ὁ ἑνικὸς παρὰ τοῖς παλαιοῖς ἐποποιοῖς οὐκ ἐσύχναζεν (Ἰλ. Σ 24, Ὕμν. Ὁμηρ. 10,2. 31,12).

595. *αἰενάου*] ἀενάου. Ἡ δίφθογγος πολὺν ἔτι χρόνον διέμεινεν ἐν ταῖς ἐπιγραφαῖς.

596. *τρῖς ὕδατος*, ἐγώ, ὀλίγον τι μετασχηματίζων τὴν τοῦ Κασαυβόνου γραφὴν *τρεῖς ὕδατος*, ἐπειδὴ ἡ αἰτιατικὴ κατὰ τὴν ἐτυμολογίαν καὶ ἐπιγραφὰς (Meyer § 399) εἶχε τὸ ἁπλοῦν ἰῶτα. Ἡ παλαιὰ παράδοσις ἔχει *τρὶς ὕδατος* (Σχόλ. Πλουτάρχ. Ἠθικ. Β', σ. 725 D, Ἀθήν. Δειπνοσ. 2,41 E. 11,782 A, Φώτιος Λεξ. λ. τρία καὶ δύο, πρβλ. Εὐστάθ. Ὀδ. ι 209). Οἱ δὲ μετρικοὶ εἰσέβαλον *δ'* ὅπως στηρίξωσι τὸ βραχὺ λεξείδιον.

*οἴνου*] *οἶνον* κεῖται ἐν τῷ Φωτίου Λεξικῷ καὶ ἐν τῇ πρώτῃ ἐκδόσει, ἐκλαμβανομένου τοῦ *τέτρατον* ὡς, κοινῶς εἰπεῖν, *τὴν τετάρτην φοράν*. Lennep: Ϝοίνου δὲ χέειν τὸ τέταρτον.

598. Ὥσπερ 609. 615. 619. Ὠαρίωνος Nauck (16) γ', σ. 237 κέ., Ὠρίωνος.

599. *εὐαεῖ* (Ἐτυμολ. Μέγ. σ. 388,28)] Lennep: εὐαεῖ.

*εὐτροχάλῳ* (εὐτρ.)] Guiet: εὐτροχίλῳ.

*ἀλωῇ*] ψιλῶς γραπτέον κατὰ τὸ Ὁμηρικὸν *κατ' ἀλωὴν* (Ὀδ. ω 336)· ἐν ἐπιγράμματι ὅμως (Ἀνθολογ. 9,99,1) *ποθ' ἀλωῇ* φέρεται.

602. *θῆτά τ' (δ') ἄοικον*] θῆτα ἄοικον, θῆτ' ἄοικον. Οἱ γράφοντες οὕτω διεχώρισαν τὸ ἀπαρέμφατον *ποιεῖσθαι* τοῦ ἐν τῷ ἑξῆς, ἐκδεχόμενοι αὐτὸ ἀντὶ προστακτικῆς.

603. *δίζησθαι* O. Schneider, Callimachea τ. Α', σ. 414] δίζεσθαι. Stephanus ἐν τῷ Θησαυρῷ Β', σ. 1212: διζέμεναι. Οὐχὶ μόνον πολλὰ μαρτύρια, ἅτινα συνέλεξαν Schneider καὶ Nauck (16, ε', σ. 147-8), ἀλλὰ καὶ ἡ ἐτυμολογία ἀπαιτεῖ τὴν διὰ τοῦ ἦτα γραφήν. Τὸν γὰρ *ἀσθενῆ* λεγόμενον τύπον τοῦ ῥήματος ἔδει εἶναι *δίζασθαι* ἀναλόγως τῷ *ζα-τέω* (ζητέω)· ἔπιθι περὶ τούτων τὴν τοῦ Meyer Γραμματικὴν § 489.

605. *ἔληται*] ἕλοιτο Λαυρεντιαν. 32,16.

606. *ἐσκομίσαι* (Ἐτυμολ. Μέγ. σ. 429, 37)] εὖ κομίσασθαι φέρεται ἐν τῷ τῆς Ἀββατίας κώδικι.

*εἴη* Hermann] εἴη.

607. *ἐπηετανὸν*, πρβλ. Ὕμν. Ὁμηρ. 3,113] Hermann (8) σ. 244: ἐπηετάν', Guiet: ἐπητανόν.

610. *τε ἴδῃ*, ἐγὼ, πρβλ. Θεογ. 82] Μοσχόπουλος: δὲ ἴδῃ. Ἐν τοῖς χειρογράφοις εὑρίσκομεν: τ' ἐσίδῃ Λαυρεντιαν. 31,37: δ' ἐσίδῃ, δ' ἐπίδῃ Βινδοβων. 242 καὶ ἐν τῷ τῆς Ἀββατίας κώδικι.

611. *ἀπόδρεπε* (Ϝ)*οἴκαδε*] ἀποδρεπέμεν (-δρέπειν) οἴκαδε.

616. *μεμνημένος*] μεμνημένον.

617. *ἄρμενος*] Guiet: ὅρμενος=ὁρμήσας! Καππότας σ. 37 προτείνει «πλειὼν δ' εἶτα χθονὸς ἄρμενος αἰεί», ὁ δὲ Schömann *χρέος* ἀντὶ τοῦ *χθονός*.

*εἴη*] Haupt, Opuscula γ', σ. 342: εἶσιν, Peppmüller (18) σ. 625: ἴη=ἰ-ίη ὡς εὐκτικὴν τοῦ εἶμι ῥήματος.

620. *πίπτωσι,-ιν*] πίπτουσιν.

621. *θυίουσι* (θύουσιν)] θύνουσιν.

622. *ἐπὶ οἴνοπι πόντῳ*] ἐνὶ οἴνοπι πόντῳ, ὅπερ Ὁμηρικώτερον· ἴδε Ἰλ. Ψ 316. Ὀδ. ε 132=ε 221. η 250. μ 388. τ 172. 274. Πλὴν Ἰλ. Ψ 316 καὶ Ὀδ. μ 388 κατὰ μόνας κώδικες ἔχουσι τὸ Ἡσιόδειον. Τοῦτο καὶ Ὕμν. Ὁμηρ. 2,216 ἐν ἅπασι φέρεται. Διὰ τὸ *ἐνὶ* ζήτει εἰς 369.

623. *ὡς*] Wachler: ὧν.

624. *νῆα δ'*] Flach: ἀλλά τ'.

625. *ἀέντων*] ἀόντων.

626. *ἐξερύσας*] Döderlein, homerisches Glossar τ. γ', ἀριθ. 2068: ἐξαρύσας, διότι *χείμαρος*, φησί, σημαίνει τὸ ὄμβριον ὕδωρ. Paley: ἐκϜερύσας.

*ἵνα μὴ*] Λαυρεντιαν. 31,37: μή τοι.

*ὄμβρος*] ὄμβρῳ, ὥσπερ ἂν εἰ τὸ *πύθω* ῥῆμα ἦν ἀμετάβατον.

627. *ἐγκάτθεο*, πρβλ. Ὀδ. ψ 223: ἐῷ ἐγκάτθετο θυμῷ, λ 614: ἑῇ ἐγκάτθετο τέχνῃ, Ἰλ. Ξ 219: τεῷ ἐγκάτθετο κόλπῳ (ἐν ἐνὶ *ἐνικ.*), 223: ἐῷ ἐγκάτθετο κόλπῳ (ἐν τῷ αὐτῷ *ἐνικ.*)] ἐνικάτθεο ἢ ἐνὶ κάτθεο. Πρβλ. Θ. 487.

*ἐντύνασθ' ἵνα* (Ϝ)*οἱ* Heinrich παρὰ Twesten De Hesiodi Operibus et Diebus σ. 71-2] ἐντύνασθαι ἵν' οἱ. Πρότερον δηλαδὴ ἐκ πλήρους ἐγέγραπτο: ἐντύνασθαι ἵνα οἱ. Paley: ἐντύνειν ἵνα οἱ.

*ἄρηαι*] ἄγηαι Peppmüller 18,625, παραθεὶς Ὀδ. κ 35: χρυσόν τε καὶ ἄργυρον οἴκαδ' ἄγεσθαι καὶ Σόλωνος Ἀπόσπ. 13,44: ἐν νηυσὶν χρήζων οἴκαδε κέρδος ἄγειν. Ἃ χωρία οὐκ ἀκριβῶς συμφωνοῦσιν.

634. *πλωΐζεσκεν,-ε* καὶ *πλωΐζεσκ' ἐν* κατ' ἀρχὰς οὐ διῃρέθησαν τῇ γραφῇ.

635. *τῇδ'*] Ἐπειδὴ ὁ σχολιαστὴς σημειοῦται ὅτι τοῦτο τὸ τῇδε οὐκ ἄλλο τι ἢ τὸ τῆδε καὶ ἐνταῦθα, καὶ οἱ λεξικογράφοι Κρητῶν εἶναι τὴν φωνὴν ἀνέγραψαν, εἰκάζουσιν, ὅτι ἀνέγνω Δωρικῶς *τεῖδ'*. Οὐ περὶ πολλοῦ ποιούμεθα ταύτην τὴν σημείωσιν, ἀναμνησθέντες τοῦ ΕΙ καὶ ΗΙ μάλιστα συγχυθῆναι ὑπὸ τῶν Ἀττικῶν (Meisterhans, Grammatik der Attischen Inschriften σ. 16-17).

*πολὺν*, πρβλ. Ὕμν. Ὁμηρ. 3,337: πολὺν δια χῶρον ἀνύσσας] βαθὺν (Σχόλ.).

636. *ἐν νηΐ*] ἐνὶ νηΐ.

637. *ἄφενος*] ἄφενον· ζήτει εἰς Θ. 112.

639. *νάσσατο* (Σχόλ. Νικάνδρ. Θηρ. 11)] εἵσατο, ἐν τῇ τοῦ Ἀγῶνος ἀρχῇ.

640. Ἡ αἰτία τῶν ἔν τισιν ἐμβλημάτων «χεῖμα μὲν κακῇ» καὶ «θέρει δ' ἀργαλέῃ» (Cramer, Anecdota Parisina τ. γ', σ. 193) πρόδηλος ἂν εἴη.

*θέρει* (Στράβων 9,409, Ἀγὼν αὐτ., Ἀνέκδ. αὐτ., Λουκιαν. ἐν Ψευδολογιστῇ κ. 19, Μάξιμ. Τύρ. Λόγ. 29,7, Σχόλ. Ἰλ. Β 507. Σχόλ. Νικάνδρ. Θηρ. 11)] θέρος (Εὐστάθ. Ἰλ. Β 507).

*ἀργαλέῃ*] Guiet: ἀργαλῇ.

*οὐδέ ποτ'*] οὔποτ'. Διὸ Paley ἐξέδωκεν «οὔποτε δ'».

643. *νῆ'*] Ἐτυμολ. Μέγ. σ. 36,34: νῆα δ'.

*ἔνι* (ἐνὶ Πλούταρχ. Πῶς δεῖ ποιημάτων ἀκούειν 22 σ. 22 F Σχόλ. Ἀράτ. 152. Εὐστάθ. Ὀδ. ε 815)] ἐν.

646. *εὖτ' ἂν*] Schömann: εἰ δ' ἄν.

*τρέψῃς*] τρέψας. Ἡ μετοχὴ εἰσέφρησεν ἐκ τῆς τῶν σχολιαστῶν παραφράσεως· «ὁπόταν ἐπὶ τῷ ἐμπορεύεσθαι **τρέψας ἑαυτὸν** βουληθῇς τὰ χρέα σου φυγεῖν».

647. *βούλεαι*] βούληαι (Σχόλ. «βουληθῇς»), καθάπερ Ἰλ. Λ 380 βέβληαι, ἢ βούλῃ (-ει). Παρισῖν. 2758: βούληαι δὲ χρέα πρ., Gaisford: βούληαι χρέα.

*προφυγεῖν*] φυγεῖν· *προλιπεῖν* ἐν τῷ τῆς Ἀββατίας κώδικι.

*ἀτερπέα*] ἀτερπῆ, ἀτερπῆν Λαυρεντιαν. 31,39 (παράθες τὸ Ὁμηρικὸν *ζαῆν* Ὀδ. μ 313)· ἄλλοι προτιμῶσι τὴν θέσιν «ἀτερπέα λιμὸν» ἵνα ἐκφύγωσι τὴν συναλοιφήν.

648. *δείξω*] Εὐστάθ. Διονύσ. Περιηγ. 707: λέξω.

*μέτρα*] Παρισ. 2780: ἔργα.

649. *σεσοφισμένος* (Κλήμης Ἀλεξ. Α', σ. 330 P., Εὐστάθ. αὐτ.), πρβλ. Φωκυλίδεια 130, Πλούταρχ. Λούκουλλ. 41, Γαλην. π. Ἱπποκρ. καὶ Πλάτ. 2,5 τ. ε', σ. 243, Διογέν. Λαέρτ. 5,90] σεσοφιμένος «Αἰολικῇ συνθλίψει τοῦ σ» (Τζέτζης), -ημένος, δεδιδαγμένος (ἐξηγήσεως χάριν) Dorvillianus 1.

650. «Ταῦτα πάντα περὶ Χαλκίδος τοῦ Ἀμφιδάμαντος καὶ τοῦ ἄθλου καὶ τοῦ τρίποδος ἐμβεβλῆσθαί φησιν ὁ Πλούταρχος οὐδὲν ἔχοντα χρηστόν» (Σχόλ.).

*πώποτε*] ποτ' ἐν, γρ. ἐν τῷ τῆς Ἀββατίας κώδικι.

651. *ἐς*] ἐπ', εἰς Εὔβοιαν ἀπ' Αὐλίδος (Paley: γ' εἰς κτλ.), Λαυρεντιαν. 31,37: ἀπ' Αἰολίδος (ἴδε 636).

652. *σὺν*] Λαυρεντιαν. 32,2: ξὺν.

655. *Χαλκίδα τ'*] Schömann: Χαλκίδαδ'.

*προπεφραδμένα*] ὁ ἐν Εἰδελβέργῃ κῶδιξ χορηγεῖ *προπεφασμένα*, ὁ ἐν Μεσσάνῃ *προσφραδμενα*, ὁ ἐν Μονάχῳ *πεφραδμένα*, ἵνα ἡ πρὸ τῶν δύο συμφώνων συλλαβὴ μένῃ μακρά.

656. *ἄθλ'*] Vindobonensis ἀριθ. 242 «γράφεται ἄεθλα».

*μεγαλήτορες*] μεγαλήτορος, ᾧ παράθες Ἰλ. Ψ 631: παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα.

657. «Ἄλλοι γράφουσιν· ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον» (Σχόλ.), λαβόντες τὸν στίχον ἐκ τοῦ ἐπιγράμματος, περὶ οὗτινος εἴρηται σ. 20.

*ὠτώεντα*] Nauck (16) δ', σ. 497: οὐατόεντα.

659. *ἔνθα με τὸ πρῶτον*] ἔνθα τὸ μὲν πρῶτον.

662. *ὕμνον*] Hermann ἐν τῇ τῶν Ὀρφικῶν ἐκδόσει σ. 817: οἶμον, ἐπειδὴ ἡ πλατυτέρα τοῦ *ὕμνος* σημασία μεταγενεστέρα ὑπ' αὐτοῦ νομίζεται.

*ἀείδειν*] ἀπὸ τῆς κακογραφίας *ἀοιδεῖν* Nauck (16) γ', 270 ἐξήγαγε τὴν διόρθωσιν «οἶμον ἀοιδῆς».

667. *δὴ μὴ*] μὴ δή.

670. *εὐκρινέες*] Maltby, Lexicon Græco-prosodiacum, London 1815, σ. 390: εὐκραέες.

671. Μοσχόπουλος συνάπτει «εὔκηλος» πρὸς τὴν προηγουμένην πρότασιν.

672. *δ' (τ') ἐς*] δ' (τ') εὖ, δὲ. Paley: δ' ἐν, παραθεὶς στ. 643. 689. Ὀδ. γ 154: κτήματά τ' ἐντιθέμεσθα. Ἡ τῆς *εἰς* τμῆσις οὐκ εὐχρηστεῖ, πλὴν καὶ Ἰλ. Α 142 «ἐς δ' ἑκατόμβην θείομεν» εὑρίσκεται.

678. *ἄλλος δ' εἰαρινὸς*] Flach: Ϝειαρινὸς δ' ἄλλος· πλόος ἀνθρ.] Ὁ Turicensis ἔχει προσγεγραμμένον «γρ. δειλοῖσι βροτοῖσι».

680. *τόσσον πέταλ'*] Nauck ε', σ. 147: πέταλον τόσον.

*φανήῃ* Rzach] φανείῃ, φανείῃ Spohn.

681. *ἄμβατος*] ἀμβατὸς, ὅπερ παρέχει ὁ ἀρχαιότατος τῆς Ἰλιάδος κῶδιξ Ζ 434. Ἡρωδιανὸς προπαροξυτονεῖ (τ. Α', σ. 228,27, ἔκδ. Lentz).

682. *εἰαρινὸς*] Heyer: ἀργαλέος.

*μιν*] μέν.

684. *ἁρπακτός*] Vollbehr σ. 77: ἁρπακτήρ. Steitz: ἁρπαλέος (πρβλ. Ὀδ. θ 164). Hermann συντάσσει *ἁρπακτὸν* μετὰ τῶν ἑξῆς.

*κε*] γε, Turicensis: δὲ, Ambrosianus: τε.

*τὰ*] τὸν, ἤτοι πλοῦν.

686. *γὰρ* (Στοβ. Ἀνθολ. 91 (89), 25, Ἀποστόλης 18,34 β)] Σχόλ. Ἀράτ. 298: δὲ.

687. *μετὰ*] κατὰ.

688. *ὡς*] ὅσσ', ὡς σ', ὥς σε κελεύω.

691. *κύμασι*] κύματα, πήματα.

*πήματι* (Πάπυρος)] πήμασι, πήματα.

*κῦρσαι* Sangallensis (ἴδε Philologischer Anzeiger τ. ιδ', σ. 423)] κύρσαι.

692. *δ'*] γ'.

*εἴ κ'*] Εἷς τις Παρισῖνος ἔχει τὸ ἐπικὸν «αἴκ'».

*ἐπ' ἄμαξαν*] ἐφ' ἅμαξαν, ἴδε τὴν εἰς 426 σημείωσιν.

693. *καυάξαις*] Hermann: καυάξῃς, καί, ἀμαυρωθείη.

*τὰ δὲ*] καὶ.

*φορτία μαυρωθείη* Λαυρεντιαν. 32,2] φορτί' ἀμαυρωθείη· ἀλλὰ ἡ κατὰ τέταρτον τροχαῖον τομὴ κακή.

695. *ὡραῖος* (Στοβ. 71,6, Ἀποστόλης 18,63 β)] ὡραίως, Σχόλ. Θεοκρίτ. 1,109: γρ. ὡραίαν.

*ποτὶ* (Πάπ., Σχόλ. Θεοκρίτ., Στοβ. 71,6, Ἀποστόλης)] ἐπὶ.

696. *τριηκόντων* (Πάπ., Σχόλ., Στοβ., Εὐστάθ., Ἰλ. Α 250, Ἀποστόλης)· ὃ διῃρέθη ἐν τοῖς Πλουτάρχου χειρογράφοις (τριηκόντ' ὤν, Ἐρωτικ. κ. 8, σ. 753 Α)] τριήκοντα, τριήκοντ'. Ἡ τῶν δεκάδων κλίσις εὐχρηστεῖ ἐν ἐπιγραφαῖς τῶν Χίων (Röhl Inscriptiones Græcæ Antiquissimæ 381 C D) καὶ παρὰ μεταγενεστέροις ποιηταῖς, οἵτινες πάντως ἠρύσαντο τὸν τύπον ἐξ Ἡσιόδου (τριηκόντων Καλλιμάχ. Ἀπόσπ. 67,2 ἐν τῷ Μεγ. Ἐτυμολ. σ. 290,51, Ἀνθολ. 14,3,9. 123,13, καὶ τριηκόντεσσι Φιλόδημος Ἐπιγρ. 14. Ἀνθολογ. 11,41,1).

697. *δέ τοι*] Ἐν τῷ τῆς Ἀββατίας κώδ. γέγραπται «δ'ἔστιν» ἤγουν «δ' ἔστι».

698. *γαμοῖτο*] γαμεῖτο,-είτο,-είτω, γαμείσθω.

699. *ὥς κ'* (Πάπ., Στοβ. Ἀνθολογ. 70 (68), 8. Ἀποστόλ. 13,93 C)] ὥστ', ἵνα Ἀριστοτ. (;) Οἰκον. 1,4, σ. 1344 α 17. Ἀριστείδ. τ. β', σ. 33 Jebb.

*διδάξῃς* (Στοβ.)] διδάξαις.

700. Λείπει ἐν τῷ Παπύρῳ καὶ παρὰ Στοβαίῳ.

*ἐγγύθι*] Λαυρεντιαν. 31,39: ἐγγύθεν (γρ. -θε).

701. *ἀμφὶς ἰδὼν*] Heyne εἰς Ἰλ. Β 384: ἀμφιδὼν, Lennep: ἀμφὶ Ϝιδὼν.

*γήμῃς* (Ἀποστόλ.)] νείμῃς Στοβ.

702. *οὐ μὲν* (Κλήμ. Ἀλεξ. Στρωμ. δ', σ. 744, Στοβ. Ἀνθολ. 69, 6. Ζωναρᾶς Λεξ. 479)] οὐδὲν· ἀλλὰ οἱ οὕτω γράψαντες ἔθηκαν ἀντὶ τοῦ *τι* τὸ ὑπέρμετρον *τοι*. Ἐν τῷ Παπύρῳ

οὐδὲν σῴζεται, εἰ μὴ ἡ ἀρχὴ οὐ γαρ. Ἠκολούθει ἆρα *μέν τι ἤ τοι τι;*

703. *τῆς*] Wakefield, Silva Critica A', σ. 116: χρῆμ'.

704. *δειπνολόχης* (Σχόλ., Ἐτυμολ. Μέγ. σ. 262,49, Εὐστάθ. Ὀδ. δ 535. ο 357)] Στοβ. καὶ Ζωναρᾶς: δειπνολόχου.

705. *εὔει, ἤ, εὔει* (Πάπυρ., Πλούταρχ. Π. ἀρετῆς β', σ. 100 Ε, Π. φιλοπλουτίας ζ', σ. 527 Α, Εὐστάθ. Ἰλ. Ν 320, Ὀδ. ο 357, Γεώργ. Παχυμέρ. Λόγ. 10 σ. 201, ἔκδ. Boissonade)] Στοβαῖος «αὔει ἄ. δαλοῖο». Ψιλωτέον τὸ εὔει, ἐπειδὴ συγγενές ἐστι πρὸς τὸ ψιλὸν uso, uro τῶν Λατίνων.

*ὠμῷ* (Πάπυρ., Πλούταρχ. αὐτ. 100 Ε. Εὐστάθ. Ὀδ. ο 357)] ἐν ὠμῷ. Vossianus 1 ἐν τῇ ᾤκ, Πλούταρχ. σ. 527 Α καὶ Στοβ. Paley: καὶ ἀώρῳ γήραϊ δῶκεν (καρπούμενος τὴν Μοσχοπούλου παράφρασιν).

*δῶκε,-εν* (Πάπυρ., Πλούταρχ., Εὐστάθ.). Ὡσαύτως *δίδωμι* λέγεται ἐπὶ ὀδυνῶν (Ἰλ. Ε 397), φόβου (Πινδάρ. Πυθ. 5,60), φόνου (Εὐριπ. Ἰφιγ. Ταύρ. 1006), ὀλέθρου (Νόνν. Διονυσ. 30, 63. Παράφρ. 19,83) κτλ.] θῆκε,-εν (Σχόλ., Πλούταρχ. 527 Α, Στοβ., Γεώργ. Παχυμέρ. αὐτ.). Αὕτη εἰσέφρησεν ἐξ Ὀδ. ο 357: ἤκαχ' ἀποφθιμένη καὶ ἐν ὠμῷ γήραϊ θῆκε. Εὐστάθ. μόνος αὐτόθι ἀναφέρει τὴν γραφὴν «ὠμῷ γήραϊ δῶκε».

707. *κασιγνήτῳ ἶσον* (Ἐτυμολ. Γουδιαν. σ. 302,5, Ἀποστόλ. 11,34 Α)] κασιγνήτοιο, ἐν τῷ τῆς Ἀββατίας κώδικι, ὥστε ἀναγνωστέον· κασιγνήτοιο | ἶσον.

708. *πρότερος* (Ἐτυμολ. Γουδιαν.)] πρότερον.

*κακὸν ἔρξῃς* (Ἐτυμολ.)] κακὸν ῥέξῃς (-εις), Lennep: κακὰ Fέρξῃς.

709. *δέ κεν* (Ἐτυμολ. Γουδιαν.)] δέ κέ γ', δέ σέ γ', δέ σ' ὄγ' Βινδοβων. 242. Hermann (8), σ. 242: δέ κέ σ', Voss: δὲ σύ γ' ἄρχῃς.

710. *τι Fέπος*] Ἐτυμολ. Γουδιανὸν: τε F., κῶδιξ Νεαπολιτ. 1 Ε 4: τοι ἔπος.

*ἔπος (F)εἰπὼν* (Ἐτυμολ. Γουδιαν.)] ἔ. τ' εἰ. ἢ ἔ. γ' εἰ.

*καὶ (F)έρξας*] Lennep: τι, ἤ, τε Fέρξας.

711. *τίν(ν)υσθαι* (Ἐτυμολ. Γουδιαν.)] Ὁ ἐν Μεσσάνῃ κῶδιξ *τίννεσθαι*.

*κεν*] σέ γ' Λαυρεντιαν. 31,39.

712. *ἡγέητ' ἐγὼ*] ἡγῆτ', ἡγεῖτ'. Ἐτυμολ. Γουδιανὸν: ἡγεῖται φιλότητα.

*ἐθέλῃσι*] Köchly: ἐθέλησι.

713. *ἄλλοτε ἄλλον*, πρβλ. Ὀδ. δ 236: ἄλλοτε ἄλλῳ, Ὕμν. Ὁμηρ. 3,558, Φωκυλίδ. Ἀπόσπ. 15,1, Σόλ. Ἀπόσπ. 13,76

15,4=Θέογν. 318, Θέογν. 157.992, Ξενοφάν. Ἀπόσπ. 4, Ἀπολλών. Ῥόδ. 1,881] ἄλλοτέ τ' ἄλλον, ὥσπερ καὶ παρ' Ἀπολλωνίῳ τινὲς γράφουσιν. Ἐτυμολ. Γουδιανὸν: ἄλλοτ' ἐς (γρ. *ἄλλοτες* χυδαίως, ἐξ οὗ ἐγένετο *ἄλλοντας*) ἄ., Paley: ἄλλοτ' ἐς ἄ., Payne-Knight, on Greek alphabeth σ. 25: ἄλλοθεν ἄλλον, ὅπερ εὐχρηστεῖ Ἰλ. Β 75. Ὀδ. ι 401. Κόϊντ. Σμυρν. 2, 558 κἀ.

714. *ποιεῖται*] Ἐτυμολ. Γουδιανὸν: ποιῆσαι.

*νόον* (Σχόλ. Γ 39)] νόος Λαυρεντιαν. 31,39 καὶ Ἐτυμολ. Γουδιαν., ὅπερ ἠθικώτερον.

*κατελεγχέτω*, πρβλ. Τυρταῖον 10,9] Lennep: κατελέγχῃ Fεῖδος, ἤ, νόον Fεῖδος κατελέγχῃ, Schömann: καταθελγέτω.

716. *ἐσθλῶν*] Παρισ. 1320: ἐσθλοῦ.

*νικητῆρα*] νεικητῆρα (Σχόλ. Πινδάρ. Πυθ. 4,507: νειητῆρα. Ἐτυμολ. Γουδιαν.), νεικεστῆρα (Εὐστάθ. Ἰλ. Κ 114). Τὸ *νείκη* ὄνομα ἀβέβαιόν ἐστι παρ' Αἰσχύλῳ, εἰ καὶ ὕστερον ἐν χρήσει ἦν (Εὐστάθ. Ἰλ. Η 95), ὥσπερ ἐσχημάτισαν τὸν μέλλοντα *νεικήσω* (Εὐστάθ. Ἰλ. Κ 114). *Νικητὴρ* μὲν συνᾴδει τῷ ἐπιθέτῳ *φιλόνικος*, τὸ δὲ *νεικεστὴρ* τῷ *φιλονεικής*.

717. *μηδέποτ'*] Στοβ. Ἀνθολογ. 112,7 γρ.: μήποτε δ'.

*θυμοφθόρον*] θυμοφθόρῳ, ἐν τῷ τῆς Ἀββατίας κώδικι, διότι ἡ πενίη καὶ ἄλλο ἐπίθετον ἔχει.

718. *τέτλαθ'*] Πλουτάρχ. Ἠθικ. σ. 23 F: τέτλα.

719. *ἄριστος* (Εὐστάθ. Μακρεμβολ. 1,12,3, Walz, Rhetores γ', σ. 644,1. Ἀποστόλης 5,53 C)] Ἀνέκδ. Ἑλλην. ἔκδ. Boissonade Α', σ. 115: ἄριστον, πρβλ. Τυρταῖον 12,13, Θέογν. 1003. Τζέτζης ἐν τοῖς τοῦ Cramer Anecdota Oxoniensia δ', σ. 122,15 ἑπόμενος Στοβαίῳ 35,1 Α: *μέγιστος*.

720. *φειδωλῆς*] Wachler: φειδωλή.

*δὲ* (Στοβ.)] Εὐστάθ. Μακρεμβολ. αὐτ.: δέ τε (ἤγουν εἴτε *δὲ* εἴτε *τε*).

721. *κακὸν* Fείποις,-ῃς (Πάπυρ. Σχόλ. Βικτωρίου εἰς Ἰλ. Υ 248)] κακόν γ', ἤ, κ' εἴ.

722. Ἀντιγραφεῖς τινες στίζουσιν ἐν τῷ τέλει.

*δυσπέμφελος* (Σχόλ. Ἰλ. Π 748)] Ἀθήν. η', σ. 364 D: δυσπέμφελον. Döderlein, homerisches Glossar τ. γ', ἀριθ. 2297 μετατίθησι τὸν 723 στ. πρὸ τοῦ 722 καὶ γράφει: ἐκ κοινοῦ πλείστη τε χάρις, ὅπερ φέρεται ἐν τῷ Λαυρεντιαν. 32,16 καὶ παρ' Ἀθηναίῳ.

724. *ἠῶθεν*] Nauck (16) ε', σ. 135: ἠόσθεν.

*λείβειν*] Nauck ἐν τῷ εἰς τὴν Ὀδύσσειαν προοιμίῳ σ. ιγ'.

726. *τοί γε*] θ' οἵ γε.

727. *ἠελίου τετραμμένος*] ἠελίοιο τετραμμ.

728. *ἐπεί κε* (Πάπυρ.)] ἐπὴν κε. Ἐπειδὴ ὁ πλεονασμὸς οὗτος, ὥσπερ ὁ ἀνάλογος *ἢν κε* ὑπὸ τῶν τοῦ παρακμάσαντος Ἑλληνισμοῦ ποιητῶν παρεκινδυνεύθη (Γρηγ. Ναζιανζ. Ποιήμ. 14,17, γράφεται δὲ Ἀπολλών. Ῥόδ. 3,404), οἱ γραμματικοὶ ἀνεζήτησαν αὐτὸν καὶ παρὰ τοῖς ἀρχαιοτάτοις, οἷον Ἰλ. Α 168: ἐπήν κε κάμω.

*ἀνιόντα* (Πάπυρ.), τῆς αἰτιατικῆς συντασσομένης μετὰ τοῦ *ἔστε*, ὥσπερ Corpus Inscript. 2905 καὶ Ἀρριαν. Ἰνδικ. 2,2] ἀνιόντος (Σχόλ.). Hermann (8) σ. 248: ἀντ' ἀνιόντος, Göttling: ἔσσ' ἀνιόντος.

730. *ἀπογυμνωθῇς*] ἀπογυμνωθεὶς (Πάπυρ.).

731. *ὅ γε θεῖος*] Hermann: ὄνθειος (ἤγουν ἐπὶ τὸν κοπρῶνα), Ἀνώνυμος παρὰ τῷ Schömann: δὲ τὸ θεῖον, Bergk παρὰ τῷ Peppmüller 18 λ', 625: ὤμιξεν, αὐτὸς δὲ σ. 626: οὐρήσει ἢ οὐρήσετ'.

732. *ὅγε*] ὅδε. Ὁ αὐτὸς ἀνώνυμος προυβάλετο· *ἦχ' ὅγε πρὸς τοῖχον πελάσαιτ'*.

733. *πεπαλαγμένος*] ὁ ἐν Μεσσάνῃ κῶδιξ παρέχει *πεπαλαγμένον*, ὁ δὲ Πάπυρος καὶ Παρισ. 1310: *πεπαλαγμένα*.

735. *δυσφήμοιο* (Ἐτυμολ. Φλωρεντ. 270)] Πλουτάρχ. Ἠθικ. β', σ. 562 Α: δυστήνοιο.

Τοῦ 737 προτιθέασι πολλοὶ τὸν 758, ὃς προσεγράφη ὡς παράλληλον χωρίον.

*αἰενάων*, -νν-] ἀεννάων, πρβλ. 595.

738. *ἰδὼν*] Flach: ἰὼν, ἐπειδὴ τὸ δίγαμμα παρημέληται.

740. *κακότητ' ἰδὲ*] κακότητ' ἴδε, «ἄλλοι» κατὰ τὸν σχολιαστήν, κακότητι δέ· κακότητι ἁπλῶς γράφεται ἐν τῷ τοῦ Ἁγίου Σάββα κώδικι. «Ἄλλοι: κακότητα ἔπι, οἱονεὶ ἐπὶ κακῷ ἑαυτὸν (γρ. -οῦ») (Σχόλιον). Guiet: κακότητί γε, Göttling: κακότητ' ἔτι. «Ἀρίσταρχος ἀθετεῖ τὸν στίχον τοῦτον» (Σχόλ.), ἐννοεῖται, ἅμα τῷ ἑξῆς.

*ἄνιπτος*] Τὸ ἐν τῷ τῆς Ἀββατίας κώδικι *ἄαπτος* ἀντηχεῖ Ὁμηρικὰς φράσεις.

741. *δῶκαν*] θῆκαν, παράθες 705.

744. *μηδέποτ' οἰ.*] Flach: μηδ' ἀπὸ Ϝοινοχόην.

*κρητῆρος*] Τὸ τοῦ Ἁγίου Σάββα χειρόγραφον παρέχει «κρατῆρσι».

746. *ἀνεπίξεστον* (Θεμιστ. Λόγ. 26 σ. 322 Β. Εὐστάθ. Μακρεμβολ. 5,16,4)] «ἔνιοι δὲ *ἀνεπίρρεκτον* γράφουσι, τουτέστιν ἀθυμίατον» (Σχόλ.), ἀποροῦντες περὶ τῆς ἐξηγήσεως.

747. *κρώξῃ*] κρώζῃ (Εὐστάθ., Ἐτυμολ. Γουδιαν. σ. 350,7). Φοβεῖται μὴ κρώξῃ ἅπαξ ποτὲ ἡ κορώνη.

748. *ἀνελόντα*] Πολυδεύκης 10,99 καὶ Τρύφων ἐν τῇ ὑπὸ τοῦ Walz Συλλογῇ τῶν Ῥητόρων τ. η', σ. 735,10: ἀφελόντα.

749. *ἐνι*] Turicensis: ἐπὶ, Steitz: ἔπι, ὥσπερ 745 καὶ 754.

750. *καθίζειν*] Nauck: καθιζέμεν.

752. *δυωδεκάμηνον· ἶσον*] Göttling: δυωδεκάμην' ἶσον, Lennep: δυωδεκάμηνον· ὃ καὶ ἴσον τι τέτυκται. Ἓν ἐκ τῶν ἐν Μονάχῳ χειρογράφων καὶ ὁ Galeanus ἔχουσι τὴν γραφὴν «ἶσον (ἴ.) γὰρ καὶ», ὅθεν Θύρσιος ἐν τοῖς τῆς Βαυαρικῆς Ἀκαδημείας συγγράμμασι 1812,σ. 10 πρωτοφανῆ ἡγήσατο «Ὁμῶς γὰρ καὶ τὸ τέτυκται».

754. *ἀνέρα*] Heinsius, γράψας *ἀνέρι*, 751 προτάσσει τοῦ στίχου τούτου.

756. *μωμεύειν*] Ἐτυμολ. Φλωρεντ. σ. 219: μωμαίνειν,ἐν τῷ λήμματι.

*τοι*] νύ τοι, νύ τι, γέ τι.

757. «Ταῦτα διαγράφει Πλούταρχος ὡς εὐτελῆ καὶ ἀνάξια παιδευτικῆς Μούσης, μὴ οὐρεῖν ἐν προχοαῖς ποταμῶν ἢ κρηνῶν, μηδ' ἀποπατεῖν» (Σχόλιον).

*προχοῇ* (Ἐτυμολ. Φλωρεντ. σ. 39)] *προχοῆς* Πάπυρος, ᾧ σύναψον τὸ ἄρτι ἀνενεχθὲν σχόλιον.

760. *ὑπαλεύεο* (Ἐτυμολ. Μέγ. σ. 60,15)] ὑπαλεύαο.

763. *τις* (Αἰσχίν. 1,129. 2,144, Σχόλ. Αἰσχύλ. Ἀγαμ. 90, Σχόλ. Δημοσθ. 17 σ. 417, ἔκδ. Reiske)] τοι, ὅπερ πλὴν τοῦ Ἱεροσολυμιτικοῦ διέφθαρται εἰς *τι*, Ἀριστοτ. Ἠθικ. Νικομάχ. ζ', κ. 14, σ. 1153 B 27 καὶ Ἠθικ. Εὐδημ. 6,13: τί γε.

*πολλοὶ* | *λαοὶ* (Ἀριστείδ. τ. B', σ. 150 Jebb, Σχόλ. Αἰσχύλ., Αἰσχίν. 2, 144)] λαοὶ | πολλοὶ Ἀριστοτ., Αἰσχίν. αὐτ. γρ. καὶ 1,129, Σχόλ. Δημοσθ., Δίων Χρυσόστ. Λόγ. 37, σ. 128, ἔκδ. Reiske).

764. *φημίξωσι* Παρισ. 2773 (Σχόλ., Αἰσχίν. γρ.,Σχόλ. Δημοσθ., πρβλ. Ψελλοῦ Ἐπιστολ. 30: πολλοὶ μὲν γὰρ ἐκεῖνον, κατὰ τὸν Ἀσκραῖον, τεθνηκέναι ἐφήμιξαν καὶ ἔτι φημίξουσι)] φημίξουσι (Αἰσχίν. καὶ Ἀριστοτ. γρ.), φημίζουσι,-σιν (Δίων Χρυσόστ., Ἀριστ. γρ., Σχόλ. Αἰσχ., ἐκλογὴ παρὰ Bandini, Catalogus codd. mss. bibl. Laurent. γ', σ. 391): φημίζωσι,-ιν.

*τις* (Ἐκλογ.)] *τοί* γράφεται ἐν τῷ τῆς Ἀββατίας κώδικι (κακῶς *τι* ἐν τῷ τοῦ ἐν Λειψίᾳ πανεπιστημίου), Guiet: τε.

767. *ἐποπτεύειν*] Σέρβιος Βιργ. Γεωργ. 1,277: ἀποπτεύειν.

*δατέασθαι*] δατέεσθαι. Ὁ τύπος ἀναλογεῖ τῷ *ἀλέασθαι*.

768. *ἀληθείην*] Σχόλιον εἰς 765: δή μιν, Hermann: ἀλη-

θείῃ (Σχόλ. β΄: μετὰ ἀληθείας). Ὑπὸ τοῦ Schömann ὑποτάττεται τῷ 769.

769. *γὰρ*] Παρισ. 2780: μὲν.

770. Περὶ τῆς ψιλώσεως ἔπιθι 410 καὶ παράθες *ἔνιοι* ἅμα τῷ Ἰνδικῷ anyas (ἄλλος).

*ἑβδόμη* (Ἀριστόβουλος παρ' Εὐσεβ. Εὐαγγ. Παρασκ. 13, 12,16)] ἕβδομον (Κλήμ. Ἀλεξ. Στρωμ. ε', σ. 713).

772. Ἐγράψαμεν *δ'* ἀντὶ τοῦ ἐν τοῖς πλείστοις *τ'* πεισθέντες τῷ Παπύρῳ καὶ τῷ τοῦ Ζωναρᾶ Λεξικῷ σ. 433, μὴ συνάπτοντες τὰ ἑξῆς μετὰ τοῦ 770 στ. Ταὐτὸ ἐποιήσαμεν 774.

777. *νεῖ*] «τινὲς δὲ (οἷον Λαυρεντ. 32,16) τὸ *νεῖ νήματα* διὰ τοῦ η ἔγραψαν ὡς ἀποκοπὲν ἐκ τοῦ νήθει» (Σουΐδας λ. ἀράχνη).

778. *ἐκ πλείον*] Guiet ὑφ' ἓν γράφει.

*ὅτε* (Ϝ)*ίδρις*, φέρεται ἐν τῷ τῆς Ἀββατίας κώδικι, ὅθεν ἐγένετο *ὀτίδρις* Βινδοβων. ἀριθ. 256] ὅτε τ' ἴ. (Ζωναρᾶς σ. 1086).

780. *τρεισκαιδεκάτην* γραπτέον διὰ διφθόγγου, ὡς ἀποδεικνύεται ἐκ τῶν ἐπιγραφῶν Meisterhans, Grammatik der Attischen Inschriften σ. 72, ὑποσημ. 614, Meyer Grammatik § 399). «Τὸ δὲ τρεισκαίδεκα διὰ διφθόγγου γράφουσι τὰ τῶν ἀντιγράφων ἀκριβέστερα». Ταῦτα ἔγραψεν Εὐστάθιος εἰς Ὀδ. ω 340, οἱ δὲ κατ' αὐτὸν οὐχ ὑπήκουσαν.

781. *σπέρματος ἄρξασθαι* (Πάπυρ.)] σπέρματα δάσσασθαι. (Ζωναρ. σ. 473). Δῆλον ὅτι τὴν ἀντὶ τοῦ σπορὰ χρῆσιν ἄκυρον ἐνόμιζον.

*ἐκθρέψασθαι*] ἐνθρέψασθαι, ἐκτρέψασθαι.

782. *μάλ' ἀσύμφορος*] μάλα σύμφορος. Ἐν ταὐτῷ ἡ ἑξῆς πρότασις συνάπτεται διὰ τοῦ *τε* μορίου. Αἱ γραφαὶ ἀμφότεραι ἔτυχον σχολίων.

783. *κούρῃ δ' ἀξύμφορος* Λαυρεντιαν. 32,16, πρβλ. Θ. 593] κούρῃ δ' ἀσύμφορος, κ. δ' οὐ σύμφορος, κούρῃσι δὲ σύμφορος. Καὶ αὐτὴ συνέχειαν ἔχει πρὸς τὰς ἄρτι ῥηθείσας.

784. *ἂρ*] Παρισ. 2776: ἄν.

785. *κούρῃσι*] κούρῃ τε (Πάπυρ., Σχόλ.), κούρῃ δὲ, ἤ, ἀναμιγνυομένων τῶν γραφῶν, κούρῃσί τε, κούρῃσι δὲ. Rzach: κούρῃ γε.

788. *δέ τε*] (φιλέοι) δέ κε (ἀκολουθοῦντος τοῦ *κερτόμα*), δὲ καὶ Παρισ. 2780, δὲ, ἐν τῷ Παπύρῳ *δ' ὅγε*.

*κερτόμα* (Πάπυρ.)] κέρδεα.

789. *θ'*] ἐν τῷ Παπύρῳ γράφεται *γ'*.

793. Λείπει ἐν τῷ Παπύρῳ.

*γείνασθαι*] γείνεσθαι, γίνεσθαι.

*μάλα*] μέγα.

*πεπτυμένος*] πεπυκασμένος

*ἐστὶν*, καθάπερ 788] Döderlein, homerisches Glossar τ. Β', ἀριθ. 415: ἔσται.

794. *κούρῃ δέ τε*] κούρῃ δὲ, κούρῃσι δὲ, Guiet: κούρῃ δὲ τετάρτῃ. Ὁ σχολιαστὴς σημειοῦται εἰς 798 «τοὺς πρὸ τούτων δ' στίχους οὐδὲ μνήμης ὁ Πλούταρχος ἠξίωσεν ὡς ἂν μὴ φερομένους».

*πεφύλαξο*] ὁ Turicensis εἰσάγει τὴν νεωτέραν λῆξιν -ξε.

797. *θυμῷ*] Ἐν τῷ τῆς Εἰδελβέργης χειρογράφῳ ἀναγινώσκομεν *θυμόν*.

799. *θυμοβορεῖν*] Guiet: θυμοβορῆ (=-α), Wachler: θυμοβορεῖ, στίξας ἐν τῷ τοῦ 798 στ. τέλει, Schömann: θυμοβόρα.

*μάλα τοι*] Ὁ Πάπυρος: μάλα γὰρ.

800. *ἄγεσθ' ἐς*, ἤ, *εἰς* (F)*οἶκον*] ἄγεσθαι ἐς οἶ., Sangallensis: ἄγεσθαι δὲ οἶκον (ἆρά γε ὁ Ἡσίοδος εἶπεν· ἄγεσθαι Fοῖκον;), Ἄλδος: ἄγεσθαι δ' ἐς οἶκον.

801. *οἷ ἐπ' ἔργματι τούτῳ*] Lennep: οἳ τῷδ' ἐπὶ Fέργματ', ἤ, Fέργῳ, Paley: οἳ Fέργματι τούτῳ.

803. *ἀμφιπολεύειν*] περιπολεύειν, ἀντὶ ἐξηγήσεως.

804. *τιννυμένας*] τιν(ν)ύμενον, γ(ε)ινόμενον (Σχόλ., πρβλ. Βιργιλ. Γεωργ. 1,277: quintam fuge, pallidus Orcus Eumenidesque **satae** καὶ τὸ Σερβίου σχόλιον). *Ἀμφιπολεύω τινὰ* οὐ λέγουσιν, ἀλλὰ *τινί* (Ὀδ. υ 78, Κόϊντ. Σμυρν. 13,270).

806. *ὀπιπεύοντα ἐγὼ*] ὀπιπτεύοντα (ζήτει εἰς 29), ὀπιπτεύοντά γε (Παρισ. 2707) ἢ *σὲ* (Bodleianus 60): ὀπιπεύοντας (κακῶς,-ος) ἢ ὀπιπτεύοντας, χάριν τῆς χασμῳδίας, ἥγε ἐπιτρέπεται ἐν τῇ τομῇ.

807. *βάλλειν*] Rzach: βαλλέμεν.

*δοῦρα*] Ὁ ἐν Μεσσάνῃ κῶδιξ: ἔργα.

808. *τ' ἄρμενα*] θ' ἄρμενα, τ' ἅρματα Λαυρεντιαν. 31,39 κατὰ τὸ χυδαῖον *ἅρματα*, πρβλ. Θ. 639.

809. *πήγνυσθαι ἀραιάς*] Guiet: πήγνυσθ' ἀραρυίας. Ὁ ἐν Εἰλδεβέργῃ κῶδιξ τὸν στίχον ἔχει προτεταγμένον τοῦ 808, ᾧ προσάπτεται στ. 420.

810. *εἰνὰς*] Ὁ Πάπυρος: εἰκάς.

*μέσση*] ὁ αὐτὸς *μέσσηι*, Payne-Knight, on greek alphabeth σ. 23: μεσσή'.

*ἐπὶ δείελα*] ἐπιδείελα (Ἄρατ. 118). Καὶ 421· ἡ διαίρεσις ἐν τῷ παλαιοτάτῳ Λαυρεντιανῷ οὐ δηλοῦται.

812. *θ' ἥδε* (ἡδὲ)] τ' ἠδὲ (ἥδε).

*φυτευέμεν*] φυτεύειν.

814. *δ' αὖτε*] Rehdig.: δέ τε.

815. *αὐχένα*] Hermann (8) σ. 254: αὐχένι, ἤ, ἐπίζυγον αὐχένα, πρβλ. Θέογν. 1357: ἐπὶ ζυγὸν αὐχένι κεῖται, Rzach: ὑπὸ ζυγὸν αὐχένα, πρβλ. Θέογν. 1023: ὑπὸ ζυγὸν αὐχένα θήσω.

*νῆα*] Schäfer: νέα τε.

*πολυκλήϊδα*] -ηῖδα (-ηίδα). Οἱ τῶν Ὁμηρικῶν ποιημάτων καὶ τῆς Ἀνθολογίας (7,539,3) κώδικες οὐχ ἕνα καὶ μόνον κανόνα τηροῦσιν. Ἡρῳδιανὸς παρήγγειλε τὴν βαρυτόνησιν (Εὐστάθ. Ἰλ. Θ 239). Ἄλλας τε μαρτυρίας εὑρήσεις παρὰ Spohn, De extrema Odysseæ parte σ. 193-4.

817. *θοὴν*] θοήν τ'.

*εἰς*] Μοσχόπουλος *ἐπὶ*, ὅ,τι πρὸ τοῦ διγάμματος εὐάρμοστόν ἐστιν.

818. *ἐρύμεναι ἐγὼ*] *εἰρύμεναι* ἐν ἅπασι φέρεται, πλὴν ὁ Πάπυρος ἔχει ἑλκέμ[εναι, πρβλ. 631. 672.

Ἡ δίφθογγος οὐκ ᾐτιολόγηται μέχρι τοῦ νῦν.

*δέ τ'*] Nauck (16) δ', σ. 612,46: δὲ.

*κικλήσκουσι,-σιν*] Guiet: γινώσκουσι, στηριζόμενος ἐπὶ σχολίου.

819. *πέρι*] περὶ.

820. *μέσση*] Μοσχόπουλος *μέσση* (ἤγουν τετράδι), πρβλ. 810 *μέσσην* καί, ἐμβαλλομένων τῶν ὑπερσεσημειωμένων γραφῶν, *μεσσήη* ἀντὶ τοῦ μέσσῃ (η) καὶ *μεσσήην* ἀντὶ τοῦ *μέσση* (ην).

828. *δ' αὖτε*] δέ τε (ἴδε 814): δὲ. Lennep: δ'αὖ μετὰ Fεικάδα, Flach: δὴ μετὰ Fεικάδα.

*μετ' εἰκάδα*] Ἰωάννης ὁ Πρωτοσπαθάριος καὶ Λαυρεντ. 32, 16 τὰς λέξεις οὐ διαιροῦσιν.

*εἰκάδα μηνὸς*] Schömann: εἰκάδ' ἴσασιν.

821. *γεινομένης*] γιν., γιγν. Nauck (16) ε', σ. 135: ἠόος ὀρνυμένης.

823. *φέρουσαι*] φέρισται γρ. ἐν τῷ τῆς Ἀββατίας κώδικι.

824. *δέ τ' ἴσασι*] Lennep: δὲ Fίσασι.

827. *ἐργάζηται* (-εται)] ἐργάζοιτο Παρισ. 2758.

828. *ὑπερβασίας*] Λαυρεντιαν. 32,16: ὑπερβασίης.



# ΑΣΠΙΣ ΗΡΑΚΛΕΟΥΣ

Ἡ σπουδαία τῆς Ἀσπίδος ὑπόθεσις φέρεται ἐν τῷ τῆς Ἀββατίας κώδικι (ὅπου καταλήγει εἰς τὰς λέξεις «προαιρουμένου τὴν Ὁμηρικὴν Ἀσπίδα μιμήσασθαι»), ἰδίως τῷ Venetus 9,6, τῷ τοῦ ἐν Κανταβριγίᾳ Ἁγ. Ἐμμανουήλ, τρισὶ Παρισίνοις καὶ ἑνὶ Rehdigeranus, ὧν τινων τὰς γραφάς, καθ᾽ ὅσον γε ἡμῖν γνωσταί, σημειούμεθα τοῖς ἀρκτικοῖς γράμμασι τῶν ὀνομάτων.

Τετάρτῳ τῶν Καταλόγων R] δ´ καταλόγῳ. νς´ ἐγώ, ν´ καὶ ς´ Samuel Petit, De legibus Atticis σ. 462 ἢ 561] ν´ καὶ σ´, διὸ καὶ ὑπώπτευκεν E] διὸ καὶ ὑπώπτευσεν ὁ Α, ὑπώπτευκε δὲ *οἱ λοιποί*. ARV σημειοῦσι πρὸς τὸ Ἀριστοφάνους ὄνομα· «οὐχ ὁ κωμικός, ἀλλά τις ἕτερος γραμματικός». αὐτὴν] V τὴν ὁπλοποιίαν ταύτην. Μεγακλείδης Schömann] ἐν τῇ παραδόσει φέρεται *Μεγακλῆς*, ὅς πολὺ ἐνδοξότερος. Μεγακλείδης ἔγραψε καὶ περὶ Ὁμήρου, ὅθεν τετράκις ἐν τοῖς Ὁμηρικοῖς σχολίοις ἀναφέρεται. Ἄλλως δὲ ἐπιτιμᾷ] E καὶ ἄ. ἐπιτιμᾶται, ἔπειτα δὲ *παρέχοντα* λείπει, τοῦ *ὅπλα* τιθεμένου ὄπισθεν τοῦ *ποιεῖν*, διότι τὸ ποιεῖν παρεννοεῖται. *μητρὸς* ἐγὼ] μητέρος· ὁ τύπος ἡμίσοφός ἐστι συμμεμιγμένος ἀπὸ τοῦ καθαροῦ *μητρὸς* καὶ τοῦ χυδαίου *μητέρας*. Ἀπολλώνιος ἐν τῷ γ´ φησίν, φέρεται ἐν ἅπασιν. Ὁ Göttling τὸ τακτικὸν ἀριθμητικὸν καλῶς μετέθηκε πρὸς τὸ *καταλόγῳ*. E γράφει *αὐτὴν* ἀντὶ τοῦ *αὐτοῦ* καὶ *τοῦ πάλαι* ἀντὶ τοῦ *ἐκ τοῦ* καὶ ἔχει τὸ *δὲ* μετὰ τὸ *Στησίχορος*.

Πρὸ τοῦ διεξιέναι τὴν καθ᾽ ἕκαστα ὕλην, στρέφομεν τὴν τῶν λογίων προσοχὴν πρὸς παράξενα ἴχνη ἰδιωτισμῶν, ἅτινα διαμένουσιν ἔν τισι χειρογράφοις. Οὐ σπανίως παρέχουσι τὸ μὴ Ἰωνικὸν α, οἷον 24: πλάξιπποι, 36 καὶ 40: εὐνὰν, 67: δαϊώσειν, 93: ἄταν, 131: ῥιγαλοί, λαθαφθόγγοιο, 146: πλᾶτο, 148: πεπότατο, 155: δεδάει, 186: μελαγχαίταν (μελεγχαίταν, μελεγχαίτα), 311: νίκα, πρὸς τούτοις δὲ Βοιωτικά, ὡς 186: μελαγχήτην = μελαγ-

χήταν, 386: προϊδέσθη ἢ προσιδέσθη, 271: ὑπερθουρίοις, τέλος δὲ τὸ Αἰολικὸν παῖσαι = πᾶσαι 261. Οἷς παρατίθεμεν τὸν τῆς Μικρᾶς Ἰλιάδος στίχον (Σχόλ. Εὐριπ. Ἑκάϐ. 910)· «Νὺξ μὲν ἔην μεσάτα, λαμπρὰ δ' ἐπέτελλε σελάνα». Ἐντεῦθεν ἂν εἰκάσειέ τις τοσοῦτον, ὅτι αἱ τῶν Δωριέων καὶ Αἰολέων διάλεκτοι ἐπιρροὴν εἶχον ἐπὶ τοὺς τῶν Μεθ' Ὅμηρον ἐποποιῶν τύπους. Τὰ δ' ἄλλα σιγῶ. Τούτου τοῦ ποιήματος τὰ σχόλια, ὡς πρὸς τὰ λήμματα αὐτῶν, παρημελήσαμεν, ἅτε μάλιστα ἀνήκοντα πρὸς τὸν τῶν Βυζαντίνων αἰῶνα.

1. *ἢ οἵη*] Ἀφοῦ τὸ ποίημα κεχωρισμένως ἐφέρετο ἀπὸ τῶν Ἠοιῶν, ἡ ἀρχὴ αὕτη ἐπαύσατο ἐννοουμένη, ὅθεν οἱ μὲν τὸ ΗΟΙΗ ἐξεδέξαντο *ἠοίη* (Σχόλ. Ἰλ. Τ 342), οἱ δὲ *ἢ οἵη* (Σχόλ.).

*δόμους*] δόμον.

3. Wilamovitz ἐν τῷ ιδ' τ. τοῦ Ἑρμοῦ σ. 457-8 παραινεῖ γράφειν Ἠλέκτρωνος καὶ Ἠλεκτρώνη, εὑρὼν ἐν ἐπιγραφῇ τῶν ἐπὶ Ῥόδου Ἰαλυσίων (Dittenberger, Sylloge 357,4. 21) τὸ νύμφης ὄνομα *Ἀλεκτρώνα*. Τὸ υ ὅμως βεϐαιοῦται Εὐριπίδου στίχῳ (Ἄλκηστ. 838) καὶ ἐπιγραφῇ ἀγγείου (ΕΛΕΤΡΥΓΟΝΑ Bullettino dell' Instituto Archeologico Ἰούλ. 1861, σ. 30). Τινὲς αἰνίττονται τὸ ὑφ' ἓν τῷ τόνῳ *Ἠλεκτρυῶνος*. Meyer ὁμοιότροπα παραδείγματα τῆς τοῦ υ προφορᾶς ἀπαριθμεῖ ἐν τῇ Γραμματικῇ § 150. Τὰ Λατινικὰ (Fleckeisen, Jahrbücher f. Philologie τ. ρκα', σ. 605) ἀπροσδιόνυσα.

4. *φῦλα*] φῦλον. Πρϐλ. ἔνθεν μὲν Ὀδ. γ 282: ὃς ἐκαίνυτο φῦλ' ἀνθρώπων κτλ., ἔνθεν δὲ Γρηγόρ. Ναζιανζ. Ἐπιγρ. κζ', 4: τοῖς φῦλον πασέων καίνυτο θηλυτερῶν.

5. *μὲν*] μιν.

7. *ἀπὸ κρῆθεν*] τινὲς ἔγραφον ὑφ' ἓν *ἀπόκρηθεν* (Cramer, Anecdota Parisina δ', σ. 67) ἢ *ἀποκρῆθεν* (Ἐτυμολ. Μέγ. σ. 495,30 καὶ Ἡρόδωρος παρ' Εὐσταθ. Ἰλ. Χ 74), καθάπερ *κατάκρηθεν* (Θ. 573,6 Ἰλ. Π 584), *κατάκρας* (Αἰσχύλ. Χοηφ. 689), *ἐξαρχῆθεν* (Boissonade, Anecdota Δ', σ. 367,10), λαϐόντες τοιαῦτα ἐκ τῆς συνηθείας, καθ' ἣν λέγεται *κατακέφαλα*.

τ' Λείπει παρ' Εὐσταθίῳ Ἰλ. Χ 74 (ἐξ Ἡροδώρου καὶ Ἀπίωνος). Ω 528. Ἐτυμολ. Γουδιαν. σ. 304,54. Σχόλ. Ἰλ. Π 548. Τ 1.

*κυανεάων* (Πάπ., Ἡρῳδιανὸς εἰς Ἰλ. Τ 1, Ἀπολλών. Σοφιστ. Λεξ. λ. ἐὰ σ. 61, 23, Εὐστάθ. Ἰλ. Ω 528)] κυανεόντων, κυανεώντων, κυανέων, κυανυέων. Winterton: κυανεείων, Nauck (16) δ', σ. 641: κυανοέντων, καὶ δὴ -οεντ-, -εοντ-, -οωντ- ἐν πολλοῖς χωρίοις συγκεχυμένως παραδίδονται, π. χ.

Ἰλ. Α 157: σκιόεντα καὶ σκιόωντα. Paley: τ' ὀφρύων τ' ἀ. κ. ἢ βλ. ἄπο κυανέων τε.

10. Λείπει ἐν τῷ Venetus 9,6 ἐν δὲ τῷ Παρισίνῳ ἀριθ. 2708 παρενεγράφη εἰς τὴν ᾤαν. Schmidt: ὥς τις ἂν οὔποτ' ἔτισε.

11. *μέν* Fοί] μήν οἱ.

*ἶφι*] Ἐκ τοῦ ἐν Εἰδελβέργῃ ἀντιγράφου σημειοῦται ἡ γραφὴ *ἶφθι*, ᾗ τινι πάντως προσῆψαν τὴν ἐξήγησιν «ἀποκοπῇ τοῦ ἴφθιμος».

12. *περὶ*] Göttling: πέρι = περισσῶς.

*ὅ γε*] ὅτε.

13. *φερεσσακέας*] φερεσ(σ)ακέους, ἴδε τὴν μαρτυριῶν συλλογήν, ἣν περιέχει τὸ τοῦ Wernicke εἰς Τρυφιόδωρ. 11 σχόλιον.

15. *οὐδέ* (F)*οί*, ὁ Πάπυρος, ἧστινος γραφῆς ἴχνος λέλειπται ἐν τῇ Παρισίνου τινὸς *οὐδὲ γὰρ οἱ*] οὐ γάρ οἱ.

17. *πόνον*] φόνον.

20. *ἐπιμάρτυροι*] Πότερον γραπτέον *ἐπιμάρτυροι* ἢ *ἐπὶ μάρτυροι*, παλαιοί τε καὶ νεώτεροι ἐπ' ἀμφότερα διελέχθησαν εἰς Ἰλ. Η 76. Ὀδ. α 273. Ἡσύχ. λ. ἐπιμάρτυρος. Ἡμεῖς ἀπείδομεν εἰς τὴν φράσιν *ἐπιμαρτύρομαι τοὺς θεοὺς* καὶ εἰς τὴν παρὰ τοῖς Ἀττικοῖς καὶ τοῖς μεταγενεστέροις χρῆσιν τῶν συνθέτων ἐπίμαρτυς (Ἀριστοφάν. Λυσιστράτ. 1278, Ἀπολλών. Ῥόδ. 4, 229, Χριστόδωρ. Ἐκφρ. 195, Μουσαῖος 1), ἐπιμάρτυρος, ἐπιμαρτυρίη, αἵτινες ἅπασαι συχνάζουσι παρὰ Μανέθωνι.

*ἦσαν*] ἦσσαν, ἔσσαν. Ταὐτὸ γράφεται Ὀδ. ζ 224, Ἀλκαίου Ἀπόσπ. 91, Θεοκρίτ. 12, 15, Ἀνθολογ. Παλατ. 14, 147, Τζέτζ. Μεθ' Ὅμηρον 214: ἀπέσσαν, καὶ ἐξ εἰκασίας τίθεται Πινδάρ. Νεμ. 9,17 ἀντὶ τοῦ ἐν τοῖς κώδιξιν *ἔσαν*.

21. *ὅ γ' ὀπίζετο*] γ' ὀπίζετο, ὃ διώρθωται ὑπὸ τοῦ Ranke γ' ὠπίζετο, μάτην τεκμηριουμένου ἐξ Ἰλ. Σ 216. Ὀδ. ξ 283: Διὸς δ' ὠπάζετο μῆνιν.

23. *φυλόπιδος*] Τῶν Βυζαντίνων τινὲς ἔγραψαν τὴν λέξιν διὰ τοῦ ι (Ἐτυμολ. Μέγ. σ. 627,47. 802,33), ἐξηγούμενοι αὐτὴν «σπουδὴν τῆς ἐπιστροφῆς» (Σχόλ.).

24. *ὑπὲρ*] ἐπὶ.

25. *ἀγχέμαχοι*] ἀγχίμαχοι «τροπῇ τοῦ ε εἰς ι» (Ἐτυμολ. Παρισ. σ. 288,39, ἔκδ. Sturz, πρβλ. Θεόγνωστον παρὰ Cramer, Anecdota Oxoniensia Β', σ. 17,21), ἐγχέμαχοι. Παραβλητέον τὸ Κρητικὸν ἀγκέμωλον = ἀγχέ-μωλον ἐν ἐπιγραφῇ Γορτυνίᾳ ἐκδοθείσῃ ἐν τῷ Museo Italiano di Antichità Β', ἀριθ. 81,3.

26. *πάϊς*] παῖς Dindorf.

28. *ὕφαινε*] ὕφηνε.

*μετὰ*] Mediceus τις *κατὰ*.

*ὄφρα*] ὥς ρα.

29. *φυτεῦσαι* (-εῦσαι)] φυτεύσῃ. Περὶ τῆς *ἀρῆς* ζήτει εἰς Θ. 657.

30. *δόλον*] Ἐτυμολ. Φλωρεντ. 72: πολλὰ.

*ἶξε*, *ἵξε*] ἔζε (ἕξε) πρβλ. Θ. 847. Τὸ Τυφαόνιον ζεῖ καὶ πάλιν ἐπελθόντος τοῦ κεραυνώσαντος τὸ τέρας.

32. *Τυφαόνιον*] Clericus: Τιλφώσιον.

*τόθεν*] πόθεν (ἀναφορικῶς), τότε ἢ τότε δ' (πρβλ. Ἰλ. Β 221: τότ' αὖτ', Λ 63: τοτὲ δ' αὖτις), Göttling: τόθε δ'.

33. *προσεβήσατο* (Ἐτυμολ. Φλωρεντ. 301)] Κόντος ἐν τῷ Λογίῳ Ἑρμῇ Α', σ. 121: προσεβήσετο.

35. *μὲν γὰρ*] γὰρ μὲν.

*τανυσφύρῳ Ἠλεκτρυώνῃ*] τανυσφύρου Ἠλεκτρυώνης, ὅπερ ἀμάρτυρον· πλὴν ὁ τὸν δ' Ὁμηρικὸν ὕμνον ποιήσας στ. 151 ᾄδει «σῇ φιλότητι μιγῆναι». Ἀλλὰ πρῶτον μὲν ἐκεῖ ἀντωνυμία κεῖται, ἔπειτα δὲ οὐδὲν κωλύει τὸ μὴ γράψαι *σοὶ* φ. μ. Ἡ γραφὴ δι' αὐτὸ μόνον ὑπερηξιώθη, ἐπειδὴ κατὰ τὸ τῶν διορθωσάντων Βυζαντίνων παράδειγμα συνέχεαν τὰς περὶ **γυναικῶν** φράσεις, οἷον Θ. 920: Διὸς φιλότητι μιγεῖσα, Ὀρφ. Ἀργον. 221: θεοῦ φ. μ. Ἣν δὲ ἡμεῖς ἐξελέξαμεν, ταύτῃ ἀντιστοιχεῖ τὸ τῆς Ὀδυσσείας (ο 420-1)· «πλυνούσῃ μίγη . . . εὐνῇ καὶ φιλότητι».

36. εὐνῇ καὶ φιλότητι] εὐ. ἐν φ., αὐτῇ ἐν φιλότητι.

*δὲ ὃν ἔλδωρ*, ἐγώ, ἀνθ' οὗ τις κακῶς ἔγραψε «δ' ἐὸν ἔλδωρ»] δ' ἔθ' ἔλδωρ, δ' ἄρ' ἐέλδωρ, διότι παρ' Ὁμήρῳ τὸ δι' ἁπλοῦ ε σχῆμα οὐκ ἀπαντᾷ· καίτοι κανονικόν, μᾶλλον δὲ τὸ ἕτερον ε παρασιτικόν. Μάρτυς ὁ Ἡσύχιος (ἔλδωρ, ἐπιθυμία).

40. *ὦρτ' ἰέναι*] ὦρτό γ' ἴμεν· ᾧ ἐναντιοῦται τὸ προηγούμενον *ὅ γ'*.

*πρὶν* (F)*ἧς*, *εἷς* Vossianus] πρίν γ' ἧς, πρίν γ' ἑῆς, ἤτοι πρὶν ἑῆς, ὑπεργεγραμμένου *πρίν γ' ἧς*.

*ἀλόχου*] Λαυρεντιαν. 31,32: ἀλόχοιο (ἤτοι-οἱ).

42. *ὑπεκπροφύγῃ*] ὑπεκπροφύγοι. Πρβλ. Ἰλ. Ε 597: ὡς ὅτε . . . στήῃ.

42-45. Ὑπὸ Kinkel καὶ Rzach προτίθενται τοῦ 39.

43. *ὕπ'* (ὑπ')] Bauerm. 1 σ. 7: ἀπ'.

44. *ἐκτολυπεύσας*] ἐκτολμήσας ἢ ἐκτολμῶν, καθαραὶ ἐξηγήσεις.

45. *τε φίλως*, ἴδε Ἰλ. Δ 347] φίλως, φιλίως, ὅπερ ὕστερον ἐν πλείονι χρήσει ἦν. Ἐκ τῆς μίξεως τούτων ἐγένετο *τεφιλίως*.

49. *Θήβῃ ἐφ' ἑπταπύλῳ*] Οἱ ἀγνοοῦντες τὴν τοποθεσίαν ἤτοι παρέλιπον τὴν πρόθεσιν, ἢ ἀντικατέστησαν διὰ τῆς *ἐν*. Αἱ δὲ

Θῆβαι καὶ ἔκειντο καὶ κεῖνται ἐπὶ λόφου, ὅστις κυρίως ὠνομάσθη *Θήβη*.

50. *γὲ μὲν, ἤ, γέ μεν*] δὲ μὲν, μὲν. Lennep: οὐ καθ' ὁμὰ.

51. *δ' αὖ μέγ'*] δὲ μέγ'.

52. Λείπει ἐν τῷ Παρισίνῳ ἀριθ. 2772.

54. *αὐτὰρ* (Ϝ)*Ἰφικλῆα δορυσσόῳ*] αὐτὰρ Ἰφικλῆα (⏑ – – –) γε δ., αὐ. Ἰ. λαοσσόῳ. Ὁ τῶν εἰκασιῶν κατάλογος οὐ βραχύς. Τρικλίνιος: αὐ. Ἰφικλῆ τε δορ., Hermann ἐν τῇ ὑπὸ Schäfer ἐκδόσει τοῦ Γρηγορίου τοῦ Κορινθίου σ. 879: αὐ. Ἰφικλῆ λαοσσόῳ Göttling αὐ. Ἰφικλέα λ., Gerhard, Lectiones Apollonianæ σ. 108: αὐ. Ἰφικλῆα δουρυσσόῳ, Rzach «τὸν δ' ἄρα Ἰφικλῆα δορυσσόῳ», Θύρσιος (ἐν § 148,4 τῆς Γραμματικῆς) ὑποτίθησι δισσὴν γραφήν, τὴν μὲν «αὐ. Ἴφικλον λ.», τὴν δὲ «αὐ. Ἰφικλῆα δ.», Peppmüller, philolog. Anzeiger ιδ', σ. 425 καὶ philolog. Rundschau 1885, σ. 391 μεταποιεῖ τὰ πρῶτα, ἅτινα διεφθαρμένα θεωρεῖ, ἤτοι ἐκ τοῦ *τὸν δ' αὖτ'* ἢ *τὸν δ' αὖ*. Τὸ Ὁμηρικὸν ἐπίθετον *λαοσσόος* σχεδὸν ἐξέβαλε τὸ μὴ Ὁμηρικὸν *δορυσσόος*, ὃ εὑρίσκεται παρὰ Θεόγνιδι (987: ἄνακτα δορυσσόον), τοῖς τραγικοῖς καὶ Θεοκρίτῳ (22, 136).

57. *ὃς καὶ*] Paley: ἔνθ' ὅ γε.

*Ἀρητιάδην*] Wolf: Ἀρηϊάδην. Ἀλλὰ τῷ σχήματι ἐχρήσατο Διονύσιος ὁ Περιηγητὴς (687), καὶ Ἡρῳδιανὸς μετὰ τῶν ἀπ' αὐτοῦ γραμματικῶν αἰτιολογεῖ τὸ Ἀρητιάδης καὶ τὸ ὑποκοριστικὸν Ἀρητίων (Εὐστάθ. εἰς Ἰλ. Ε 31, Χοιροβοσκ. ἐν τοῖς Βεκκήρου Ἀνεκδότοις σ. 1188 κά., περὶ ὧν ἴδε Unger, Thebana Paradoxa σ. 106). Τὸ παρ' Ἀπολλωνίῳ εὔχρηστοῦν θηλυκὸν *Ἀρητιὰς* (Ἀργον. 2,968. 1033. 1049. 3,1179) βεβαίως ἐκ παλαιᾶς ἐποποιίας ἐλήφθη.

58. *εὗρε γὰρ*] Τὸ *γὰρ* ἐξηγήσεως χάριν τῷ *δὲ* ἐξέστη τοῦ τόπου ἐν τῷ εἰς τὸν Ἅγιον Ἐμμανουὴλ ἀνήκοντι κώδικι.

59. *Ἄρη'*] Ἄρη, Ἄρην. Ἡρῳδιανὸς ἐπεδοκίμασε τὸν διὰ τοῦ *ν* τύπον (Σχόλ. Ἰλ. Ε 409), ἀλλ' οὐ τύχῃ, οἶμαι, ἡ αἰτιατικὴ ὑφ' Ἡσιόδου οὐ τίθεται εἰ μὴ πρὸ φωνηέντων.

60. Ἔλειπε κατ' ἀρχὰς ἐν τῷ Venetus 464.

61. *ἑσταότ' ἐν*] ἑσταῶτ', -ότ' ἐνί. Lennep: ἑστεῶτ' εἰνὶ, καθάπερ Ἀρίσταρχος Ἰλ. Ω 701: *ἑστεῶτ'* ἀνέγνω ἀντὶ τοῦ *ἑσταότ'*.

63. *πλεκτοῖσιν*] Guiet: πηκτοῖσιν.

64. *δ'*] Παρισ. 2776: τε δ', ἤγουν εἴτε τ' εἴτε δ'.

67. *δηϊάσειν*] δηώσειν, πρβλ. Ἀπολλών. Ῥόδ. 2,148: δηϊάασκον.

69. Λείπει ἐν τῷ τοῦ Ἁγίου Ἐμμανουὴλ κώδικι.

70. *πᾶν*] Marcianus 9,6: πὰρ.

71. *ὑπὸ δ(F)ειvοῖο* Λαυρεντιαν. 31,32] ὑπαὶ δεινοῖο. Ἔπιθι La Roche, homerische Untersuchungen σ. 48.

72. *ἐκείνῳ*] ἐκείνων, Ambrosianus: ἐκείνου (πρβλ. Ἰλ. Δ 335. Ν 559 = Ξ 488. Φ 595).

73. *κατ' ἐναντίον* συνέφυ εἰς μίαν λέξιν καὶ δὴ καὶ προπαρωξυτονήθη. Πρβλ. Ἰλ. Φ 567, Ἀπολλών. Ῥόδ. 2,350 καὶ περὶ τοῦ πληθυντικοῦ Ἀπολλών. 4,1686. Διονύσ. Περιηγ. 114.

76. *στιβαροῖσι μέλεσσι,-σσιν*] στιβαροῖς μελέεσσι, πρβλ. Ἔ. 149.

79. *ἤ τι μέγ'*, πρβλ. Ἀπολλώνιον Ῥόδ. 3,890: ὦ φίλοι, ἦ μέγα δή τι παρήλιτον καὶ πρὸς τὴν τῶν λέξεων θέσιν Πλάτ. Ἀπολογ. κ. 5: τὶ ὑμῖν μέγα λέγειν, Πλουτάρχ. Δημοσθ. 22: τὶ μέγα προσδοκᾶν Ἀθηναίους κακόν, Χρυσοστόμ. Ὁμιλ. ιζ' εἰς Ἰωάνν. § γ': πλάσαι τι μέγα περὶ αὐτοῦ] *ἤ τι μέτ'*, ἤ, ἦ, *τί μέτ'* («τί οὖν ἥμαρτεν εἰς τοὺς θεούς;»). Ἀλλὰ ἡ πρόθεσις αὕτη τίθεται ἐπὶ σκοποῦ οἷον Ἰλ. Ν 301: Ἐφύρους μέτα θωρήσσεσθον· Ranke: ἦ τι τότ', Heinrich: ἦ μάλα δή τι θ., Hermann: ἦ μέγα δή τι θεούς.

*μάκαρας, οἵ*] μάκαρας τοί.

81. *Τίρυνθον* (Ἐτυμολ. Φλωρεντ. 148), καθάπερ Στέφανος ὁ Βυζάντιος ἐκ ποιητοῦ ἀναφέρει Τίρυνθόνδε] Τίρυνθα (-θ'), ὅ ἐπίσης καλόν, ἐπειδὴ ἡ τομὴ ἐπιτρέπει τὸ χασμῳδεῖν. Winterton εἰσάγει τὴν ἐπεξηγητικὴν γενικὴν *Τίρυνθος*, ἐπιλαθόμενος τῆς Ὁμηρικῆς φράσεως «Λῆμνον ἐϋκτίμενον πτολίεθρον» (Ὀδ. θ 283, πρβλ. ω 377).

84. *ἄρμενα*] ἅρματα, ἅρματα, ἴδε Θ. 639. Ἔ. 808.

85. *ἦ, ἣ δίκη ἐστὶ*] ἣ δ. ἐ., ἴδε εἰς Θ. 396.

*ἱκέτῃ, τεῖον*, ἐγὼ (ἐν τῷ τοῦ Ἁγίου Ἐμμανουὴλ κώδικι κεῖται *ἱκέτῃ, τοῖον*, ἐν δὲ ἄλλοις *ἱκέτῃ, τῖον*)] ἱκέτῃσι, τίον· ὁ Παρισῖνος ἀριθ. 2708 σῴζει τοὐλάχιστον τὴν προπερισπωμένην. Περὶ τοῦ τει- ἔπιθι τὰ προειρημένα.

*δέ ἑ* Ranke, πρβλ. Ὀδ. ο 370: φίλει δέ με κηρόθι μᾶλλον] Οἱ γράψαντες *ἱκέτῃσι* ἑπομένως μετέβαλον τὰ λεξείδια εἰς δέ γε δένε, σέ γε, δὲ, δ' ἄρα, δ' ἄρ, γὰρ (Monacensis 91 γρ.).

*κηρόθι*] τηλόθι, ἤγουν ἐν τῇ ἀλλοτρίᾳ καὶ ξένῃ γῇ.

87. *ἐπιπλομένων ἐνιαυτῶν* (Ἡσύχ. λ. ἐπ.)] ἐπιπλομένῳ ἐνιαυτῷ, ἐννέα δηλαδὴ μησὶν ὕστερον. Πρὸς τὸν πληθυντικὸν παράθες Ὀδ. λ 248 καὶ τὸ παρὰ Παυσανίᾳ 9,29,1 Ἀπόσπασμα τοῦ Ἡγησίνου, ὅπου «περιπλομένων ἐνιαυτῶν» ἐπὶ παιδίου γεννήσεως κεῖται, καὶ ἀναμέτρησον, ὅτι προσαριθμητέον τοῖς ἐννέα τὸν ἐν στ. 15 κέ. ὑποδηλωθέντα χρόνον. Ἔνιοι τὸ παρ' Ὁμήρῳ

πεπατημένον «περιπλομένων ἐνιαυτῶν» καὶ ἐνταῦθα εἰσέβαλον, ὅθεν Guiet τὸν δυϊκὸν *ἄμμε* ἔθηκεν.

88. *οὔτε φυὴν*] οὔτε φρένας. Κατὰ τὸν πολὺν μῦθον Ἡρακλῆς ἦν μικρός.

89. *τοῦ*] τῷ, ἐν τῷ τῶν ἐν Κανταβριγίᾳ σχολίων λήμματι.

91. *τιμήσων*] δ' ἀτιμήσων. Ἐν τῇ παραφράσει εὑρίσκομεν *τιμήσας*. Paley: δουλεύσων.

*ἀλιτήμερον*] Πολλοὶ ἔγραψαν *ἀλιτήμενον* ἤτοι παρανομήσαντα, κατὰ τοὺς τύπους βλήμενος, ὀλόμενος, πεφυγμένος· τοῦτο ἄλλο παρέκλιναν ἀναλογίᾳ τοῦ Ὁμηρικοῦ «καὶ ἠλιτόμηνον ἐόντα» (Εὐρυσθέα Ἰλ. Τ 118) πρὸς τὸ ἀλλόκοτον *ἀλιτήμηνον*. Bentley προτείνει ἐκ τῆς αὐτῆς αἰτίας «Εὐρυσθῆ' ἠλιτόμηνον», ὁ δὲ Paley «ἀλιτημένῳ Εὐρυσθῆϊ». Τὸ ἐπίθετον ὀρθῶς ἐσχημάτισται ὥσπερ ἀλιτόμηνος (Σουΐδας «ὁ τοῦ τελείου μηνὸς διημαρτηκώς»), ἀλιτόκαρπος (Ἡσύχ. «ματαιότεκνος»), ἠλιτόμηνις (Ἡσύχ. ὁ μάτην ἐγκαλῶν).

92. *μετεστοναχίζετ'*] μεταστοναχίζετ(ο), μετεστοναχίζετ' Στοβ. Ἀνθολ. 4,36 Α.

93. *ἀχέων*] Grævius: ὀχέων, πρβλ. Ὀδ. λ 619: ὀχέεσκε (κακὸν μόρον), η 211: ὀχέοντας ὀϊζύν. Ὁμοίως φ 302 οἱ μὲν γράφουσιν *ἣν ἄτην ἀχέων*, οἱ δὲ *ὀχέων*.

*ἐστὶν*] Peppmüller: ἦεν, ὅπερ ἀνέγνω ὁ παραφράσας «ἀλλ' οὐκ ἠδύνατο».

94. *ἐπετέλλετ'*, πρβλ. Ὀδ. λ 622: χαλεποὺς ἐπετέλλετ' ἀέθλους] ἐπετείλατ', ἐπέτειλεν, ἐπέτελλεν, πρβλ. Θ. 995: ἀέθλους τοὺς πολλοὺς ἐπέτελλε.

95. *φοινικόεντα*] Nauck (16) δ', σ. 506: σιγαλόεντα, Ὁμηρικῶς.

96. *ὠκυπόδων*] Venetus 9,6: ὠκυπέδων· ἴδε Meyer ἐν § 313 σ. 303 τῆς Γραμματικῆς.

97. *ἔχειν*] ἔχων.

98. *ὑπο(δ)δείσας*] Vossianus: ὑποδδείσης, ὅθεν ὁ Paley ἀθετεῖ τὸν 97.

99. *κεκληγὼς*] κεκλογὼς, ἤτοι κεκλωγὼς, ὅπερ ἀνάλογον τοῖς συντελικοῖς ἔρρωγα καὶ εἴωθα. Ὡσαύτως 412 ἐν τῷ Harleianus γράφεται *κεκλωγότες*.

101. *ἐὼν ἄαται* (ἀᾶται)] ἐὼν ἄεται. Guiet: ἀασσεῖται, Heyne εἰς Ἰλ. Ε 388: ἐὼν ἆται, καρπούμενος τὴν Ἡσυχίου γλῶσσαν *ἆται*.

103. *ἠθεῖ'*] ὦ θεῖ', θεῖ· παράθες τὴν Ἡσυχίου γλῶσσαν· ἠθεῖε, ὦ θεῖε, ὦ θαυμάσιε, καὶ Σχόλ. Ἀπολλων. Ῥοδ. 2,1219 «τὸ δὲ ἠθεῖε οἶμαι κατ' ἐπένθεσιν τοῦ η γεγονέναι, ὥσπερ καὶ τὸ

βαιός ἠβαιός, μύω ἠμύω· σημαίνει δὲ κατὰ τὸ πρόχειρον τὸ θεῖε, συγγενές, ἢ τὸ θαυμάσιε, μηδαμῶς ὦ θαυμάσιε, ἢ τὸ καλέ».

105. *πόληα* (Ἐτυμολ. Γουδιαν. σ. 345,36 κέ., Ἐτυμολ. Φλωρεντ. σ. 195)] *πόληας* παρέχει τὸ ἐν Κοπεγχάγῃ Ἐτυμολογικόν (ἴδε Ἐτυμολ. Γουδιαν. σ. 933).

108. *ἀλλ' ἄγε*] ἀλλά γε.

111. *οὐδ' Ἰφικλείδην*] Bentley οὐ Ϝιφικλείδην, κατ' ἀναφοράν.

112. *φεύξεσθαι*] φεύξασθαι, Βυζαντίνων κλίσει.

*ἀμύμονος*] ἀμύμονας.

*Ἀλκεΐδαο*] Ἐπειδὴ Πίνδαρος (Ὀλ. 6,68) ᾄδει: Ἡρακλέης σεμνὸν θάλος Ἀλκαϊδᾶν, γράψειέ τις ἂν «Ἀλκαϊΐδαο».

113. *σφι*] σφιν, σφων.

*εἰσι*] εἶσι.

*πολέμοιο*] πτολέμοιο.

114. *φίλτερα*] φέρτερα.

116. *θυμῷ*] μύθῳ. Πρβλ. Ἰλ. Η 189: γήθησε δὲ θυμῷ. Οἱ ἀντιγραφεῖς τὰς λέξεις ταύτας συχνάκις συνέχεαν· παραδείγματα εὑρήσεις ἐν ταῖς εἰς τὸ προκείμενον χωρίον καὶ εἰς Καλλίμαχον σ. 210 σημειώσεσι τοῦ Boissonade καὶ ἐν τοῖς εἰς Ἀπολλών. Ῥόδ. 2,1219 σχολίοις.

120. *ἀρείονα*] Οἱ σχολιασταὶ ἔπεισαν τοὺς ἐκδότας, ὡς εἴη ὄνομα κύριον τοῦ ἵππου, παραπλανηθέντες ταῖς περὶ τὸν Ἀδράστου περιώνυμον ἵππον ἱστορίαις. Οὐδεὶς ὅμως παρέδωκεν, ὅτι καὶ Ἡρακλῆς ὁμώνυμον ἵππον εἶχεν. Ἐπισημειούμεθα, ὅτι τὸ κύριον ὄνομα γράφεται ἐπὶ τῶν ἀγγείων ἈρίϜων ἢ Ἀρίων ἢ Ἐρίων (Archäologische Zeitung 1864, πίν. 184—αὐτ. 1866, πίν. 209, Bullettino dell' Instituto 1865, σ. 54—Collitz Dialektinschr. 1253)· ὅτι δὲ καὶ ἐν τοῖς χειρογράφοις ἡ ὀρθογραφία ἐτηρήθη, Εὐστάθιος ἀποδεικνύει εἰς Ἰλ. Ψ 346· καί τοι αὐτὸς ὑπερασπίζεται τὴν δίφθογγον. Ὁ Ἡρακλῆς ἐξαίρει τὸν ἕτερον ἵππον ἕνεκα τῆς ἐπικινδύνου **στροφῆς** τοῦ ἅρματος, περὶ ἧς Νέστωρ παραινεῖ τῷ υἱῷ Ἰλ. Ψ 335 κέ. ἴδε καὶ Σοφοκλ. Ἠλ. 722. Ὅθεν Ἄρης *δεξιόσειρος* ἐπονομάζεται ὑπὸ Σοφοκλέους Ἀντιγόν. 139.

*ἀναστρωφᾶν*] Nauck (16) δ', σ. 586 κέ.: ἀναστροφάαν.

121. *κε*, *κεν*, πρβλ. Ἰλ. Ζ 229: ἐναιρέμεν' ὅν κε δύνηαι] γε.

124. *στήθεσφιν* Λαυρεντ. 31,32] στήθεσσιν.

125. *ὅν* Ϝ*οί*] ὅν ῥ' (ῥα) οἱ.

127. *ἐφορμήσασθαι*] ἐφορμήσεσθαι. Ὁ ἀόριστος συντάσσεται

τῷ ἔμελλε ῥήματι Θ. 478. Ἰλ. Σ 98. Θουκυδ. 6,31. Ξενοφ. Ἀπομνημ. 2,7,10. Πλάτ. Ἀλκιβ. Α', σ. 132 D.

129. *περὶ στήθεσφι*] περὶ στήθεσσι, ὁ τοῦ Ἐμμανουὴλ κῶδιξ: περιστεφέεσσι.

*κοίλην*] Rzach: κοῖλην.

130. *καββάλετ'* (*-ατ'*)] καμβάλλετ', καμβάλατ', ἴδε Θ. 189, κάββαλε, -λ-.

*ἔντοσθεν*] τοι ἔσ(σ)αν. Οὕτως ἔγραψαν οἱ στίζοντες ἐν τῷ τοῦ στίχου πέρατι.

134. *μορφνοῖο*] μόρφνοιο. Ἡρωδιανὸς Σχόλ. Ω 316 ἀναπτύσσει κανόνα, καθ' ὅν τινα βαρύνει τὴν λέξιν, πρβλ. καὶ Ἐτυμολ. Μέγ. σ. 591,15 κέ., Ἀπολλών. Σοφ. σ. 113,28, Ἀρκάδιον π. τόνων σ. 62,9. Ὁ τὴν λέξιν ἐκδεχόμενος ἐπίθετον οὐδένα ἄλλον εὑρίσκει κανόνα εἰ μὴ τὰ λοιπὰ εἰς *νὸς* ἐπίθετα.

*ἦσαν* κτλ.] Ἰωάννης Διάκονος παραφράζει: ἔλαβε δὲ καὶ ἐν ταῖς **χερσὶν** αὐτοῦ κοντάριον μετὰ ξίφους, ὥστε φαίνεται ἀναγνῶναι «χερσίν».

*ὅδ'*] ἰδ'.

135. *αἴθοπι χαλκῷ*] εἵλετο χαλκῷ, εἵλετο θυμῷ. Hermann, Leipziger Litteraturzeitung Α', σ. 94: εἵλετο δ' ὅ. ἔ. ἀκ. αἴ. χ., ἀφορῶν τὸ ἐν Ἰλ. Ο 482: εἵλετο χερσίν.

136. *κρατὶ δ'*] Schrevel: κρατί τ'.

*εὔτυκτον*] εὔτυκτον, ἔντυκτον.

137. *ἀδάμαντος*] ἀδάμαντον, ἴδε Θ. 239.

138. *εἴρυτο*, πρβλ. Ἰλ. Ω 499: εἴρῦτο, Δ 138 καὶ Ν 555: ἔρῦτο, Χ 507: ἔρῦσο] ἔρρυτο, ὥσπερ Σοφοκλ. Οἰδ. Τύρ. 1352.

*κάρη*] κάρην', κάρην, ἕνεκα τοῦ μὴ χασμῳδεῖν.

*Ἡρακλῆος*] Nauck (16) ε', σ. 139-40: Ἡρακλέεος.

139. *γε μὲν*] γε μήν, ὅπερ ἐν τῷ παρακμάσαντι Ἑλληνισμῷ σφόδρα συχνάζει, δὲ μέν, μὲν (Brunck: χερσὶν μὲν), μήν.

*εἶλε*] εἶχε.

140. *ἔρρηξε*] Voss, Randglossen σ. 30: ἂν ῥῆξε.

141. *τιτάνῳ*] Deiters, De Hesiodia Scuti Herculis Descriptione σ. 61: κυανῷ.

*λευκῷ*, πρβλ. Πινδάρ. Νεμ. 7,78: κολλᾷ χρυσὸν ἔν τε λευκὸν ἐλέφανθ' ἁμᾷ] λευκῇ.

142. *ὑπολαμπὲς*] ἐπιλαμπές. Τὸ χυδαιότερον ὑπελαμπὲς διώρθωται ἔν τισιν ὑπεκλ. ἢ ὑπερλ.

143. *κυάνου*] κυανοῦ, πρὸς ὁμοιότητα τοῦ ἐπιθέτου.

*διὰ πτύχες*] διαπτύχες, διαπτύχεες, διὰ πτύχας, διαπτύχας, διαπτύχεας.

144. *δ' ἀδάμαντος* Monacensis 91 γρ. καὶ λῆμμα τῶν

σχολίων («ἐνταῦθα σωματοποιεῖ τὸν φόβον, ὡς ἂν ἐν τῷ μέσῳ ἐξ ἀδάμαντος ἦν, οὐδαμῶς δυνάμενος ῥηθῆναι»)] δὲ δράκοντος.

*Φόβος*] Λαυρεντιαν. 31,32: δέος.

*φατεῖος*, ἐγὼ] φατειός, φατεινὸς, ἴδε Θ. 310.

145. *ἔμπαλιν*] ἔμπαλι (-ιν) δ'.

146. *πλῆτο*] Ambrosianus: πλῆστο = πέπληστο, κοινῇ ἀφαιρέσει τῆς αὐξήσεως.

*λευκὰ θεόντων*] Guiet: λευγαλεάων, ἤ, λευγαλοέντων.

147. *ἀπλήτων*] ἀτλήτων. Voss ἐν τῷ εἰρημένῳ χωρίῳ *ἀπλάτων*. Πρβλ. Θ. 151.

*μετώπου* (ἐπὶ ζῴων κεῖται, ὥσπερ Ἰλ. Ψ 454)] τὴν *προσώπου* γραφὴν ἠρύσαντο ἐκ τοῦ πολυθρυλήτου «μειδιόων βλοσυροῖσι προσώπασι» (Ἰλ. Η 212), ἀποδοκιμάζοντες τὴν φράσιν *βλοσυροῖο προσώπου*.

148. *Ἔρις*] Göttling: ἔρις.

*πεπότητο*] Ranke: Ἔρις ἐποτᾶτο. Ἀλλ' ὁ ὑπερσυντέλικος κυρίως κεῖται ἐπὶ τῶν διαρκῶν.

149. *αἴνυτο*, πρβλ. Ἰλ. Δ 531: ἐκ δ' αἴνυτο θυμὸν, Ε 155: φίλον δ' ἐξαίνυτο θυμὸν ἀμφοτέρω] εἵλετο, πρβλ. στ. 89: φρένας ἐξέλετο Ζεὺς, Ἰλ. Τ 137: μευ φρένας ἐξέλετο Ζεύς, Ἰλ. Ι 377: ἐκ γὰρ εὑ φρένας εἵλετο μητιέτα Ζεύς, Ρ 470: Ζεὺς ἐξέλετο φρένας ἐσθλὰς, Σ 311: ἐκ γάρ σφεων φρένας εἵλετο Παλλὰς Ἀθηνᾶ. *Εἷλε* κατ' ἀρχὰς ἐξηγήσεως χάριν προσεγράφη, ὕστερον δὲ εἰς τὸ κείμενον εἰσεβλήθη.

*φωτῶν*] θνητῶν, βροτῶν ἢ βρωτῶν!

151. *δύνουσ',-σιν*] δύουσ' (Τὸ σχῆμα ἔχει παρὰ τοῖς Ἀττικοῖς τὸ υ μακρόν, ἐπειδὴ ἐγένετο ἐκ τοῦ *δυίω*, ἴδε Meyer § 514), δύμεναι (ἐξ Ἰλ. Ζ 411: χθόνα δύμεναι), δύμενος. Εἴπερ ὁ στίχος γνήσιος, γραπτέον *δύνοντ'*. Οὗ ἡ μεταβολὴ οὐκ ἂν εἴη δυσεξήγητος, τοῦ *πύθεται* χορηγοῦντος τὴν δὴ φαινομένην ἀναλογίαν.

152. *αὐτῶν*] Kloucek ἐν τῇ τοῦ Rzach ἐκδόσει *φοίτων* ἢ *φοιτῶσ'*.

153. *Σειρίου*] Guiet: Σειρὸς ὑπ'.

*κελαινῇ*] μελαίνῃ. Πρβλ. Ἰλ. Π 384 (χθών). Εὐριπ. Ἠλ. 478. Paley: φαεινῇ πύθεται αὐγῇ (αἴγλῃ).

154. *τε τέτυκτο* (Heyne εἰς Ἰλ. τ. ϛ', σ. 288: τ' ἐτέτυκτο)] τε τέτυκται, ἀκολούθως τοῖς προειρημένοις.

155. *ἐν δ'*] ἔνθ'. Τὸ αὐτὸ γράφεται ἐν 161.

*φόβος* (ἤγουν φυγή, ἐπικῶς)] φόνος, ὡς Θ. 228. Ὀδ. λ 611.

156. *ἐθύνεον*] ἐδίνεον Spitzner εἰς Ἰλ. Σ 535.

159. *ἔχ'*] ἔχετ'.

*δαφοίνεον* (-ιον)] δαφοινεὸν (Σχόλ. καὶ Εὐστάθ. εἰς Ἰλ. Σ 538).

160. *βεβρυχυῖα* (-αι)] βεβριθυῖα (-αι), πρβλ. Ἰλ. Φ 385. Παρατίθεμεν Ἰλ. Π 384, ὅπου καὶ *βέβριθε* καὶ *βέβρυχε* παραδέδοται. Guiet εἰκάζει *βεβρηχυῖα* παρὰ τὸ *ἔβραχε*.

162. *φοβέεσκον*] βόσκονται Λαυρεντ. 32,16· ὁ ἐνεστὼς οὔτε πρὸς τὸν νοῦν καλῶς κεῖται, οὔτε ἁρμόζει τῇ εὐκτικῇ *φέροιεν*.

163. *ἀντιβίην*] ἀντιβίῃ, ἀναλόγως τῇ φράσει *βίᾳ*.

165. *δ' ἐδαίετο*] δὲ δαίετο, δέ γ' ἐδ., δέ τ' ἐδ., δὴ δαίετο.

*θωϋτὰ* (ἔπιθι Schäfer εἰς Γρηγόριον τὸν Κορίνθ. σ. 419)] θαυματὰ (Σχόλ. Πινδάρ. Ὀλ. 1,43, κακῶς θαυμαστὰ ἢ θαυμάσια, πρβλ. Ὕμν. Ὁμηρ. 3,80: θ. ἔργα. 440. 7,34), θέσκελα (= Ἰλ. Γ 130: θ. ἔργα).

166. *στίγματα*] στέμματα. Hermann εἰς Ὀρφικ. σ. 702, παρήγαγεν ἐξ Ἰωάννου τοῦ Διακόνου τὴν γραφὴν *στιγμαὶ . . . κυάνεαι*.

167. *κυάνεα* (ἔπιθι Spitzner, De versu heroico σ. 24 κέ., Hartel, homerische Studien A', σ. 60, Rzach, neue Beiträge σ. 33)] κυάνεοι.

169. *κοτεόντων*] κοτιέντων, ὃ ἐκληπτέον κοτηέντων (Ἡσύχ. λ. κοτήεις). Οἱ οὕτω γράφοντες ἀνέγνωσαν *ηε* κατὰ συνίζησιν.

170. *καὶ*] γε.

*τοί γε*] τῶν γε, κατὰ τὸν ἀκριβέστερον τῆς συντάξεως κανόνα, τώγε, ταίγε.

171. *οὐδέτεροι*] οὐδ' ἕτεροι. Παράθες Θ. 638, οὐδετέρωσε Ἰλ. Ξ 18. Ἄλλοι δὲ *οὐδέτερος*.

*φρῖσσόν γε μὲν, γέ μεν*] φρίσσοντε μὲν.

172. *γὰρ*] Τῶν ἐν Νεαπόλει ἀντιγράφων ἓν ἔχει τὸ λογικώτερον *δὲ*.

*σφιν*] Παρισ. 2776: σφίσιν (ἤτοι *σφίσ'*).

174. *ἐξεριπόντες*] ἐξεριπόντε, ὅπερ πολὺ πιθανόν, τοῦ δυϊκοῦ ἐν τοῖς περαιτέρω (176) τιθεμένου ἀντὶ τοῦ πληθυντικοῦ. Ζήτει εἰς Ἔ. 186.

176. *ἐγειρέσθεν*] ἐγειρέτην,-έθην,-ήθην, ἀγειρέσθην, κατ' ἀναλογίαν τοῦ 184 στ. Ἐπίσης Ἰλ. Ψ 287 *ἄγερθεν* γέγραπται ἀντὶ τοῦ *ἔγερθεν*.

177. *κοτέοντε*] κότεόν τε, διὰ τὸν ἀδόκιμόν πως δυϊκόν· ὁ δὲ διορθώσας εἰσέπεσεν εἰς τὴν Χάρυβδιν. Τὸ γὰρ ῥῆμα οὐ συντάσσεται μετ' ἀπαρεμφάτου.

*χαροποὶ*] ὁ ἐν Εἰδελβέργῃ κῶδιξ *χαλεποὶ*, ὅπερ καὶ ἐν Ὀδ. λ 611 τινὲς ἔγραψαν.

178. *ἦν*] Nauck (16) δ', σ. 390,8. ε', 140: ἔεν.

180. *τ' Ἐξάδιον*] τ' Ἀξάδιον. Ὁ σχολιαστὴς λέγει «Παρὰ

τῷ ποιητῇ ἀπὸ τοῦ ξ τὸ ὄνομα ἤρξατο, παρὰ δὲ τοῖς νεωτέροις καὶ χωρὶς τοῦ ξ εὑρέθη». Ἦσαν λοιπὸν οἳ ἀνέγνωσαν τε *Ξάδιον*.

181. *Μόψον*] Μόμψον. Ὁ εἰς Λυκόφρονα (881) σχολιαστὴς ἀναφέρει ἀνωνύμως «Μόψος δ' Ἀμπυκίδης Τιταρήσιος», εἴτε ἐξ ἄλλης ἐποποιίας ταῦτα λαβὼν εἴτε σφαλεὶς τῇ μνήμῃ.

183. Λείπει διὰ τὸ ἀνακόλουθον αὐτοῦ ἐν τῷ Λαυρεντιανῷ 31, 32, Παρισίνῳ ἀριθ. 2772 (εἰς ὃν ὕστερον εἰσετέθη), τῷ Harleianus καὶ τῷ Vossianus.

184. *ἐναντίοι*] ἐναντίον.

185. *Ἄσβολον* (Φιλόστρ. Ἡρωϊκ. 20, 37, Τζέτζ. Χιλιάδ. 5,22, Ἐξηγ. Ἰλιάδος σ. 24, 25. 26 καὶ Θεογον. 92 γρ.)] Ἄσμολον. Astylus ὀνομάζεται ὑπ' Ὀβιδίου ἐν ταῖς Μεταμορφώσεσι 12, 308, Ἄσωλος δὲ ἐν τῷ ἑτέρῳ ἀντιγράφῳ τῆς εἰρημένης Θεογονίας. Ἐπιστρέφομεν λοιπὸν πρὸς τὰς ἐπιγραφὰς τῶν ἀγγείων, ὅπου εὑρίσκομεν τὸ ὑφ' ἡμῶν παραδεχθὲν σχῆμα (ἐπὶ τοῦ ἀρχαίου δῆλα δὴ τοῦ François φερωνύμου ἀγγείου, ἔτι δὲ Gerhard, etruskische Vasenbilder, πίν. 13. Παρατίθεμεν πρὸς τούτοις τὸ Φωκικὸν γένος τῶν Ἀσβολωμένων (Πλουτάρχ. Κίμ. 1). Ὅτι ἐπὶ τοῦ ἀρχαιοτέρου τῶν μνημονευθέντων ἀγγείων δασύνεται, οὐκ ἀξιόλογον, καθόσον αὐτόθι «Ἁφροδίτη» καὶ «Εὐξίστρατος» κεῖνται.

186. *Ἄρκτον*] Ἄρτον, Ἀρετὸν.

*τ' Οὔρειόν,-ιον*] θ' Οὔριόν, Θούρειόν, θούριόν («ὁρμητικόν»). Ὁ *Ὄρειος* ἀπαντᾷ καὶ παρὰ Διοδώρῳ 4,12 καὶ Παυσανίᾳ 3, 18, 8, συνωνυμεῖ δὲ τῷ ἐπὶ τοῦ ἄρτι εἰρημένου ἀγγείου Ὀροβίῳ. Ἐξ ἐναντίας δὲ τὸ περὶ τοῦ Γίγαντος Θουρίου χωρίον, Παυσαν. 3,18,7 (11), νοσεῖ. Παρ' Ὀβιδίῳ (Μεταμ. 12, 302) ἐκδίδοται Ornëus.

*μελαγχαίτην*] Λαυρεντ. 32,16: Μελαγχαίτην, ὥσπερ ἐπὶ τοῦ αὐτοῦ ἀγγείου καὶ παρὰ Διοδώρῳ αὐτ., πρόσωπον δηλοῖ. Ἀλλὰ καὶ Σοφοκλῆς Τραχ. 837 τὸν Νέσσον τῷ αὐτῷ ἐπιθέτῳ χαρακτηρίζει. Πρὸς τούτοις, τὸ μέλαν χρῶμα καὶ 167 καὶ 222 μνημονεύεται. Jahn ἐν τῇ τοῦ Deiters διατριβῇ σ. 15 ἀπαιτεῖ συμμετρίαν τῶν ἐναντίων, ὅθεν εἰσάγει ὄγδοον καὶ ἔνατον Κένταυρον, «Μελαγχαίτην τ' Ἔλατόν τε». Ἡ παράδοσις εὐσκοπωτέραν ἔχει συμμετρίαν· πῶς γὰρ ἐννέα Κένταυροι, ἔχοντες σώματα ἵππων μακρά, σύμμετροι ἐννέα Λαπίθαις;

188. *χρυσέας*] χρυσέας δ'.

*ἐν χερσὶν*] ἐνὶ χερσὶν.

189. *καί τε*] Ambrosianus: *καί γε*.

*συναΐγδην* (Ἐτυμολ. Μέγ. σ. 41,31. Ἐτυμολ. Φλωρεντ.), ᾧ συνάδουσιν αἴγδην (Ἀπολλών. Ῥόδ. 2, 828. 880. Ὀρφ.

Ἀργον. 1288), καταίγδην (Ἀπολλών. 1,64. Ὀρφ. Λιθ. 502. Ἀργον. 1187), προκαταίγδην (Ἀπολλών. 2,298), μεταίγδην (Ἀπολλών. Ῥόδ. 1,95)] συναίκτην. Guiet: συναίχθην=συνορμητικῶς!

191. *ἔστασαν*] Guiet: ἵστασαν.

192. *ἐναρφόρος* (Ἐτυμολ. Μέγ. σ. 337, 50)] ἐναρσφόρος (Ἐτυμολ. Φλωρεντ. σ. 110, ἀντὶ κυρίου ὀνόματος ἐν τῷ Ἀλκμᾶνος Παπύρῳ Ἀπόσπ. 23,3. Πλουτάρχ. Θησ. 31. Ἀπολλόδωρ. 3,10,5), ἐναροφόρος, τοῦ Ο τεθέντος ἀντὶ τοῦ ὁμοίου C ἐναριφόρος (γράψον ἐναρηφόρος, ὥσπερ Ἀντίμαχος καθ' Ἡσύχιον εἶπεν *ἐαρηφόρος*). Paley: καὶ ἦν ἐναρηφόρος, Rzach: ἐν δ' αὐτὸς ἐναρηφόρος (διεκτεινομένης τῆς ος καταλήξεως, καθάπερ Ἔ. 430. Θ. 652. Ἰλ. Β 233, ἐν τῷ περὶ Ἰλέως Ἡσιοδείῳ ἀποσπάσματι), ἤ: ἐν δ' αὐτός τ' ἐν. Τὸ *ἐναρφόρος* συντέθειται μετὰ τοῦ *ἔναρ* «τὸ ὅπλον» (Θεόγνωστος, ἔκδ. Rich. Schneider, Bodleiana σ. 4), ὥσπερ *πυρφόρος* μετὰ τοῦ πῦρ.

193. *αἰχμὴν*] ἔγχος, ἔγχος τ'.

194. *φοινικόεις*] Nauck (16) δ', 506: φοινήεις, διορθῶν ἅμα Ἰλ. Ψ 717.

195. *δίφρῳ ἐπεμβεβαὼς*] δίφρῳ ἐμβεβαὼς (πρβλ. ἵππους ἐμβεβαώς Ὕμν. Ὁμηρ. 31,9), δίφρον ἐπεμβεβαώς, κατὰ τὴν τῶν Βυζαντίνων σύνταξιν. Dindorf: δίφρου, πρβλ. 324. Ἰλ. Ι 582: οὐδοῦ ἐπεμβεβαώς.

*παρὰ δὲ ΔϜεῖμος*] παρὰ δὴ Δ.

196. *ἔστασαν ἱέμενοι*] Lennep: ἔσταν Ϝιέμενοι.

197. *Τριτογένεια*] Τριττογένεια.

199. *ἔχουσα χερὶ χρυσείην*, Göttling (πρβλ.: χέρα Ὕμν. Ὁμηρ. 19,42 καὶ Τραγγ., χερὸς κτλ.)] ἔχουσα χερσὶν Παρισ. 2877: ἔχουσ' ἐν χειρὶ, ἐνὶ χειρὶ, ἐν χερσί(ν) χρυσέην, χρυσείην. Ἡ ῥίζα ΧΡΥΣ μακρά ἐστιν, ὅσα δὲ παραδείγματα τῆς βραχύτητος καὶ ἂν συσσωρευθῶσιν, ἤτοι νοσοῦσιν ἢ κατὰ συνίζησιν ἀνεγινώσκοντο. Ὅθεν Bentley εἰκάζει «ἔχουσ' ἐν χερσὶν ἰδὲ χρυσέην τρυφάλειαν» ἀνώνυμος παρὰ τῷ Wolf οὐδὲν νεωτερίζει εἰ μὴ τὸ ἐπίθετον *φαεινὴν* κατ' Ἰλ. Κ 76: φαεινή τε τρυφάλεια, Lennep: χερσὶν ἔχουσ' ἔγχος χρυσείην τ. τ., Göttling: ἔγχος ἔχουσ' ἐν χερσὶ καρήατι τ. τ., Paley: ἔχουσα χεροῖν χρυσείην τ. τ. Ὁ Mützell 14 σ. 262 ὑποσημ. ᾠήθη παρατηρῆσαι τὰ λείψανα δύο ἑξαμέτρων, τὸ μὲν «ἔγχος ἔχουσ' ἐν χερσὶ», τὸ δὲ «χρυσείην δὲ τρυφάλειαν».

200. Ἀναγνώστης τις ἐπιπόλαιος εἰς τὸν Λαυρεντιαν. 31, 32 εἰσέγραψε «λείπει κἀνταῦθα».

*ὤμοισ', ἐγὼ*] ὤμοις, ὤμοισιν. Paley: ὤμοισιν ἐπῴχετο.

*ᾤχετο*] ἔρχετο.

201. *ἐν δ' ἦν*] ἐν δέ οἱ, ὧδ' ἦν, μεταγενεστέρᾳ χρήσει τοῦ ὧδε. Nauck (16) δ', 390,8. ε', 140: ἐν δ' ἔεν.

*ἱερὸς*] ἰρός.

202. *Διὸς καὶ Λητοῦς* (=Διὸς καὶ Λητοῦς υἱὲ Ὕμν. Ὁμηρ. 2,367, Διὸς κ. Λ. υἱὸς 3,243)] Ἡ τοῦ Ἰλ. Α 9 ἀνάμνησις αἰτία ἐγένετο τῆς τῶν ὀνομάτων μεταθέσεως· ἣν Stephanus διώρθωσέ πως προθεὶς τὸ ἄρθρον, ὁ δὲ Λατινιστὶ μεταφράσας Ἡσίοδον χάριν τῆς ἐν Βασιλείᾳ ἐκδόσεως *τι* (desiderabile quiddam personabat). Ἐγράψαμεν πεισθέντες τῷ Rzach, *Λητόος*, οὐχὶ μόνον διὰ τὸ σπονδειακὸν τοῦ παραδεδομένου στίχου, ἀλλὰ καὶ διότι τοῦτο διαστρέφεται, μιᾶς δισυλλάβου λέξεως ἀποτελούσης τὸν πέμπτον σπονδεῖον (ἴδε Schindler, Zeitschrift für österreich. Gymn. 1879, σ. 435).

203. *ἀγνὸν ἔλαμπε, ἐγὼ*] ἀγνὸν Ὄλυμπον (ὃ χυδαίως λέγεται Ἔλυμπον), ἀγνὸν Ὄλυμπος, ἀγνὸς Ὄλυμπος. Heinsius: ἄγνυτ' Ὄλυμπος, ἀλλὰ οὐχ ηὕρομεν ἁρμόδια παραδείγματα, πλὴν τὰ μάλιστα Πολυδ. 15,32,9· «κατερρήγνυτο πᾶς ὁ τόπος ὑπὸ τοῦ κρότου καὶ τῆς κραυγῆς». Guiet: ᾤγνυτ' Ὄλυμπος. Cöttling μεταποιεῖ τὸ ἑπόμενον *ἐν δ'* εἰς τὸ ῥῆμα *ἦν*. Τὸ ἐπίθετον *ἀγνὸν* ἐπαναλαμβάνεται ὑπὸ Πινδάρου (Ὀλ. 5,10: ἄλσος, Πυθ. 4,204: τέμενος) Σιμωνίδου (58,3: θεῶν χῶρος) καὶ ἄλλων μεταγενεστέρων (Ὕμν. Ὁμηρ. 3,187: ἄλσος, Θεόκριτ. 25,22: ἱερόν).

204. *ὄλβος*] Clericus: ὄχλος, καθάπερ Πινδάρ. Πυθ. 4,85: ἐν ἀγορᾷ πλήθοντος ὄχλου.

205. Græviυs στίζει μεταξὺ τοῦ *ἀθανάτων* καὶ τοῦ *ἐν*.

206. *εἴκυῖαι* Rzach=Ϝε-Ϝικ-υῖαι] εἰκυῖαι. Ἔπιθι τὴν τοῦ Meyer Γραμματικὴν σ. 417.

209. *γε μὲν, γέ μεν*] γέ μιν, ὥσπερ ἐν τοῖς ἀνωτέρω.

210. *ἐθύνεον*] Pasor: ἐδύνεον (ἐδίνεον; ἴδε εἰς 156).

211. *δοιοὶ*] δοιώ.

*ἀναφυσιόωντες*] ἀμφυσιόωντες. Ἆρά γε ἡ ἀποκοπὴ αὕτη γνησιωτέρα;

212. *ἀργύρεοι* (Ἐτυμολ. Φλωρεντ. 108)] ἀργύφεοι, ἐν τῷ Vossianus· ζήτει εἰς Θ. 574.

*ἐφοίτων* (Ἐτυμ.)] ἐθοίνων, κακῶς *ἐφόντων* ἢ *ἐφοίβων*. Ranke ἐρροίβδουν ἢ ἐθοινῶντ', Schömann: ἐθήρων. Τὸ ἐνεργητικὸν γένος τοῦ θοινῶμαι οὐχ εὑρίσκεται εἰ μὴ μετ' ἐνεργητικῆς σημασίας (Εὐριπ. Ἴων 982: θοινᾷ φίλον, ἤγουν ξενίζει).

213. *τῶν δ'*] τῶν.

*τρέον*] θέον, παρεννοήσει τῆς σημασίας ἐκείνου.

214. *ἧστο*] Bentley: ἕζετ', Gerhard, Lectiones Apollonianæ σ. 176: ἀνὴρ ἧσθ'.

*δεδοκημένος*, πρβλ. Ἰλ. Ο 730] δεδοκευμένος.

215. *ἀπορρίψαντι*] ἀπορρίψοντι. Οὐκ ἂν προσέμενεν, εἰ μὴ ἐξέρριψε τὸ δίκτυον. Ὃ κρατεῖ, ἵνα συνελκύσῃ ἐν καιρῷ.

216. *ἦν*] Nauck αὐτ.: ἔεν.

*ἠϋκόμου*] ἠϋκόμοιο (Δανᾶς; ἴδε Ἡρῳδ. π. μον. λέξ. σ. 8,1).

218. *φράσσασθ' ἐπεὶ οὐ*] φράσσασθαι, ἐκ πλήρους γέγραπται.

220. *χρύσεον*] Deiters: χρύσεος, ἐξαλείψας 217-19.

221. *δέ μιν*=224. Ὀδ. γ 467. ν 434] Göttling: δέ οἱ, Hermann (8) σ. 199: ἀ. δ' ὅ μὲν, Ranke: ἀ. γε μέν.

222. *χάλκεον*] χαλκέου.

*ὥστε νόημ' ἐποτᾶτο*] ὥστε νόημα ποτᾶτο, ὥστε νόημα ἐπτᾶτο. Hermann εἰς Ὀρφ. σ. 694: ἔπτατο ὥστε νόημα.

224. *Γοργοῦς*] Nauck (16) ε', σ. 134: Γοργόος.

Εὑρίσκομεν κίβισις, κίβησις, κίβυσις κύβισις, ἔτι δὲ κίβιρις ἢ κύβιρις. Καὶ οἱ λεξικογράφοι, ὧν ἡ ἀλφαβητικὴ διάθεσις βεβαιοῖ τὴν παράδοσιν, μαρτυροῦσιν, ὅτι ἡ μὲν πρώτη συλλαβὴ εἶχεν ι (Ἐτυμολ. Μέγ. σ. 512,54, Ἐτυμολ. Γουδιαν. σ. 323,55, Ὠρίωνος Ἐτυμολ. σ. 87, Σουίδ.) ἢ υ (Ἡσύχ. *κυβησίαν*, πήραν, *κυβησίνδα*, *κύβεσις* ἢ κίβισις, πήρα), ἡ δὲ δευτέρα ι (Ἡσύχ. κίβισις)· τῶν ἄλλων γραφῶν λείπουσι τεκμήρια. Οἱ ἐτυμολόγοι ἔνθεν μὲν εὑρίσκουσι πρὸς σύγκρισιν τὰς λέξεις κίβος καὶ κιβωτός, ἔνθεν δὲ κύβη.

225. *κατηωρεῦντο*] κατηώρηντο, κατηωρῶντο. Ἡ συνήθεια συχνάκις κατέμιξε τὰ εἰς εω λήγοντα ῥήματα μετὰ τῶν εἰς αω.

227. *αἰνὸν*] αἰὲν.

229. *ἐπιταίνετο*] ἐπιτείνετο.

230. *φαταὶ*] φατοὶ

231. *μαρπέειν*] μαπέειν (Ἐτυμολ. Φλωρεντ. 211), μαρπτέειν. Rzach: μαπέεν.

*χλωροῦ*] χλωροῖς (γρ. -ῆς), ἐν τῷ τοῦ Ἐμμανουὴλ κώδικι.

233. *ὀξέα καὶ λιγέως*] Τὸ ἀναρμόδιον τῶν κώλων τὸ μὲν ἐν τῷ πρώτῳ (ὀξέως) τὸ δὲ δριμύτερον (ὀξέα κεκληγὸς, πρβλ. Ἰλ. Β 222 καὶ Μ 125) διωρθώθη.

*δράκοντε*] δράκοντες.

234. *ἐπικυρτῶοντε* ἐγώ, ἐπειδὴ ὁ τύπος ἐν τῷ ἑξαμέτρῳ ἄχρηστος ἦν εἰ μὴ εἴτε διεκταθεὶς εἴτε συναλειφθεὶς] ἐπικυρτώοντε, (-ωντε), ἐπὶ κυρτώεντα Λαυρεντιαν. 32,16, πρβλ. 175. Krebs: ἐπικυρτάοντε.

235. *λίχμαζον*] λίχμασσον (*αἴχμασσον* Ambros. διὰ τὴν τοῦ Α καὶ Λ ὁμοιότητα).

236. *δὲ δϜειροῖσι*] δεινοῖσι(ν) δὲ.

239. *ὑπὲρ*] ὑπὸ (ἤγουν ὑποκάτω). Pasor: ἀπό.

241. *δ' ἔτι*] δέ τε.

242. *ἐπὶ*] ἀπὸ.

243. *κατὰ δ' ἐδρύπτοντο*] κάτε δ' ἐδρ., κοινῷ σχήματι, κατὰ ἔδρυπτόν τε.

*χάλκεον*] Köhler: χαλκέων, Schneider ἐν τῇ ὑπὸ Heinrich ἐκδόσει: χάλκεαι.

*ὀξὺ βόων*] Wolf: ὀξυβόων.

244. *ζωῆσιν Ϝίκελαι*] ζωῆσίν τ' ἴκ.

245. *πρεσβῆες*] πρέσβυες. Buttmann ἐν τῇ μεγάλῃ Γραμματικῇ Α', σ. 233, ἔκδ. β': πρέσβηες. Ἀλλὰ ὁμοίως Λυκόφρων (1056) εἶπε *πρεσβεῦσι* ἀντὶ τοῦ κοινοῦ *πρέσβεσι*, οὐχὶ σολοίκως, ἐπειδὴ ἡ τῶν πρέσβυς καὶ πρεσβεὺς λέξεων διάκρισις οὐ φυσική, ἀλλ' ἐπιτετηδευμένη ἦν, ὥσπερ ἂν εἴ τις καθ' ἡμᾶς ἐπὶ μὲν δημογέροντος ἔλεγε *γέρων*, ἐπὶ δὲ τοῦ γεγηρακότος *γέρος*.

245. Ἡ παράδοσις θαυμαστὸν ὅσον ἀβέβαιός ἐστιν. Οἱ μὲν γάρ, τὸ ὑποκείμενον συμπληροῦντες ἐκ τοῦ ἀναφορικοῦ, ἀνέγνωσαν «γῆράς τ' ἐμέμαρπτον, τε μέμαρπτον, τε μέμαρπον», ἄλλοι δέ, τὸ γῆρας ἐκδεχόμενοι ὀνομαστικήν, τ' ἐμέμαρπε, -πτε. Ἐκ τοῦ σφάλματος *τε μέμαρτον* ἐγένετο κατ' εἰκασίαν «γήρᾳ τε μέμαρται» (Monacens. 91 γράφ.). Ἐπιστραφέντες πρὸς Ὁμηρικοὺς παραλληλισμούς, οὐ προκόπτομεν· τὰ γὰρ ἐν τῇ Ὀδυσσείᾳ ὅμοια χωρία ἐπίσης διαφόρως γράφονται· τ 367: γῆρας ἵκοιο, ἤ, ἵκοιτο, ω 249: γῆρας λυγρὸν ἔχεις, ἤ, ἔχει σ', ἢ καὶ δισσῶς ἑρμηνεύεσθαι δύνανται (θ 226: οὐδ' ἐπὶ γῆρας ἵκετ', ω 390: κατὰ γῆρας ἔμαρψε, -πτε). Πινδάρ. Ἰσθμ. 6 (5), 15: αἵδαν γῆράς τε δέξασθαι» παραλλάσσει εἰς τὴν ἔννοιαν. Τρὺξ ἄρα κατ' ὀπώραν. Ὑπόλοιπον ἔτι τὸ μνημονεύεσθαι τὰς τῶν λογίων πείρας. Τῷ μὲν Hermann καλὸν ἔδοξε «τε μεμάρπει», τῷ δὲ Göttling «γήρᾳ τ' ἐμέμαρπτο», ἀντὶ τοῦ πληθυντικοῦ κατὰ τὸ Πινδαρικὸν σχῆμα.

246. *ἀθρόοι*] ἀθρόον.

*ἔκτοσθεν,-ε*] ἔντοσθεν,-ε. Ὁ τεχνίτης τοὺς γέροντας ἔθηκεν ἔξω τῶν πυλῶν, ἵνα ὦσι φανεροί.

*ἔσαν*] Voss: ἴσαν, ὥσπερ Ἰωάννης ὁ Διάκονος *ἔσαν* ἐξηγήσατο «ἀπὸ τοῦ ἦσαν κατὰ συστολήν, τὸ δὲ ἦσαν, ὃ σημαίνει τὸ ἐξῆλθον, ἀπὸ τοῦ εἶμι»!.

247. *σφετέροισι τέκεσσι*] σφετέροις τεκέεσσι.

*κυάνεαι*] κυάνεοι.

250. *δεινωποὶ*] δεινωτοὶ, δεινωπαὶ, δεινωταί. Προειλόμεθα τὰ ἀρσενικά, ἐπειδὴ τὰ τέσσαρα ἐπίθετα τὸ μὲν κεχωρισμένως

τοῦ ὀνόματος κεῖνται, τὸ δὲ τὰ πλεῖστα σύνθετα. Ἀλλὰ καὶ ὑπὲρ τῶν θηλυκῶν ἔστιν εἰπεῖν ἀξιόλογα.

*βλοσυροί*] βλοσυραί.

*δαφοινοί*] δαφοιναί.

*ἄπληστοί*] ἄπληστοί, ἄπλατοί. Παράθες Θ. 151. 153 κτλ.

251. *δ' ἄρ'*] Ἰωάννης Διάκονος: γάρ. Thiersch ἐν τῇ Γραμματικῇ 201, ἔκδ. β': δὲ ἵεντο.

252. *μάρποιεν*] μάρπτοιεν, μεμάρποιεν, μεμάρπτοιεν, ἴδε 245, μεμάποιεν, πρβλ. 231. 304. Deiters σ. 37: γε μεμάρποι.

253. *αὐτῷ*] αὐτῶν.

254. *βάλλ' ὄνυχας*] βάλλον ὔχους Wakefield, Silva Critica τ. Α', σ. 120, ἀνακριβῶς ἐπιθεωρήσας τὴν Ἡσυχίου γλῶσσαν ὔχι**ος**, ὄνυξ. Hermann: βάλλον ἔπειτ' ὄνυχας, ψυχὴ δ', Lennep: βάλλον ὅμως ὄ., ψ.

*ψυχὴ*] ψυχὴν. Hermann (8) σ. 201: ψυχὴν — καθίει.

*κατῆε*, ἐγώ, *-εν* Wolf: (κατῆεν Harleanus 5724)] κατεῖεν (ἴδε Ἡσύχ.: εἶεν, ἐπορεύετο), κακεῖεν = κακ-κεῖεν.

255. *ἀρέσαντο*] ἄρ' ἔσαντο, ἂρ ἄσαντο (Τὸ α μακρόν, οἷον Ἰλ. Τ 307: σίτοιο ἄσασθαι), εὖτ' ἂν ἕσαντο (κατὰ τὴν κοινὴν σύνταξιν τοῦ *ὅταν*). Ranke: ἄσαντο, Paley: ἀάσαντο. Τὸ *ἀρέσκεσθαι καὶ παρ'* Ὁμήρῳ εὐχρηστεῖ καὶ Ὕμν. Ὁμηρ. 19,179, Αἰσχύλ. Ἱκέτ. 642, Ξενοφ. Ἀπομνημ. 4,3,16.

256. *ῥίπτεσκον*, ἐγὼ] ῥίπτασκον, ῥίπασκον, ἴδε Θ. 157.

258. *ἡ μὲν*] ἡμὲν. Ranke: ἡ δὲ, τοῦ Διακόνου παραφράσαντος «ἡ μέντοι Ἄτροπος».

259. *πέλεν*] πέλει, τῆς γνώμης ἐκλαμβανομένης οὐχὶ ὑλικῶς, ἀλλὰ θρησκευτικῶς καὶ ἀλληγορικῶς.

*ἀλλ' ἄρα ἦγε* (Ὀδ. γ 259: ἀλλ' ἄρα τόν γε)] ἀλλ' ἄρα ἦδε (ἤδη), ἀλλ' ἄρα δ' ἦδε, ἀλλ' ἂρ ἦγε, ἀλλὰ καὶ ἔμπης. Hermann (8) σ. 201: ἀλλ' ἄρα τῶν γε ἦδε μὲν ἀλλάων κτλ.

260. *τῶν γε μὲν*] τῶν μὲν, ἡ μὲν. Hermann αὐτ.: τῶν μέν τ', Ranke: ἀλλ' ἄρα ἦγε τῶνδε μὲν.

260. *τε*] τ' ἦν, κατὰ τὴν τῶν Βυζαντίνων μετρικήν. Ἄτροπος πάντοτέ ἐστι πρεσβυτάτη.

263. *ἐν*, πρβλ. Γεωπον. 6,6,1: ἐνισόω] Heinrich: ἂν. — Ὄπισθεν τούτου τινὲς διττολογοῦσι 253.

264. *ἐπισμυγερὴ*] ἐπὶ σμυγερὴ. Πρβλ. Ὀδ. δ 672: ἐπισμυγερὴ, ἤ, ἐπὶ σμυγερὴ λάβεν αἶσα. *Ἐπισμυγερὸς* εὑρίσκεται Ὀδ. γ 195, τὸ δὲ ἁπλοῦν ἐν τοῖς Ἀπολλωνίου Ἀργοναυτικοῖς 4,380 (1063: ἐπι σμυγερὴ λάβεν αἶσα;) καὶ Ἐτυμολ. Μέγ. σ. 721, 18: σμυγερὴ, ἅμα ἐπίπονος καὶ αἰσχρά.

265. *ἀϋσταλέη* (Ὀδ. τ 327. Ἀνθολογ. Πλανούδ. 113,4)]

αὐσταλέη, (Καλλιμάχ. Ὕμν. 6,16. Ἀπολλων. Ἀργον. 2,200) αὐαλέη, πρβλ. Ἔ. 588. Ὁμοίως τὰ Θεοκρίτου χειρόγραφα (14,4) ἀλλήλων παραλλάσσουσιν.

266. *γουνοπαχὴς* (Lobeck ἐν ταῖς εἰς Φρύνιχον σημειώσεσι σ. 535 συνεσώρευσε τὰ ὁμοιότροπα παράγωγα)] γουνοπαγὴς, γουνοπαγῆ, γυιοπαλίς (γρ. -χίς). Παράθες Ἰλ. Χ 452: νέρθε δὲ γοῦνα πήγνυται, ἀπὸ δέους δηλαδή. Ἡ ἐναντιότης ἐκφαίνεται ἐκ τῶν Διογένους Λαερτίου 7,1: παχύκνημός τε καὶ ἀπαγής.

*ὑπῆσαν*] ἐπῆσαν Τρικλίνιος

267. *τῆς δ'*] τῆς (Περὶ ὕψους 9,5).

268. *ἀπελείβετ'*] ἀπέλειβεν.

*ἄπλητον*] ἄπληστον.

*σεσαρυῖα*] σεσηρυῖα, κατὰ τὸν τῆς Ἀττικῆς γλώσσης κανόνα, ὃ διώρθωταί πως μετρικῶς Βυζαντινικῇ ἀποκοπῇ εἰς τὸ *σηρυῖα*.

269. *κατενήνοθεν*] Guiet: ἐπενήνοθεν ὤμοις. Καὶ δὴ σχολιαστής τις ἐξηγεῖται «ἐπήνθει».

270. *παρὰ*] Wolf: πάρα = παρῆν.

272. *ἀγλαΐαις*] Λαυρεντιαν. 32,16: ἀγλαΐης (-ῃς).

*χοροῖς*] λαοῖς.

273. *μὲν* παραλείπεται ὑπό τινων ἀντιγραφέων.

274. *ἦγοντ'*] ἦγον δ', ἦγόν τ', ἠγοῦντ', πρὸς τὸ Ὁμηρικὸν (Ἰλ. Σ 493) *ἠγίνεον*.

*δ'*] Heyne εἰς Ἰλ. Σ 493: θ'· ἔπιθι ὅμως τὸ τῆς Ἰλιάδος χωρίον.

*ὑμέναιος*] Guiet: ὑμεναῖος.

275. *δ' ἀπ' αἰθομένων*] δ' ὑπ' αἰθ., δ' ἀπαιθ., Ἐτυμολ. Μέγ. σ. 300,4: δέ τ' αἰθ.

276. *ἐνι* Winterton] ἐνὶ, ἐνι.

*δμώων*] δμωῶν, καίτοι ἡ λέξις οὐδεμίαν σχέσιν ἔχει πρὸς τὸ *ταὶ*.

*ταὶ*] αἱ.

*ἀγλαΐῃ*] -αις (=272), -ης = ῃς Λαυρεντιαν. 31,32.

277. *τοῖσι,-ιν*] τῇσι,-ιν. Ἔπραξαν καὶ πάλιν ταὐτὸ λάθος.

278. *τοὶ*] Hermann: ταὶ, διὰ τὸ ἐπίθετον *ἁπαλῶν*, ὅπερ καὶ ἐπὶ παίδων (Ἰλ. Σ 571) τίθεται.

*ὑπὸ*] ὑπαὶ, πρβλ. 71.

*αὐδὴν*] ἀοιδήν. Πρβλ. Θ. 31.39.

279. *σφίσιν*] σφιν. Lennep: σφιν Ϝάγνυτο, ὃ ἐμέλλομεν ἐπιδοκιμάσειν, ὅτε παρετηρήσαμεν, ὅτι καὶ δὶς ἐν τοῖς ἑξῆς ὁ βραχύτερος τύπος κατὰ σφάλμα κεῖται.

280. *αἳ*] Guiet: οἳ.

281. *αὖθ'*] αὖ, πρβλ. Ἰλ. Σ 243 γρ.

*ἐτέρωθε,-εν*, ἴδε Κόϊντ. Σμυρν. 11, 328, Ἀπολλών. π. ἐπιρρημάτων σ. 607,15 κέ.] ἑτέρωθι, πρβλ. Ὀδ. μ 235.

282. Paley, ὅς ὑπερβαίνει τὸν 283 στ., ἐξέδωκε: τοὶ μὲν δὴ παίζοντες.

283. Λείπει ἐξ ὁμοιάρκτου ἐν πολλοῖς κώδιξιν.

*γε μὲν*] γε μὴν. Τρικλίνιος: δὲ μέν.

*μὲν αὖ*] Σχόλ. Ἀριστοφ. Ὄρνιθ. 1426: μὲν οὖν.

*ὑπ' αὐλητῆρι Fέκαστος*] ὑπ' αὐλ. δ' ἕκ., ὑπ' αὐλητῆρος ἕκ. (Σχόλ. αὐτ.). Παράθες Θέογν. 545. 803. Ὁμοίως δὲ γράφεται 281: ὑπ' αὐλῷ, ἀντὶ τοῦ: ὑπ' αὐλοῦ.

284. *ἔκιον*] Ὁ παραφραστὴς χρῆται τῷ ἑνικῷ «ἐπορεύετο».

286. *ἐπιβάντες*] ἐπιβάντε· ὅπερ πρὸ τῆς τομῆς καλῶς κεῖται· ἴδε εἰς Θ. 186.

287. *ἐπιστολάδην*] ἐπιστοχάδην, Ἐτυμολ. Φλωρεντ. 152: ἀναστείλαντε.

*χιτῶνας* (Ἐτυμολ.)] χιτῶνα.

288. *ἐστάλατ' αὐτὰρ*] ἐστείλαντ' αὐτὰρ ἢ ἀτὰρ χάριν ἑρμηνείας. Schmidt: ἔσταλον, αὖ δ' ἄρ.

289. *αἰχμῆς*] Paley: ἅρπης.

*κορωνιόωντα*] κορωνιόεντα (πρβλ. 7. 234), κορυνιόωντα, κορυνιόεντα, ὅθεν ὁ μὲν Hermann προυβάλετο *κορηνύεντα*, ὁ δὲ Göttling: κορυνώεντα. Ἀλλ' ὅμως τὸ υ βραχύ.

290. *βριθόμενα σταχύων*] βριθόμεν' ἀσταχύων.

*ὡσεὶ Δημήτερος ἀκτὴν*] ἐπειδὴ ἐν χειρογράφῳ μεταξὺ κεῖται *ἱερὸν*, Ranke ἐπενόησε: Δημήτερος ἱερὸν ἀ.

291. Οἱ κώδικες ἔχουσιν ἔπιτνον, ἔπιπλον (ἔπιμπλον), ἔπιπνον. Τὸ τῆς καταλήξεως ο οὐ δικαιολογητὸν εἰ μὴ ἐν τῷ τρίτῳ τύπῳ, εἴπερ ἀπὸ τῆς ῥίζης ΠΕΝ σχηματίζεται πίπνω, ὥσπερ ἀπὸ τῆς ΠΕΤ πίπτω. Ὁ παλαιὸς ὅμως σχολιαστής, ὁ ἐν τῷ Μεγ. Ἐτυμολ. σ. 366,43, ταύτην τὴν γραφὴν ἀγνοεῖ. *Ἔπιτνον* καὶ *ἔπιπλον* οὐδέ τί εἰσιν. Γραπτέον ἤτοι *ἔπιτναν* παρὰ τὸ πίτνημι= πετάννυμι (Πινδάρ. Νεμ. 5,11: πίτναν εἰς αἰθέρα) ἢ *ἔπιμπλαν* παρὰ τὸ πίμπλημι. Ἐκεῖνο μὲν δύναται συντάσσεσθαι μετὰ δύο αἰτιατικῶν (πρβλ. Εὐριπ. Τρῳάδ. 889: πέμψομέν νιν Ἑλλάδα). Τούτῳ δὲ ὁμοιάζει τὸ Θεοκρίτειον «ἀναπληροῦν ἀλῳάν» (7,34).

*ἀλωὴν*] Robinson: ἀλωῇ.

292. *δ' ἐτρύγων*] Spitzner, De versu heroico σ. 95.

*ἐνὶ*] ἐν (Ἐτυμολ. Φλωρεντ. 123), πρβλ. Ἰλ. Σ 551.

293. *αὐτ. ἐς* (Ἐτυμολ. Μέγ. σ. 634,41. 745,3)] αὖτ' ἐν, αὖτε, οὖν τ' ἐς. Ἐνομίσαμεν τὴν ἀρχὴν γνήσιον τὸ *ἐν*, ὃ Βοιωτικῶς συντάσσεται μετὰ τῆς αἰτιατικῆς, ὀλίγον δὲ παρακατιόντες ἐν ταῖς αὐταῖς λέξεσι στ. 296 παρετηρήσαμεν τὴν τῆς γρα-

φῆς αἰτίαν. Ἐκεῖ τινες γράφουσιν *ἐν ταλάροις*. Ἦσαν ἄρα οἱ ἄτοπον ἡγοῦντο τὸ φέρεσθαι τὰς σταφυλὰς **πρὸς** τοὺς ταλάρους· **ἐν** ταλάροις, ἔφασαν, ἐφέροντο.

*ἐφόρευν* (Ἐτυμολ. Μέγ. σ. 745,3)]* ἔφερον Ἐτυμ. σ. 634,41.

*ὑπὸ*] Guiet: ἀπὸ.

294. *καὶ* (Ἐτυμολ. Φλωρεντ. σ. 228)] ἤ.

*βότρυας*] Hermann εἰς τὰ Ὀρφ. σ. 757 παραινεῖ τὴν κατὰ συνίζησιν ἀνάγνωσιν. Ἴσως ἐγέγραπτο *βότρυς*.

*μεγάλων*] Heinrich: χαλκέων.

*ὄρχων*] Ἐτυμολ. Μέγ. σ. 643,42: ὀρχῶν καὶ 296: ὀρχὸς.

295. *ἀργυρέῃς*] ἀργυρέοις.

296. *αὖτ'*] οὖν τ', ὥσπερ 293.

*ἐς ταλάρους*] ἐν ταλάροις. Hermann: ἐς ληνοὺς.

*ἐφόρευν*] Οἱ Βυζαντῖνοι, οἷς οὐ φροντὶς τῆς ποσότητος, εἴκασαν ἑόρευν=αἰώρευν καὶ ἐχόρευν=ἐχώρευν.

*σφισιν*] Ἐτυμολ. Μέγ. αὐτ. γρ.: σφιν.

297. *πολύφρονος*, καθάπερ Ἰλ. Φ 367. Ὀδ. θ 297] περίφρονος, παρ' Ὁμήρῳ ἐπὶ γυναικῶν μόνων ἐν χρήσει ἐστίν. Θ. 894 «περίφρονα τέκνα» εἴρηται, οὗ νοῦς «ὑπέρθυμα» καὶ μεγαλόφρονα.

298. *φύλλοισι* (Ἐτυμολ. Μέγ. σ. 487,42]] Ζωναρᾶς Λεξ. σ. 1147: σταφυλῇσι. Ὁ Harleianus παρέχει ἀντὶ 298—300 τὸν ἑξῆς στίχον· «σειόμενος σταφυλῇσι· μελάνθησαν δέ μεν αἶγε».

*ἀργυρέῃσι* (Ἐτυμολ. Μέγ., Ζωναρ.)] ἀργυρέοισι (Ἐτυμολ. Γουδιαν. σ. 296,59). Τὸ ἀρσενικὸν ἐξέδωκε Ζηνόδοτος ἤδη Ἰλ. Σ 563. «Θηλυκῶς μὲν ῥάβδοι ἢ κάλαμοι τὰς ἀμπέλους περιπεφραγυῖαι, ἀρσενικῶς δὲ σημαίνει τὸ ὄρυγμα ἢ τοὺς πασσάλους, τοὺς πρὸς τὴν τῶν πολεμίων ἐρωήν» (Σχόλ.). Heinrich: ἀργυρέοις καμάκεσσι.

299. Ὑπ' ἐνίων ὄπισθεν τοῦ 297 τίθεται ἢ ὑπερβαίνεται

*μὲν αὖ*] μὲν οὖν, πρβλ. 296.

*παίζοντες*] παίζονται, ἐκ κακῆς εἰκασίας, ὅπως τὸ ἀνακόλουθον ἀπῇ. Guiet τοῦ αὐτοῦ ἕνεκα ἔγραψε *παίζουσιν*. Ἀναγκαῖος ἂν ἦν ὅ τε παρατατικὸς καὶ τὸ ἐνεργητικὸν γένος, ἤτοι *ἔπαιζον*.

300. *γε μὲν, γέ μεν*] δὲ μὲν, δέ μιν.

*αἵδε*] αἶγε· ἀλλὰ προηγεῖται τὸ *γὲ μὲν*.

301. *οἵ γε*] οἱ δὲ, οἵδε.

302. *ἑλκηδὸν*] Ἐτυμολ. Μέγ. σ. 695,56: ἑλκηδὴν.

303. *κύνε*] κύνες.

*πρὸ*] πρός. Wolf παρατίθησιν εἰκασίαν φίλου ἀνωνύμου «δύο

τε κύνε καρχαρόδοντε». Hermann «πρὸ δὲ τῶνδε δύω κ. κ.».

304. *μαρπέειν*] μαπέειν, μαρπτέειν. Rzach: μαπέεν.

*οἵ δ' ἱέμενοι*] Guiet: τοὺς ἱεμένους.

*ὑπαλύξαι*] ἀπαλύξαι. Καὶ παρὰ Νικάνδρῳ Θηρ. 829 φέρεται *ἀπαλύξασθαι*. Ἅμα δὲ ἐνθυμούμεθα περὶ τῆς εἰς Ε. 557 μνημονευθείσης γραφῆς.

305. *αὐτοῖς*] *αὐτούς*.

*ἀέθλῳ*, πρβλ. 312] ἀέθλων, ἀέθλοις.

306. *μόχθον*] μόθον.

*εὐπλεκέων*] εὐπλοκέων (ἀναλόγως τῷ εὔπλοκος), εὐπλεκτέων.

*δ' ἐπὶ*] Robinson: γ' ἐπί.

308. *ἐπικροτέοντα* (Ἐτυμολ. Φλωρεντ. σ. 263, πρβλ. Ἰλ. Ο 453: κείν' ὄχεα κροτέοντες, Ὕμν. Ὁμηρ. 2,56: κ. ὄ. κροτέουσι)] ἐπικροτόεντα (πρβλ. 7. 234. 289): ἐπὶ κροκόεντα, ἐπικροτόωντα.

*πέτοντο*] πετόοντο, πετόοντα, ποτῶντο.

309. *ἄϋτευν*] Ambrosianus: ἄϋτνευν.

310. *μὲν ἄρ*] μὲν γάρ.

*ἀΐδιον εἶχον*] ἀ. ἔχον, ἀ. δὴ ἔχον. Hermann: ἔμπεδον αἰὲν ἔχον, Göttling: ἀΐδιον κατέχον, Paley: ἰδίοντες ἔχον. Ἡ λέξις οὐχ Ὁμηρική, ἀπαντᾷ ὅμως ἐν τῷ εἰς Ἑστίαν Ὕμνῳ στ. 3.

311. *εἶχον*] ἔσχον, ἔχον.

312. *τοῖσιν,-ι δὲ*] τοῖσι δὲ καί, Βυζαντινικῷ μέτρῳ.

*προὔκειτο*] Nauck (16) δ', σ. 95: προέκειτο.

313. *κλυτὰ Fέργα*] κλυτὰ δῶρα.

*δ' ἴτυν*] δέ τοι. Οὗ αἰτία ἤτοι ἡ κακογραφία *δειτοιν* ἢ τὸ παρακοῦσαι τὸν γραφέα τὰ ὑπαγορευόμενα.

314. *ῥέεν*] πέλεν, ψυχρῶς ἀντὶ τοῦ ζωγραφικοῦ ῥήματος.

315. *αὐτὸν*] αὐτούς.

316. *ῥά γε*] ῥά τε, ῥά ἑ (ὀρθῶς;).

317. *πὰρ*] παρά, περί.

*ἐκλονέοντο*] κλονέοντο, δονέοντο, (πρβλ. Ὕμν. Ὁμηρ. 2,92) ἐκαρνέοντο, ἐκροτέοντο (ἴδε 308). Ranke: παρὰ δέ σφ' ἰχθῦς (οὕτως γρ. ἔν τισι) κλονέοντο, ἤ, δονέοντο.

322. *ἀστεροπῇ*] ἀστεροπῶν. Ὁ ἐν Εἰδελβέργῃ κῶδιξ γράφει «ἀστεροπῆτα, ὃ ἐκληπτέον γενικὴν κατὰ τὸν τῶν Ἀλεξανδρέων σολοικισμόν· ἐκεῖνοι γὰρ τῷ «Αἰολικῷ» - ἃ εἰκῇ ἐχρῶντο.

323. *τῷ δ'*] τῷ.

324. *δίφρου*] δίφρον.

325. *ἀγχίμολον*] ἀγχίμολος, ὥσπερ Θεόκριτ. 25,203, καὶ ἀγχίμολον καὶ ἀγχίμολοι γράφουσιν.

*σφ'*] οἱ Ἰλ. Δ 529: ἀγχίμολον δέ οἱ ἦλθε.

326. *θαρσύνουσα* Fέπεα Lennep] θαρσύνουσ',-ασ', φωνήσασ' ἔπεα. Ἔπιθι τὰ εἰς 445 ῥηθησόμενα.

327. Nauck (16) γ', σ. 214 διαιρεῖ *τηλεκλεϊτοῖο*.

329. *δῦσαι*] δύσειν. Ἔνθεν μὲν οἱ Βυζαντῖνοι τοῖς τοῦ μέλλοντος ἀπαρεμφάτοις ἐχρήσαντο ἀντὶ τῶν τοῦ ἀορίστου, ἔνθεν δὲ ἐξεδέξαντο τὸ ἐξεναρεῖν ὡς μέλλοντα.

330. *σοί τι* Fέπος] τοί τι ἔπος (ἀλλ' ἀντίκειται τὸ ὔμμι), σοί (τοί) τί γ' ἔπος, τοι ἔπος ἐρέω, τοι ἔπος ἐξερέω.

332. *λιπέειν*] Rzach: λιπέεν, ὥσπερ καὶ 337: ἐλέεν.

333. *Ἄρη'* Heinrich] Ἄρην, πρβλ. 59.

*ἐπιόντα*] ἐπὶ νῶτα· ἀλλ' ἴδε 425. 458. Ἰλ. Ε 338.

334. *ὕπο*] Λαυρεντιαν. 2823,1: ἀπὸ· πρβλ. ὅμως 460 καὶ Ἰλ. Λ 423.

336. *ἀναχάσσασθαι*] ἀναχάσσεσθαι (ζήτει εἰς 329). Προσγεγραμμένης τῆς ἐξηγήσεως ἀναχώρει, ἐντεῦθεν ἐγένετο ἡ γραφὴ ἀναχωρήσασθαι (Schmidt: ἀναχωρήσασθ').

338. *ἐβήσατο*] ἐβήσετο, βήσετο, ἐπεβήσατο,-ετο. Διὸ ὁ Haleianus τὴν ἀνάγνωσιν χορηγεῖ «ὡς εἰποῦσα δίφρον ἐπεβήσετο». Κόντος σοφῶς δικαιολογεῖ τὴν κατάληξιν *-ετο* ἐν τῷ Λογίῳ Ἑρμῇ Α', σ. 121. Ἐστὶ δέ, ὡς φαίνεται, τῆς κοινῆς, ἴδε *ἱεράσετο* ἐν ἐπιγραφῇ, ἣν Sterret ἐν τοῖς Papers of the americam School of Archeology τ. β', ἀριθ. 60 ἐδημοσίευσεν.

339. *χερσὶν*] Heinrich: παλάμῃς.

341. *σμερδαλέον* (Ἐτυμολ. Φλωρεντ. σ. 89;)] σμερδαλέον θ', σμερδαλέην θ', σμερδαλέως. Heinrich: σμερδαλέον γ', Paley: σ. δ', ἐκβαλὼν 340 καὶ παραθεὶς Ἰλ. Τ 399.

*ὑφ' ὁμοκλῆς* Heinrich] ὑπ' ὁμ., ὑπ' ὁμ., καθάπερ Ὕμν. Ὁμηρ. 5,88 καὶ Καλλιμάχ. Ὕμν. 4,158.

344. *περιστενάχιζε*] -στονάχιζε,-στενάχησε,-στονάχησε (= Κόϊντ. Σμυρν. 3,397). Ἔπιθι τὴν εἰς Θ. 159 σημείωσιν ἡμῶν. Προτιμότερον ἡγούμεθα τὸν παρατατικὸν ἐπὶ παρασυμπτώματος.

345. *προγένοντ'* (-το,-θ') ἴκελοι (ἴ.)] προσέγενθ' (προσεγένοντ') ἴκελοι. Paley: τοῖς . . . προσέγεντ' ἴκελος, Flach: τοῖς . . . προσέην ἴκελος. Τὸ *ἔγεντο* ἀνήκει εἰς τὸν ἑνικόν· ὁ πληθυντικὸς κατὰ τοὺς φθογγολογικοὺς κανόνας οὕτως ἂν εἶχεν, ἔγᾰντο = ἔγν-ντο.

347. *δ'*] θ', ὅπερ ἧττον ἁρμόζει διὰ τὸ ἕπεσθαι *ἔπειθ'*. Heinrich: γ', καθάπερ 341. Guiet οὐδέτερον μόριον φυλάσσει.

*ὑπεναντίοι*] ὑπεναντίον.

*ἀλλήλοιιν*, ἐπὶ δύο δυάδων] ἀλλήλοισιν.

348. *ὀξεῖα* (Ἐτυμολ. Μέγ. σ. 814,45)] ὀξέα. Guiet: ὀξέα

τ' ἐχρέμισαν, περί τε σ. ἄ. ἡ. Wolf: ὀξέως ἐχρ., Paley: ὀξεῖα χρ., Rzach: ὀξέα γ' ἐχρ. Ὁ αὐτὸς τοῦ οὐδετέρου πληθυντικοῦ τύπος εὑρίσκεται ἐκτὸς τῶν ἐν τῇ ἐξηγήσει ἀπαριθμουμένων παραδειγμάτων ἐν Θηραϊκῇ ἐπιγραφῇ (Corpus Inscript. Γ', ἀριθ. 2448: θήλεια), ἐν Σοφοκλέους χορικῷ (Τραχ. 122: ἀδεῖα) καὶ Θεοκρίτου εἰδυλλίῳ (1,95: ἀδεῖα, καίτοι ἄλλως συντάσσεται ὑπὸ τοῦ Fritzsche), πρὸς τούτοις δὲ ἐν τοῖς Σιβυλλιακοῖς Χρησμ. (ζ' 52: βαθεῖα). Ὁ Buttmann (Grammatik α', σ. 248, ἔκδ. β') ὡσαύτως ἐκλαμβάνει τὸ Ὁμηρικὸν *ὀξεῖα* Ἰλ. Λ 272.

*σφίσιν*] σφιν.

349. *τὸν*] ὅν.

*πρότερος*] πρότερον.

350. *ἐπίσχετον*] Ἐκ τοῦ 446 εἰσέφρησεν *ἐπίσχες* ἢ *ἐπίσχε*.

351. *εἰμὲν*] ἐσμὲν, ἡμέες.

352. Τυραννίων ἐτόνισε *πάρεξ* (Ἐτυμολ. Μέγ. σ. 652,39 κέ. καὶ Σχόλ. Ἰλ. Ι 7).

354. *δυνάμει*] Rzach: δυνάμι κατὰ τὸν τοῦ Ὁμηριστοῦ Bekker κανόνα, ᾧ ἀντίκεινται οἱ Ὁμηρικοὶ τύποι πτόλεϊ, πόσεϊ καὶ τὸ ἐν παλαιᾷ Ἰωνικῇ ἐπιγραφῇ ἀπαντῶ *δυνάμει* (Röhl, Inscr. Antiquissimæ 497, β 31). Nauck (16) ε', σ. 135: ὅς αἰδόϊ τε δυνάμι τε.

356. *Θεμιστονόην*] -νοίην,- νέην· ἐν ὑποθέσει τινὶ τῆς Ἀσπίδος ὀνομάζεται Θεμιστονόμη.

358. *νῶε*, Βοιωτικῶς (Ἀπολλώνιος ὁ Δύσκολος ἐν τῷ π. ἀντωνυμίας σ. 113 χρῆται Κορίννης μαρτυρίᾳ)] νῶϊ,-ιν, νῴ γε. Παράθες καὶ τὸ Ὁμηρικὸν σφῶε Ἰλ. Η 280. Κ 552.

359. *μέν τε* (πρβλ. Ἰλ. Δ 341)] μὲν τὶ.

361. *μάχην* Ambros.] μάχης. Τὸ μενεαίνω ῥῆμα οὐδαμοῦ τῶν Ὁμηρικῶν ποιημάτων συντάσσεται μετὰ γενικῆς, ἡ δὲ αἰτιατικὴ ἀπαντᾷ τοὐλάχιστον παρὰ Κοΐντῳ τῷ Σμυρναίῳ 12,380: ἐμοὶ μενέαινεν ὄλεθρον.

363. Boissonade ἀνταλλάσσει τὰ δεύτερα ἡμιστίχια τούτου τε καὶ τοῦ ἑπομένου στίχου, γράφων *ὅπλον* ἀντὶ τοῦ σαρκός.

364. *δὲ μέγα*] δὴ μέγα.

*σαρκὸς* Βενετ. 9,6] σάκος, σάκκος. Paley: σάρκας, πρβλ. 461 καὶ Ὀδ. τ 451: πολλὸν σαρκός.

365. *ὁρμῇ*] αἰχμῇ, Ὁμηρικῶς, οἷον Ἰλ. Π 315: ἔγχεος αἰχμῇ (γρ. ὁρμῇ)· 505: ἔγχεος αἰχμὴν, Υ 416: ἔγχ. αἰχμή. Ranke: ἀκμῇ, πρβλ. Πινδάρ. Πύθ. 9,81: φασγάνου ἀκμᾷ.

367. *ὑφ'*] ἐφ'.

370. *εὐπλεκέων*] εὐπλεκτέων, ἴδε 306.

*αἶψ'*] ἄψ.

371. Λείπει ἐν τῷ Παρισίνῳ 2708.

*παῖς τε*] Vossianus: παῖδές τε, Geel: παῖδε.

373. *πόσ'* (πόδ')] ποῦς, πᾶσ'. Göttling: κανάχει πᾶσ' (ἢ ποσὶν) εὐ. χ., Lennep: κανάχιζ' εὐρεῖα ποσὶ χθὼν, Ranke: κανάχιζεν πᾶσα περὶ χθὼν, πρβλ. Ἰλ. Τ 362, Hermann εἰς Ὀρφ. σ. 694: καναχὴν ἔχεν, καὶ Ἰλ. Π 105. 794.

374. *ἀφ'*] ἐφ'. Τὸ *δ'* ἔμβλημα ἂν εἴη.

375. *ἀποθρῴσκωσιν*] (-ουσι, -ουσιν ἢ ἀποθρῴσκουσαι, καθ'ὅ τι γράφεται ἐν τοῖς ἑξῆς.

*ἀλλήλαις* Λαυρεντιαν. 2823,1: ἀλλήλω δὲ] ἀλλήλῃσι, -αισι, -οισι (-ῃς Heinrich).

376. *δρύες* Rzach] δρῦς. Ἡ αἰτιατικὴ ἐσφαλμένως παραδέδεκται ἐξ Ἰλ. Λ 494 καὶ Ψ 114.

*πεῦκαι*] πεῦκοι.

377. *αὐτέων* Rzach] αὐτῶν.

378. Λείπει ἐν τῷ Λαυρεντιανῷ 32,16 καὶ τῷ ἐν Εἰδελβέργῃ ἀνενεχθέντι χειρογράφῳ.

*ἧος* Nauck (16) β', σ. 412, ὑποσημ. 5 κατὰ τὸ Ἰνδικὸν yâvat] εἵως, ἕως. Τὸ ἐν Βοιωτικῇ ἐπιγραφῇ *ἅως* (Collitz 406 ν) δικαιολογεῖ καὶ τὴν γραφὴν *ἧως*.

*πεδίονδ'*] πεδίον, πέδονδ'.

379. *κεκλήγοντες*] κεκληγῶτες, κεκληγότες. Αἱ αὐταὶ τρεῖς γραφαὶ εὑρίσκονται 412 καὶ παρ' Ἀράτῳ 1004. *Κεκληγῶτες* γράφεται παρ' Ἀπολλων. Ῥοδ. 4,874.

380. Τὸ *τε* ἐν πολλοῖς λείπει ἢ τίθεται ὄπισθεν τοῦ πόλις.

*κλειτή*] κλεϊτή Nauck: (16) γ', σ. 214, καὶ δὲ 473. 474. 479.

382. *ὕπ'*] δ' ὕπ'.

*μέγα ἴαχον*, πρὸ οὗτινος ῥήματος ἐπιτρέπεται χασμῳδία] μεγάλ' ἴαχον.

383. *σύνισαν*] συνίεσαν, σύνεσαν.

386. *προϝιδέσθαι*] προσιδέσθαι. Ἐπίσης τινὲς ἔγραψαν Ὀδ. ν 155 «προσίδωνται» ἀντὶ τοῦ «προίδωνται».

387. *χαυλιόδων*, ὃ ἐσχημάτισται ὥσπερ προόδων, χαλκόδων, καρχαρόδων] χαυλιόδους, κατὰ τὸ ἁπλοῦν ὀδούς.

*φρονέει*] φρονέει δὲ, φορέει («φέρεται» Διάκονος).

*μαχέσασθαι*] μάχεσθαι. Paley: θυμῷ δὲ μάχεσθαι, Ranke φέρεται: φρονέει δὲ μ.

388. *θηρευτῇς, -αῖς*] θηρευτῇσι, θηρευτῆρσι.

*μαστιχόωντι*] μαστιγόωντι. Heyne εἰς Ἰλ. Λ 416: μαστιόωντι, ἤ, μαστάζοντι, παραθεὶς Νικάνδρ. Θηρ. 918, Heinrich: μαστιγόων τι.

390. *εἴκτον* Göttling] εἰκτὴν, εἰσηνέχθη ἐκ τοῦ πολυθρυλήτου στ. Ἰλ. Α 124.

391. *λοφιῇ*] λοφνῇ.

394. *ἐφεζόμενος*] ἐφιζόμενος.

*ἠῷος*] Rzach: ἠώϊος.

396. *αὐδὴν*, ἀντιστοίχως τῷ Ὁμηρικῷ «φωνὴν» Ὀδ. τ 521] Ἐντεῦθεν ἐγένετο ἀϋδὴν, ἀοιδὴν, πρβλ. Ἔ. 583.

397. *ὅτε τε* Ἐτυμολ. Μέγ. σ. 465,39, ὥσπερ Ἰλ. Β 471 (γρ. ὅτε), 782 (γρ. ὅτε, ὅτε γ', ὅτ' ἔτ') Ε 500 (γρ. ὅτε), 803] Ἐπεὶ τὸ *τε* καθ' «ἡμιγραφίαν» ἐξέπεσεν, ὑπάρχει ἡ παράδοσις ὅτε, ὅτε περ, ὅτε καὶ, ὁπότε.

398. *ἦμος*] τῆμος.

*δὴ*] δὲ.

*περὶ γλῶχες*] περιγλῶχες (διὸ Θεόγνωστος σ. 40 πέντε μόνον μονοσύλλαβα εἰς ωξ καταλήγοντα ἀναγνωρίζει), περὶ γλῶκες, περιγλῶκες.

*τελέθουσι*] τελέθωσι καὶ ἀναλόγως 400 σπείρουσι,-σιν] σπείρωσι,-σιν καὶ αἰόλλονται] αἰωλῶνται, αἰόλλοντο, αἰώλοντο.

400. *ἄχθος*] Ἀθήν. Δειπνοσ. 10,428 C: ἔχθος.

403. *ἀλλήλοις*] ἀλλήλους.

*κοτέοντες*] κοτέοντε, καλῶς, ἴδε εἰς Ἔ. 186.

*ὁρμήσωσι*] -σουσι.

404. *σφ'*] σφὶν, σφὶ. Lennep νοθεύει τὸ λεξείδιον.

405. *ἠδ'*] οἳ δ', εἰσῆλθεν ἐξ Ἰλ. Π 428.

*ὥστ'*] ὡς.

406. *κλάζοντε,-τ',-τες*, ὥσπερ Ἰλ. Π 429. Πίνδαρος, Ὀλ. 2,88, καὶ Σοφοκλῆς, Ἀντιγόν. 111, τὴν λέξιν ἐπ' ἀετῶν μεταχειρίζονται, ὅθεν περὶ τοῦ Θηβαίου ποιητοῦ αὐτοῦ κεῖται Ἀνθολ. 9,571,1] κράζοντε,-τες. Οἱ τὸ πάλαι συλλέξαντες τὰς «φωνὰς» ἀπονέμουσι τῷ ἀετῷ τὰς λέξεις *κλάζω* καὶ *καγχλάζω* (καγλάζω).

*μάχεσθον*] μαχέσθην, (κράζοντ') ἐμαχέσθην, μαχέσθαι, μάχονται. Hermann: μάχησθον ἢ μάχωνται (= Ἰλ. Π 429).

408. *ἦντ'*] ἦν.

409. *ἀπὸ (σ)νευρῆς*] ἀπαὶ νευρῆς.

*ἀπαλήσεται*] ἀπαλήσετο,-σατο, ἀπονίσσεται, Ἐτυμολ. Μέγ. σ. 42,32: ἀποχήσεται (γρ. ἀπολήσεται).

414. *ἔμβαλε*, πρβλ. Πινδάρ. Νεμ. 10,68: ἔμβαλον στέρνῳ Πολυδεύκεος] κακογράφως *ἔβαλε*, *ἔλασε*, *ἤλασε* ἐκ τοῦ 419 στ.

415. *χαλκὸς* Σέλευκος κατὰ τὰ σχόλια, προηγησαμένου Ἀριστάρχου εἰς τοὺς αὐτοὺς στίχους Ἰλ. Γ 348. Η 259. Ρ 44, ᾧ ἕπονται δύο γραφεῖς] χαλκὸν. Εἰ καὶ *χαλκὸς* δηλοῖ Ἰλ. Η

267. Υ 268. Φ 165 τὴν χαλκῆν ἀσπίδα, ἐνταῦθα ἂν ἔκειτο ἀκυρότατα ἐπὶ τοῦ πολυτίμου πονήματος, οὗ πάρεργον μόνον ἐλάχιστον τὰ χαλκᾶ μέρη.

417. *μακρῷ*, ἤτοι μεγάλῃ σαρίσσῃ, οὐχὶ ἐλαφρῷ ἀκοντίῳ] χαλκέῳ,-ῷ.

418. *αὐχένα*] αὐχένι.

Ranke ἐμβάλλει τ' μετὰ τὸ ἐπίρρημα. Ἡσίοδος μέντοι φιλεῖ τὰ ἀσύνδετα.

419. *κέρσε*] τέρσε. Τὸ τέρσομαι ἀλλαχοῦ σημαίνει «ξηραίνομαι».

*τένοντε*] τένοντας.

421. *πέτρῃ*] Λαυρεντιαν. 32,16: πεύκῃ. Ἕνεκα τοῦ ἐπιθέτου ἠλίβατος ἔπιθι Ὕμν. Ὁμηρ. 4,268, οἷος ἐν τοῖς κώδιξι φέρεται.

425. *Ἄρη'* Heinrich] Ἄρηα, Ἄρεα, Ἄρην, ἴδε 59.

*ἐπιόντα*] προσιόντα, προϊόντα, προσιέντα. Ἀπείδομεν πρὸς τὸ Ἄρη'.

428. *τάχιστα*] μάλιστα.

429. *ἐμ* (ἐν) *μένεος* J. Fr. v. Meyer ἐν τῇ ὑπὸ Heinrich ἐκδόσει, ὅπου καὶ εὑρήσεις τὰ παράλληλα χωρία σ. 219· οἷς πρόσθες Ὀδ. ν 417] ἐμμενέως, πρβλ. Θ. 714.

*πίμπλαται*] πίμπλατο, πίμπληται, πίμπλανται.

431. *μαστιόων*] μαστιγόων, μαστιχόων (εἴληπται ἐκ 389).

*ποσσὶ,-ὶν*] Nauck (16) ε', σ. 141: οὖδας.

*γλάφει*] γράφει, γλύφει.

*αὐτὸν*] αὐτοῦ.

432. *ἐλθεῖν*] Nauck: ἐλθέμεν.

434. *ἔστη Ἄρηος*, πρβλ. 344] Ἄρηος ἔστη, Ἄρεος ἔστη. Ἆρά γε τοῦτο ὀρθότερον, μετεβλήθη δὲ διὰ τὴν τοῦ Α διέκτασιν;

435. *δέ οἱ*] Paley: δ' ὡς, ἐξαλείφων τὸ ἐν 436 *δέ*.

*ἀχνύμενος*] ἀχθόμενος.

436. *ἰάχοντε*] ἰάχοντες.

437. *ἀπὸ μεγάλου*] ἀπαὶ μεγάλου.

*ὀρούσῃ*] ὀροῦσ(σ)α.

438. Guiet ἀθετεῖ τὸ *δ'*, ἀνθ' οὗ Paley ἐξέδωκε *μακρὸν*.

*ἠχή*] ἠχῇ. Wakefield, Silva Critica Α', σ. 128: ἠχῆς.

439. *ἐμμεμαυῖα*] Ὁ Πάπυρος παρέχει *ἐμβεβαυῖα*. Διακόνῳ δὲ προὔκειτο ἡ ἀνάγνωσις ἐμμεμακυῖα («ὁ κτύπος ἔρχεται βοῶν», πρβλ. Ἰλ. Δ 435: ἀζηχὲς μεμακυῖαι).

440. *συνενείκεται* (πρβλ. Ἐτυμολ. Μέγ. 691,24 καὶ Ἡρόδοτ. 7,151), ὑποτακτικῇ τοῦ ἀορίστου συνηνεικάμην] συνενήνεκται. **Hermann: συνενήνεκτ'.**

441. Lennep νοθεύει τὸ ϲ, ἀπονέμων δίγαμμα τῇ *ἰαχῇ* λέξει.

444. *ἐρεμνὴν*] Ἡ τοῦ Ἰωάννου παράφρασις «στιβαρὴν» ὑποτίθησι τὴν γραφὴν *ἐρυμνὴν*.

445. *ἰδοῦσα* (F)*έπεα*] ἰδοῦσ' ἔπεα.

446. *ἐπίσχε*] ἐπίσχες, Ἀττικῶς. Göttling: ἔπισχε. Κατὰ τὸν Nauck (16) δ', σ. 289 κέ. καὶ ε', σ. 142 οἱ τύποι ἐκεῖνοί εἰσι τῆς κοινῆς συνηθείας, π. χ. εὑρίσκω *κατάσχε* ἐν Χρυσοστόμου Ὁμιλίᾳ ιε' εἰς Εὐαγγ. Ματθ. § 9, σ. 177.

448. *Ἡρακλέα κτείναντα*] Lennep: κτείνανθ' Ἡρακλῆα, Nauck (16) ε', σ. 140: Ἡρακλέην κ. Ἀλλὰ παράθες 458 καὶ Ὕμν. Ὁμηρ. 15,1.

449. *παῦε*] παῦσαι, Ἀττικῶς. Thiersch: λῆγε.

*μάχης*, ὥσπερ Ἰλ. Ο 459 Ζηνόδοτος ἀνέγνω] Ἄλδος: μάχῃ, Paley: μάχην, ὅπερ αὐτόθι ὑπὸ πλειόνων γέγραπται.

450. *πεῖθ' Ἄρεος,-ηος,-εως*] πεῖθεν Ἄρεος, τῇ αὐτῇ συνιζήσει, ἠ. Ὀρφ. Ἀργοναυτ. 1078. Μανέθ. 2,210. 304. 4,366. 6,163. Ἐν τῷ Harleianus φέρεται «πείθετ' Ἄρης μεγαλήτορι θυμῷ».

451. *μέγα ἰάχων*] μεγάλ', μέγ' ἰάχων. Schmidt: μέγ' ἰάκχων.

*τεύχεα*] Hecker ἐν τῷ Φιλολόγῳ τ. δ', σ. 487: τ' ἔγχεα.

452. *καρπαλίμως*] καρπάλιμος.

454. *σπερχνὸν*] σπερχνῶς.

*παιδὸς ἑοῦ*] ἑοῦ παιδός.

457. *Ἄρη'*] Ἄρη, Ἄρην.

*εἶλεν*] ἔσχεν.

*ἐρυσσάμενος*] Τρικλίνιος: ὀρεξάμενος.

458. *Ἡρακλέα κρατερόφρονα*] Ἡρακλῆϊ,-εῖ κρατερόφρονι. Guiet: Ἡρακλῆ, Nauck αὐτ.: Ἡρακλέην.

460. *ὕπο*] Guiet: ἀπό.

461. *σαρκὸς*] σάκος, ὥσπερ 364.

*ἄραξε,-εν*] ἤραξε, ἔραξε, ἔραζε.

462. *κάββαλε*] κάμβαλε, ἴδε Θ. 189.

468. *σκυλεύσαντες*, καθάπερ Θεόκριτ. 24,5: ἀπεσκύλευσε] ἐσκύλευσαν καὶ Ambrosianus: συλήσαντες. Wolf: συλεύσαντες, Ὁμηρικῶς.

470. *ὠκυπόδεσσιν ἀτὰρ*] ὠκυπόδεσσ' αὐτὰρ.

471. *Ὄλυμπόν (Οὔλ.) τε*] Ὄλυμπόνδε. Grævius: Οὔλυμπόνδε.

473. *πόλιος*] πόλιας (-ηας).

474. *Ἰαωλκὸν* (Ἰαολκόν)] Ἰάολμον, Ἰαμελκόν, Ἰαβηλόν.

475. *πολλὸς*] πουλύς.

477. Περὶ τοῦ *ἄναυρος* διχογνωμονοῦσι, πότερον κύριόν ἐστιν ὄνομα ἢ οὐχί. Συνεθέμεθα τῷ σχολιάσαντι τὰ Ἀπολλωνίου Ἀργοναυτικά, ὅστις λέγει· «ἄναυρον λέγει τὸν χείμαρρον ποταμὸν ἐπειδὴ οἱ ἐξ ὑετῶν συνιστάμενοι οὕτω καλοῦνται». Ὅστις ἄρα χειμάρρους ἰδίου ἐστερεῖτο ὀνόματος, ὠνομάζετο «ἄναυρος».

479. *ἤνωξ'*] ἤνωγ', ὁ Διάκονος: ἦνιξ' («ἠνίξατο»).

480. *Πυθοῖδε*] Πυθῶδε. Göttling: Πυθώδε, πρβλ. Ἀπολλώνιον π. ἀντωνυμ. σ. 112 καὶ Σουΐδαν λ. Πυθώδ' ἰέναι.



# ΑΠΟΣΠΑΣΜΑΤΑ

# ΑΠΟΣΠΑΣΜΑΤΑ

---

Τὰ ποιήματα, ὅσα ἤδη ἡρμηνεύκαμεν πάλαι ποτέ, πολλοστὸν μέρος ἀπετέλουν ὧν ὠνόμαζον οἱ Ἕλληνες Ἡσιόδεια. Ἐκ τῶν καταλόγων τοῦ Σουίδα (σελ. 26) καὶ Παυσανίου (9,31,5), ἔτι δὲ ἐκ τῶν εἰς αὐτὰ παραπομπῶν τῶν συγγραφέων σύνοψίν πως λαμβάνομεν ποικιλωτάτου καὶ ἀμφιλαφοῦς κύκλου ποιήσεων, αἵτινες ἀπόνως διαχωρίζονται κατὰ τὰ περιεχόμενα εἰς συστάσεις τινάς· πρῶτον μὲν οὖν μνημονευτέον τὰς πολυθρυλήτους γενεαλογίας, **Γυναικῶν ἡρωϊνῶν κατάλογον** ἐν βιβλίοις ε′ (οὕτω Σουίδας) καὶ **Μεγάλας Ἠοίας**, ἔπειτα μικρότερα ποιημάτια ἐπικὰ «**Κήϋκος γάμον**» καὶ «**Θησέως εἰς Ἅδου κατάβασιν**». Ἡ τρίβιβλος **Μελαμποδία** μετάγει ἡμᾶς πρὸς τὰ **Μαντικὰ ἔπη**, **Ἐξηγήσεις ἐπὶ τέρασιν**, **Περὶ τῶν Ἰδαίων Δακτύλων**. Τὴν **Ὀρνιθομαντείαν**, ὡς εἴρηται, προσῆψαν τοῖς Ἔργοις καὶ Ἡμέραις· πρὸς ἃ δῆλον ὅτι ὡσαύτως σχέσιν εἶχον **τὰ Μεγάλα Ἔργα** καὶ **ἡ Ἀστρονομία**, εἴπερ αὕτη ἐκείνων κεχωρισμένως ἐφέρετο. Τῶν διδακτικῶν ἦσαν καὶ αἱ **Χίρωνος ὑποθῆκαι**. Τέλος δὲ Σουίδας μόνος πάντων ἀναφέρει «ἐπικήδειον (ἤτοι ἐλεγείαν) εἰς Βάτραχόν τινα ἐρώμενον αὐτοῦ».

Πρὸς τούτοις δύο ποιήματα ἦσαν ὡς ἀληθῶς ἀμφίλογα· ὁ γὰρ **Αἰγίμιος** ὑπὸ τῶν μὲν ἐλέγετο Ἡσιόδου, τοῖς δὲ ἐδόκει Κέρκοπος τοῦ Μιλησίου ἔργον, καὶ τοὺς **Κεραμεῖς** τινες Ἡσιόδῳ προσένειμαν (Ἰούλ. Πολυδεύκης, Ὀνομαστ. 10,85), σῴζονται δὲ ἐν τῇ τῶν Ὁμηρικῶν ἐπιγραμμάτων συλλογῇ. Ἀμφότερα ταῦτα παραλείπομεν, ὡς καὶ τὰς ἐσφαλμένας ἢ κιβδήλους παραπομπάς, περὶ ὧν ἐν ἰδιαιτέρᾳ διατριβῇ ἐροῦμεν.

Τὰ ποιήματα ἐκεῖνα συνηνώθησαν ὑπό τε τῶν βιβλιοπωλῶν καὶ βιβλιοφυλάκων εἰς σῶμα διῃρημένον εἰς ις′ βιβλία (σ. 8, στ. 80), ὧν τινων τηλαυγὲς πρόσωπον ἦν ἡ Θεογονία, ἀκολουθουμένη, ὡς οἱ τελευταῖοι στίχοι ἀποδεικνύουσι καὶ Πρόκλος ἐν τῷ τῶν σχολίων προλόγῳ διαβεβαιοῖ, ὑπὸ τοῦ Γυναικῶν καταλόγου. Ὅθεν Ἀπολλώνιος καὶ Ἡρωδιανὸς οἱ γραμματικοὶ Ἡσίοδον ἀναφέρουσι κατὰ τὸν ἑκάστου τινὸς βιβλίου ἀριθμόν· ἃς

παραπομπὰς ἐνταῦθα παρατίθεμεν ὡς ἐν τῷ ἐπιτηδειοτάτῳ τόπῳ.

1. (74) (1) Ἡρωδιανὸς ἐν τῷ περὶ μονήρους λέξεως σ. 18,24 «Τὸ δὲ *φανὴ* παρ' Ἡσιόδῳ ἐν δευτέρῳ εἰρημένον· «οἳ πρόσθε φανὴν ἔντοσθεν ἔκευθον» ὀξύνεται».

2. (75) Ὁ αὐτὸς αὐτ. σ. 42,4 «*Νοῦθος* [κύριον] ψόφος. Ἡσίοδος ἐν τρίτῳ· «νοῦθος δὲ ποδῶν ὕπ' ἐν οὔδει ὀρώρει» (2).

3. (76) Ἀπολλώνιος ὁ Δύσκολος π. ἀντωνυμίας σ. 385 a, ἔκδ. Bekker, 125 a, ἔκδ. Schneider· «Ὑπὸ γὰρ Ἡσιόδου, ἐν ἀρχῇ τεθεῖσα, (ἡ *σφὶν*) εὐλόγως ὠρθοτονήθη ἐν τρίτῳ· «σφὶν δ' αὐτοῖς μέγα πῆμα». (Ἐν τοῖς τοῦ Κραμήρου ἐξ Ὀξωνίας Ἀνεκδότοις τ. Α', σ. 388,20 κέ. ἀναγινώσκεται «σφίν τ' αὐ. μ. π.»).

Ἀναλόγως ὁ Χαιρωνεὺς φιλόσοφος Συμπόσ. 8,8,4 τῇ φράσει κέχρηται «ὡς ὁ τὸν Κήϋκος γάμον εἰς τὰ Ἡσιόδου παρεμβαλὼν εἴρηκεν».

Ἔνθεν μὲν τὸ ὀγκῶδες πλῆθος τῶν Ἡσιοδείων ποιημάτων, ἔνθεν δὲ ἡ τῶν Ἀλεξανδρέων κατάκρισις ἐνωρὶς τὰ «πραττόμενα» τοῦ Ἡσιόδου περιώρισαν εἰς τὰ δύο ποιήματα, ἅπερ ἀνεκηρύξαμεν γνήσια μνήματα τῆς Ἀσκραϊκῆς ποιήσεως· ἡ δὲ μικρὰ Ἀσπὶς παράρτημά τι ἦν, παριστάνον τὸ τρίτον γένος τῶν Ἡσιοδείων, ὅπερ ὑπό τε τῶν ἐπιγραμματοποιῶν καὶ ῥητόρων διεθρυλεῖτο (Ἀνθολ. 9,64. Λουκιαν. Διάλογ. Ἡσιοδ. κ. 1, Μάξιμος ὁ Τύριος Διατριβ. 32,34), ἤτοι τὸ ἡρωογονικόν.

Εἰς τοῦτο ἀφορῶσιν ἅπασαι σχεδὸν αἱ εἰς τὰ νόθα Ἡσιόδεια παραπομπαί· δυστυχῶς δὲ οὐκ ἀρκοῦσι πρὸς τὸ ἐντελῶς διασαφῆσαι, πῶς ἔχει ὁ **Γυναικῶν κατάλογος** ἢ ἁπλῶς **Κατάλογος** πρὸς τὰς **Ἠοίας,** αὗται δὲ πρὸς τὰς **Μεγάλας Ἠοίας.** Σουίδας δῆλα δὴ τὸν «Γυναικῶν ἡρωϊνῶν κατάλογον» λέγει πέντε βιβλίων καὶ οἱ παλαιοὶ ἀναφέρουσι τὸ τέταρτον τοὐλάχιστον ἔτι βιβλίον· ἐξ ἐναντίας δὲ ἐν τῇ τῆς Ἀσπίδος ὑποθέσει ἀνέγνωμεν, ὅτι ἡ τοῦ ποιηματίου ἀρχὴ ηὕρητο ἐν τῷ δ' καταλόγῳ, ἡ δὲ Ἀσπὶς ἄρχεται ἀπὸ τοῦ *ἢ οἵη*, ὅθεν τὸ τῶν Ἠοιῶν ὄνομα ἐγένετο. Δεύτερον δὲ τὸ παλαιὸν λεξικόν, ἐξ οὗ αἱ Ἡσυχίου καὶ τοῦ Γουδιανοῦ Ἐτυμολογικοῦ γλῶσσαι (σ. 246,23) ἐπήγαζον, *Ἠοῖαι* ἐξηγεῖται *Κατάλογος Ἡσιόδου*, ὥσπερ καὶ Θεόγνωστος (ἐν τοῖς Κραμήρου Ἀνεκδότοις τ. Β', σ. 18,26) παρα-

(1) Παρεγκλείομεν τοὺς ἀριθμοὺς τοὺς ἐν τῇ προεκδόσει τοῦ Rzach, ἐπειδὴ μάλιστα οὗτος ἐν τῷ τέλει σημειοῦται τὰς πρότερον καταριθμήσεις τῶν ἀποσπασμάτων.

(2) «Ἐν οὔδει» ἐν τῷ ἀρχετύπῳ ὑπερεγέγραπτο τοῦ *δοῦπος*, ὅτι ἐξ Ὁμήρου (Ὀδ. π 10: ποδῶν δ' ὕπο δοῦπον ἀκούω) εἰσερρύη, ὕστερον δὲ ἐκεῖνο εἰσετέθη εἰς τὸν ἀνωτέρω στίχον ὄπισθεν τοῦ ψόφος. Göttling: νούθου δ. π. ὑ. δ. ὀ., Lehrs: ψόφος ἣν οἶδεν Ἡ. ἐ. τ. νοῦθος δ. π. ὑπόδουπος ὀ.

δίδωσιν· Οἴας (γρ. Οἴας) ἀρχὴ καταλόγου. Τὰς Μεγάλας Ἠοίας ὁ εἰς Ἀπολλώνιον Ῥόδιον σχολιαστὴς 2,181 ἀντιτίθησι τῷ γ' καταλόγῳ καὶ 4,57 τῷ Ἡσιόδῳ ἁπλῶς. Ὁμοίως δὲ αἱ Μεγάλαι Ἠοῖαι (Παυσαν. 6, 21, 10) περὶ τῶν Ἱπποδαμείας μνηστήρων οὐ συνῇδον «Ἡσιόδῳ» (Σχόλ. Πινδάρ. Ὀλυμπ. 1, 127) καὶ περὶ τῆς Ἀσκληπιοῦ μητρὸς οἱ «Ἡσίοδοι» ἀντικείμενα προφέρουσιν, ὃ μὲν ὑπερασπιζόμενος Ἀρσινόην, ὃ δὲ Κορωνίδα. Ταῦτα λοιπὸν ἀνασκοπουμένοις ἡμῖν καὶ τὸ ὅτι τὸ ἐπίθετον *Μεγάλαι* ὑποδηλοῖ ἐναντίωσιν πρὸς μικρὰς ἢ μετρίας Ἠοίας, τόδε νῦν γε ἔδοξε πιθανώτατον· Τὸ αὐτὸ ποίημα τοτὲ μὲν ψυχρῶς «Κατάλογος Γυναικῶν», ἐν δὲ τῇ συνηθείᾳ «Ἠοῖαι» ἐκαλεῖτο· αἱ δὲ Μεγάλαι Ἠοῖαι καθάπερ τὰ Μεγάλα Ἔργα, κεχωρισμένως ἐφέροντο, ὀνομαζόμεναι ἀπὸ τῆς μείζονος ἐκτάσεως τῶν ἠοιῶν, ἑκάστου βιβλίου, οἶμαι, ἀντὶ παντὸς κεφαλαίου ἀρχὴν λαμβάνοντος ἀπὸ τοῦ στερεοτύπου *ἢ οἵη*. Τοιοῦτό τι αἰνίττεται Ἑρμησιάναξ ἐν τῇ ὑπ' Ἀθηναίου σωθείσῃ ἐλεγείᾳ (13, 597 d), ὅπου, παίζων, Ἡσίοδον εἰσάγει ἐρώμενον τῆς Ἀσκραϊκῆς Ἠοίης, «πάσας δὲ λόγων ἀνεγράψατο βίβλους, ὕμνων ἐκ πρώτης παιδὸς (Ἠοίης) ἀνερχόμενος». Ἀλλὰ τοῦτο τὸ ζήτημα ἐν μέσῳ ἀφέντες, εἴπωμεν περὶ τοῦ ἀλλοκότου σχήματος, ὃ ἀφορμὴν ἔδωκε τοῦ ὀνόματος. Οἱ ὑμνογράφοι, καίπερ ἀδύνατοι ὄντες ἐξαντλῆσαι τὸν τῶν περὶ θεὸν μύθων στέφανον ὅλον, διὰ βραχέων ᾐνίττοντο τοὺς λοιποὺς οἷον Ὕμν. Ὁμηρ. 2, 29 κέ. «Πῶς τ' ἄρ σ' ὑμνήσω πάντως εὔυμνον ἐόντα, ἠέ σ' ἐνὶ μνηστῆρσιν καὶ φιλότητι, **ὅππως** μνωόμενος ἔκιες Ἀζανίδα κούρην.... **ἢ ὡς** Φόρβαντα Τριόπεω γένος...... **ἢ ὡς** τὸ πρῶτον χρηστήριον ἀνθρώποισι ζητεύων κτλ.». Ἐκ τῶν ὕμνων ὁ τῆς ἀπαριθμήσεως τρόπος οὗτος μετέβη εἰς τὰ ἄλλα γένη, φέρ' εἰπεῖν, εἰς τοὺς Φανοκλέους Ἔρωτας (Στοβ. Ἀνθολ. 64, 14) καὶ τοὺς τοῦ λοιδόρου Τίμωνος σίλλους. Οὕτως ἄρα ὁ ποιητὴς ἤρξατο ᾄδειν περὶ τοῦ τῶν γυναικῶν φύλου ὅσαι ἀθανάτοισι παρὰ θεοῖσιν εὐνηθεῖσαι θνηταὶ γείναντο θεοῖς ἐπιείκελα τέκνα, **οἵη** ἦν..., ἐξηκολούθησε δὲ ἐν τοῖς ἑξῆς *ἢ οἵη*.... *ἢ οἵη*.... κτλ.

Ἀπολλώνιος ὁ Ῥόδιος καὶ οἱ ἀπ' Ἀριστάρχου καὶ Κράτης ὁ Μαλλώτης τὸν τῶν Γυναικῶν Κατάλογον μετεχειρίσαντο ὡς γνήσιον πόνημα τοῦ Ἀσκραίου. Ἀλλ' ὅμως, εἰ καὶ οὐ πολλὰ ὑπάρχουσι χωρία παράλληλα, ἕν τι μέγιστον ἐναντιοῦται τοῦ καταλόγου τοῖς ἐν τῇ Θεογονίᾳ μύθοις, ὅτι δῆλα δὴ οἱ Κύκλωπες ἀποκτείνονται ὑπ' Ἀπόλλωνος, ἀθάνατοι ὄντες κατὰ τὸν Ἡσίοδον.

Κατατάσσομεν τὰ γενεαλογικὰ ἀποσπάσματα τοῦ Ἡσιόδου οὕτως, ὥστε τὰ μὲν ἐκ τοῦ Καταλόγου καὶ τῶν Ἠοιῶν ἀναφερό-

μενα ἅμα τοῖς σχέσιν ἔχουσι πρὸς αὐτὰ προτάσσομεν, τὰ δὲ εἰς τὰς Μεγάλας Ἠοίας ἀνήκοντα συνάπτομεν· τὴν δὲ τρίτην θέσιν κατεχέτωσαν, ὅσα οὐ βεβαίως ἀναφέρομεν πρὸς τὸ ἕτερον ποίημα. Τὴν τῶν ἐξ Ἡσιόδου σημειώσεων διάθεσιν χορηγεῖ τὸ μὲν ἡ ἐπιγραφή, τὸ δὲ οἱ τῶν ῥητόρων ὑπαινιγμοί (ἴδε ἀνωτέρω, πρὸς τούτοις δὲ Μάξιμ. Τύρ. 24, 9. Εὐναπ. σοφιστ. σ. 41. Γρηγορ. Ναζιανζ. Λόγ. 43, 3), καίτοι οὐ κατὰ λέξιν ἐκδέχεσθαι χρὴ τοὺς τοιούτους· οἱ γὰρ ῥητορικοὶ οὐκ εἰσὶ μάρτυρες πιστοί. Οἱ εὐγενέστατοι τῶν Ἑλλήνων τὸ γένος ἀνῆγον πρὸς τοὺς θεούς, διὸ τὰς προμήτορας, αἵτινες τὸν ἀθανάτου ἔρωτα ἐκίνησαν, περὶ πλείονος ἐποιοῦντο τῶν δὴ λεγομένων προπατόρων. Ὥστε ὁ ποιητὴς εὐστόχως ὡρμήθη ἀπὸ τῶν θεοφιλήτων γυναικῶν. Ἀκολούθως καὶ ἡμεῖς σκεπτόμεθα τὸ ἐπανορθῶσαι τὰς *ἢ-οἴας*, ἀπεχόμενοι ἐνταῦθα ἀρχαιολογικῶν ἐρευνῶν οἵας τινὰς ἄλλοι τε καὶ Robert ἐδημοσίευσαν.

## α′ Πρόνοια καὶ Προμηθεύς.

4 (21. 22). «Ὅτι Προμηθέως καὶ Προνοίης (1) υἱὸς Δευκαλίων, Ἡσίοδος ἐν πρώτῳ τῶν καταλόγων φησὶ καὶ ὅτι Προμηθέως (2) καὶ Πύρρας Ἕλλην» (Σχόλ. Ἀπολλων. 3, 1086). Ἡ τοῦ ὀνόματος ἀλληγορία οὐ χρῄζει ἐξηγήσεως· ἀναλόγως Προμηθέως ἔγγονος καλεῖται *Πρόνοος* (Σχόλ. Θουκ. 1,3), τοὐναντίον δὲ Ἐπιμηθέως τοῦ βραδυνόου θυγάτηρ *Πρόφασις* (Πινδάρ. Πυθ. 5,28).

5 (28). «Οἱ ἀπὸ τοῦ Δευκαλίωνος τὸ γένος ἔχοντες ἐβασίλευον Θεσσαλίας, ὥς φησιν Ἑκαταῖος καὶ Ἡσίοδος» (Σχόλ. Ἀπολλων. 4,266).

6 (25). «Μακεδονία ἡ χώρα ὠνομάσθη ἀπὸ Μακεδόνος τοῦ Διὸς καὶ Θυίας τοῦ Δευκαλίωνος, ὥς φησιν Ἡσίοδος ὁ ποιητής·

Ἡ δ' ὑποκυσαμένη Διὶ γείνατο τερπικεραύνῳ

(1) Ἐν τῷ κώδικι ηὕρηται *Πανδώρας*, ὃ εὔδηλον ὅτι διέφθαρται· διότι πολλοὶ Δευκαλίωνα ἔλεγον ταύτης καὶ Ἐπιμηθέως· ἐν τῷ εἰς Ὀδ. κ 2 σχολίῳ φέρεται· «Δευκαλίων ..... Προμηθέως μὲν υἱός, μητρὸς δέ, ὡς οἱ πλεῖστοι λέγουσι, Κλυμένης, ὡς δὲ Ἡσίοδος, *Πρυνείης* (ἤ, *Πρυνόης*). Dindorf: Προνόης, Welcker, äschyleische Trilogie σ. 12: Πρυλείης, Sturz: Πανδώρας, Lasaulx, Studien σ. 321 ὑποσ. 25: Πυρηνίης.

(2) Marckscheffel ὁ ἐκδοὺς τῷ 1840 «Hesiodi Eumeli Cinæthonis Asii et carminis Naupactii fragmenta», ὃν δηλώσομεν ἐν τοῖς ἑξῆς τῷ ἀρχικῷ γράμματι, ὥσπερ τοὺς ἄλλους, Göttling, Kinkel (Epicorum Græcorum Fragmenta Λειψ. 1877), Rzach — ὁ Μ. οὖν γράφει *Δευκαλίωνος*, ὡς ὁ κοινὸς μῦθος ἀπαιτεῖ, οὐ μνησθεὶς ὧν εἰς Πινδάρ. Ὀλ. 9,68 παλαιός τις ἐσημειώσατο «ἐκ μὲν Προμηθέως καὶ Κλυμένης Ἕλλην, ἀφ' οὗ καὶ Ἕλληνες, καὶ Δευκαλίων».

υἷε δύω, Μάγνητα Μακεδόνα (1) θ' ἱπποχάρμην·
οἳ περὶ Πιερίην καὶ Ὄλυμπον δώματ' ἔναιον».

(Κωνσταντῖνος ὁ Πορφυρογέννητος Περὶ θεμάτων 2, 2, ὅσπερ ταῦτα ηὗρεν ἐν Στεφάνου τοῦ Βυζαντίου ἀντιγράφῳ πληρεστέρῳ ὧν ἔχομεν· καταλήγουσι γὰρ εἰς τὴν λέξιν *Δευκαλίωνος*). Λόγος γίνεται περὶ τῶν ἐπωνύμων ἡρώων τῶν Μακεδόνων καὶ Μαγνήτων, οἳ δὴ τὰ ἀμφοτέρωθεν τοῦ Ὀλύμπου μέρη κατῴκουν. Τίς ἀγνοεῖ τὴν περίφημον τῶν ἀρχαίων Μακεδόνων ἱπποτροφίαν; Ταύτην ὑποδηλοῖ τὸ τοῦ ἥρωος ἐπίθετον.

7 (26). «Μάγνης δ' αὖ Δίκτυν τε καὶ ἀντίθεον Πολυδεύκεα» (2) (Ἡρῳδιανὸς Περὶ σολοικισμοῦ ἐν τοῖς τοῦ Boissonade Ἀνεκδότοις Γ', σ. 259 καὶ Lexicon Vindobonense σ. 310, ἔκδ. Nauck, πρβλ. ἀνώνυμον Περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ σ. 196, ἔκδ. Valckenær· πραγματεύεται περὶ διαιρέσεως «ὡς ὅταν Ἡσίοδος λέγῃ» .... οὐ γὰρ διαιρεῖται ὧν ἡ αἰτιατικὴ εἰς ν λήγει, ἀλλ' εἰς η, οἷον Δημοσθένεα Διογένεα, Δημοσθένην Διογένην). Οἱ ἀδελφοὶ οἰκίζουσι τὴν Σέριφον καὶ ὁ μὲν Δίκτυς ἐστὶν ὁ σώσας Δανάην, ὁ δὲ Πολυδεύκης, ὃν οἱ πλεῖστοι κατ' ἀντίφρασιν Πολυδέκτην ὀνομάζουσιν (ὅθεν Nauck προτείνει *Πολυδέκτεα*· ἔπιθι ὅμως Σχόλ. Ἰλ. Ξ 319 τά τε βραχέα καὶ τὰ ἐν τῷ κώδικι Venetus B, ἔτι δὲ Ἀπολλόδωρ. 1,9,9 γρ., Ἐρατοσθέν. Καταστερισμ. 22, Παλαίφατ. 323 γρ.) ἠναντιώθη τῇ ἡρωίνῃ καὶ τῷ παιδὶ αὐτῆς.

8 (24). «Λατίνους μὲν τοὺς ἐπιχωριάζοντας (ἐν τῇ Ἰταλίᾳ), Γραικοὺς δὲ τοὺς Ἑλληνίζοντας ἐκάλουν ἀπὸ Λατίνου τοῦ ἄρτι ἡμῖν ῥηθέντος καὶ Γραικοῦ, ὥς φησιν Ἡσίοδος ἐν Καταλόγοις·

Κούρη δ' ἐν μεγάροισιν ἀγαυοῦ Δευκαλίωνος
Πανδώρη Διὶ πατρί, θεῶν σημάντορι πάντων,
μιχθεῖσ' ἐν φιλότητι τέκε Γραικὸν μενεχάρμην»

(Λαυρέντιος ὁ Λυδὸς π. μηνῶν Α', 13, σ. 7, ἔκδ. Bekker· ἀναγνώστης προέθηκε τῶν στίχων ἐκ τῆς Θεογονίας *Ἄγριον ἠδὲ Λατῖνον*, διὸ καὶ ὕστερον τῷ *Γραικοῦ* προσετέθη *τῶν ἀδελ-*

(1) Lehmann, De Hesiodi carminibus perditis, Βερολ. 1828 σ. 28 γράφει *Μακηδόνα*· ἡ γραφὴ τῷ ὄντι ἀπεκάλυψε παρὰ τοῖς Ἀλεξανδρεῦσι καὶ τοῖς ὕστερον αὐτῶν τὴν μετρικὴν ἀνάγκην (Καλλιμάχ. Ὕμν. 4,167, Ἑρμησιάν. Ἀθην. 13,598 D, Διονύσ. Περιηγ. 254. 427, Ἀνθολογ. 7,240,1. 246,3, Ἐπιγράμμ. Παυσαν. 1,13,2. 7,8,5, Ὀππιαν. Κυνηγ. 1,229, Νόνν. Διονυσ. 2,400, τέλος δὲ ἐν τῷ μετρικῷ Πινδάρου βίῳ στ. 14). Ὡσαύτως ὁ ἐπιγραμματοποιὸς ὀνομάζεται Μακηδόνιος. O. Müller, Dorier A', σ. 4: Μακεδνόν.

(2) Ὁ Ἡρῳδιανοῦ κῶδιξ ἔχει· Μ. δὲ κατ' αὐτὸ κ. ἀ. Π.

*φῶν*) (1). Ἡ Πανδώρα αὕτη ἡρωῒς τῆς πρὸς νότον Θεσσαλίας, ἣ ἀπὸ τῆς εὐφορίας ἐπωνομάσθη Πανδώρα (Στράβ. Θ',σ.443). Καὶ ὁ Γραικὸς ἀνήκει εἰς τὴν Θεσσαλίαν, λέγεται γὰρ τοῦ Θεσσαλοῦ ἢ παῖς (Στέφ. Βυζάντ.) ἢ πατήρ (Εὐσεβ. Χρονικ. σ. 98). Βεβαίως ἥρως ἦν τῶν Γραικῶν, φύλου Ἑλληνικοῦ, ἀφ' οὗ οἱ Ῥωμαῖοι τοὺς Ἕλληνας ἅπαντας ἐκάλουν *Γραικούς*. Ζήτει εἰς τὰς τῶν νεωτέρων ἱστορικῶν διατριβάς (Busolt, griechische Geschichte Α', σ. 44, καὶ εἰδικῶς Köchly, Satura Sauppio oblata 1879, σ.79 κέ., Niese ἐν τῷ Ἑρμῇ τ. ιϐ', σ. 409 κέ.).

9 (31). Ἡ τρίτη Δευκαλίωνος θυγάτηρ, Πρωτογένεια τὸ ὄνομα, ὡσαύτως τῷ τῶν θεῶν βασιλεῖ ἔτεκεν υἱόν, Ἀέθλιον, βασιλέα τῆς Ἤλιδος, ὃς ἀντιπροσωπεῖ πως τὰ Ὀλύμπια. «Τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος, Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης, παρὰ Διὸς εἰληφότα τὸ δῶρον ἵν αὐτῷ ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι» (Σχόλ. Ἀπολλων. 4,57). Ἀπολλώνιος ὁ Δύσκολος π. ἀντωνυμίας σ. 366 Α (106 Α) τὴν δοτικὴν ἵν (σFίν=σφὶν) ἀντὶ τοῦ «οἱ» ηὗρε παρὰ Ἡσιόδῳ· «ἵν δ' αὐτῷ θανάτου ταμίης» καὶ Ἡσύχιος ἐν τῷ Λεξικῷ ἀναφέρει «ἵν αὐτῷ] αὐτὸς αὐτῷ». Οἱ λόγιοι διαφωνοῦσι περὶ τοῦ δευτέρου ἡμιστιχίου· ὁ μὲν οὖν ποιήσας τὴν συλλογήν, ἣ ἐπιγέγραπται Εὐδοκίας ἰωνιά, ἔγραψεν· «ὅτε μέλλοι ὀλέσθαι», ὁ δὲ Schenkl παρὰ R.: ὅτ' ὀφέλλοι ὀλέσθαι, ὁ δὲ Peppmüller (Rhein. Mus. τ. μ', σ. 626): ὅθ' ἕλοιτ' ἀπολέσθαι.

## β' Πύρρα καὶ Προμηθεύς.

Ζήτει εἰς 4.

10 (27). «Ἕλληνος δ' ἐγένοντο φιλοπτολέμου βασιλῆος
Δῶρός τε Ξοῦθός τε καὶ Αἴολος ἱπποχάρμης».

(Οἱ στίχοι πολλάκις ἀναφέρονται, οἷον ὑπὸ Πλουτάρχου Συμπόσ. 9,15,1 διὰ τὴν τῶν ὀνομάτων εὐφωνίαν, ὑπὸ τοῦ τὸν Λυκόφρονα σχολιάσαντος εἰς στ. 284, ὃν ἀντιγράφει ὁ Τζέτζης, ἐχρήσατο δὲ τοῖς αὐτοῖς ἐν τῇ Ἰλιάδος Ἐξηγήσει σ. 63,13 καὶ 134,22, ἔτι δὲ κεῖνται ἐν τοῖς εἰς Ἰαμβλίχου βίον Πυθαγόρου σχολίοις 242, καθάπερ ὁ Κόβητος διώρθωσεν. Τὸν δὲ δεύτερον μό-

(1) Mützell σ. 508 τὸ ἔμβλημα λείψανον τετάρτου ἑξαμέτρου ἡγεῖται, ὃν ἀναπληροῖ οὕτως· «ἀμύμονά τε κρατερόν τε», ἐπειδὴ Friarte ἐν τῷ καταλόγῳ τῶν ἐν Μαδρίτῃ Ἑλληνικῶν χειρογράφων Α', σ. 26, ἀρ. 8 σημειοῦται, ὅτι ὁ Λάσκαρις ἀνέγραψε **τέσσαρας** στίχους, ὧν ἀρχή· «κούρη δ' ἐν μεγάροισιν ἀγαυοῦ Δευκαλίωνος». Göttling τῷ Λυδῷ οὐδὲν ἀπονέμει πλὴν «Γραικόν τ' ἠδὲ Λατῖνον»· τὰ δὲ λοιπὰ προσγεγράφθαι φησὶν ὑπ' ἀναγνώστου σοφοῦ.

νον εὑρήσεις παρὰ τῷ Θουκυδίδου ἐξηγητῇ 1,3 καὶ ταὐτοῦ τὸ πρῶτον ἡμιστίχιον παρ' Ἡρωδιανῷ π. μονήρους λέξεως σ. 42,8. Πρὸς τούτοις Φιλάστριος μὲν ἐν τῷ Περὶ αἱρέσεων κ. 111 αἰνίττεται τὸ ὅτι Ἡσιοδος μνημονεύει Ἕλληνα βασιλέα, ὁ δὲ εἰς τὴν Ὀδύσσειαν κ 2 σχολιαστής, ὅτι Αἴολον τὸν Ἕλληνος). Οἱ στίχοι οὐ χρῄζουσιν ἐξηγήσεως, ἀλλὰ διαφόρως παραδέδονται·

1. *δ' ἐγένοντο*] δὲ γόνος Τζέτζ. Λυκ. ἐν τῷ Monac. ἀρ. 241. *φιλοπτολέμου βασιλῆος* Σχόλ. Λυκόφρ.] φιλοπτόλεμοι-ες Σχόλ. Ἰαμβλίχ., Θεμιστοπόλου βασιλῆος Τζέτζ. Λυκ., Ἐξηγ. 134,63 γρ., Θεμιστοπόλοι-ες Πλούτ., Τζέτζ. Ἐξηγ. 63 γρ., ἴδε τὸ ἑπόμενον ἀπόσπασμα.

11 (27). Τὰ περὶ Δώρου καὶ Ξούθου λείπουσι· μεθ' οὓς ὁ ποιητὴς ᾖσε περὶ τῶν Αἰόλου παίδων·

«Αἰολίδαι δ' ἐγένοντο θεμιστοπόλοι βασιλῆες,
Κρηθεὺς ἠδ' Ἀθάμας καὶ Σίσυφος αἰολομήτης,
Σαλμωνεύς τ' ἄδικος καὶ ὑπέρθυμος Περιήρης ....»

(Σχόλ. Πινδάρ. Πυθ. 4,253, ἐξ οὗ τοὺς στίχους ἀντιγράψας ὁ Τζέτζης εἰς Λυκ. 284 αὐθαιρέτως συνάπτει τῷ 10 ἀπ.· ἀντιγραφεῖς αὐτοῦ διέφθειραν τὴν παράδοσιν, οἷον 1. Αἰολίδου, θεμιστοπόλου βασιλῆος, 3. πέρι κῆρι, καὶ τοῦτον ἔθεσαν ὄπισθεν τοῦ 10,1. Ἔσωσαν δὲ τὸ τ' στ. 3, ὅπερ ἐν τοῖς σχολίοις ἐξέπεσεν). Ἡ ἀρχὴ παρέχει παράδειγμα τοῦ πῶς Ἡσίοδος παρεκκλίνει τὴν μονοτονίαν· οὐ γὰρ εἶπεν· «Αἰόλου δ' ἐγένοντο (ἐξεγένοντο)». Οἱ ἐν τοῖς ἡρωϊκοῖς χρόνοις βασιλεῖς κατ' εἰρήνην *θεμιστοπόλοι* (Ὕμν. Ὁμηρ. 5,103: -ων-ήων. 474: -οις-εῦσι, Ἀπολλών. Ἀργ. 4,347: -οι -ες) μάλιστα ἦσαν καὶ ἐδίκαζον. Διὰ τί Σίσυφος μὲν αἰολομήτης ἤ, ὡς Nauck (Mélanges δ', σ. 387), αἰολόμητις (ζήτει εἰς Θ. 511) προσαγορεύεται, οὐδὲ τὰ παιδία ἀγνοοῦσι, διὰ τί δὲ Σαλμωνεὺς *ἄδικος*, οὐδεὶς ἀπορεῖ μεμνημένος τῶν περὶ τῆς Σαλμωνέως ἀσεβείας μύθων (Ἀπολλόδ. 1,9,7. Διόδωρ. 4,68. 6,9).

12 (106). Ἐκ τῆς γενεαλογίας τούτων οὐδὲν ὑπόλοιπον εἰ μὴ τὰ μάλιστα ἐν Σχολ. Πινδ. Ὀλ. 11(10),83 κεῖται «ἔνιοι δὲ γράφουσι *Σῆρος Ἁλιρροθίου*, οὗ μέμνηται καὶ Ἡσίοδος·

Ἤτοι ὅ μὲν Σῆρον καὶ Ἀλαγονόν, υἱέας ἐσθλοὺς (γείνατο...).
Ἦν δὲ ὁ Σῆρος τοῦ Ἁλιρροθίου τοῦ Περιήρους καὶ Ἀλκυόνης».

Τὸ δεύτερον ὄνομα ἐν τοῖς χειρογράφοις νοσεῖ· ἐν ἑνὶ γὰρ ηὕρηται *Ἀλαζονὸν* παρὰ τὸ ἀλαζών, ἐν δὲ τοῖς λοιποῖς Ἀλάζο-

γον, ὅ ἐγένετο ἐκ τοῦ κεῖσθαι *Ἀλάζονον* ὑπεργεγραμμένου τοῦ γ. Ἐσχημάτισται δῆλα δὴ παρὰ τὴν πλησίον Γερηνίας πόλιν πρότερον μὲν τῶν Μεσσηνίων, ἔπειτα δὲ τῶν Ἐλευθερολακώνων, *Ἀλαγονίαν* (Παυσαν. 3,21,7. 26,11)· Περιήρης γὰρ ἐν τῇ Μεσσηνίᾳ ἐβασίλευεν.

## γ' Τυρὼ ἡ Σαλμωνέως καὶ Ποσειδῶνος,

περὶ ὧν ἀνάγνωθι Ὀδ. λ 235 κέ. Τῷ μὲν θεῷ ἔτεκε Νηλέα καὶ Πελίαν, τῷ δὲ Κρηθεῖ τῷ Αἰόλου Αἴσονα καὶ Ἀμυθάονα. Ὡς πρὸς τοὺς Νηλείδας, Ἡσίοδος Περικλύμενον ἱστορεῖ «μεταβληθέντα εἴς τινα τῶν συνήθων μορφῶν ἐπικαθεσθῆναι τῷ ὀμφαλῷ τοῦ ζυγοῦ τῶν Ἡρακλέους ἵππων, βουλόμενον εἰς μάχην καταστῆναι τῷ ἥρωϊ· τὸν δὲ Ἡρακλέα καιρίως αὐτὸν κατατοξεῦσαι, τῆς Ἀθηνᾶς ὑποδειξάσης· φησὶ δὲ οὕτως (33)·

13. (Νηλεὺς ἐγείνατο τοὺς καὶ τοὺς) «Περικλύμενόν τ' ἀγέρωχον
ὄλβιον, ᾧ πόρε δῶρα Ποσειδάων ἐνοσίχθων
παντοῖ'· ἄλλοτε μὲν γὰρ ἐν ὀρνίθεσσι φάνεσκε
αἰετός, ἄλλοτε δ' αὖτε πελέσκετο, θαῦμα ἰδέσθαι,
μύρμηξ, ἄλλοτε δ' αὖτε μελισσέων ἀγλαὰ φῦλα,
ἄλλοτε δεινὸς ὄφις καὶ ἀμείλιχος· εἶχε δὲ δῶρα
παντοῖ', οὐκ ὀνομαστά, τά μιν καὶ ἔπειτα δόλωσε
βουλῇ Ἀθηναίης».

(Σχόλ. Ἀπολλων. 1,156).

Ὁ εἰς Ἰλ. Β 336 σχολιαστὴς παρατίθησι τάδε· «Ἡρακλῆς γὰρ ἐπιστρατεύσας τῇ Πύλῳ διὰ τὸ μὴ καθαρθῆναι αὐτὸν ὑπὸ Νηλέως τὸν Ἰφίτου φόνον, καὶ διὰ τὴν τῶν Νηλειδῶν δὲ ἀφροσύνην, πολὺς ἦν πορθῶν τὴν πόλιν καί, ἐφ' ὅσον μὲν Περικλύμενος ὁ Νηλέως ἔζη, δυσάλωτος ἦν ἡ πόλις· ἀμφίβιος γὰρ ἐγένετο ἐκεῖνος. Καὶ δὴ γενόμενον αὐτὸν μέλισσαν καὶ στάντα ἐπὶ τοῦ Ἡρακλέους ἅρματος Ἀθηνᾶ εἰκάσασα (ὅτι δηλαδὴ ἡ μέλισσά ἐστι Περικλύμενος) ἐποίησεν ἀναιρεθῆναι. Τότε Νέστωρ ἐν Γερήνοις τρεφόμενος, πορθηθείσης τῆς Πύλου καὶ τῶν ια' ἀδελφῶν αὐτοῦ ἀναιρεθέντων, μόνος περιελείφθη· διὸ καὶ Γερήνιος ὠνομάσθη. Ἱστορεῖ **Ἡσίοδος ἐν καταλόγοις**». Τοιαῦται αἱ παραπομπαί, αἵτινες συχνότερον οὕτως ἔχουσιν· «Ἡ ἱστορία παρὰ....» οὐκ ἐμφαίνουσιν, ὅτι πάντα τὰ προειρημένα ηὗρέ τις ἐν τῷ βιβλίῳ, ἀλλὰ ὅτι ὁ δεῖνα διεσκεύασε τὴν ἱστορίαν. Οὕτω καὶ νῦν ἀγνοοῦμεν πότερον ὁ σχολιαστὴς ἀπεῖδε τὴν Περικλυμένου ἱστορίαν ἢ τὴν Νέστορος, περὶ οὗ, ὀλίγον παρακατιόν-

τες, πάλιν ἐροῦμεν. Οἱ ἐξηγούμενοι Ὀδ. λ 285 λέγουσιν, ὅτι «Ἡσίοδος τὸν Περικλύμενον διηγεῖται δῶρον εἰληφέναι παρὰ Ποσειδῶνος, ὥστε ἀμείβειν ἑαυτὸν εἰς οἵου ἂν ζῴου **ἢ δένδρου** αἱροῖτο εἰκόνα». Παρέθεμεν τὸ σχόλιον αὐτολεξεί, ὅπως δηλώσωμεν διὰ τούτου τοῦ παραδείγματος τὴν ὀλίγην ἀκρίβειαν τῶν ἀναφερόντων.

Στ. 1. Τὸ ὑπόλοιπον τοῦ στίχου ἐπανείληπται ἐξ Ὀδ. λ 286· τὸ ἐπίθετον ὅπως καὶ ἂν ἐτυμολογηθῇ ἐπίτιμόν ἐστιν. Ὁ Heinsius ποιεῖ αὐτὸς ἀφ' αὑτοῦ· «Δώδεκα γὰρ Νηλῆος ἀμύμονος υἱέες ἦμεν, Νέστωρ τε Χρομίος τε Περικλύμενός τ' ἀγέρωχος ὄλβιος» κτλ.

Στ. 2. Τὸ *ὄλβιον* διακριβοῦται τῇ ἀναφορικῇ προτάσει· ἔσφαλται ἄρα τὸ ἐν τῷ Παρισίνῳ κώδικι «ὄλβια» (Rzach: ᾧ πόρεν ὄλβια δῶρα).

Στ. 3. *μὲν γὰρ*] Παρισ.: μέν τε, ὅπερ ἐπίσης καλόν.

Στ. 4. *Πελέσκετο* (ἴδε εἰς Θ. 157)] πολέσκετο Παρισ. (αὖ πωλέσκετο;).

Στ. 5. Ὁ Περικλύμενος κατεγένετο εἰς τὰ μελισσῶν φῦλα εἰς μέλισσαν μεταμορφωθεὶς ὥσπερ ἀετὸς «ἐν ὀρνίθεσσι φάνεσκε». Δεχόμεθα λοιπὸν *φῦλα* ὡς αἰτιατικὴν ἐξηρτημένην ἀπὸ τοῦ ῥήματος· περιττὴ ἄρα ἡ τοῦ Köchly (Opuscula A', σ. 231) εἰκασία, ὅτι ἢ μετὰ τὸ *φῦλα* ἐξέπεσέ τι ἢ διορθωτέον *ἄλλοτε δῦνε*. Τῷ ὄντι τὸ ἐπίρρημα οὐ χρῄζει μορίου οἷον τοῦτο λείπει στ. 6 ἐν τῷ ἀρίστῳ κώδικι. Ὁ Παρισῖνος παραλείπει *δῶρα*, ἔχων ἐν τῇ ᾤᾳ ἀντὶ τούτου προσγεγραμμένον *αὐτός*. Ἀλλὰ ὁ ποιητής, ὡς καὶ Ἡρόδοτος εἴωθεν, ἀπὸ τῆς τοῦ ἐν γένει πράγματος διακριβώσεως ἐπανέρχεται πρὸς ἐκεῖνο διὰ τῆς αὐτῆς φράσεως. Ἐπάγει δὲ στ. 7 τὸ καινὸν *οὐκ ὀνομαστὰ* ἤτοι δυσοιώνιστα (πρβλ. Θ. 148), ὅπερ πάλιν ἀμέσως ἐξηγεῖται ἀναφορικῶς. Ἐν τῷ Παρισίνῳ κεῖται· «τὰ μὲν καὶ ἔπειτα δόλωσαν ἐν βουλῇσιν Ἀθηναίης». Ἀφοῦ *δόλος* ὠνομάζετο τὸ δέλεαρ, τὸ δολῶ συνωνυμεῖ τῷ αἱρέω.

14. 15 (34. 35). «Γερηνία, πόλις Μεσσηνίας, ἔνθα, φασί, Νέστωρ ὁ Πύλιος ἐτράφη ἢ φυγὰς ἤχθη. Ἡσίοδος ἐν πρώτῳ καταλόγων (Παρισῖν.: ἐν καταλόγων)·

Κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς
ἕνδεκα, δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ
ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοισι Γερηνοῖς»·

καὶ αὖθις·

«Νέστωρ οἷος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ»

(Στέφ. Βυζάντ. λ. Γερηνία, ἐκ τῶν παλαιῶν εἰς Ἰλ. Β 336 σχολίων· τὸ ἄρθρον πληρέστερον ὀλίγῳ ηὕρηται παρ' Εὐσταθίῳ αὐτ., ὅθεν τὰς πρὸ τῶν *καὶ αὖθις* λέξεις παρελίπομεν Πρβλ. καὶ Στέφ. Βυζάντ. λ. Τάβαι, πόλις Λυδίας· ὁ πολίτης Ταβηνός <ὡς Γερηνός>· Ἡσίοδος· παρ' ἱπποδάμοισι Γερηνοῖς, Σχόλ. Ὀδ. γ 68: Γερήνιος, κατὰ μὲν Ἡσίοδον ὁ ἐν Γερήνοις ἀνατραφείς).

Στ. 2. Ἡ παρ' Ὁμήρῳ πολλὴ φράσις ἐτυμολογεῖται (πρβλ. Παυσαν. 3, 26, 8, Ἀπολλόδ. 2, 7, 3, 1, Σχόλ. Ἰλ. Β 335. Ε 392. Λ 693. Ἐτυμολ. Μέγ. σ. 227,49), καίτοι τὸ *Γερήνιχος* ὄνομα ἐν τῇ Βοιωτίᾳ ὑπῆρχεν (Collitz, Dialektinschriften ἀρ. 485,18).

Τὸ *ἱππότα* ηὕρομεν Ἀσπ. 216 ἐπὶ Περσέως. Ἐνταῦθα δὲ ἑρμηνεύεται ἐν τῷ ἑπομένῳ στίχῳ.

Στ. 3. Ἔτυχε ξενιζόμενος παρὰ τοῖς Γερηνοῖς.

Τὸ δεύτερον ἀπόσπασμα δῆλον ὅτι ἀνήκει εἰς ἄλλην Ἠοίαν (τὴν περὶ Ἀλκμήνης καὶ Ἡρακλέους).

16 (133). Ἐνταῦθα ἐμπλέκομεν τὰ ὑπ' Ἀπολλωνίου εἰρημένα ἐν τῇ τῆς Ἀσπίδος ὑποθέσει (σ. 322), ὅτι Ἰόλαος εἰσάγεται ἡνιοχῶν τὸ Ἡρακλέους ἅρμα. Εἴπερ ὅμως ἡ διόρθωσις, ἣν παρεδεξάμεθα, ὀρθῶς ἐγένετο, τὸ ἀπόσπασμα εἰς ἄλλην Ἠοίαν ἀνήκει.

17. (39. 40). «Αἴσων· ὃς τέκεθ' υἱὸν Ἰήσονα, ποιμένα λαῶν,
ὃν Χίρων ἔθρεψ' ἐνὶ Πηλίῳ ὑλήεντι»

(Σχόλ. Πινδάρ. Νεμ. 3, 92). «Αἴσονος δὲ καὶ Πολυμήλας καθ' Ἡσίοδον γίνεται Ἰάσων» (Σχόλ. Ὀδ. μ 69). Πρὸς τὸν 1 στ. παράθες Θ. 1000. Περὶ δὲ τοῦ ὀνόματος τοῦ σοφοῦ Κενταύρου, ὃς καὶ Ἀχιλλέα ἀνέθρεψεν, εἴρηται ἐπὶ Θ. 1001. Ἐπειδὴ ἐν τῷ ἀρχετύπῳ ἐκ πλήρους ἐγέγραπτο *ἔθρεψεν*, οἱ Βυζαντῖνοι αὐτοῖς ἔδοξαν διορθῶσαι *θρέψεν*. Böckh ὁ Πινδάρου προστάτης καὶ τοῦτο τὸ χωρίον ἰάσατο (Spitzner, De versu heroico σ. 41: ὃν θρέψεν Χ., Mützell σ. 85: θρέψας, ὡς λείποντος τοῦ ῥήματος).

Ἐν τοῖς ἑξῆς ἱστόρησε τὰ περὶ Ἰάσονα καὶ τοὺς Ἀργοναύτας, καὶ πρῶτόν γε ὡς μονοσάνδαλος ἦλθεν ἀπὸ τοῦ ῥύακος πρὸς τὸν Πελίαν.

18. (241). «Διαφέρει πλήμνη καὶ πλήσμη· ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ, ἡ δὲ πλήσμη τὴν πλήμμυραν τοῦ ποταμοῦ· διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον·

αὐτὸς δ' ἐν πλήσμῃσι Διειπετέος ποταμοῖο

καὶ οὐχ ὥς τινες *ἐν πλήμνῃσι*· εἰ μὴ ἄρα ἔξωθεν (ἐξ εἰκασίας) προσ-

λάβοιμεν τὴν *σὺν* πρόθεσιν *σὺν πλήμνησι*» (Σχόλ. Ἀπολλων. 1, 757. Ὁ αὐτὸς κανὼν χωρὶς παραπομπῆς εὑρίσκεται καὶ ἐν τῷ Μεγάλῳ καὶ τῷ Γουδιανῷ Ἐτυμολογικῷ σ. 676,28 καὶ 471,51, ἐν τοῖς εἰς Ἡσ. Ἀσπ. 309 ἐν τοῖς σχολίοις, τοῦ Bachmann Ἀνεκδότοις τ. Β΄, σ. 379, 19· σημειούμεθα, ὅτι ἀντὶ τοῦ πλήσμη ἐν τοῖς Ἐτυμολογικοῖς γέγραπται *πλήμη*). Τὸ ἐπίθετον διφθογγογραφοῦμεν κατὰ τὰς ἐπιγραφάς, ὅπου εὑρίσκεται *Διειτρέφης* (ἴδε Keil, Mélanges grécoromaines τ. Β΄, σ. 69 καὶ Meisterhans, Grammatik der attischen Inschriften σ. 25, ἔτι δὲ τὴν πρὸ ὀλίγου ἐκδοθεῖσαν ἐπιγραφὴν ἐν τῷ Ἀρχαιολογικῷ Δελτίῳ, Ὀκτώβρ.—Νοέμβρ. 1888) καὶ *ΔιϜείθεμις* (Collitz, Dialektinschriften 60, στ. 21). Παρ᾽ Ὁμήρῳ ἄρα Ζηνόδωρος ὀρθότατα ἔγραψε *διειπετής* (Δίδυμ. Ὀδ. δ 477). Μ. δὲ «πλήσμησι», παρεννοήσει τοῦ σχολίου.

Ἰάσων, ἐπιταχθεὶς κομίσαι τὸ χρυσοῦν δέρας — 19 (169) Ἡσίοδος ἤδη τὸ χρυσοῦν ἐποίησεν, ὡς μαρτυρεῖ Ἐρατοσθένης ἐν τῷ ιθ΄ Καταστερισμῷ σ. 124, ἔκδ. Robert —, οἰκοδομεῖ τὴν Ἀργώ, ἡ δὲ Ἀθηνᾶ κλάσμα τῆς ἐν Δωδώνῃ δρυὸς προσφέρει (Αἰσχύλ. παρ᾽ Ὑγίνῳ Ποιητικ. Ἀστρονομικ. 2,37. Ἀπολλών. Ῥόδ. 1, 526 μετὰ τῶν ἐκεῖ σχολίων κτλ.).

20 (156). «Ἔνιοι δὲ χωρὶς τοῦ σ γράφουσιν *Ἐλλοὺς* ἀποδεχόμενοι καὶ Ἐλλοπίαν τὴν Δωδώνην νομίζουσιν εἶναι· τὴν γὰρ χώραν οὕτως Ἡσίοδος ὀνομάζει ἐν Ἠοίαις, λέγων οὕτως·

Ἔστι τις Ἑλλοπίη πολυλήϊος ἠδ᾽ εὐλείμων,
ἀφνειὴ μήλοισι καὶ εἰλιπόδεσσι βόεσσι·
ἐν δ᾽ ἄνδρες ναίουσι πολύρρηνες πολυβοῦται
πολλοὶ ἀπειρέσιοι, φῦλα θνητῶν ἀνθρώπων.
Ἔνθα δὲ Δωδώνη τις ἐπ᾽ ἐσχατιῇ πεπόλισται·
τὴν δὲ Ζεὺς ἐθέλησεν ἑὸν χρηστήριον εἶναι,
τίμιον ἀνθρώποις· ναίει δ᾽ ἐν πυθμένι φηγοῦ,
ἔνθεν ἐπιχθόνιοι μαντήϊα πάντα φέρονται,
ὃς δὴ κεῖθε μολὼν θεὸς ἄμβροτον ἐξερεείνῃ
δῶρα φέρων, ἔλθῃ τε σὺν οἰωνοῖς ἀγαθοῖσι.

Ἐντεῦθεν δὲ λέγουσιν εἶναι Ἑλλοπιεῖς [καὶ] τοὺς ἐν Εὐβοίᾳ οἰκήσαντας» (Σχόλ. Σοφοκλ. Τραχιν. 1167. Τὸ σχόλιον ἐπήγασεν ἐκ τῶν Φιλοχόρου, ἃ ἐπέτεμε Στράβων ζ΄, 7, 10 σ. 328· «Φιλόχορος δέ φησι καὶ τὸν περὶ Δωδώνην τόπον, ὥσπερ τὴν Εὔβοιαν, Ἑλλοπίαν κληθῆναι· καὶ γὰρ Ἡσίοδον οὕτω λέγειν· στ. 1. 5», μάλιστα δὲ Στέφανος Βυζάντιος ἤ, ἀκριβέστερον εἰπεῖν, ὁ τὴν τῶν Ἐθνικῶν ἐπιτομὴν ποιήσας· «ἐλέγετο καὶ ἡ περὶ Δωδώνην χώρα Ἑλλοπία).

Στ. 1. Ἡ *τις* ἀντωνυμία ἐνταῦθα καὶ στ. 5 τὴν ἀδιόριστον ἀπόστασιν ἐμφαίνει. Ἡ Ἤπειρος ὀρθῶς περιγράφεται· κατὰ τοὺς παλαιοὺς δῆλα δὴ χρόνους ἐδοξάζετο τὰ μάλιστα διὰ τὰς μεγάλας καὶ παχείας βοῦς. R.

*ἐϋλείμων*] εὐλείμων.

Στ. 2. Πρβλ. Θ. 290.

Στ. 3. Τὸ δεύτερον ἡμιστίχιον ἐν ταῖς Μεθ' Ὅμηρον ἐποποιΐαις πολὺ ἦν (ἴδε Ἀριστέου Ἀπόσπ. 3,3: πολύρρηνας πολυβοώτας, τῶν Ναυπακτίων 2,2: οἰκία ναιετάασκε πολύρρην πουλυβοώτης, πρβλ. καὶ Αἰσχύλ. Ἐλεγ. 3,2: πολύρρηνον πατρίδα). Τὸ θέμα ἀρν- μεταθέσει ἐγένετο ρην-. Πορφύριος ἐν τῷ β' περὶ ἀποχῆς κ. 14 τὸν στίχον ὑπαινίττεται μεμπτικῶς· «οὐ γὰρ εἴ τινές εἰσι πολύρρηνες καὶ πολυβοῦται τῶν ἀνθρώπων, τοῦτο σκεπτέον».

Στ. 4. Ἆρά γε γραπτέον *ἀπειρέσια*, τοῦ α διεκτεινομένου τῇ τομῇ; Ἡ παράδοσις μετέκλινε πρὸς τὸ Ὁμηρικὸν «ἐν δ' ἄνθρωποι πολλοὶ ἀπειρέσιοι» (Ὀδ. τ 173-4). Ὁ Schneidewin ἔλλειμμα ὄπισθεν τῆς λέξεως συμβεβηκὸς ὑποτίθησιν.

Στ. 5. Ἡ σύνδεσις ἐν τοῖς σχολίοις λείπει (Brunck: τε). *Ἐπ' ἐσχατιῇ* καὶ τοῖς μεθορίοις τοῦ Ἑλληνισμοῦ ὡς ἀληθῶς ἡ Δωδώνη πόλις ἦν.

Στ. 6. Brunck: τὴν δή. Ἡ παράδοσις ἔχει: ἐφίλησε (Λαυρεντ.: φίλησε) καὶ ὅν, ἀνθ' ἧς παραδεχόμεθα τὴν τοῦ Ruhnken (Opusc. Β', σ. 592) διόρθωσιν. Ὁ Werfer εἰκάζει «ἐφίλησεν ἑὸν», ὁ δὲ Κάρολος Hermann (de Græca Minerva σ.14) νομίζει, ὡς στίχος ἐξέπεσε, τοῦ Kinkel ὑποτοπάζοντος τὴν ἔκπτωσιν ἐν τῷ μέσῳ 7, τοῦ δὲ Lehrs ἐν τῷ πέρατι αὐτοῦ. Ὡσαύτως ἐν τούτῳ ἡ παράδοσις νοσεῖ· ἀναγινώσκεται γὰρ *ναῖον*. Εἴπερ μὲν οὖν τι ἐξέπεσε, γράφε *ναίων*, εἰ δὲ μή, γραπτέον *ναίει* ὡς Schenkl. Ἐν (Ruhnken: ἐνὶ) τῷ πυθμένι ἤτοι μυχῷ τοῦ δένδρου ὁ θεὸς κατοικεῖ, καθότι τὸ ξύλον μαντεύεται.

Στ. 8. Ruhnken: ἐπιχθονίοις.

*Μαντήϊα* (Ὀδ. μ 272)]. Ἡ πρώτη ἐν Ῥώμῃ ἔκδοσις ἔχει *μαντεύματα*.

Τὸ *πάντα* ἐκδεκτέον ἁπλῶς· τὰ γὰρ πινακίδια, ὅσα ὁ Καραπᾶνος φιλοκάλως ἐν Δωδώνῃ ἀνέσκαψεν, ἀναφέρονται τῷ ὄντι πρὸς ἅπαντα τὰ κοινὰ καὶ ἴδια πράγματα τῶν ἀνθρώπων, οἷον τήν τε πολιτείας σωτηρίαν καὶ τὴν ἑνὸς ἀνδρὸς ζηλοτυπίαν.

Στ. 9. Τὸ καθ' ἑνικὸν ἀναφορικὸν ἐπικῶς περιορίζει τὰ προλεχθέντα. Οὐχὶ πᾶς τις λαμβάνει χρησμὸν ἀψευδῆ, ἀλλὰ μόνος ὁ ἀγαθῇ τύχῃ ἐλθών. Τὸ αὐτὸ ὑποτίθεται ὁ Πύθιος θεὸς ἐν τῷ γ' Ὁμηρικῷ Ὕμνῳ (543-4)· «καί κεν ἐμῆς ὀμφῆς ἀπονήσεται,

ὅστις ἂν ἔλθῃ φωνῇ καὶ πτερύγεσσι τελήεντων οἰωνῶν». «Ὅστις δ' ἄν, ἐξακολουθεῖ, μὴ φροντίσῃ τοῦ καιροῦ, εἰς μάτην μοι δῶρα προσφέρει». Οἱ γὰρ θεοὶ οὐ χάριν ἐχρηστηρίαζον, ὅθεν ἀκολουθεῖ «δῶρα φέρων». Ἀναγινώσκεται ἐν τῷ Λαυρεντιανῷ καὶ τῇ πρώτῃ ἐκδόσει *ἔλθῃ*, ἐν δὲ νεωτέρῳ κώδικι *ἔλθῃσι*. Hermann: ἔλθῃ δέ, Brunck: θ' ἵκοιτο, Gemoll εἰς Ὕμν. Ὁμ. αὐτ.: τ' ἔλθῃσι.

21 (77). Οἱ συναθροισθέντες Ἀργοναῦται καταλέγονται. Ὁ Ἀπολλωνίου σχολιαστὴς (1, 45) παρατηρεῖ, ὅτι Ἡσίοδος οὐ λέγει «τὸν Ἴφικλον σὺν τοῖς Ἀργοναύταις».

22 (78). Οἱ Ἀργοναῦται ἐξαντλήσαντες πολλοὺς κινδύνους ἥκουσι πρὸς τὸν τυφλὸν Φινέα· «πεπηρῶσθαι δὲ τὸν Φινέα φησὶν Ἡσίοδος ἐν Μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ τὴν ὁδὸν ἐμήνυσεν, ἐν δὲ τῷ γ' καταλόγων, ἐπειδὴ τὸν μακρὸν χρόνον τῆς ὄψεως προέκρινεν» (Σχόλ. Ἀπολλων. 2, 181).

23 (231). «(Ἔφορος παρίστησι φήσαντα) Ἡσίοδον ἐν τῇ καλουμένῃ Γῆς περιόδῳ τὸν Φινέα ὑπὸ τῶν Ἁρπυιῶν ἄγεσθαι

Γλακτοφάγων εἰς γαῖαν, ἀπήνας οἰκί' ἐχόντων».

(Στράβων 7, 3, 9 σ. 302). Αἱ Ἅρπυιαι, ὀλέθριαι οὖσαι θύελλαι, ἁρπάζουσι καθ' Ἡσίοδον τὸν Φινέα διὰ πάσης τῆς γῆς. Οὐδεὶς ἂν ἀγνοήσειε τὸ Ὁμηρικὸν χωρίον, περὶ οὗ πῶς γράφεσθαι δεῖ τοσοῦτο διστάζουσιν (Ἰλ. Ν 5,6)· «ἀγαυῶν ἱππημολγῶν γλακτοφάγων ἀβίων τε, δικαιοτάτων ἀνθρώπων». Σαφῶς δηλοῖ τοὺς Σκύθας, πίνοντας τὸ τῶν ἵππων γάλα (κουμίς) καὶ πλανωμένους ἐν τοῖς τῆς Σαρματίας πεδίοις ἐφ' ἁμαξῶν χονδρῶν. Πρὸς τὸν περὶ Φινέως μῦθον, ἴδε Ὀρφ. Ἀργον. 680 (674) κέ.

Ἀντὶ τοῦ *γαῖαν* τινὲς ἔγραφον *αἶαν*.

Porson διώρθωσε τὸ ἐν ἅπασι *ἀπήναις*.

Συνδέομεν ταῦτα μετ' ἄλλων γεωγραφικῶν ὑπολειμμάτων.

24 (232). «Πῶς οὖν ἠγνόει τοὺς Σκύθας ὁ ποιητὴς ἱππημολγοὺς καὶ γαλακτοφάγους τινὰς προσαγορεύων; ὅτι γὰρ οἱ τότε τούτους ἱππημολγοὺς ἐκάλουν, καὶ Ἡσίοδος μάρτυς ἐν τοῖς ὑπ' Ἐρατοσθένους παρατεθεῖσιν ἔπεσιν

Αἰθίοπάς τε Λίγυς τε ἰδὲ Σκύθας ἱππημολγούς».

(Στράβων 7,3,7 σ. 300. Τὸ *Σκύθας* διὰ τὴν βραχεῖαν κατάληξιν, περὶ ἧς εἴρηται σ. 37, μνημονεύεται ὑφ' Ἡρῳδιανοῦ ἐν τοῖς ἐξ Ὀξωνίας Ἀνεκδότοις τ. γ', σ. 296=Herodiani Reliquiæ, ἔκδ. Lentz β', σ. 16,31). Τὰ τρία ἔθνη κατῴκουν τὴν τοῦ τότε ἡμιγνώστου κόσμου, οἱ μὲν Αἰθίοπες πρὸς νότου, οἱ δὲ Λίγυες

κατὰ τὴν ἀκτὴν τῆς Γαλλίας καὶ Ἰταλίας, ὅθεν οἱ ἔμποροι τὸ ἤλεκτρον ἔφερον, οἱ δὲ Σκύθαι ἐν τῇ Σαρματίᾳ. Τὸ δεύτερον ὄνομα ὑγιαίνει· πλὴν ἐν τοῖς κώδιξι κεῖται κακῶς διῃρημένον *Λιγυστὶ δέ*, ὅπερ διώρθωται ὑπὸ τοῦ Näke εἰς Χοιρίλον σ. 124 (Bernhardy, Eratosthenica σ. 42: Λίγυς τ' ἠδὲ, Lehmann σ. 39: Λίγυς ἠδὲ)· Ἀτόπως δὲ προσέκοψαν τῷ τύπῳ Λίγυς= Λίγυ-νς (Heinsius Αἰ. Λίγυας τ' ἠδ', Tzschucke: Αἰ. Λίγυάς τε Σ. τούς θ' ἱ., Jacobs παρὰ τῷ αὐτῷ: Α. Λίγυάς τε Σ. θ' ἵκεθ' ἱ., Seidel, Fragmenta Eratosthenica σ. 16: Αἰ. Λίγυάς τε Σ. δέ τε ἱ.) οὐδὲν ἧττον τῇ τοπογραφίᾳ Clericus: Λιβυάς τ' ἠδὲ, Osann, Zeitschrift für Alterthumswissenschaft 1841, σ. 644: Λίβυς τ' ἠδέ, Heyne εἰς Ἰλ. Ν 6: Αἰθίοπες Λίβυές τ' ἠδὲ Σκύθαι ἱππημολγοί). Τί γὰρ κερδαίνομεν, ἀνταμείψαντες τοὺς Λίγυας τῶν Λιβύων; Οὐ μᾶλλον οἱ Σκύθαι μένουσι μακρὰν τῶν Αἰθιόπων (Πρβλ. Στέφ. Βυζάντ. λ. Λίβυς· «Λιβυστικὰς πλάκας· Λυκόφρων, ὅ τινες διὰ τοῦ γ γράφουσι, κακῶς»).

25. 26 (233. 85). Ἡσιόδῳ καθ' Ἡρόδοτον «ἐστὶ περὶ τῶν Ὑπερβορέων εἰρημένα» (4,32)· πλησίον δὲ τούτων μυθολογοῦσιν ὅτι οἱ γρῦπες, ἔχοντες σώματα μὲν λεόντων, κεφαλὰς δὲ ἀετῶν ἐπολέμουν πρὸς τοὺς τερατώδεις Ἀριμάσπας περὶ τῶν χρυσείων. Ἀξιόπιστον λοιπὸν ὅτι «πρῶτος Ἡσίοδος ἐτερατεύσατο τοὺς γρῦπας» (Σχόλ. Αἰσχύλ. Προμηθ. 802). Ἴσως Φιλόδημος ὁ Ἐπικούρειος ἐν τῷ Περὶ εὐσεβείας σ. 10, εἴπερ Bergk ὀρθῶς τὰ ἐλλιπῆ ἀνεπλήρωσεν (Jahrbücher für Philologie 1873 σ. 38 κέ.)· «οὐδ' Ἡσιόδῳ, φησί, μή τις ἐγγελᾷ, ὃς γ[ρυπῶν κ]αὶ ὅ[νω]ν (;) ἢ [καὶ τ]ῶν Κατουδαίων καὶ τῶν Πυγμαίων μνημονεύει.

27. 28 (82). Τὰς Ἁρπυίας Ζήτης καὶ Κάλαϊς οἱ Βορέα ἀπεδίωξαν μέχρι Στροφάδων· «Ἀπολλώνιος μὲν οὖν τὴν ἀποστρέψασαν τοὺς περὶ Ζήτην Ἶριν λέγει, Ἡσίοδος δὲ Ἑρμῆν» (Σχόλ. Ἀπολλων. 2,297· (83) αἱ Ἅρπυιαι «κατὰ Ἡσίοδον καὶ Ἀντίμαχον καὶ Ἀπολλώνιον οὐ κτείνονται» (αὐτ. 296).

29 (81). «Ὅτι δὲ ηὔξαντο οἱ περὶ Ζήτην τῷ Διὶ στραφέντες, λέγει καὶ Ἡσίοδος·

> ἔνθ' οἵ γ' εὐχέσθην Αἰνηίῳ ὑψιμέδοντι·

ἐστὶ γὰρ Αἶνος ὄρος τῆς Κεφαλληνίας, ὅπου Αἰνησίου Διὸς ἱερόν ἐστιν» (Σχόλ. Ἀπολλων. 2,297). *Αἰνήσιος* λέγεται ὁ θεὸς καὶ Στράβ. 10,456 καὶ Ἐτυμολογ. Μεγ. σ.153,41, διὸ Heringa ἐν τῷ περιοδικῷ Observationes Miscellaneæ τ. θ', σ. 968

*Αἰνησίῳ* γράφει. Ὁ Αἶνος ἐτήρησε τὸ πρωτοφανὲς ὄνομα μέχρι ἡμῶν, ἐστὶ δὲ τὸ ὑψηλότατον ὄρος τῆς νήσου, ἀνήκων εἰς 1620 μέτρα. Ἐν τῷ Παρισίνῳ γρ.: οἳ εὔχεσθον (Schäfer: οἱ εὔ.).

Ἀπὸ τοῦ Βοσπόρου οἱ Ἀργοναῦται παραπλέουσι τὴν τοῦ Πόντου ἀκτήν.

30 (242). «Παρθένιος, ποταμὸς ἐν μέσῳ τῆς Ἀμαστριανῶν πόλεως (ἣ νῦν ὀνομάζεται Ἀματερά) ῥέων· ἐκλήθη δὲ. . . διὰ τὸ ἠρεμαῖον καὶ παρθενῶδες τοῦ ῥεύματος

ὧς ἀκαλὰ προρέων ὡς ἁβρὴ παρθένος εἶσιν»

(Στέφ. Βυζάντ.). Τὸ τοῦ ποιητοῦ ὄνομα χορηγεῖται ὑπὸ Χοιροβοσκοῦ ἐν τῷ Vossianus τοῦ Μεγάλου Ἐτυμολογικοῦ· «ἐκ τοῦ ἀκαλὸς οὖν γίνεται ἀκαλὰ ὡς ὁμαλά, ὡς παρ' Ἡσιόδῳ *ἀκαλὰ προχέων* (ἐν τῇ ὤᾳ· γρ. προρρέων) ἀντὶ τοῦ ἡσύχως (πρβλ. καὶ Ἡσύχ. ἄκαλα] ἥσυχα, ἄψοφα», Ἀπολλών. Ῥόδ. 2, 936· «καὶ δὴ Παρθενίοιο ῥοὰς ἁλιμυρήεντας, πρηΰτάτου ποταμοῦ», Σχόλ. αὐτ. «ἔνιοι δὲ διὰ τὸ στάσιμον τοῦ ῥεύματος καὶ ἠρεμόν φασιν οὕτω προσαγορεύεσθαι».

31. Ἑλόντες δὲ τὸ δέρας, ἐπανέρχονται μακροῖς ἑλιγμοῖς. Περὶ τούτων Ἡσίοδος πρῶτον μέν, ὡς ὁ εἰς Ἀπολλώνιον σχολιαστὴς λέγει (4, 284), ἱστόρησεν ὅτι διὰ Φάσιδος εἰσέπλευσαν εἰς τὸν Ὠκεανόν (31, 87). Ἔπειτα αὐτὸς «καὶ Πίνδαρος ἐν Πυθιονίκαις καὶ Ἀντίμαχος ἐν Λύδῃ διὰ τοῦ ὠκεανοῦ φασιν ἐλθεῖν αὐτοὺς εἰς Λιβύην καὶ βαστάσαντας τὴν Ἀργὼ εἰς τὸ ἡμέτερον πέλαγος γενέσθαι» (Σχόλ. Ἀπολλων. 4, 259, 132, R. 88. 33. 84. 86). Ἐκεῖ δὲ συνήντησαν Μακροκεφάλοις (1) καὶ Κατουδαίοις (ἤτοι Τρωγλοδύταις) καὶ Ἡμίκυσι καὶ Πυγμαίοις (Ἁρποκρατίων λ. Μακροκέφαλοι «. . . ἔθνος ἐστὶν οὕτω καλούμενον, οὗ καὶ Ἡσίοδος ἐν γ' γυναικῶν καταλόγῳ μέμνηται, ὁ αὐτὸς καὶ Σουίδας· ὑπὸ γῆν οἰκοῦντας λέγοι ἂν . . . τοὺς ὑπὸ Ἡσιόδου ἐν τρίτῳ καταλόγῳ Κατουδαίους ὀνομαζομένους», Ἀπολλόδωρος παρὰ Στράβ. Α', σ. 43· «Ἡσιόδου δ' οὐκ ἄν τις αἰτιάσαιτο ἄγνοιαν Ἡμίκυνας λέγοντος καὶ Μακροκεφάλους καὶ Πυγμαίους» (πρβλ. Ζ', σ. 299, ὅπου Μεγαλοκεφάλους λέγει, Στέφ. Βυζάντ. λ. Ἡμίκυνες). Περὶ τῶν Ἡμικύνων οὐδὲν ἔχομεν σημειώσασθαι, οἱ δὲ λοιποὶ οὐδαμῶς καθαρὰ φαντάσματα φιλοψευδῶν ναυτῶν, ἀλλὰ ὑπὸ τῶν ἐθνογράφων καταδεικνύονται οἱ μὲν Τρωγλοδύται κατὰ τὴν πρὸς δύσεως ἀκτὴν τῆς Ἐρυθρᾶς θαλάσσης, οἱ δὲ ναννώδεις Ἄκκα περὶ τὸν ἀνώτερον Νεῖλον, οἱ δὲ Μακροκέφαλοι, οἵτινες τεχνικῶς δεσμοῖς ἀπετέλουν τὰς κεφαλὰς μα-

(1) Περὶ τῆς μετρικῆς ποσότητος παράθες Θ. 312.

κράς (ἴδε Ἱπποκράτ. π. ἀέρος 14,21), κατῴκουν πρὸς βορρᾶ τοῦ Πόντου, ὅπου εἰσέτι οἱ Ῥῶσσοι ἀνασκάπτουσι τοιαῦτα κρανία (ἔπιθι Compte rendu de la commission archéologique de l'Académie imp. de St. Pétersbourg pour l'a. 1868, σ. 108, ὅπου εὑρήσεις καὶ ἅπαντα τὰ περὶ τῶν Μακροκεφάλων μαρτύρια).

Ἵν' ἀπέλθωμεν πρὸς τοὺς Τυροῦς υἱούς, ῥητέον, ὅτι αὐτόθι ἴσως τὰ περὶ τῶν Προιτίδων ἤτοι τῶν τοῦ βασιλέως Προίτου θυγατέρων εἶπε· Μελάμπους γάρ, ὅσπερ μετὰ τοῦ ἀδελφοῦ τὰς δύο ἰάσατο καὶ ἠγάγετο, υἱὸς ἦν Ἀμυθάονος τοῦ Τυροῦς.

Αἱ κόραι ἐκεῖναι ἦσαν, καθ' Ἡσίοδον, Προίτου καὶ Σθενεβοίας τῆς Ἀμφιδάμαντος (Probus εἰς Βιργιλ. Ἐκλογ. 6,48,34, R. 52), τοσοῦτο δὲ ἤκμαζον, ὥστε «Πανέλληνες ἐμνήστευον αὐτάς» (Ἀπολλόδωρος παρὰ Στράβωνι Η', σ. 370 ἐν τῇ περὶ τοῦ Ἑλλήνων ὀνόματος διατριβῇ, 35, R. 51). Ἀλλὰ «ἐμάνησαν, ὅτι τὰς Διονύσου τελετὰς οὐ κατεδέχοντο» (Ἀπολλόδ. 2,2,2,2,36, R. 52). Τὸ «ἐμάνησαν» κατ' εὐφημισμὸν εἴρηται, ὡς μανθάνομεν ἐκ τῶνδε·

37 (53). «κατωφέρεια, γυναικομανία. Ἡσιόδειος ἡ λέξις· λέγει γὰρ περὶ τῶν Προίτου θυγατέρων·

εἵνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσαν ἄνθος»

(Σουίδας λ. μαχλοσύνη, ἀρυόμενος ἐκ πληρεστέρου εἰς Ἰλ. Ω 25 σχολίου τῶν ὑπαρχόντων· ἐν γὰρ τοῖς παλαιοῖς φέρεται «ἡ μ. κοινῶς ἐπὶ γυναικομανίᾳ· Ἡσιόδειος δ' ἐστὶν ἡ λέξις· ἐκεῖνος γὰρ πρῶτος ἐχρήσατο ἐπὶ τ. Πρ. θ.», παρὰ δὲ Εὐσταθίῳ· «Ἀρίσταρχος δὲ (ἀθετεῖ) διὰ τὴν τῆς μαχλοσύνης λέξιν· νεωτέρων γὰρ ἡ λέξις καὶ Ἡσιόδειος, ἐκείνου πρώτου χρησαμένου αὐτῇ ἐπὶ τ. Π. θ.»), Γρ. *ὤλεσεν*· ὅ, εἴπερ ὀρθόν, ὁ θεὸς αὐτὰς ἐμάρανεν ἕνεκ' αἰσχρορρημοσυνῶν, αἷς τισι κατ' αὐτοῦ ἐχρήσαντο·

38 (54). «Καὶ γάρ σφιν κεφαλῇσι κάτα κνύον αἰνὸν ἔχευε·
ἀλφὸς γὰρ χρόα πάντα κατέσχεθεν, ἐν δέ νυ χαῖται
ἔρρεον ἐκ κεφαλέων, ψιλοῦτο δὲ καλὰ κάρηνα»

(Ἡρωδιανὸς κατ' Εὐστάθιον Ὀδ. ν 401 προφέρει «καὶ κνύος, τὴν φθορὰν κατὰ γένος οὐδέτερον . . . φέρων καὶ χρῆσιν ἐκ τοῦ παρὰ Ἡσιόδῳ καταλόγου [εἴρηκε δῆλα δή· παρ' Ἡσιόδῳ ἐν τῷ Καταλόγῳ] περὶ τῶν Προιτίδων»· ὅπερ ἐπιτέτμηται Ἐτυμ. Μέγ. σ. 523, 8: κατὰ κ. ἔ., ψίλωτο δὲ κάρ., Ἐτυμολ. Γουδιαν. σ. 331, 3: κνυὸς ἡ φθορὰ οἷον κ. κ. ἔχευε. Ἐπιμερισμ. Ὁμηρ. ἐν

τοῖς ἐξ Ὀξωνίας Ἀνεκδότοις Α΄, σ. 226, 16). Τὸ ὑποκείμενον *Διόνυσος*.

Στ. 2. *ἀλφὸς*] κυρίως λευκότης (Νικάνδρ. Θηρ. 332), ἐνταῦθα δὲ ψώρα ἢ λέπρα.

*γὰρ*] Voss, Randglossen σ. 81: δὲ.

*κατέσχεθεν* Heinsius ὡς Θ. 575 (Lentz, Ἡρῳδιαν. Α΄, σ. 445: κατάσχεθεν)] κατέσχεν ἔκδ. Heyne εἰς Ἀπολλόδ. 2,2,2 σ. 110: κατήσχυν', Bergk, De comœdiæ Atticæ reliquiis σ. 23: κατίσχναιν'.

*ἐν δὲ*] ἔτι δέ, ἴδε εἰς Ἔ. 283· Οὐκ ἔδει ἄρα γράψαι *ἐκ δὲ* ὡς Lösner.

Στ. 3. Τὸ πρῶτον ἡμιστίχιον ἐκαρπώθη ὑπὸ Θεοκρίτου 2, 89 (πρβλ. Ὀδ. λ 600: ἔρρεεν ἐκ μελέων).

Μ.: *ψιλοῦτο*]· ψίλωτο ὅς τύπος Ἑλληνικὸς οὐκ ἦν.

39 (62). Ὅτι καὶ οἱ τῶν Προιτίδων ἀπόγονοι κατελέγοντο, ἀποδείξειεν ἂν Ἀριστόνικος εἰς Ἰλ. Ψ 679· «Καὶ Ἡσίοδος δέ φησιν ἐν Θήβαις αὐτοῦ (Οἰδίποδος) ἀποθανόντος, Ἀργείαν τὴν Ἀδράστου σὺν ἄλλοις ἐλθεῖν ἐπὶ τὴν κηδείαν αὐτοῦ». Ἄδραστος γὰρ ἐγένετο ἐκ Ταλαοῦ τοῦ Βίαντος, Μελάμποδος ἀδελφοῦ. Ἀργεία συνεζεύχθη Πολυνείκει.

## δ΄ Ἀλκμήνη καὶ Ζεύς.

40. Ἡ τῆς Ἀσπίδος ἀρχή, ὡς εἴπομεν ἐν καιρῷ, εἴληπται ἐκ τοῦ δ΄ βιβλίου τοῦ καταλόγου. Τοῦτο μὲν τὸ μέγιστον τοῦ ποιήματος ἀπόσπασμα, ἄλλως δὲ ἡ Ἠοίη αὕτη ἀραιῶς πάνυ παραδέδοται.

41. Ὡς πρὸς τοὺς πολυπληθεῖς παῖδας τοῦ ἥρωος, λέγεται ὅτι καθ' Ἡσίοδον Ἀστυδάμεια, οὐχὶ Ἀστυόχη ὡς Ὅμηρος Τληπόλεμον τὸν Ῥόδον κτίσαντα ἔτεκεν (Σχόλ. Πινδάρ. Ὀλ. 7,42).

## ε΄ Λήδα καὶ Ζεύς.

42. 43 (115-6). Περὶ τῶν Διοσκούρων ὁ εἰς Πινδάρ. Νεμ. 10, 150 σχολιαστὴς μαρτυρεῖ, ὅτι «Ἡσίοδος ἀμφοτέρους Διὸς εἶναι γενεαλογεῖ», ἐξακολουθεῖ δὲ ὅτι «οὔτε Λήδας οὔτε Νεμέσεως δίδωσι τὴν Ἑλένην, ἀλλὰ θυγατρὸς Ὠκεανοῦ καὶ Διός» (1). Τὰ Κύπρια ἔπη Ἑλένην εἶπον Διὸς καὶ Νεμέσεως θυγατέρα (Ἀπόσπ. 6 παρ' Ἀθηναίῳ η΄, σ. 334 B-D), Νέμεσις δὲ κατὰ τοὺς Ἀττικοὺς Ὠκεανίς (Παυσαν. 7, 5, 3, πρβλ. Σχόλ. Εὐριπ. Ῥῆσ. 342), ὅθεν πλησίον τῆς ἀκτῆς ἐν Ῥαμνοῦντι ἐλατρεύετο (Παυ-

(1) Ἡ παράδοσις οὕτως ἔχει (T. Mommsen, Parerga Pindarica σ. 39).

σαν. 1, 33, 2). Ἡσίοδος ἄρα ὀλίγον τι μόνον τοῦ εἰρημένου μύθου παραλλάσσει. Πῶς δὲ Λήδας καὶ Τυνδάρεω θυγάτηρ θετὴ ἐγένετο, οὔτε ἐξ Ἡσιόδου οὔτε ἐκ τῶν Κυπρίων παραδέδοται.

44 (117). «Στησίχορός φησιν, ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο· δι' ὃ ὀργισθεῖσαν τὴν θεὸν διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ποιῆσαι, καὶ Ἡσίοδος δέ·

τῇσιν δὲ φιλομμειδὴς Ἀφροδίτη
ἠγάσθη προσιδοῦσα, κακὴν δέ σφ' ἔμβαλε φήμην.
Τιμάνδρη μὲν ἔπειτ', Ἔχεμον προλιποῦσ', ἐβεβήκει,
ἵκετο δ' εἰς Φυλῆα, φίλον μακάρεσσι θεοῖσι.
Ὡς δὲ Κλυταιμήστρη, προλιποῦσ' Ἀγαμέμνονα δῖον,
Αἰγίσθῳ παρέλεκτο καὶ εἵλετο χείρον' ἀκοίτην·
ὣς δ' Ἑλένη ᾔσχυνε λέχος ξανθοῦ Μενελάου»

(Σχόλ. Εὐριπ. Ὀρέστ. 249).

Στ. 2. *ἠγάσθη*] ὠργίσθη, ὡς Ὀδ. θ 565. Προσέβλεψεν ὀργίλως, ὃ βλέμμα οὐχ ἧττον ἐνεργητικὸν ἐνομίζετο ἢ τὸ εὐνοϊκόν (Θ. 82). Κακῶς ἄρα γράφεται ἔν τισι *προϊδοῦσα*.

*ἔμβαλε*] Ἡ κακὴ φήμη ἐκφαίνεται φορτίον ἐπικείμενον τοῖς ὤμοις, ὥσπερ Ἔ. 761-2.

Ἐπειδὴ ἀντὶ τοῦ σφ' γράφεται καὶ *φ'* ἢ *φη*, Nauck (Mélanges τ. δ', σ. 389) εἰκάζει *φιν*.

Στ. 3. *ἐβεβήκει*] ᾤχετο. Τὸ πρῶτον ἡμιστίχιον διέφθαρται (ΜΤ: τίς ἀνδρὶ μένει εἴτ', Β: πεισάνδρη μὲν ἐπεί τ'. Ὁ διορθωτὴς Geel, ὃς καὶ τὸν ἄνδρα ὀρθότερον ὠνόμασεν· οἱ γὰρ ἀντιγραφεῖς τὸν ἐν τῇ Ὀδυσσείᾳ Ἔχετον εἰσήγαγον).

Στ. 4. Εὐστάθιος ἐν καταλόγοις παρηχήσεων (Ἰλ. Α 404 σ. 125, 30. 126, 11. Κ. 192. Ὀδ. ι 415) ἀναφέρει «Φυλέα φίλον μ. θ.». Φυλεύς, βασιλεὺς Δουλιχίου, ἀπήγαγε Τιμάνδραν (Εὐσταθ. Ἰλ. Β 625, σ. 305, 17).

Στ. 5. *Κλυταιμήστρη* ἐγράψαμεν, πεισθέντες Πέτρῳ Παπαγεωργίου καὶ τῷ Wecklein, ἀφοῦ μάλιστα τὸ σχῆμα ηὕρομεν ἐν Ὁμηρικῷ χειρογράφῳ τοῦ θ' αἰῶνος (1).

*προλιποῦσ'* Cobet] λιποῦσ', κώδικες. Ἡ λέξις ἁρμόζει, καθ' ὅσον Αἴγισθος αὐτὴν «ἀνήγαγεν ὅνδε δόμονδε» (Ὀδ. γ 272).

Στ. 6. *ἀκοίτην*] ἀκοίταν κῶδ. Β.

Στ. 7. *ξανθοῦ Μενελάου*, Ὁμηρικῶς. Περὶ τῆς ξανθότητος πρβλ. Θ. 947.

(1) Ἴδε τὰ τῆς Βαυαρικῆς Ἀκαδημίας Πρακτικὰ 1888 β', σ. 266.

Τέλος δὲ παραπέμπομεν τὸν ἐπιχώριον ἀναγνώστην πρὸς ᾆσμά τι τῶν Ἰμβρίων δημοσιευθὲν ἐν τῷ Ἑλλην. Φιλολογ. Συλλόγῳ Κωνσταντινουπόλεως τ. Θ', σ. 360, ὅπερ ἀναφέρεται εἰς τριάδα ἀδελφῶν «κακογραμμένων»· οὗ ὅμοιον ἀναγινώσκομεν ἐν τῇ Ζαφειροπούλου Περισυναγωγῇ (Ἀθήναιον, 1887) σ. 112. Ἰδὲ καὶ Εὐριπ. Ἱππόλ. 341.

45 (114). «Τιμάνδρην Ἔχεμος θαλερὴν ποιήσατ' ἄκοιτιν» (Σχόλ. Πινδάρ. Ὀλ. 11 [10], 79).

46. Ἔχεμος ὁ Ἀρκὰς κατὰ τὸν πολὺν μῦθον ἐγέννησεν Εὔανδρον· ὁ δὲ Ἡσίοδος ἱστόρησε τίνα συγγένειαν Εὔανδρος εἶχε πρὸς τοὺς Ἀτρείδας (Ψευδο-Σέρβιος Βεργιλ. Αἰν. 8, 130), δυστυχῶς δὲ ὁ γραμματικὸς τοῦτο μόνον λέγει, ὅτι Ἡσίοδος Εὔανδρον οὔτε Τιμάνδρας υἱὸν οὔτε Μαίας ἀπόγονον οὔτε Νικοστράτης καὶ Ἑρμοῦ παῖδα εἶπεν.

47 (118). Ἑλένης χάριν πολλοὶ μνηστῆρες ἦλθον, οὓς Ἡσίοδος κατέλεγεν, ἐν οἷς Λυκομήδην Κρῆτα (Σχόλ. λεγ. Townleiana Ἰλ. Τ 240) ἀλλ' οὐκ Ἀχιλλέα (Παυσαν. 3, 24,7 «τῶν Ἑλένης μνηστήρων Ἀχιλλεὺς οὐκ ἐστὶν ἐν Καταλόγῳ Γυναικῶν»).

Περὶ τῶν Ἑλένης καὶ Κλυταιμήστρας ἀνδρῶν ἰδιοτρόπως εἴρητο.

48 (121). Ἀγαμέμνων κατὰ μὲν Ὅμηρον Ἀτρέως τοῦ Πέλοπος, μητρὸς δ' Ἀερόπης, κατὰ δὲ Ἡσίοδον Πλεισθένους» (Σχόλ. Ἰλ. Α 7, πρβλ. Εὐστάθ. σ. 21, 13. Τζέτζ. σχολ. Ἀλληγ. Ἰλιάδ. προλ. 511 καὶ Ἐξηγ. Ἰλ. σ. 68, 20 κέ.).

Ἡ γνώμη ἡμῖν μὲν παράδοξος δοκεῖ, τὸ δὲ πάλαι πολλὴ ἦν (λ.χ. παρὰ Στησιχόρῳ καὶ Αἰσχύλῳ Ἀγαμ. 1573), καὶ δὴ ἐδιδάσκετο ἐν τῷ Ἀπολλοδώρου φερωνύμῳ βιβλίῳ (3, 2, 2, 1).

49 (123). Λόγος ἐγένετο καὶ περὶ τῶν τῶν Τυνδαρίδων παίδων οἷον περὶ Ἰφιγενείας· «οἶδα δὲ Ἡσίοδον ποιήσαντα ἐν Καταλόγῳ Γυναικῶν Ἰφιγένειαν οὐκ ἀποθανεῖν, γνώμῃ δὲ Ἀρτέμιδος Ἑκάτην εἶναι» (Παυσαν. 1,43,1, συντιθεμένου Στησιχόρου ὡς Φιλόδημός φησιν ἐν τῷ περὶ εὐσεβείας σ. 24).

## ϛ' Λιβύη καὶ Ποσειδῶν,

ὧν υἱοὶ ἐγένοντο Βῆλος καὶ Ἀγήνωρ. Βῆλος δὲ ἦν πατὴρ τῶν περιωνύμων Αἰγύπτου καὶ Δαναοῦ. Ἐκεῖνος μὲν ἄλλας τε γυναῖκας ἠγάγετο καὶ Ἀραβίαν (Ἀπολλόδ. 2, 1, 5, 4).

50 (45). «καὶ κούρην Ἀράβοιο τὸν Ἑρμάων ἀκάκητα
γείνατο καὶ Θρονίη, κούρη Βήλοιο ἄνακτος»

(Στράβων 1,2,34, σ. 42: Ἡσίοδος δ' ἐν Καταλόγῳ φησί· πρβλ.

Εὐστάθ. Ὀδ. δ 84 «ὅθεν τινὲς ἀντὶ τοῦ *Ἐρεμβοὺς Ἄραβάς τε* γράφουσιν, οἳ οὕτως ὀνομάζονται ἀπὸ Ἀράβου τινὸς ὡς Ἡσίοδος ἐν τῷ ἑαυτοῦ Καταλόγῳ φησί», καὶ εἰς Διονύσ. Περιηγ. 927, σ. 284, 12· «Ἡσίοδος μέντοι ἐν τῷ *κούρην Ἀράβοιο*, ἐξ οὗ καὶ ἡ Ἀραβία κεκλῆσθαι δοκεῖ, δι' ἑνὸς ἀμεταβόλου καὶ συστολῆς τῆς ἀρχούσης καὶ αὐτὸς ἐμφαίνει δεῖν γράφειν τοὺς Ἄραβας»). Δῆλον ὅτι παραλόγως γέγραπται *Ἀράβου, τὴν* (ὁ Casaubonus διώρθωσεν). Ὁ Ἑρμῆς ὑπὸ τῶν ποιητῶν ἐνίοτε *Ἑρμάων* λέγεται, οἷον ὑπὸ Λάκωνός τινος (Le Bas-Foucart Inscriptions 167, 5), Βίωνος 5 (3), 8 καὶ τῶν μεταγενεστέρων (ἴδε Hermann εἰς Ὀρφ. 816, Κόλουθ. 68. 76. 113. 120), ὃ ἀπαντᾷ συνηλειμμένον ἐν ταῖς τῶν Λακώνων, Μεσσηνίων καὶ Ἀρκαδίων ἐπιγραφαῖς (Meyer, Gramm. σ. 318-9).

51 (50). «Αἰγύπτου ἐξεγένοντο παῖδες, ὡς μὲν Ἡσίοδος ἐποίησε, πεντήκοντα, ὡς δὲ ἐγὼ λέγω, οὐδὲ εἴκοσι» (Ἑκαταῖος Σχόλ. Εὐριπ. Ὀρέστ. 872).

Πρὸς τὰς Δαναΐδας ἀναφέρεται τὸ παρὰ Στράβωνι 8, 6, 8, σ. 371 χωρίον:

52 (49). «Τὴν μὲν οὖν χώραν συγχωροῦσιν εὐυδρεῖν· αὐτὴν δὲ τὴν πόλιν ἐν ἀνύδρῳ χωρίῳ κεῖσθαι, φρεάτων δ' εὐπορεῖν, ἃ ταῖς Δαναΐσιν ἀνάπτουσιν, ὡς ἐκείνων ἐξευρουσῶν, ἀφ' οὗ καὶ τὸ ἔπος εἰπεῖν τοῦτο·

Ἄργος ἄνυδρον ἐὸν Δανααὶ θέσαν Ἄργος ἔνυδρον»

(Στράβ. Η', σ. 371, πρβλ. σ. 370: πλάσμα δὲ καὶ τὸ Ἄργος ἄνυδρον, θεοὶ δ' αὖ (κῶδ. Α: ἂν) θέσαν Ἄργος ἄνυδρον, ἤτοι ΕΟΝΔΑΝΑΑΙ ἐγένετο ΘΕΟΙΔΑΝ, Εὐστάθ. Ἰλ. Δ 171: πολυδίψιον Ἄργος..... ἀπὸ τῶν Δαναΐδων, αἳ παραγενόμεναι ἐξ Αἰγύπτου φρεωρυχίαν ἐδίδαξαν ὡς Ἡσίοδος· Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν Ἄργος ἔνυδρον, Σχόλ. BL αὐτ. «τινὲς δὲ πολυδίψιον τὸ πολλοῖς ἔτεσι διψῶν· *ἄνυδρον* γὰρ τοῦτο ὂν ἔνυδρον ἐποίησεν ὁ Δαναός», Σχόλ. Α: ἄνυδρον οὖσαν τὴν Πελοπόννησον *ἔφυδρον ἐποίησε Δαναὸς* ἐξελθὼν ἀπὸ τῆς Αἰγύπτου καὶ οἰκήσας αὐτήν· τῶν γὰρ θυγατέρων αὐτοῦ ζητουσῶν ὑδρεύσασθαι, μιᾶς αὐτῶν, τῆς Ἀμυμώνης, ἠράσθη Ποσειδῶν καὶ ἔδειξεν αὐτῇ, τῇ τριαίνῃ πλήξας, τὰς ἐν Λέρνῃ πηγάς, Ἡσύχ. δίψιον Ἄργος] Ἡσίοδος μὲν τὸ ἄνυδρον, Ἀρίσταρχος δὲ τὸ πολυπόθητον).

53. Ἡ ἀπ' Ἀγήνορος σειρὰ ἐπίσης κατελέχθη· τὰ μὲν περὶ τῶν ἀπὸ Κάδμου ἀναβάλλομεν πρὸς τὴν Σεμέλης Ἠοίαν, Φοῖνιξ δὲ εἶχε δύο παῖδας· Φινεὺς γάρ, ὡς Ἡσίοδός φησι, Φοίνικος τοῦ Ἀγήνορος καὶ «Κασσιεπείας» Σχόλ. Ἀπολλων. 2, 178,

54, R. 56) καὶ ὁ Ἄδωνις τοῦ αὐτοῦ Φοίνικος καὶ Ἀλφεσιβοίας (Ἀπολλόδ. 3, 14, 4, 1. Probus εἰς Βιργιλ. Ε. 10, 18, Ἀπ. 35, R. 57).

Στ. 11. 56 (124). «Ἦν δέ, φασί, Βούτης υἱὸς Ποσειδῶνος ὡς Ἡσίοδος ἐν καταλόγῳ» (Εὐστάθ. Ἰλ. σ. 13). Οἱ Βουτάδαι καὶ Ἐτεοβουτάδαι, τῶν εὐγενεστάτων Ἀθηναίων ὄντες, τούτου ἀπόγονοι ηὔχοντο εἶναι.

## ζ′ Ἀρσινόη ἡ Λευκίππου καὶ Ἀπόλλων.

Ὁ παῖς αὐτῶν Ἀσκληπιὸς πασίγνωστος περὶ τῶν αὐτῷ συμβεβηκότων· τὰ ἑξῆς ὑπόλοιπα·

57 (113). «Μαχάων δὲ οὗτος υἱὸς Ἀσκληπιοῦ καὶ κατά τινας Ἠπιόνης τῆς Μέροπος, κατὰ δὲ Ἡσίοδον Ξάνθης» (Σχόλ. A Ἰλ. Δ 195, πρβλ. BL Ἰλ. Ξ 2).

Ἀσκληπιὸς οὐ μόνον πολλοὺς ἰᾶται, ἀλλὰ καὶ τῇ ἑαυτοῦ τέχνῃ ἀνίστησι νεκρόν.

58 (109). «Πατὴρ ἀνδρῶν τε θεῶν τε
χώσατ', ἀπ' Οὐλύμπου δὲ βαλὼν ψολόεντι κεραυνῷ
ἔκτανε, Λητοΐδαο φίλον σὺν θυμὸν ὀρίνων»

(Ἀθηναγόρας Πρεσβευτικ. κ. 29, πρβλ. Φιλόδημ. π. εὐσεβείας σ. 17», τὸν Ἀσκληπιὸν δ' ὑπὸ Διὸς κεραυνωθῆναι γέγραφεν Ἡσίοδος καὶ Πίνδαρος. Ἀμφότεροι δὲ ἀρύονται ἐξ Ἐπικουρείου τινὸς καταπολεμοῦντος τὴν δεισιδαιμονίαν).

Στ. 1. Μ.: πατὴρ δ'. Ἀλλὰ βεβαίως προηγήσατο τὸ Ἀσκληπιοῦ ὄνομα ἢ τοὐλάχιστον ἀντωνυμία εἰς αὐτὴν ἀναφερομένη.

*τε θεῶν τε*] γρ.: δ' ὅτ', ὅτι ΘΝ = θεῶν.

Στ. 2. *Ψολόεις* συνωνυμεῖ τῷ *αἰθαλόεις*· *ψόλος* γὰρ αἰθάλη.

Στ. 3. Πρβλ. Ἰλ. Ω 467: ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς (ἤτοι ἵνα αὐτῷ τὴν καρδίαν συγκινήσῃς). Οἱ κώδικες παρέχουσι: Λητοΐδην. Περὶ οὗ ἄλλοι κριτικοὶ ἄλλως ἔκριναν: Kiesel: Λητοΐδαο, Isler, Quæstiones Hesiodeæ σ. 11: ἔκτανε, Λητοΐδῃ δὲ φίλον σὺν θυμὸν ὄρινεν, Göttling: Λητοΐδην ἔκτεινε, ἤ: Λητοΐδεω φίλον υἱόν, R.: ἔκτανε Λ. φίλ. υἱέϊ θυμὸν ὀρίνων. Πρὸς τούτοις Köchly εἰς Κόϊντ. Σμυρν. 3, 630 *φίλον* μεταβάλλει εἰς *ὀλοόν*, παράθες ὅμως Ὀδ. θ 178: ὤρινάς μοι θυμὸν ἐνὶ στήθεσσι *φίλοισι*. Meineke (Analecta Alexandrina σ. 71) τὸ *Λητοΐδην* λαμβάνει μαμμωνυμικῶς ἐπὶ Ἀσκληπιοῦ· ἀλλ' εἴθε παρέθηκε παράδειγμα!

59 (111). Τότε δὲ ὁ Ἀπόλλων τοὺς κεραυνοποιοὺς Κύκλωπας ἀπέκτεινεν (Κράτης ἐν Σχολ. Ἡσ. Θεογ. 142: **ἐκ τοῦ τῶν Λευκιππίδων** (1) **καταλόγου**).

60 (112). Διὸ «ἔμελλε μὲν εἰς τὸν Τάρταρον ὑπὸ τοῦ Διὸς ἐμβληθῆναι, τῆς Λητοῦς δ' ἱκετευσάσης ἀνδρὶ ἐθήτευσε» (Φιλόδημος περὶ εὐσεβείας σ. 34).

61 (112). Ἀκολουθεῖ ἡ περὶ τῆς παρ' Ἀδμήτῳ θητείας ἱστορία (Σχόλ. Εὐριπ. Ἀλκήστ. 1).

## η' Κυρήνη καὶ Ἀπόλλων.

62 (149). «Ἀπὸ δὲ Ἠοίας Ἡσιόδου τὴν ἱστορίαν ἔλαβεν ὁ Πίνδαρος, ἧς ἡ ἀρχή·

Ἢ οἵη Φθίῃ, Χαρίτων ἄπο κάλλος ἔχουσα,
Πηνειοῦ παρ' ὕδωρ καλὴ ναίεσκε Κυρήνη»

(Σχόλ. Πινδάρ. Πυθ. 9, 6).

Στ. 1. Ἡ Φθία, Ἀχιλλέως πατρίς, ἐστὶν ἐκ τῶν μυθικῶν πόλεων, αἵτινες ἢ κατηδαφίσθησαν ἢ τὸ ἀρχαῖον ὄνομα εἰς ἀεὶ ἀπώλεσαν. Ἀντὶ τοῦ δευτέρου ἡμιστιχίου Ruhnken καθίστησι τὸ συνώνυμον «Χαρίτων ἀμαρύγματ' ἔχουσα» ἐκ τοῦ Μεγάλου Ἐτυμολογικοῦ σ. 77, 31.

2. Ἐξαίρει τὸν ποταμόν, διότι Κυρήνη αὐτοῦ θυγάτηρ, ὡς δὲ ἄλλοι, ἔγγονος ἦν. Nauck, Mél. γ', σ. 234 ἀναγινώσκει *Πηνεϊοῦ*.

Τὴν ἱστορίαν, ὡς εἴρηται, εὑρήσεις παρὰ Πινδάρῳ, προϋπολογιζέσθω δέ τις, ὅτι ὁ ἔνθεος Θηβαῖος φιλοκάλως, οὐ μὴν φιλολόγως διατίθησι τὴν παράδοσιν.

63. Ὁ υἱὸς αὐτῶν, Ἀρισταῖος, ὠνομάσθη ὑφ' Ἡσιόδου, ὡς Σέρβιος γράφει (εἰς Βιργιλ. Γεωργ. 1, 14), Apollo pastoralis ἤτοι Ἀπόλλων νόμιος. Πρβλ. Ἀπολλών. 2,508· «ἔνθα δ' Ἀρισταῖον Φοίβῳ τέκεν, ὃν καλέουσιν Ἀγρέα καὶ Νόμιον πολυλήϊοι Αἱμονιῆες (Θεσσαλοί)». Ζήτει εἰς Θ. 977.

64 (158). Ἐκ τῶν Φιλοδήμου περὶ εὐσεβείας σ. 60 νῦν τοσοῦτον μόνον εὔγνωστον, ὅτι ἐν ταῖς Ἠοίαις καὶ ἡ τοῦ Ἀρισταίου υἱοῦ, τοῦ δυσμόρου Ἀκταίωνος, τύχη οὐκ ἀπεσιωπήθη.

## θ' Ἀλθαία καὶ Ἄρης.

«Ἐγέννησε δὲ Ἀλθαία παῖδα ἐξ Οἰνέως (βασιλέως τοῦ Καλυδῶνος) Μελέαγρον, ὃν ἐξ Ἄρεος γεγενῆσθαί φασι» (Ἀπολλόδ. 1, 8, 2, 1).

(1) Schömann, Opuscula τ. β', σ. 534: Λευκιππιδῶν.

65 (166). « Ἐς δὲ τοῦ Μελεάγρου τὴν τελευτὴν Ὁμήρῳ μέν ἐστιν εἰρημένα, ὡς ἡ Ἐρινὺς καταρῶν ἀκούσαι τῶν Ἀλθαίας καὶ ἀποθάνοι κατὰ ταύτην ὁ Μελέαγρος τὴν αἰτίαν· αἱ δὲ Ἠοῖαί τε καλούμεναι καὶ ἡ Μινυὰς ὡμολογήκασιν ἀλλήλαις· Ἀπόλλωνα γὰρ δὴ αὗται φασιν αἱ ποιήσεις ἀμῦναι Κούρησιν ἐπὶ τοὺς Αἰτωλοὺς καὶ ἀποθανεῖν Μελέαγρον ὑπὸ Ἀπόλλωνος» (Παυσαν. 10, 31, 3).

66 (97). «Ἀλθαίας δὲ ἀποθανούσης, ἔγημεν Οἰνεὺς Περίβοιαν τὴν Ἱππονόου· ταύτην δὲ . . . . Ἡσίοδος ἐξ Ὠλένου τῆς Ἀχαΐας (λέγει) ἐφθαρμένην ὑπὸ Ἱπποστράτου τοῦ Ἀμαρυγκέως, Ἱππόνουν τὸν πατέρα πέμψαι πρὸς Οἰνέα πόρρω τῆς Ἑλλάδος ὄντα, ἐντειλάμενον ἀποκτεῖναι» (Ἀπολλόδ. 1,8,4,1). Εἰς ταῦτα ἀφορᾷ Πινδάρου σχολιαστής (Ὀλ. ια′ ἢ ι′, 46)· «Τὴν πόλιν δὲ καλεῖσθαί φασι Φύτεον ἀπό τινος Φυτέως, οὗ μέμνηται καὶ Ἡσίοδος οὕτω·

τὴν δ᾽ Ἀμαρυγκείδης Ἱππόστρατος, ὄζος Ἄρηος,

---

Φυτέος ἀγλαὸς υἱός, Ἐπειῶν ὄρχαμος ἀνδρῶν»,

πρβλ. καὶ Στέφ. Βυζάντ. «Φύτειον] πόλις Ἤλιδος τῆς κοίλης, ἀπὸ Φυτέως λέγων αὐτὴν ὠνομάσθαι. Ἴστρος δ᾽ τῶν Ἠλιακῶν». *Φύτειον* καὶ *Φυτεὺς* γράφονται καὶ ἐν Ἐτυμολ. Μεγ. σ. 450,48 καὶ ἐν τῷ Ζωναρᾷ Λεξικῷ, *Φύττειον* δὲ παρὰ Σουίδᾳ. Εἴτε δὲ διπλασιαστέον τὸ ταῦ εἴτε *μή* (1), ἡ ἐν τοῖς σχολίοις γραφὴ Φύκτεον καὶ Φυκτεὺς ἔσφαλται (Στ. 2 κώδικες: Φυκτέως, ἤ, Φυκτεύς, Heinsius: Φυκτέος, G.: Φυκτέως τ᾽). Ὁ Heyne (εἰς Ἀπολλόδ. Β′, σ. 52) ᾔσθετο, ὅτι ἐν τῷ μεταξύ τι λείπει, οὐ μέντοι ἔγνω, ὅτι οὐδὲν ἐλείφθη πλὴν ἀρχὴ καὶ τέλος.

## ι′ Δημοδόκη καὶ Ἄρης.

«Ἀγήνωρ δὲ ὁ Πλευρῶνος γήμας Ἐπικάστην τὴν Καλυδῶνος ἐγέννησε Πορθάονα καὶ Δημονίκην(;), ἧς καὶ Ἄρεος Εὔηνος, Μῶλος, Πύλος, Θέστιος» (Ἀπολλόδ. 1, 7, 7, 2).

67 (58). «Σημαίνει δὲ (τὸ *ἀπειρέσιος*) καὶ ἐπὶ τοῦ κατὰ τὸ εἶδος διαφέροντος καὶ ἄγαν καλοῦ, ὡς παρ᾽ Ἡσιόδῳ ἐν Γυναικῶν Καταλόγῳ ἐπὶ τῆς Ἀγήνορος παιδὸς Δημοδόκης

(1) Παράθες ὅτι γράφεται *Φύτιος* ἐν ἐπιγραφῇ Τεγεατικῇ (Collitz, 1231 C 31).

τὴν πλεῖστοι ἐπιχθονίων ἀνθρώπων
μνήστευον καὶ πολλὰ καὶ ἀγλαὰ δῶρ' ὀνόμηναν,
ἴφθιμοι βασιλῆες, ἀπειρέσιον κατὰ εἶδος»

(Πορφύριος εἰς Ἰλ. Ξ 200, σ. 189, ἔκδ. Schrader, οὗ τὸ σχόλιον μετετέθη καὶ εἰς Ὀδ. α 98).

Στ. 2. *μνήστευον* Heyne εἰς Ἰλ. τ. ϛ', σ. 564] Σχ. Ἰλ.: ἐμνήστευον, Ὀδ.: μνηστεύοντο. Ἐνταῦθα μὲν γέγραπται: πόλλ' ἀγλαὰ ὀνόμηναν, ἐκεῖ δέ: πολλὰ καὶ ἀγλαὰ δῶρ' ὀνόμηνας. Ἡ ἐν τῷ δευτέρῳ ἡμιστιχίῳ φράσις παρ' Ὁμήρῳ συχνάζει (Ἰλ. Ι 121: περικλυτὰ δῶρ' ὀνομήνω, 515: εἰ μὲν γὰρ μὴ δῶρα φέροι, τὰ δ' ὄπισθ' ὀνομάζοι, Σ 449: πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον).

Στ. 3. *κατὰ εἶδος*] Köchly, Opuscula Α', σ. 231: διὰ εἶδος, ὡς Ὀδ. λ 282: γῆμαν ἑὸν διὰ κάλλος.

---

68 (20). Κατὰ Σέρβιον (εἰς Βιργιλ. Αἰν. 7, 268) «Ἡσίοδος *περὶ γυναικῶν* εἰσάγει πολλὰς ἡρωίδας ἐπιθυμούσας γάμους ἀνδρῶν γενναίων». Ἡ Ὁμηρικὴ Ναυσικάα ταὐτὸ ἐποίησεν, εἰ καὶ οἱ αὐλικοὶ Ἀλεξανδρεῖς *ἀπρεπὲς* ἐξέκραγον.

Πόθεν τὸ ἑπόμενον ἀπόσπασμα εἴληπται, ὅλως ἄδηλον:

69 (157). «Διὸ καὶ Ἡσίοδος ἐν ταῖς Ἠοίαις εἶπεν·

Οἷα Διώνυσος δῶκ' ἀνδράσι χάρμα καὶ ἔχθος·
ὅστις ἄδην πίνει, οἶνος δέ οἱ ἔπλετο μάργος·
σύν τε πόδας χεῖράς τε δέει γλῶσσάν τε νόον τε
δεσμοῖς ἀφράστοισι, φιλεῖ δέ ἑ μαλθακὸς ὕπνος»

(Ἀθην. Δειπνοσοφ. ι', σ. 428 BC).

Στ. 1. = Ἀσπ. 400, ὅπου κεῖται *ἄχθος*.

Στ. 2. Γράφε *ἅδην*, μὴ ἄδην· συγγενὲς γὰρ τὸ Λατινικὸν satis.

*μάργος*] «μαινόμενος, ὑβριστής» (Ἡσύχ.).

Τὸ *δὲ* ἀποδοτικόν ἐστιν. O. Schneider, Zeitschrift für Alterthumswissenschaft 1840, σ. 486: οἰνοιό τε ἔπλετο μάργος.

Στ. 4. *ἀφράστοισι*] ἀνεπαισθήτοις καὶ διὰ τοῦτο ἀφεύκτοις. *μαλθακὸς ὕπνος* = Θέογν. 470.

---

## ΜΕΓΑΛΑΙ ΗΟΙΑΙ

### α΄ Νιόβη καὶ Ζεύς.

«Νιόβης δὲ καὶ Διός, ᾗ πρώτῃ γυναικὶ Ζεὺς θνητῇ ἐμίγη, παῖς Ἄργος ἐγένετο» (Ἀπολλόδ. 2, 1, 1, 5).

70 (162). «Κατὰ δὲ Ἀργείων δόξαν καὶ τὰ ἔπη τὰς Μεγάλας Ἠοίας, ἦν Ἐπιδαύρῳ πατὴρ Ἄργος ὁ Διός» (Παυσαν. 2, 26, 2).

71 (155). «Ὑήττου δὲ ἐποιήσατο μνήμην καὶ ὁ τὰ ἔπη συνθείς, ἃς Μεγάλας Ἠοίας καλοῦσιν Ἕλληνες·

Ὕηττος δέ, Μόλυρον, Ἀρίσβαντος φίλον υἱόν,
κτείνας ἐν μεγάροις εὐνῆς ἕνεχ' ἧς ἀλόχοιο,
οἶκον ἀποπρολιπών, φεῦγ' Ἄργεος ἱπποβότοιο,
ἶξεν δ' Ὀρχομενὸν Μινυήιον· καί μιν ὅ γ' ἥρως
δέξατο καὶ κτεάνων μοῖραν πόρεν, ὡς ἐπιεικές»

(Παυσαν. 9, 36, 7, πρβλ. Στέφ. Βυζάντ. λ. Ὕηττος «. . . ἀπὸ Ὑήττου ἀνδρὸς Ἀργείου»).

Στ. 1. *Ὕηττος* ἐπώνυμος χωρίου Βοιωτικοῦ κειμένου πλησίον Ὀρχομενοῦ.

*Μόλυρον*] Schubart: Μόλουρον.

Στ. 3. Συνεδήσαμεν ἂν *οἶκον Ἄργεος*, διότι ἡ σύνταξις *φεύγω τινὸς* οὐχ εὑρίσκεται ἐκτὸς τοῦ συντελικοῦ (Ὀδ. α 18. Σοφ. Φιλοκτ. 1044) πλὴν ἅπαξ ἐν τοῖς Ναυπακτίοις ἔπεσι (: φευγέμεναι μεγάροιο Σχόλ. Ἀπολλων. Ῥοδ. 4, 86). Ἀλλὰ τὸ οὐδετέρως κλίνεσθαι τὸ ὄνομα ἡμᾶς κωλύει. Τὸ εὐλείμων Ἄργος ἱπποτροφοῦσα διατελεῖ. — Ὁ Ὕηττος φεύγει, ὥσπερ ὁ Ἀμφιτρύων τοὺς τοῦ φόνου τιμωροὺς ἤτοι τοὺς Μολύρου συγγενεῖς.

Στ. 4. *ἶξεν*] γρ. ῥίξεν.

*Ὀρχομενὸν Μινυήιον*] (Siebelis: Μινύειον) τὸν Μινύου παῖδα, οὐχὶ τὴν ὁμώνυμον πόλιν (Ἰλ. Β 51. Ὀδ. λ 284 λέγει). Ὁμοίως *Φρίξος Μινυήιος* λέγεται ὑπ' Ἀπολλωνίου (Ἀργον. 1, 763. 4, 117). Τὸ ηι συνιζάνει καθάπερ Ἀχελώιον Θ. 340 καὶ Ὀδυσσήιον ὑπ' ἀνωνύμου ἐπικοῦ (Ἐτυμολ. Μέγ. σ. 139, 53. Γουδιαν. σ. 75, 46). Ἡ *εἰς* πρόθεσις λείπει ἅτε περισσὴ οὖσα, κατὰ τὴν ἐπικὴν διάλεκτον (Köchly, Opuscula Α΄, σ. 232: ἶξε δ' ἐς Ὀ. Μ., ὅς δέ μιν ἧ.).

Στ. 5. πρβλ. Ἀσπ. 84. 85.

## β' Ἀλκμήνη καὶ Ζεύς.

(Πρβλ. Ἀπόσπ. 15 καὶ 40).

72. 73 (159. 160). Ὅτι *πονηρὸς* ἐπὶ τοῦ ἐπιπόνου τάττεται καὶ δυστυχοῦς, ἱκανὸς Ἡσίοδος παραστῆσαι ἐν ταῖς Μεγάλαις Ἠοίαις (ἐκδ. ἐν αἷς, διορθ. Ruhnken Opusc. Β', σ. 593) τὴν Ἀλκμήνην ποιῶν πρὸς τὸν Ἡρακλέα λέγουσαν·

Ὦ τέκος, ἦ, μάλα δή σε πονηρότατον καὶ ἄριστον
Ζεὺς τέκνωσε πατήρ,

καὶ πάλιν

Τέκνον ἐμόν, Μοῖραί σε πονηρότατον καὶ ἄριστον . . .

(Ἀσπάσιος εἰς Ἀριστοτ. Ἠθ. Νικομ. Γ', φύλλ. 43 β', ἔκδ. Ἄλδου, πρβλ. Ἐτυμολ. Μέγ. σ. 682, 26 κἑ. καὶ Ἐτυμ. Γουδιαν. σ. 475, 29).

Τὸ *τέκος* καὶ *τέκνωσε* ἐπηνώρθωται ὑπὸ τοῦ Voss (Randglossen σ. 81) ἀντὶ τοῦ ἐν τῇ ἐκδόσει *τέκνον*, *τέκνωσε*, ἵνα μετρηθῇ τὸ τεκν-Ἀττικῶς. Πρὸς τούτοις Gaisford τὸ ἄρθρον *αἱ* πρὸ τοῦ *Μοῖραι* ἐξήλειψε, κακῶς δὲ Schneider (Zeitschrift für Alterth. 1840, σ. 585, 1) τὸ *ὦ*.

Πρὸς τὸ Ἰολάου γένος ἀναφέρεται ἡ ἀκολουθοῦσα Παυσανίου σημείωσις (9, 40, 6)· «Τὸ δὲ νῦν τοῖς Χαιρωνεῦσιν ὄνομα γεγονέναι (λέγουσιν) ἀπὸ Χαίρωνος, ὃν Ἀπόλλωνός φασιν εἶναι, μητέρα δὲ αὐτοῦ Θηρὼ τὴν Φύλαντος εἶναι· μαρτυρεῖ δὲ καὶ ὁ τὰ ἔπη τὰς Μεγάλας Ἠοίας συνθείς·

74 (154). «Φύλας δ' ὤπυιεν κούρην κλειτοῦ Ἰολάου
Λειπεφίλην· ἥ, εἶδος Ὀλυμπιάδεσσιν ὁμοίη,
Ἱππότην τέ οἱ υἱὸν ἐνὶ μεγάροισιν ἔτικτε
Θηρώ τ' εὐειδῆ, ἰκέλην φαέεσσι σελήνης.
Θηρὼ δ' Ἀπόλλωνος ἐν ἀγκοίνῃσι πεσοῦσα
γείνατο Χαίρωνος κρατερὸν μένος ἱπποδάμοιο».

Στ. 1. *Φύλας*] υἱὸς Ἀντιόχου τοῦ Ἡρακλέους (Παυσαν. 2, 4, 3. Ἀπολλόδ. 2,8,3,2).

*κλειτοῦ*] Nauck Mél. γ', σ. 214: κλεϊτοῦ.

Στ. 2. *Λειπεφίλην*] Heinsius: Λειποφίλην, Kuhn: Δηϊφίλην, G.: Ἱπποφίλην.

ἢ Ϝεῖδος Flach] *λειπεφιλήνη· εἶδος ἢ λεῖπε φιληνὴ εἶδος*,

Παρισῖν. 1399: λείπεφιλήνην εἶ., Köchly, Opusc. Α', σ. 232: ἢ δ'.

Στ. 3. *Ἱππότην*] Τὸ μὲν ἐν Μόσχῃ χειρόγραφον *ἱπποτη*, τὰ δὲ ἄλλα οὐδὲ γράμμα. Facius ἐξέδωκεν *Ἱππότην* (Palmerius: -ώ-) καθάπερ ὠνόμασται ὑπ' Ἀπολλοδώρου καὶ Παυσανίου (αὐτ.). Οὐκ ἐξῆν δηλαδὴ ἄλλως ἐμβαλεῖν τὸ ὄνομα εἰς τὸ ἑξάμετρον, ὥσπερ καὶ *Ἰφίτου* Ἰλ. Β 518, *Ἰλίου* Ἰλ. Β 518 καὶ *Αἰόλου* Ὀδ. κ 36.60 (Sylburg: ἡ δέ οἱ Ἱππότε', Ἰωνικῇ αἰτιατικῇ, Boissonade: Ἱππότεά τέ οἱ, Siebelis: Ἱπποτάδην, Köchly: Ἱππόθοον, R.: Ἵππωτον).

*τέ* Köchly] δὲ. Πρὸς δὲ τὴν φράσιν παράθες Ἰλ. Ω 497: τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.

Στ. 4. *Θηρώ τ' εὐειδῆ*] Nauck Mél. ε', σ. 134: Θηρόα, R.: εὐειδέα. — Τὸ ὅτι τὸ γυναικὸς κάλλος ἀφομοιοῦται τῷ τῆς σελήνης φωτί, διέμεινε μέχρι ἡμῶν ἔν τε τῇ Ἑλλάδι καὶ τῇ Ἀνατολῇ ἁπάσῃ.

Στ. 5. *Ἀγκοίνῃσι* ἀνήκει, ὡς ἐμάθομεν ἐξ ἐπιγραφῆς Ἀττικῆς (Corpus Inscr. Attic. β', ἀρ. 807 α 44), πρὸς τὴν ὀνομαστικὴν ἄγκοινα (= ἀγκών).

Στ. 6. Χαίρωνος] Heinsius: Χείρωνος. Στέφανος ὁ Βυζάντιος μάρτυρα ταύτης τῆς γενεαλογίας καλεῖ Ἑλλάνικον «ἐν δευτέρῳ ἱερειῶν Ἥρας», ὅσπερ ἴσως τοὺς Ἡσιοδείους στίχους παρέθετο.

Περὶ Ἡρακλέους καὶ τῶν Ἡρακλειδῶν ὀλίγα τινὰ εὑρίσκομεν.

75. «Εἴληπται δὲ ἐκ τῶν Μεγάλων Ἠοιῶν ἡ (παρὰ Πινδάρῳ) ἱστορία· ἐκεῖ γὰρ εὑρίσκεται ἐπιξενούμενος ὁ Ἡρακλῆς τῷ Τελαμῶνι καὶ ἐμβαίνων τῇ δορᾷ καὶ εὐχόμενος, καὶ οὗτος ὁ Διόπομπος αἰετός, ἀφ' οὗ τὴν προσωνυμίαν ἔλαβεν Αἴας» (Σχόλ. Πινδάρ. Ἰσθμ. ε' ἢ ϛ', 53).

76. «Ὕλλου μὲν τοῦ Ἡρακλέους θυγατρὶ Εὐαίχμῃ συνοικῆσαι Πολυκάονα, υἱὸν Βούτου, λεγούσας τὰς Μεγάλας οἶδα Ἠοίας, τὰ δὲ ἐς τὸν Μεσσήνης ἄνδρα καὶ τὰ ἐς αὐτὴν Μεσσήνην παρεῖταί σφισι» (Παυσαν. 4, 2, 1).

## γ' Κορωνὶς καὶ Ἀπόλλων.

77 (147). «Ἢ οἵη Διδύμους ἱεροὺς ναίουσα κολωνοὺς
Δωτίῳ ἐν πεδίῳ, πολυβότρυος ἄντ' Ἀμύροιο,
νίψατο Βοιβιάδος λίμνης πόδα παρθένος ἀδμής»

(Στράβ. Θ', σ. 442: τοῦτο [τὸ Δώτιον πεδίον] δ' ἐστὶ πλησίον τῆς ἄρτι λεχθείσης Περραιβίας καὶ τῆς Ὄσσης καὶ ἔτι τῆς

Βοιβηΐδος λίμνης, ἐν μέσῃ μέν πως τῇ Θεσσαλίᾳ, λόφοις δὲ διδύμοις (κώδικες: ἰδίοις) περικλειόμενος, περὶ οὗ Ἡσίοδος οὕτως εἴρηκεν· . . ., ΙΔ΄, σ. 647: τὰ Δίδυμα ὄρη ἐν Θετταλίᾳ, περὶ ὧν φησιν Ἡσίοδος· ..., Στέφ. Βυζάντ. λ. Ἄμυρος—ἡ πόλις θηλυκόν, ἄδηλον δὲ τὸ Ἡσιόδειον· στ. 2).

Στ. 1. Meineke ἀπαιτεῖ τὸ μνημονεύεσθαι ἀμέσως ἐν τῇ ἀρχῇ τὸ Κορωνίδος ὄνομα, διὸ προτείνει: ὄχθους ναίουσα Κορωνίς (Vindiciæ Strabonianæ σ. 160-1).

Στ. 2. *Δωτίῳ ἐν πεδίῳ*] πρβλ. Ὕμν. 16, 2. 3: τὸν ἐγείνατο δῖα Κορωνὶς Δωτίῳ ἐν πεδίῳ, κούρη Φλεγύου βασιλῆος.

*ἄντ' Ἀμύροιο*] Στέφ. Βυζάντ. αὐταμύροιο, Casaubonus: ἄγχ' Ἀμύροιο. Ἀλλὰ ἡ τοποθεσία ἔχει ὧδε· Πρὸς βορρᾶ τοῦ Βώλου λίμνη ἐκτείνεται, ἥτις καθ' ἡμᾶς μὲν τὸ ὄνομα ἔχει ἀπὸ τοῦ χωρίου Καρλά, τότε δὲ ἀπὸ τῆς πόλεως *Βοίβης*. Τὴν δὲ πρὸς δύσεως ὄχθην ἀποτελεῖ πεδίον εὔκαρπον (αὐτὸ τὸ *Δώτιον*), ἐξ οὗ λόφος αἴρεται πλησίον τῆς κώμης Πέτρας, τὸν δὲ *δίδυμον* νῦν τὰ ὕδατα περικλείουσιν. Ἀντικρὺ τῶν λόφων τούτων, πρὸς βορρᾶ τῆς λίμνης, εὑρήσεις τὰ τῆς Ἀμύρου ἐρείπια οὐ μακρὰν τοῦ «Καστρίου». Ἡ πόλις, ὅπου ἡ κόρη ἔθαλλεν, ὀνομάζεται *Λακέρεια* ὑπὸ τοῦ Θηβαίου λυρικοῦ ἐν χωρίῳ, ὅπερ ὑπαινίττεται τὸ Ἡσιόδειον (Πυθ. 2,34: ἐς Λακέρειαν, ἐπεὶ παρὰ Βοιβιάδος κρημνοῖσιν ᾤκει παρθένος).

Στ. 3. *Νίψατο* συντάσσεται ἐπικῶς μετὰ γενικῆς καθάπερ λοεσσάμεναι Θ. 5. Αὐτόθι κύριον ἀντικείμενον *χρόα*, ὅπερ καὶ ἐνταῦθα τῷ Köchly (Opuscula Α΄, σ. 232) δοκεῖ διεφθάρθαι εἰς *πόδα* (γρ. πόθῳ). Ὁ *Βοιβιὰς* τύπος χάριν τοῦ μέτρου συντέτμηται ἐκ τοῦ Βοιβη-ϊὰς = Βοιβη-ίς.

*παρθένος ἀδμής* = Ὀδ. ζ 109. 228. Ἀρίδηλον, ὅτι Ἀπόλλων Κορωνίδα εἶδε λουομένην καὶ ἠράσθη αὐτῆς ἀντερώμενος.

«Ἔσχε τοιαύταν μεγάλαν ἀάταν καλλιπέπλου λῆμα Κορωνίδος· ἐλθόντος γὰρ εὐνάσθη ξένου λέκτροισιν ἀπ' Ἀρκαδίας». Οὕτω παραπονεῖται Πίνδαρος, ἑπόμενος Ἡσιόδῳ (Πυθ. 3,23-5).

78 (148). «Τῷ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς
Πυθὼ ἐς ἠγαθέην, φράσσεν δ' ἄρα ἔργ' ἀίδηλα
Φοίβῳ ἀκερσεκόμῃ, ὅτ' ἄρ' Ἴσχυς ἔγημε Κορωνὶν
Ἐλατίδης, Φλεγύαο διογνήτοιο θύγατρα»

(Σχόλ. Πινδ. Πυθ. 3,48 «ἱστορεῖται γὰρ ὅτι τὴν Ἴσχυος μῖξιν ἐδήλωσεν αὐτῷ (τῷ Ἀπόλλωνι) ὁ κόραξ· παρὸ καὶ δυσχεράναντα ἐπὶ τῇ ἀγγελίᾳ τὸν Ἀπόλλωνα ἀντὶ λευκοῦ μέλανα αὐτὸν

ποιῆσαι». Τοῦτον δὲ τὸν μῦθόν φησι Πίνδαρον **διώσασθαι.** Ἡσίοδος ἄρα φαίνεται, ὅτι αὐτὸν παρέθηκεν. «Τὸν δὲ περὶ τὸν κόρακα μῦθόν φησι (Ἀρτέμων) καὶ Ἡσίοδον μνημονεύοντα λέγειν οὕτω». (Οἱ στ. 1, 3, 4 ἀναφέρονται καὶ εἰς στ. 14 τοῦ Πινδάρου).

Στ. 1. *ἱερῆς ἀπὸ δαιτός*] ἀπὸ τοῦ γαμηλίου δείπνου, ὅπερ ἱερόν, καθόσον πρότερον ἔθυον τοῖς γαμηλίοις θεοῖς.

Στ. 2. *Πυθὼ*] Nauck Mél. ε', σ. 134: Πυθό'. Πρβλ. Ὀδυσσ. θ 80: Πυθοῖ ἐν ἠγαθέῃ. Ἀπόλλων ὡς ἐπὶ τὸ πλεῖστον τοὺς ἱεροὺς Δελφοὺς κατοικεῖ χάριν τῶν χρηστηριαζομένων.

*φράσσεν δ' ἄρα* Ϝέργ' Σχ. 14 (φράσε, δ' ἄρ)] Σχ. 48: καί ῥ' ἔφρασεν ἔργα. Koch εἰς Ἀντωνῖνον Λιβεράλην 40, σ. 270: φάσε = ἔφησε!

*Ἀΐδηλα* κυρίως μὲν ἀϊδῆ, σκοτεινά, ἐνταῦθα δὲ μεταφορικῶς *μαῦρα*.

Στ. 3. *Φοίβῳ ἀκερσεκόμῃ*] Kaibel Ἐπιγράμμ. 800,1 καὶ 801,1 τὴν αὐτὴν γραφὴν χορηγεῖ, ἐν δὲ ταῖς προσθήκαις 805 a 8 τὴν κοινοτέραν *ἀκειρεκόμῃ* ἤτοι τῷ μὴ κείραντι τὴν κόμην.—Ὁ κόραξ Ἀπόλλωνι ἀφιέρωτο· ἔτι δὲ οἱ παλαιοὶ ἤδη τὰ πετεινὰ ἀγγελιαφόρα ἐφαντάζοντο, οἷον Ἑρμιόνη ἐν τῇ Κολούθου ἐποποιΐᾳ (στ. 374 κέ.) αὐτὰ παρακαλεῖ ἀγγεῖλαι Μενελάῳ τὴν Ἑλένης φυγήν. Ἐν δὲ τοῖς τῶν νεωτέρων ᾀσματίοις ἡ ποιητικὴ αὕτη ἰδέα μάλιστα θάλλει, λ.χ. «ὁ Χάρος κάπου τἄκουσε· κἄτι πουλὶ τοῦ τῶπε;» (Passow 413,3 πρβλ. 414,4. 415,5). Ὅθεν A. Luber ἰδιαιτέραν πραγματείαν (Die Vögel in den historischen Volksliedern der Neugriechen ὡς πρόγραμμα τοῦ ἐν Salzburg γυμνασίου 1882 ἐξέδωκεν.

*ὅτ' ἄρ'* Σχ. 14] ὅτ', ὅττ' Σχ. 48, M.: ὅτι, Flach: ὅτι Ϝίσχυς.

*γῆμε*] Σχ. 14 γρ. ἔγημε.

*Κορωνὶν*] ὁ τύπος ἀναλογεῖ τῷ *ἀψὶν* Ἕ. 426.

Στ. 4. *Ἐλατίδης* (κώδικες: Εἰλατίδης, ὡς Πινδάρ. Ὀλ. 6,33)] υἱὸς Ἐλάτου τοῦ τῶν Λαπιθῶν βασιλέως.

*Φλεγύαο* Φλεγύα.

*διογνήτοιο*] συνωνυμεῖ τῷ Ὁμηρικῷ *διογενής*.

Τὰ λοιπὰ ζήτει παρὰ Πινδάρῳ Πυθ. 3,31—46.

## δ' Μηκιονίκη καὶ Ποσειδῶν.

79 (152). «Ἢ οἵη Ὑρίῃ πυκινόφρων Μηκιονίκη,
ἣ τέκεν Εὔφημον γαιηόχῳ Ἐννοσιγαίῳ
μιχθεῖσ' ἐν φιλότητι πολυχρύσου Ἀφροδίτης»

(Σχόλ. Πινδάρ. Πυθ. 4,35, ὁ δὲ Ἀσκληπιάδης τὰ ἐν ταῖς Μεγάλαις Ἠοίαις παρατίθεται).

Στ. 1. *Ὑρίη ἢ Ὑρέη*] ἐν πολιχνίῳ πλησίον τοῦ Εὐρίπου.

Στ. 2. *Εὔφημος* ἔνδοξος ἐγένετο, μετασχὼν τῆς Καλυδωνίας θήρας καὶ τοῦ εἰς Κόλχον πλοῦ (Παυσαν. 5,17,9: Εὔφημος Ποσειδῶνός τε ὢν **κατὰ τὸν τῶν ποιητῶν λόγον** καὶ Ἰάσονι ἐς Κόλχους τοῦ πλοῦ μετεσχηκώς).

*Γαιηόχῳ*] Μόνον οὐχ ἅπαντες ἔχουσι *γαιαόχῳ*. Παράθες Θ. 15.

Στ. 3. = Θ. 980.

## ε΄ Πειρήνη ἢ Ἀρήνη καὶ Ποσειδῶν.

80 (164). «Πεποίηται δὲ ἐν Ἠοίαις Μεγάλαις Οἰβάλου θυγατέρα εἶναι Πειρήνην» (Παυσαν. 2,2,3, ὅς τὴν αὐτὴν 4,2,4 Ἀρήνην καλεῖ). Οἴβαλος βασιλεὺς καὶ ἥρως Σπάρτης ἦν (Παυσαν. 3,15,10), οὗ παῖς ὁ Τυνδάρεως. Πρβλ. καὶ Ἀπολλόδωρ. 3,10,3,4· «Ἀφαρέως μὲν οὖν καὶ Ἀρήνης τῆς Οἰβάλου Λυγκεύς τε καὶ Ἴδας καὶ Πεῖσος, κατὰ πολλοὺς δὲ Ἴδας ἐκ Ποσειδῶνος λέγεται» Σχόλ. Ἀπολλων. 1,158· «Φερεκύδης τὴν μητέρα τῶν περὶ Ἴδαν Ἀρήνην φησίν, ἀφ' ἧς ἡ πόλις. . . ., Ἀρήνη δὲ πόλις Πελοποννήσου πλησίον Πύλου» (Ἰλ. Β 591. Λ 723). Ἦν δὲ καὶ κρήνη οὕτως ὀνομαζομένη ἐν Λεπρείῳ τῆς Ἤλιδος (Παυσαν. 5,5,6).

Περὶ Ἐνδυμίωνος ζήτει εἰς 9.

Πρὸς τούτοις συναγείρομεν διεσπαρμένα τινά, ἅτινα ἀνεπαρκῆ πρὸς ἐπανόρθωσιν Ἠοιῶν.

81 (163). Μυκήνην «εἶναι θυγατέρα Ἰνάχου, γυναῖκα δὲ Ἀρέστορος τὰ ἔπη λέγει, ἃ δὴ Ἕλληνες καλοῦσιν Ἠοίας Μεγάλας· ἀπὸ ταύτης οὖν γεγονέναι καὶ τὸ ὄνομα τῇ πόλει φασίν» (Παυσαν. 2,16,4), πρβλ. Σχόλ. Ὀδ. β 120 «Μυκήνη Ἰνάχου θυγάτηρ καὶ Μελίας τῆς Ὠκεανοῦ, ἧς καὶ Ἀρέστορος Ἄργος, ὡς ἐν τῷ (Διονυσίου Σκυτοβραχίονος) Κύκλῳ φέρεται».

82 (165). «Ἀπέθανε δὲ ὑπὸ τοῦ Οἰνομάου, κατὰ τὰ ἔπη τὰς Μεγάλας Ἠοίας, Ἀλκάθους ὁ Πορθάονος, δεύτερος οὗτος ἐπὶ τῷ Μάρμακι, μετὰ δὲ Ἀλκάθουν Εὐρύαλος καὶ Εὐρύμαχός τε καὶ Κρόταλος· τούτων μὲν οὖν γονέας τε καὶ πατρίδας οὐχ οἷά τε ἦν πυθέσθαι μοι (ἤτοι ἀπεσιώπησεν ὁ ποιητής)· τὸν δὲ ἀποθανόντα ἐπ' αὐτοῖς Ἀκρίαν τεκμαίροιτο ἄν τις Λακεδαιμόνιόν τε εἶναι καὶ οἰκιστὴν Ἀκριῶν· ἐπὶ δὲ τῷ Ἀκρίᾳ Κάπετόν φασιν ὑπὸ τοῦ Οἰνομάου φονευθῆναι καὶ Λυκοῦργον Λάσιόν τε καὶ Χαλκώδοντα καὶ Τρικόλωνον . . . . Τρικολώνου δὲ ὕστερον ἐπέλαβεν ἐν τῷ δρόμῳ τὸ χρεὼν Ἀριστόμαχόν τε καὶ Πρίαντα,

ἔτι δὲ Πελάγοντα καὶ Αἰόλιόν τε καὶ Κρόνιον (1)» (Παυσαν. 6,21,10.11). Τὰ τῶν μνηστήρων ὀνόματα ἄλλα ἄλλοθι φέρονται, ἅμα τε ὁ ἀριθμὸς παραλλάσσει· ὃ δὲ περιεργότερον, ὁ Πινδάρου σχολιαστὴς εἰς Ὀλ. 1,127 *τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσας* σημειοῦται· «τούτῳ τῷ ἀριθμῷ τῶν ἀπολωλότων μνηστήρων καὶ Ἡσίοδος καὶ Ἐπιμενίδης συμμαρτυροῦσιν». Οὐκ ἀδύνατον ὅμως τὸν σχολιαστὴν ἀναφέρειν τὸν Κατάλογον.

83. «Ἐν δὲ ταῖς Μεγάλαις Ἠοίαις λέγεται, ὡς ἄρα Μελάμπους φίλτατος ὢν τῷ Ἀπόλλωνι ἀποδημήσας κατέλυσε παρὰ Πολυφάντῃ· βοὸς δὲ αὐτῷ τεθυμένου, *δράκοντος* ἀνερπύσαντος παρὰ τὸ θῦμα, διαφθεῖραι αὐτὸν τοὺς θεράποντας τοῦ βασιλέως χαλεπήναντος, τὸν δὲ Μελάμποδα (2) λαβεῖν καὶ θάψαι· τὰ δὲ τούτων ἔγγονα τραφέντα ὑπὸ τούτου, λείχειν τὰ ὦτα καὶ ἐμπνεῦσαι αὐτῷ τὴν μαντικήν· διόπερ κλέπτοντα αὐτὸν τὰς βόας τοῦ Ἰφίκλου εἰς Αἴγιναν τὴν πόλιν περιληφθέντα δεθῆναι, καὶ τοῦ οἴκου μέλλοντος πεσεῖν, ἐν ᾧ ἦν ὁ Ἴφικλος, τῇ διακόνων πρεσβύτιδι (οἵα τις Εὔμαια ἐν τῇ Ὀδυσσείᾳ) μηνῦσαι τοῦ Ἰφίκλου καὶ τούτου χάριν ἀφεθῆναι» (Σχόλ. Ἀπολλων. 1,118).

84 (172). «Ἐν δὲ ταῖς Μεγάλαις Ἠοίαις Φόρβαντος καὶ Ἑκάτης ἡ Σκύλλα» (Σχόλ. Ἀπολλων. 4,828).

85 (170). Πεπηρῶσθαι δὲ Φινέα φησὶν Ἡσίοδος ἐν Μεγάλαις Ἠοίαις, ὅτι Φρίξῳ ὁδὸν ἐμήνυσεν» (Σχόλ. Ἀπολλων. 2,181).

86 (171). «Ἀκουσίλαος δὲ καὶ Ἡσίοδος ἐν ταῖς Μεγάλαις Ἠοίαις φασὶν ἐξ Ἰοφώσσης τῆς Αἰήτου» τοὺς Φρίξου παῖδας (Σχόλ. Ἀπολλων. 2,1122).

87 (176). Πρὸς τούτοις Ἀντωνῖνος Λιβεράλης εἰς τὴν 23ην ἐρωτικὴν ἱστορίαν, ἣ διατρίβει περὶ Ὑμέναιον τὸν Μάγνητος, καὶ τῆς πολυθρυλήτου ὑφ' Ἑρμοῦ κλοπῆς τῶν Ἀπόλλωνος βοῶν, παραπέμπει πρὸς ἄλλα τε καὶ τὸ περὶ οὗ ὁ λόγος ποίημα.

---

(1) Ὑπόκειται τὸ ἔμμετρον·
—⏑⏑— Πελάγοντα καὶ Αἰόλιον Κρόνιόν τε.

(2) Παραδέδοται· τοῦ β. τοῦ δὲ βασιλέως χαλεπήναντος τὸν Μελάμποδα.

## ΑΔΗΛΑ ΓΕΝΕΑΛΟΓΙΚΑ

### α' Αἴγινα καὶ Ζεύς.

88 (100). «Ἡ δ' ὑποκυσαμένη τέκεν Αἰακὸν ἱππιοχάρμην·
αὐτὰρ ἐπεί ῥ' ἥβης πολυεράτου ἵκετο μέτρον,
μοῦνος ἐὼν ἤσχαλλε· πατὴρ δ' ἀνδρῶν τε θεῶν τε,
ὅσσοι ἔσαν μύρμηκες ἐπεράτου ἔνδοθι νήσου,
τοὺς ἄνδρας ποίησε βαθυζώνους τε γυναῖκας·
οἵ δή τοι πρῶτοι ζεῦξαν νέας ἀμφιελίσσας»

(Θεαγένης ἐν τῷ περὶ Αἰγίνης παρὰ Σχολ. Πινδάρ. Νεμ. 3,21· ὁ τελευταῖος στίχος ὑπὸ τοῦ σχολιαστοῦ εἰς Ὀλ. 6,26 ἐπαναλαμβάνεται, ᾧ προσάπτει·

7 «πρῶτοι δ' ἱστί' ἔθεν νηὸς πτερὰ ποντοπόροιο».

Ἐκ τῶν σχολίων ἐκείνων Τζέτζης εἰς Λυκόφρ. 176 ἠρύσατο στ. 1-6 (ἐν τῇ Ἡρωϊκῇ Γενεαλογίᾳ, ἤ, Ἡρωγενεαλογίᾳ).

Στ. 1. Συχνάζει πλὴν τοῦ ἀντικειμένου· τὸ ἐπίθετον, ὅ,τι δηλοῖ τὴν τῶν εὐγενεστάτων ἱπποτροφίαν, προτετύπωται ὑφ' Ὁμήρου (Ἰλ. Ω 257. Ὀδ. λ 259).

*τέκεν*] Τζέτζ. γρ. τέκεν υἱόν, τέτοκεν υἱόν.

Στ. 2. Ὁμοιάζει Ἕ. 132 καὶ Ὀδ. ο 366: αὐτὰρ ἐπεί ῥ' ἥβην πολυήρατον ἱκόμεθ' ἄμφω· πολυεράτου, ἐγώ· πολυηράτου (-υηρ-).

Στ. 3. Ζεὺς τὴν Αἴγιναν ἥρπασεν ἐκ τοῦ πατρὸς Ἀσωποῦ εἰς τὴν τότε ἀοίκητον νῆσον, ἣ ἀπὸ ταύτης τὸ ὄνομα ἔλαβεν.

Στ. 4. Ὁ μῦθος ἐτυμολογικὸς καθότι οἱ ἀρχαιότατοι κάτοικοι *Μυρμιδόνες* ἐκαλοῦντο·

*ἐπεράτου* (ἐπηρ.)] ἡ νῆσος τῷ ὄντι ἐρατεινὴν ἔποψιν χορηγεῖ, ἄν τις εἰσπλέῃ εἰς τὸν λιμένα, τῆς πόλεως κειμένης ζωγραφικῶς καὶ περικυκλουμένης εὐφόρῳ χώρᾳ.

*ἔνδοθι*] Τζέτζ. «γρ.: ἔνδοθε, Σχόλ. γρ.: ἔνδοθεν», πρβλ. τὴν κριτικὴν εἰς Ε. 523 σημείωσιν.

Στ. 5. *τοὺς* Σχόλ. Τζέτζ., Monacensis] τόσους. Τὸ δεύτερον ἡμιστίχιον εἴληπται ἐξ Ὁμήρου· αἱ γυναῖκες βαθύζωνοι καλοῦνται, ἀντικειμένων τῶν ἀναζωννυμένων ἀνδρῶν.

Στ. 6. *δή τοι*, ἤ, *δ' ἤτοι*, ἴδε σ. 404.

*πρῶτοι* Τζέτζ. γρ.] πρῶτον Σχόλ., Τζέτζ. γρ., πρῶτα Τζέτζ. γρ. Οἱ Αἰγινῆται πρῶτοι τῶν Ἑλλήνων τὴν θάλασσαν οἷον πανδημεὶ ἐπέπλευσαν, ὅθεν πρὸ τῆς τῶν Ἀθηναίων θαλασσο-

κρατίας οἱ πλεῖστοι Αἰγινητικὰ νομίσματα καὶ μέτρα μετεχειρίζοντο.

*ζεῦξαν*] τεῦξαν Σχόλ. Ὀλ. Τὸ ῥῆμα μετὰ τῶν τῆς νεὼς ζυγῶν συνάφειαν ἔχει.

*ἀμφιελίσσας* καλεῖ Ὁμηρικῶς τὰς ναῦς, ὧν ἥ τε πρῷρα καὶ ἡ πρύμνη εἰς τὸ ἄνω κέκαμπται.

Στ. 7· *ἱστί' ἔθεν νηὸς* Böckh] ἡ παράδοσις ἔχει τὸ τῇ μετρικῇ καὶ γραμματικῇ ἐναντιούμενον «ἱστία θέσσαν νεὼς» πλὴν ὁ ἐκ Γοττόρπης κῶδιξ «ἱστία θέσσαν ἐπὶ». Heinsius: ἱστία θέντο νεὼς κυανοπρῴροιο, G.: ἐστόλισαν νηὸς π. π., Böckh: ἱστία νηὸς ἐπὶ π.π. | θέσσαν, ἤ, ἱστία θέσσαν ἔπι π.π. | νηὸς ἐϋσσέλμου, Hermann: ἱστία θέσσαν ἔπι π. ποντοπορούσαις ἤ-ῆσαι. Εὐκατάληπτον, ὅτι ὁ σπάνιος τύπος *ἔθεν*, ὃς ἀναλογεῖ τῷ ἔδον Θ. 30, παραφθορὰν ἔπαθεν. Περὶ τῶν νεὼς πτερῶν, ἃ ἐντεῦθεν ἀναφέρει ὁ παλαιὸς Ἀριστείδου ἐξηγητής (σ. 54, ἔκδ. Dindorf) εἴρηται εἰς Ἔ. 628. Τὸ ῥῆμα συνηχεῖ τῇ ναυτικῇ λέξει *στόλος*.

89 (104). Αἰακοῦ ἐξεγένοντο Τελαμών (ἴδε Ἀπόσπ. 75), Μενοίτιος «ὁ Πατρόκλου πατήρ» (Εὐστάθ. Ἰλ. Α 335, μαρτυροῦντος Ἡσιόδου), καὶ Πηλεύς. Περὶ οὗ Ὅμηρος περισσότερα οὐκ εἴρηκε, φησὶν ὁ Ῥωμαῖος τραγικὸς Ἄκκιος, ἐπειδὴ Ἡσίοδος προηγήσατο (ἴδε Γελλίου Ἀττικὰς Νύκτας 3,11,5). Πρῶτον μὲν οὖν τῷ Ἡσιοδείῳ Πηλεῖ ἐπιτυγχάνομεν ἥκοντι εἰς Ἰωλκόν, ὅπου ἡ Ἀκάστου τοῦ βασιλέως γυνή, ἐρασθεῖσα αὐτοῦ, ἐπεὶ ἀντέρωτος οὐκ ἔτυχε, τὸν ἥρωα διέβαλε πρὸς τὸν ἄνδρα ὡς πειρασαμένου αὐτήν.

90 (37). Ὅμηρος δὲ «συντόμως τὰ ἀρχαῖα δεδήλωκε *μιγῆναι οὐκ ἐθελούσῃ*, ἀλλ' οὐχ ὥσπερ Ἡσίοδος τὰ περὶ τοῦ Πηλέως καὶ τῆς Ἀκάστου γυναικὸς διὰ μικρῶν ἐπεξελθών» (Πορφύριος εἰς Ἰλ. Ζ 164). «Ἃ Ἄκαστος ἀκούσας κτεῖναι μὲν ὃν ἐκάθηρεν οὐκ ἠβουλήθη, ἄγει δὲ αὐτὸν ἐπὶ θήραν εἰς τὸ Πήλιον. . . . . ἀποκοιμηθέντος αὐτοῦ ἐν τῷ Πηλίῳ, ἀπολιπὼν Ἄκαστος καὶ τὴν μάχαιραν ἐν τῇ τῶν βοῶν κόπρῳ κρύψας ἐπανέρχεται» (Ἀπολλόδ. 3,13,3, 3.4).

Εἰς ταῦτα ἀφορᾷ τὸ ἀκόλουθον χωρίον·

91 (38). «Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
αὐτὸν μὲν σχέσθαι, κρύψαι δ' ἀδόκητα μάχαιραν
καλήν, ἥν οἱ ἔτευξε περικλυτὸς Ἀμφιγυήεις,
ὡς, τὴν μαστεύων, οἶος κατὰ Πήλιον αἰπὺ
αἶψ' ὑπὸ Κενταύροισιν ὀρεσκῴοισι δαμείη»

(Δίδυμος, Σχόλ. Πινδάρ. Νεμ. 4,95 «ταῦτα δὲ ἱστοροῦσι πολλοὶ μέν, ἀτὰρ δὴ καὶ Ἡσίοδος λέγων οὕτως»).

Στ. 1. = Ἰλ. Β 5. Κ 17. Ξ 161.

Στ. 2. *αὐτὸν μὲν σχέσθαι*] Heyne εἰς Ἀπολλόδ. ιβ', σ. 312: αὐτοῦ μὲν σχέσθαι. Ὁ νοῦς· Αὐτὸς «κτεῖναι ὃν ἐκάθηρεν (ἀπὸ φόνου) οὐκ ἠβουλήθη» (Ἀπολλόδ.).

*ἀδόκητα*] ἀοράτως, παρὰ τὸ δοκέω, -εύω (κατασκοπέω).

Στ. 3. *περικλυτὸς Ἀμφιγυήεις* = Θ. 571 κτλ.

Στ. 4. *μαστεύων*] παρὰ τὸ μα(σ)-ίομαι (ζητῶ).

Στ. 5. *ὀρεσκῴοισι*] Ἡ μὲν σημασία οὐκ ἀμφιγνοεῖται, ὅτι ὄρειος. Περὶ δὲ τῆς ἐτυμολογίας ἱκανήν τινα πρότασιν ἀγνοοῦμεν.

92 (103). Σωθεὶς ὑπὸ Χίρωνος ἢ Ἑρμοῦ, Πηλεὺς ἐμνηστεύσατο τὴν Περιήρους θυγατέρα, ἣν «Ζηνόδοτος Κλεοδώρην φησίν, Ἡσιόδου καὶ τῶν ἄλλων Πολυδώρην αὐτὴν καλούντων» (Σχόλ. λεγ. Townleiana Ἰλ. Π 175). Ἀκολουθεῖ ὁ Πηλέως καὶ Θέτιδος γάμος, ἧς ἑορτῆς οἱ θεοὶ μετέσχον. Αἱ δὲ Μοῦσαι ᾖσαν τὸ ἐπιθαλάμιον·

93 (102). «Τρὶς μάκαρ Αἰακίδη καὶ τετράκις, ὄλβιε Πηλεῦ,
ὃς τοῖσδ᾽ ἐν μεγάροις ἱερὸν λέχος εἰσαναβαίνεις»....

(Τζέτζης Προλεγ. εἰς Λυκόφρονα σ. 261: ἐπιθαλαμιογράφοι.... οἷος ἦν ὁ Ἀγαμήστωρ ὁ Φαρσάλιος καὶ ἕτεροι καὶ Ἡσίοδος αὐτὸς γράψας ἐπὶ θαλάμου [γρ. ἐπιθαλάμια, -ιον] εἰς Πηλέα καὶ Θέτιν, πρβλ. Φαβωρίνου Λεξικὸν σ. 612 Α ἢ 706,35, ἔκδ. Βασιλ.). Ταὐτὰ διακριβοῦσι Πίνδαρος Νεμ. 5,22 κέ. καὶ Εὐριπίδ. Ἰφιγ. Αὐλ. 1040 κέ. καὶ δὴ Ἀλεξανδρεὺς ποιητὴς κεχωρισμένως τὸ ἐπιθαλάμιον ἐνεωτέρισεν, ὅπερ παρεφράσθη ὑπὸ τοῦ Ῥωμαίου Κατούλλου.

Στ. 1. πρβλ. Ὀδ. ε 306: τρὶς μάκαρες Δαναοὶ καὶ τετράκις.

Στ. 2. *ὃς τοῖσδ᾽*] Φαβωρ.: ὅστις, κοινῶς.

94 (108). Παράνυμφος ἦν, οἶμαι, ἡ Χίρωνος σύζυγος, ἢ τοὐλάχιστον παρῆλθεν, Ἀχιλλέως τρεφομένου παρὰ τῷ Κενταύρῳ (1), διὸ ἐνταῦθα μνημονεύομεν, ὅτι «Ἡσίοδος Ναΐδα φησὶ τὸν Χίρωνα γῆμαι» (Σχόλ. Πινδάρ. Πυθ. 4,181).

## β' Ἀντιόπη καὶ Ζεύς.

95 (153). «Ἢ οἵην Ὑρίη Βοιωτίη ἔτρεφε κούρην»

(Σχόλ. Α Ἰλ. Β 496, πρβλ. Εὐστάθ.). Στέφανος Βυζάντιος τὴν ἀναγκαίαν ἐξήγησιν παρέχει ἐν λ. Ὑρία· «χώρα πλησίον

(1) Ἔπιθι Σχόλ. Ἀπολλων. 4,813· «Τὴν Χαρικλὼ λέγει καὶ τὴν Φιλύραν, ὑφ᾽ ὧν ἐτράφη ὁ Ἀχιλλεύς, ὧν ἡ μὲν Χαρικλὼ γυνὴ Χίρωνος, Φιλύρα δὲ μήτηρ».

Αὐλίδος, ἣν δὲ καὶ πρότερον πολίδιον. Ἡσίοδος δ' ἐν Ὑρίᾳ τὴν Ἀντιόπην φησὶ γενέσθαι, Εὐριπίδης δ' ἐν Ὑσιαῖς».

*Ἢ οἵην* Heyne εἰς Ἰλ. Β 496] Σχόλ.: ἣ (Εὐστάθ.: ἣν) δίη. Υ. Βοιωτίης τρέφε, Heinsius: ἐν δίῃ Ὑρίῃ Βοιωτίῃ, Villoison: ἣ οἵη Ὑρίῃ Βοιωτίῃ, Voss Randglossen σ. 80: ἣν δίη Ὑρίη Βοιωτίη τρέφε κ., Lehmann σ. 70: -ῃ-ῃ ἔτρεφε Νυκτεὺς Ἀντιόπην, Werfer, Acta Philologorum Monacensium β', σ. 370: ἔτραφε κούρη Νυκτῆος Χθονίου υἱὸς (ἐβουλήθη γράψαι· *θυγάτηρ*) δῖ' Ἀντιόπεια.

96 (60). Περὶ τῶν Ἀντιόπης υἱῶν, Ζήθου καὶ Ἀμφίονος, «ἱστοροῦσιν ἄλλοι τε καὶ Ἡσίοδος ὅτι κιθάρᾳ τὸ τεῖχος τῶν Θηβῶν ἐτείχισαν» (Παλαίφατος 42). Οἷς *συνῴκισε* τὰς Θήβας Λοκρὸς ἤτοι αὐτόχθων ἢ Διὸς καὶ Μαίρας (Εὐστάθ. Ὀδ. λ 325) (1).

97 (141). «Ἤτοι γὰρ Λοκρὸς Λελέγων ἡγήσατο λαῶν,
τούς ῥά ποτε Κρονίδης Ζεύς, ἄφθιτα μήδεα εἰδώς,
λεκτοὺς ἐκ γαίης ἀλέας πόρε Δευκαλίων

(Στράβων Ζ', 7,2 σ. 322: μάλιστα δ' ἄν τις Ἡσιόδῳ πιστεύσειεν οὕτως περὶ αὐτῶν (Λελέγων) εἰπόντι·—τῇ γὰρ ἐτυμολογίᾳ τὸ συλλέκτους γεγονέναι τινὰς ἐκ παλαιοῦ καὶ μιγάδας αἰνίττεσθαί μοι δοκεῖ καὶ διὰ τοῦτο ἐκλελοιπέναι τὸ γένος», πρβλ. τὸ ἐν τοῖς ἀνωτέρω χωρίον τοῦ Σταγιρίτου, Ψευδο-Σκύμνον στ. 322 ἀνώνυμον παρὰ Στεφάνῳ λ. Φύσκος· Φύσκος δὲ ἀφ' οὗ οἱ Λέλεγες οἱ νῦν Λοκροί).

Στ. 1. Οἱ Λέλεγες ἐν τῇ τῆς Καρίας καὶ πολλῶν Ἑλληνικῶν χωρῶν ἱστορίᾳ ἀπαντῶσιν, ἀγνοούντων τῶν παλαιῶν, ποίου ἦσαν φύλου καὶ μάλιστα ἔθνους.

Στ. 2. Πρβλ. Θ. 545.

Στ. 3. *ἀλέας* (=ἀθρόους) Villebrun] ἀλέους, Heinsius: ἀλέας, Meineke: λάους, Heyne: εἰς Ἀπολλόδ. β', σ. 40: λᾶας, Bryant, Ancient Mythology 1776, γ', σ. 389: ἀλίῳ, Völcker, Mythologie des Japetidengeschlechtes σ. 364: ἀλίους, Leutsch, Literaturzeitung 1830, σ. 229: ἀγαθῷ.

*Δευκαλίωνι* Πλήθων ἐν τῇ Στράβωνος ἐπιτομῇ] Δευκαλίωνος. Ἐν Ἐτυμολογικῷ (ἔκδ. Cramer ἐν τοῖς ἐξ Ὀξωνίας Ἀνεκδότοις Α', σ. 264, 27) περὶ τῆς τοῦ *λαὸς* ἐτυμολογίας εὑρίσκομεν τὰ ἑξῆς· « Ἡσίοδος δὲ παρὰ τὸ ἀλὲς τὸ σημαῖνον τὸ

(1) Πρβλ. καὶ Ἀριστοτέλην ἐν τῇ Αἰτωλῶν Πολιτείᾳ («τοὺς νῦν Λοκροὺς Λέλεγας καλεῖ, κατασχεῖν δὲ καὶ τὴν Βοιωτίαν αὐτούς φησιν») παρὰ Στράβωνι Ζ', σ. 322.

ἀθροῦν ἀλαὸς λαὸς ἀφαιρέσει τοῦ α», πρβλ. Ἐτυμολ. Γουδιαν. 362,21: *λαοί*· ὁ μὲν Ἡσίοδος «τοῦ (=τοὺς)—λαὸς πόρε Δευκαλίωνος» καὶ τὸ Angelicanum ὀνομαζόμενον σ. 689, ἔκδ. Ritschl (Opuscula τ. Α΄): «*λαοί*· ὁ μὲν Ἡσίοδος· «Τοὺς—λαοὺς πίεδευκαλιον. Ὁ γραμματικὸς δῆλα δὴ ἐν τοῖς ἀνωτέρω ἀνέγνω *ἀλέας πόρε Δευκαλίωνι*. Τὸ χωρίον ἐκ τοῦ πάλαι διεφθαρμένον ἦν, ὅθεν οἱ πλεῖστοι τῶν ἀντιγραψάντων Στράβωνα τὴν λέξιν παρέλιπον.

98 (61). Νιόβη Ἀμφίονι ἔτεκεν ἐννέα υἱοὺς καὶ δέκα θυγατέρας (Αἰλιαν. Ποικ. Ἱστ. 12, 36· «εἰ μὴ ἄρα οὐκ εἰσὶν Ἡσιόδου τὰ ἔπη, ἀλλ' ὡς πολλὰ καὶ ἄλλα κατέψευσται αὐτοῦ») (1).

## γ΄ Ἐλάρα καὶ Ζεύς.

99 (63). . . . Τιτυόν, ὃς ἦν Διὸς υἱὸς καὶ τῆς Ὀρχομενοῦ θυγατρὸς Ἐλάρ**ης** (σημείωσαι τὸν ἐπικὸν τύπον!), ἣν Ζεύς, ἐπειδὴ συνῆλθε, δείσας Ἥραν, ὑπὸ γῆν ἔκρυψε καὶ τὸν κυοφορηθέντα παῖδα Τιτυὸν ὑπερμεγέθη εἰς φῶς ἀνήγαγεν (Ἀπολλόδωρ. 1,4, 1,4). Ἐντεῦθεν Ἡσίοδος Τιτυὸν ἐπωνόμασεν **Εἰλαρίδην** (Ἡρωδιανὸς ἐν τῷ Μεγ. Ἐτυμολ. σ. 60,37 κέ.). Τὸ σχῆμα τοῦ μητρωνυμικοῦ διαμφισβητεῖται ὑπὸ τοῦ Sylburg (ὃς *Εἰλαριάδην* ἐξέδωκε) καὶ Böckh, ὃς εἴκασε *Εἰλαράδην* ἐν τῇ τῶν Πινδαρικῶν ἀποσπασμάτων συλλογῇ σ. 635.

## δ΄ Εὐρώπη καὶ Ζεύς.

Ἐκ ταύτης ὁ θεὸς ἐγέννησε Σαρπηδόνα καὶ Μίνων. Περὶ ἐκείνου ἔπιθι Σχόλ. λεγ. Townleiana Ἰλ. Μ 292· «Ἡσίοδος δὲ Εὐρώπης καὶ Διὸς αὐτόν φησιν», οἷς συμφωνεῖ τὸ εἰς Εὐριπ. Ῥῆσον 29 σχόλιον, ὅπερ ἐπήγασεν ἐξ Ἑλλανίκου (100, R. 55).

101 (128). «Εἴρηκε δὲ καὶ Ἡσίοδος ἀδελφὰ τούτων εἰς τὸν Μίνων· μνησθεὶς γὰρ αὐτοῦ τοῦ ὀνόματός φησιν· ὃς βασιλεύτατος γένετο θνητῶν ἀνθρώπων

καὶ πλείστων ἤνασσε περικτιόνων ἀνθρώπων
Ζηνὸς ἔχων σκῆπτρον· τῷ καὶ πολέων βασίλευε»

(Ψευδοπλάτων ἐν τῷ Μίνῳ σ. 320 D, ὃς τὴν ἀρχὴν ἀπὸ στήθους ἀναφέρει, μὴ ἀποτελέσας τὸν ἑξάμετρον· πρβλ. Πλουτάρχ.

(1) Παρ' Ἀπολλοδώρῳ 3, 5, 6, 2 γράφεται· «Ἡσίοδος δὲ ⟨υἱοὺς μὲν ἐννέα, θυγατέρας δὲ δέκα, Μίμνερμος δὲ⟩ δέκα μὲν υἱούς, δέκα δὲ θυγατέρας».

Θησ. 16· «καὶ γὰρ ὁ Μίνως ἀεὶ διετέλει κακῶς ἀκούων ἐν τοῖς Ἀττικοῖς θεάτροις· καὶ οὐδὲ Ἡσίοδος αὐτὸν ὤνησε *βασιλεύτατον* προσαγορεύσας»). Schneidewin ὀρθὸν ἡγεῖται· «ὃς β. ἔσκε καταθνητῶν ἀ.». Kinkel: Μίνως, ὃς β. ἦν θνητῶν βασιλήων. Ἐν τῇ Ἰλιάδι Ἀγαμέμνων *βασιλεύτατός* ἐστι τῶν Ἀχαιῶν. Οἱ ἐπικοὶ χρῶνται τῷ ὑπερθετικῷ ἀντὶ τῆς παρὰ τοῖς Ἀσιανοῖς εὐχρηστούσης φράσεως· βασιλεὺς τῶν βασιλέων (σὰχ-ὶν-σάχ). Οἱ βασιλεύτατοι δέχονται σκῆπτρον παρὰ τοῦ βασιλευτάτου τῶν Ὀλυμπίων οἷον οἱ Ἀτρεῖδαι (Ἰλ. Β 102 κέ.).

Ὁ Μίνωος παῖς Ἀνδρόγεως, ἐπὶ τὰ Παναθήναια ἐλθών, πάντας ἐνίκησε· διὸ οἱ Ἀθηναῖοι εἴτε ἐξ ἐνέδρας αὐτὸν ἀπέκτειναν εἴτε πρὸς τὸν Μαραθώνιον ταῦρον ἔπεμψαν.

102 (129). «Μελησαγόρας τὸν Ἀνδρόγεων Εὐρυγύην εἰρῆσθαί φησι τὸν Μίνωος, ἐφ' ᾧ τὸν ἀγῶνα τίθεσθαι ἐπιτάφιον Ἀθήνησιν ἐν τῷ Κεραμεικῷ. Καὶ Ἡσίοδος·

Εὐρυγύης δ' ἔτι κοῦρος Ἀθηνάων ἱεράων....»

(Ἡσύχιος λ. ἐπ' Εὐρυγύῃ ἀγών). Ἐν τῷ μόνῳ κώδικι *Ἀθηναίων* γέγραπται πρὸς ὁμοιότητα τοῦ Ἰλ. Β 551: *κοῦροι Ἀθηναίων*, ὃ Hermann διώρθωσεν. Ἡ παράδοσις ὅμως διατελεῖ νοσοῦσα, διότι ὁ συνημμένος στίχος λείπει. Ἀγνοοῦμεν λοιπὸν πότερον «Εὐρυγύης, ἔτι κοῦρος, Ἀθηνάων ἱεράων (πρβλ. *κοῦροι Ἀθηνέων* ἐν τῷ Μακηδόνος παιᾶνι στ. 4) τιμῶσι» ἢ καὶ «Εὐρυγύῃ δ' ἔτι (Stephanus ἐν τῷ Θησαυρῷ λ. Εὐρυγύης) κοῦροι Ἀθ. ἱ. ἀγῶνα ἑορτάζουσι κττ. G. περισσῶς ἔγραψεν *ἐπίκουρος*. Ἡ πρότερον εἰρημένη γραφὴ βεβαιοῦται ἐκ τῶν ἀκολουθούντων.

103 (221). «*Πρωΐ* ἡ πρὸ τοῦ καθήκοντος καιροῦ (ὥρα). Ὅμηρος Ἰλ. Σ 277 καὶ Ἡσίοδος, τελευτῆσαί τινα·

«πρωῒ μάλ' ἠΐθεον»

τουτ' ἐστὶ πρόωρον» (Ἀμμών. λ. ὄρθρος σ. 104, ἔκδ. Valckenær).

Περὶ Εὐρυάλης ἴδε ιβ'.

## ε' Εὐρυόδεια καὶ Ζεύς.

104 (36). «Ἰστέον, ὅτι γενεαλογοῦσι Διὸς μὲν καὶ Εὐρυοδείας Ἀρκείσιον, αὐτοῦ δὲ καὶ Χαλκομεδούσης Λαέρτην, τοῦ δὲ καὶ Ἀντικλείας Ὀδυσσέα, οὗ καὶ Πηνελόπης Τηλέμαχον, αὐτοῦ δὲ καὶ Πολυκάστης τῆς Νέστορος Περσέπτολιν, ὡς Ἡσίοδος·

Τηλεμάχῳ δ' ἄρ' ἔτικτεν ἐΰζωνος Πολυκάστη,
Νέστορος ὁπλοτάτη κούρη Νηληϊάδαο,
Περσέπολιν, μιχθεῖσα διὰ χρυσέην Ἀφροδίτην»

(Εὐστάθ. Ὀδ. π 118). Ἡ τοῦ μύθου ἀφορμὴ ἐχορηγήθη ὑφ' Ὁμήρου Ὀδ. γ 464-5: «Τόφρα δὲ Τηλέμαχον λοῦσεν καλὴ *Πολυκάστη Νέστορος ὁπλοτάτη Νηληϊάδαο*». Πρὸς τὸν 3 στ. παράθες Θ. 822. Ἡ Εὐσταθίου ἔκδοσις περισσότερα σφάλματα περιέχει (Νηληΐδεω, Περσέπτολιν, χρυσῆν), ἅτινα διώρθωσαν Dindorf καὶ G.

## ς' Ἠλέκτρα καὶ Ζεύς.

Δάρδανος ὁ υἱὸς αὐτῶν ἐγένετο τῶν Τρωϊκῶν βασιλέων προπάτωρ.

105 (142). «Ἰλεὺς ὁ Αἴαντος πατήρ (!)· ἐτυμολογεῖται ὑφ' Ἡσιόδου τὸ

Ἰλέα· τόν ῥ' ἐφίλησεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων
καί οἱ τοῦτ' ὀνόμην' ὄνομ' ἔμμεναι, οὕνεκα νύμφην
εὑράμενος ἵλεον μίχθη ἐρατῇ φιλότητι
ἤματι τῷ ὅτε τεῖχος ἐϋδμήτοιο πόληος
ὑψηλὸν ποίησε Ποσειδάων καὶ Ἀπόλλων.

Ταῦτα παρατίθεται ἐν δ' Σιμωνίδου» (Ἐτυμολ. Γουδιανὸν στ. 276,41 κἑ., Παρισῖνον, ἔκδ. Ruhnken, Opuscula β', σ. 583, Φλωρεντῖνον σ. 224, Λεξικὸν ἐκδ. ἐν τοῖς ἐξ Ὀξωνίας Ἀνεκδότοις τ. β', σ. 451,12 κἑ., ἐξ ὧν ἕν τι τῷ Τζέτζῃ προυξένησε τοὺς στίχους χάριν τῆς Ἰλιάδος Ἐξηγήσεως σ. 126,26 κἑ., καὶ τὸ δεύτερον τὸν 4 καὶ 5 στ. εἰς Λυκόφρονα 393). Ἡ τοῦ ὀνόματος ὁμοιότης πολλούς τε καὶ σοφοὺς παρεπλάνησε πρὸς τὸ ταὐτὸν ἡγεῖσθαι Ἰλεὺς καὶ Ὀϊλεύς. Οἷον Ἡρῳδιανὸς (Εὐστάθ. Ἰλ. Ζ 403) ἔγραψε· «Καὶ ὅπου δὲ (Ἡσίοδος) τὸν παρὰ τοῖς ἄλλοις Ὀϊλέα τετρασυλλάβως καλούμενον Ἰλέα τρισυλλάβως αὐτὸς λέγειν ἐθέλων φησὶν οὕτως αὐτὸν κληθῆναι· *οὕνεκα — φιλότητι*». Ὡσαύτως Ποσειδώνιος ὁ Ἀπολλωνιάτης τοῦτο ὡς παραφθορὰν Ὁμηρικῆς λέξεως ἐμεμψιμοίρησε (Τζέτζ. Ἐξηγ. Ἰλ. σ. 4), Ζηνοδότου ἀντικαταστήσαντος ἐν τῇ Ἰλιάδι τὸ Ὀϊλεὺς διὰ τοῦ Ἡσιοδείου (Σχόλ. Α Ἰλ. Α 263. Β 527. Ο 333). Οἱ σχολιασταὶ εἰς τὴν Ἰλιάδα (Α 264) καὶ Πίνδαρον (Ὀλ. 9,167) Ἡσίοδον ἕνεκα μαρτυρίας τῆς δὴ λεγομένης ἀποκοπῆς ἀναφέρουσιν, εἰς δὲ Ο 333 καὶ Β 527 (Εὐστάθ.) ἅμα τὸν Στησίχορον, ὃς τῷ ὄντι F*ιλεὺς* ἀντὶ τοῦ *Ὀϊλεὺς* εἶπε, καθάπερ Πίν-

δαρος *Ἰλιάδας*. Ἀρίδηλον φαίνεται ὅτι οἱ Ζηνοδότου ἀντίπαλοι αὐτοὶ ἀντεῖπον, ὅτι *Ἰλεὺς* παρ' Ἡσιόδῳ σημαίνει οὐ τὸν Ὀϊλέα, ἀλλὰ ὁ αὐτὸς τῷ Ὁμηρικῷ Ἴλῳ ἐστίν (Ἰλ. Υ 232). Ἀπὸ τοῦ Ἡσιοδείου σχήματος παρῆκται καὶ τὸ *Ἰλήϊος* ἐπίθετον (Ἰλ. Α 558).

Στ. 1. *Ἰλέα*] Ἀνών.: Ἰδέα, ἐπειδὴ Λ καὶ Δ ὀλίγον παραλλάττουσιν.

*ἄναξ*] πρβλ. Θ. 493.

Στ. 2. *καί* Ϝοι] Ἀνών.: καί τοι, Τζέτζ.: καί μιν, Leutsch: καί ἰν. Ὠνόμασε τοῦτο τὸ ὄνομα, ὅπως αὐτῷ διαμένῃ.

Στ. 3. *εὑρόμενος* Fischer ἐν ταῖς πρὸς τὴν τοῦ Weller γραμματικὴν προσθήκαις τ. γ', μ. α', σ. 95] εὑράμενος, ὅπερ τῆς κοινῆς ἦν (Lobeck εἰς Φρύνιχον σ. 139): *ἵλεον* ἢ *ἵλεον*, καθάπερ Ἡρόδοτος, ὡς δοκεῖ, ἔγραψε καὶ Nauck ἐξέδωκεν Ἰλ. Ι 639. Τ 178] ἵλεων, Ἀττικῶς (Lehmann, σ. 49: ἵλαον εὑράμενος). Πρὸς τὸ πνεῦμα, σκόπει τὸν ἐν τῷ Γουδιανῷ Ἐτυμολογικῷ σ. 176,28 κανόνα «τὸ ἵλεως παρὰ τῇ **κοινῇ** διαλέκτῳ δασύνεται». Ἡ λέξις ἐνταῦθα *πρόθυμος* σημαίνει.

*μίχθη ἐρατῇ* Ἡρωδ.] ὄχθῃ ἐρατεινῇ Ἀνών., Ἐτυμολ., μίγη ἐρανῇ Τζέτζ. (παράθες Διονύσ. Περιηγ. 777: φιλότητος ἐραννῆς), μίχθη ἐρατεινὴ φιλότητα Ἐτ. Παρισ. Ἡ παράδοσις διεφθάρη τῇ Ὁμηρικῆς φράσεως καταμίξει (Ὀδ. ψ 300).

Στ. 4. *ὅτε* Ἀνών.] ὅτι.

Στ. 5. *ὑψηλὸν* Ἀνών.] ὑψηλοῦ. Ἔλεγον ὅτι Ποσειδῶν καὶ Ἀπόλλων τῷ Λαομέδοντι τὸ τεῖχος ἔκτισαν, ὅτι δῆλα δὴ Τροία ἐπεφύλακτο λίθοις ὑπερμεγέθεσι καὶ πόνου θεῶν ἀξίοις. Παρατηρητέον, ὅτι ὁ Σχλίεμανν οὐδὲν τοιοῦτο ἀνέσκαψεν ἐν τῷ Ἰσσαρλίκ, ἀλλὰ ὁ Πρίαμος αὐτοῦ προπεφυλαγμένος ἦν τείχεσιν ὡς ἐπὶ τὸ πλεῖστον πλινθίνοις. Τὸν στίχον αἰνίττεται ὁ ῥήτωρ Ἀριστείδης Α', σ. 241, ἔκδ. Jebb, 390, ἔκδ. Dindorf.

106 (48). Ἡ τῶν Δαρδανιδῶν γενεαλογία κατήγετο μέχρι Πριάμου· λ. χ. Ἡσίοδος διετείνατο, ὅτι Πρίαμος πάτρως τοῦ Μέμνονος ἦν (Τοῦτο παραδίδοται ἐν ταῖς τῶν Ὀβιδίου Μεταμορφώσεων ὑποθέσεσι 13,3)· οἷς Πίνδαρος (Νεμ. 3,63) συντίθεται. Οὕτως δῆλα δὴ τὴν κατὰ τὸν Τρωϊκὸν πόλεμον βοήθειαν ᾐτιολόγησαν.

107 (59). Ἐν ταύτῃ μάλιστα τῇ Ἠοίᾳ ὀνομαστέον ἦν τὰ περὶ τὴν Τροίαν ἔθνη, οἷον τοὺς Λυδούς.

« . . . . ὅτι Ὅμηρος οὐκ οἶδε καλουμένους **Λυδούς,** ἀλλὰ Μήονας· πρὸς τὰ περὶ ἡλικίας Ἡσιόδου» (Ἀριστόνικος εἰς Ἰλ. Κ 431). Ἐντεῦθεν ἄρα Ἀρίσταρχος ἀπέδειξεν, ὅτι Ἡσίοδος Ὁμήρου ὕστερος ἦν, μνημονεύων τὸ νεώτερον ὄνομα.

## ζ' Ἰὼ καὶ Ζεύς.

108 (4). «Ἡσίοδος δὲ καὶ Ἀκουσίλαος Πειρῆνος αὐτήν (τὴν Ἰώ) φασιν εἶναι· ταύτην, ἱερωσύνην τῆς Ἥρας ἔχουσαν, Ζεὺς ἔφθειρε· φωραθεὶς δὲ ὑφ' Ἥρας, τῆς μὲν κόρης ἁψάμενος, εἰς βοῦν μετεμόρφωσε λευκήν, ἀρχὴν δὲ ἀπωμόσατο μὴ συνελθεῖν. Διό φησιν Ἡσίοδος οὐκ ἐπισπᾶσθαι τὴν ἀπὸ τῶν θεῶν ὀργὴν τοὺς γινομένους ὅρκους ὑπὲρ ἔρωτος» (Ἀπολλόδ. 2,1,3,1.2).

«Ἐκ τοῦ δ' ὅρκον ἔθηκ' ἀμενηνὸν ἐν ἀνθρώποισι
νοσφιδίων ἔργων πέρι Κύπριδος»

(Παροιμιογράφος Σχόλ. Πλάτ. Συμπόσ. σ. 183 Β: ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος] . . . . μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος λέγων, πρβλ. Σουίδαν λ. δίχα τῶν δύο στίχων, Ἡσύχ. λ. ἀφροδίσιος ὅρκος] . . . . πρῶτος δὲ Ἡσίοδος ἔπλασε τὰ περὶ τὸν Δία καὶ τὴν Ἰώ).

Στ. 1. *ἔθηκ' ἀμενηνὸν ἐν ἀνθρώποισι* Alf. (;), Literaturzeitung, 1820, σ. 276] ἔθηκεν ἀμείνονα ἀνθρ., Hermann: ἔθηκεν ἀπήμονα ἀνθρ., R.: ἔθηκεν ἀναίτιον ἀνθρ., Paulson, Studia Hesiodea σ. 159: ἔθηκεν ἀπήμονα τοῖς ἀνθρώποις, ἤ, τοῖσι βροτοῖσι. Τὸ *ἀμενηνὸς* (ἀδύναμος) συνωνύμῳ χρήσει κεῖται Ὀδ. τ 562: «ἀμενηνῶν ὀνείρων». Ὁ ὅρκος προσωποπεποίηταί πως καθάπερ Ἔ. 219. 804.

Στ. 2. *νοσφιδίων*] Ἡσύχιος ἑρμηνεύει *νοσφίδιον*, κλοπιμαῖον, λαθραῖον· τὸ γὰρ νοσφίζεσθαι ταὐτὸ βούλεται τῷ ἐντρέπεσθαι. *πέρι* Alf.] περὶ. Ἐν τῷ τέλει Bekker ἐξήλειψε τὸ γλώσσημα *ἀφροδισίων*, ἀνθ' οὗ ὁ ἡμίγνωστος ἐκεῖνος ἔγραψεν· *ὅσσ' Ἀφροδίτης*. Ἡ ἐλαφρόνους γνώμη εἰς τὰς παροιμίας παρεδέχθη καὶ ἐν τῷ πάντων στόματι ἦν (Πλάτ. Συμπόσ. σ. 182 Β. Καλλιμάχ. Ἐπιγρ. 27 (25), 3-4: ἀλλὰ λέγουσιν ἀληθέα τοὺς ἐν ἔρωτι | ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων, Τιβούλλ. Ἐλεγ. 1,4, 21 κἑ. 3, 6, 49, Κορνοῦτ. Ἐπιδρ. Μυθολ. 24, Ἀθην. Δειπνοσοφ. ιβ', σ. 511, Σουίδ. λ. ταχυβάμονας κτλ.).

109. «Κατὰ τοὺς Ἡσιόδου μύθους τὸν βουκόλον Ἰοῦς ἐφόνευσεν» Ἑρμῆς, ὅθεν Ἀργειφόντης ἐπωνομάσθη (Σχολ. Α Ἰλ. Ω 24).

## η' Καλλιστὼ καὶ Ζεύς.

110 (15). Κατ' Ἐρατοσθένην (Καταστερισμ. κ. 1, σ. 50, ἔκδ. Robert) Λυκάονος τοῦ Ἀρκάδος θυγάτηρ ἦν παρ' Ἡσιόδῳ·

ᾧ ἐναντιοῦται Ἀπολλόδωρος γράφων· «Εὔμηλος δὲ καί τινες ἕτεροι λέγουσι Λυκάονι καὶ θυγατέρα Καλλιστὼ γενέσθαι. Ἡσίοδος μὲν γὰρ αὐτὴν μίαν τῶν νυμφῶν λέγει» (3,8,2,2), εἴτε ὀλιγώρως τὰς πηγὰς ἀντέγραψεν, εἴτε πρὸς ἄλλο τι ποίημα, τὴν Ἀστρονομίαν, ἀπεῖδεν. Ἡ Καλλιστὼ καὶ τοῖς ἀδελφοῖς εἴσοδον πρὸς τὸ ποίημα παρέσχεν.

111 (71). «Υἱεῖς ἐξεγένοντο Λυκάονος ἀντιθέοιο,
ὅν ποτε τίκτε Πελασγός»

(Στράβων 5, 2, 4 σ. 221: «τῷ δ' Ἐφόρῳ, τοῦ ἐξ Ἀρκαδίας εἶναι τὸ φῦλον τοῦτο (τοὺς Πελασγούς), ἦρξεν Ἡσίοδος· φησὶ γάρ·) R.: υἱέες.

*ἐξεγένοντο* Κοραῆς] ἐξ, ἓξ ἐγ. Ἀλλ' ἐγέννησε πεντήκοντα.

112 (72). Τῶν Λυκαονιδῶν Πάλλας ἦν. «Παλλάντιον] πόλις Ἀρκαδίας ἀπὸ Πάλλαντος ἑνὸς τῶν Λυκάονος παίδων, ὡς Ἡσίοδος» (Στέφ. Βυζάντ.).

Ἐκ Καλλιστοῦς ἐγένετο Ἀρκάς, οὗ Ἔλατος ὁ Αἰπύτου πατήρ.

113 (138). «Αἴπυτος αὖ τέκετο Τλησήνορα Πειρίθοόν τε»

(Ἀπολλώνιος Σοφιστ. Λεξ. Ὁμηρ. λ. Αἰπύτιον] «τὸν ἀπὸ τοῦ Αἰπύτου· ἔστι δὲ οὗτος τῶν Ἀρκαδικῶν ἡρώων, περὶ οὗ φησιν Ἡσίοδος»), πρβλ. Σχόλ. Α Ἰλ. Β 604. Τὸ μνῆμα δῆλα δὴ αὐτοῦ τοῦ τῆς Φαισάνας βασιλέως (Πινδάρ. Ὀλ. 6,33) ἐν τῷ τῶν νεῶν καταλόγῳ μνημονεύεται.

## θ' Μυτιλήνη (ἢ Ἀλκυόνη) καὶ Ζεύς;

114 (99). «Ἦν δὲ ὁ Μακαρεὺς υἱὸς μὲν Κρινάκου τοῦ Διός, ὥς φησιν Ἡσίοδος καὶ ἄλλοι τινὲς τῶν ποιητῶν» (Διόδωρ. 5,81). Πρβλ. Σχόλ. Βικτωρίου Ἰλ. Ω 544 περὶ τοῦ Μακαρέως «τινὲς δὲ αὐτὸν Κρινάκου τοῦ Ὑρέως τοῦ Ποσειδῶνος καὶ Ἀλκυόνης»;

## ι' Αἴθρη καὶ Ποσειδῶν.

115 (130). «Ἡσίοδος δέ φησιν Θησέα νομίμως γῆμαι καὶ Ἵππην (Dindorf: Ἰόπην) καὶ Αἴγλην» (Ἀθην. Δειπνοσοφ. ιγ', σ. 557 Α). Ἀπὸ Μελανίππου τοῦ Θησέως γίνεται Μύρμηξ, οὗ Ἡσίοδος μνήμην ἐποιήσατο.

116 (131). «*Μελίτη* δῆμός ἐστι τῆς Κεκροπίδος, κεκλῆσθαι

δέ φησι τὸν δῆμον Φιλόχορος ἐν τρίτῃ ἀπὸ Μελίτης, θυγατρὸς κατὰ μὲν Ἡσίοδον Μύρμηκος» Ἁρποκρ., Φώτ., Σουίδ. λ. Μελίτη). Πρὸς Θησέα καὶ τὸ ἑπόμενον ἀπόσπασμα σχέσιν ἔχει·

118 (73). «Φέλλον ἐϋμμελίην τέκεν οἱ Μελίβοια»

(Ἡρῳδ. π. μονήρους λέξεως σ. 11: Φέλλος τὸ κύριον. Ἡσίοδος· Παραδέδοται *τέκε τῇ Μελιβοίᾳ*, ὃ διωρθώσαμεν. G.: τέκε τηλεκλυτῇ-ῃ, ῆ, -ὴ-α, Hermann: τέκετο κλειτὴ (R.: κλεϊτὴ) Μελίβοια, Bergk εἰς Ἀνακρέοντ. σ. 260: τέκετ' Αἰγείδῃ-α, Lehrs: τηλεκλειτὴ Μ.). Φέλλος ἐπώνυμος φαίνεται τοῦ Ἀττικοῦ *φελλέως* ἤτοι τῆς αἰγιβότου χώρας, οἵα τις ἀντικρὺ τοῦ Ὑμηττοῦ ἐκτείνεται, φέρουσα οὐδὲν εἰ μὴ θύμον (θυμάρι). Περὶ τῆς Μελιβοίας ταύτης Ἀθήναιος μόνος λόγον ποιεῖται (ιγ', σ. 557 Α).

## ια' Ἄρνη καὶ Ποσειδῶν.

Ἄρνη ἔτεκε Βοιωτόν, ἐξ οὗ οἱ πλεῖστοι τῶν Βοιωτικῶν ἡρώων ἐγένοντο.

118 (68). «Ἱδρυθῆναι δ' ὑπὸ Ὀγχηστοῦ τοῦ Βοιωτοῦ, ὥς φησιν Ἡσίοδος» (Στέφ. Βυζάντ. λ. Ὀγχηστὸς, ἐξ Ὁμηρικῶν σχολίων, πρβλ. Σχόλ. Ἰλ. Β 506 οὗτος Βοιωτοῦ παῖς, ὃς ἐν τῷ τόπῳ πρῶτος Ποσειδῶνος ἱδρύσατο ἱερόν, Εὐστάθ. Ὁ. δὲ ἄλσος ἐν τῇ Ἁλιαρτίων χώρᾳ ἱδρυθὲν ὑπὸ Ὀγχηστοῦ παιδὸς Βοιωτοῦ, ὅς, φασίν, κτλ.).

119 (67). «**Ἄρνη** . . . ἐστὶ δὲ αὕτη Βοιωτίας, ὡς καὶ Ἡσίοδός φησιν» (Σχόλ. λεγ. Townleiana Ἰλ. Η 9), πρβλ. Ἰλ. Β 507. Η 9. Ἡ πόλις, φασὶν οἱ παλαιοί, ὕστερον μετωνομάσθη ἢ Ἀκραίφνιον ἢ Χαιρώνεια.

## ιβ' Εὐρυάλη καὶ Ποσειδῶν.

(Ἴδε δ').

120 (17). «Τοῦτον (Ὠρίωνα) Ἡσίοδός φησιν Εὐρυάλης τῆς Μίνωος καὶ Ποσειδῶνος εἶναι, δοθῆναι δὲ αὐτῷ δωρεάν, ὥστε ἐπὶ τῶν κυμάτων πορεύεσθαι, καθάπερ ἐπὶ τῆς γῆς» (Ἐρατοσθ. Καταστερ. Ἀπ. 32, σ. 162 Robert, ὃς καὶ τὰ ἀκόλουθα ἀπαρεμφάτως ἐκφέρει· ἀβέβαιον ὅμως κατὰ πόσον Ἡσιόδου).

121 (18). Περὶ τοῦ Σικελικοῦ πορθμοῦ «Ἡσίοδος ὁ ποιητής φησι τοὐναντίον, ἀναπεπταμένου τοῦ πελάγους, Ὠρίωνα προσχῶσαι τὸ κατὰ τὴν Πελωρίδα κείμενον ἀκρωτήριον καὶ τὸ τέμενος τοῦ Ποσειδῶνος κατασκευάσαι, τιμώμενον ὑπὸ τῶν ἐγχω-

ρίων διαφερόντως· ταῦτα δὲ διαπραξάμενον εἰς Εὔβοιαν μεταστῆναι κἀκεῖ κατοικῆσαι· διὰ δὲ τὴν δόξαν ἐν τοῖς κατ' οὐρανὸν ἄστροις καταριθμηθέντα τυχεῖν ἀθανάτου μνήμης» (Διόδ. 4,85).

## ιγ' Ἰφιμέδεια καὶ Ποσειδῶν,

περὶ ὧν ἔπιθι Ὀδ. λ 305 κέ.

122 (29). Τοὺς λεγομένους Ἀλωιάδας Ὦτον καὶ Ἐφιάλτην «Ἡσίοδος Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν, ταῖς δὲ ἀληθείαις Ποσειδῶνος καὶ Ἰφιμεδείας ἔφη» (Ἐρατοσθ. Σχόλ. Ἀπολλων. 1,482· ἡ στίξις ἐν ταῖς ἐκδόσεσι τετάρακται).

123 (30). «*Ἐπιάλτην* Ὅμηρος καὶ Ἡσίοδος καὶ οἱ Ἀττικοὶ τὸν δαίμονα, διὰ δὲ τοῦ φ τὸν ἄνδρα Ἐφιάλτην καὶ τὸν ῥιγοπύρετον λεγόμενον» (Σουίδας καὶ Ζωναρᾶς Λεξ. σ. 790, οἳ συνέχεαν γλῶσσαν ῥητορικῆς λέξεως, ὅπερ Εὐστάθιος ἐπέτεμεν εἰς Ἰλ. Ε 387 «Ἐπιάλτην Ἀττικοί φασι δαίμονά τινα· διὰ δὲ τοῦ φ Ἐφιάλτην ἀνδρὸς ὄνομα· ἑτέρωθι δὲ ὅτι Ἐπιάλτης ὁ πνιγαλίων ὑπό τινων», πρβλ. καὶ Ἀπολλώνιον Ἐτυμολ. Μέγ. σ. 434,13, αὐτ. σ. 403,33, Φρύνιχον σ. 42, ἔκδ. Bekker). Ὅμηρος καὶ Ἡσίοδος μάρτυρες ἐπικαλοῦνται τοῦ Ἀλωάδου Ἐφιάλτου (Ἰλ. Ε 383. Ὀδ. λ 307).

## ιδ' Καλύκη καὶ Ποσειδῶν.

14 (146). Ἐκ Καλύκης ὁ θαλάσσιος θεὸς ἐγέννησε Κύκνον. «Ἡσίοδος δέ φησιν αὐτὸν τὴν κεφαλὴν ἔχειν λευκήν, διὸ καὶ ταύτης τῆς κλήσεως ἔτυχεν» (Σχόλ. Θεοκρίτ. 16,49, οὗ Εὐστάθιος εἰς Διον. Περιηγ. 347 χρῆσιν ποιεῖται).

## ιε' Μολιόνη καὶ Ποσειδῶν.

Τοὺς Μολιονίδας γινώσκομεν ἐπίσης διὰ τῆς Ἰλιάδος· ὅθεν οἱ Ὁμήρου σχολιασταὶ πρὸς Ἡσίοδον ἀφορῶσιν.

125 (32). «Ἡ διπλῆ ὅτι ἐντεῦθεν Ἡσίοδος Ἄκτορος κατ' ἐπίκλησιν καὶ Μολιόνης αὐτοὺς γεγενεαλόγηκεν, γόνῳ δὲ Ποσειδῶνος» (Σχόλ. Α Ἰλ. Λ 750, πρβλ. Ἀπολλών. Σοφιστ. λ. Μολιόνη).

126. «Τερατώδεις τινὲς ἦσαν, ὡς Ἡσίοδος, ἄμφω ἐν ἑνὶ σώματι ὄντες» (Σχόλ. λεγ. Townleiana Ἰλ. Λ 710), «Ἀρίσταρχος δὲ *διδύμους* ἀκούει . . . τοὺς διφυεῖς, δύο ἔχοντας σώματα Ἡσιόδῳ μάρτυρι χρώμενος» Σχόλ. Α Ἰλ. Ψ 638, Εὐστάθ. Λ 709, 749. Ψ 638. Οἱ σχολιασταὶ ἐκ τῆς Πορφυρίου ἐξη-

γήσεως, ἣν Schrader ἐξέδωκεν (σ. 265) ἠρύσαντο. Ἰδὲ καὶ τὸ Πλουτάρχου π. κοινῶν ἐννοιῶν σ. 1083 C.

## ις′ Περίβοια καὶ Ποσειδῶν.

127 (95). Τὴν σειρὰν τὴν ἀπὸ τῆς γυναικῶν εἶδος ἀρίστης παρέχει ἡ Ὀδύσσεια (η 56 κέ.)· ἣν καὶ Ἡσίοδος ἐκαρπώσατο, εἰς λάθος ἐμπεσών, ὡς οἱ παλαιοὶ ἐδόξαζον, περὶ τῆς Ἀρήτης πρὸς Ἀλκίνοον σχέσεως (Σχόλ. Ὀδ. η 54, Εὐστάθ. η 65)· ἀδελφοὺς γὰρ αὐτοὺς ἐνόμισεν.

## ιζ′ Σαλαμὶς καὶ Ποσειδῶν.

128 (132). Ὁ υἱὸς αὐτῶν Κυχρεὺς ἢ Κυγχρεὺς (ἰδὲ Meineke Analecta Alexandrina σ. 53) ἀπαντᾷ ἐν ἱστορίᾳ, ἥτις ἄλλοθι ἄλλως ἱστορεῖται (Διόδωρ. 4, 62, 4, Εὐστάθ., Διονύσ. Περιηγ. 511). Σαλαμὶς «ἐκαλεῖτο ἑτέροις ὀνόμασι τὸ παλαιόν· καὶ γὰρ Σκιρὰς καὶ *Κυχρεία* ἀπό τινων ἡρώων.... ἀφ' οὗ δὲ καὶ Κυχρείδης ὄφις, ὅν φησιν Ἡσίοδος, τραφέντα ὑπὸ Κυχρέως, ἐξελαθῆναι ὑπὸ Εὐρυλόχου (τοῦ υἱοῦ ἐκείνου) λυμαινόμενον τὴν νῆσον, ὑποδέξασθαι δὲ αὐτὸν τὴν Δήμητρα εἰς Ἐλευσῖνα καὶ γενέσθαι ταύτης *ἀμφίπολον*» (Στράβων Θ′, σ. 393).

## ιη′ ; καὶ Ποσειδῶν.

Λίνος ὁ μυθικὸς ἀοιδὸς κατὰ Παυσανίαν, Οὐρανίας παῖς ἐλέγετο καὶ Ἀμφιμάρου τοῦ Ποσειδῶνος (Παυσαν. 9,29,6).

129 (211). «Οὐρανίη δ' ἄρ' ἔτικτε Λίνον πολυέρατον υἱόν,
ὃν δή, ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταί,
πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις τε χοροῖς τε
ἀρχόμενοί τε Λίνον καὶ λήγοντες καλέουσιν»

(Σχόλ. λεγ. Townleiana καὶ Εὐστάθ. Ἰλ. Σ 570 καὶ Ἡσίοδος).

Στ. 1. *δ' ἄρ'*] Σχόλ.: δ'.

*πολυέρατον*, ἐγὼ] πολυήρατον.

Στ. 2. πρβλ. Θ. 95.

Στ. 3. *θρηνεῦσιν* R.] θρηνοῦσιν.

*τε χοροῖς τε* Σχ.] ἠδὲ χοροῖσιν Εὐστάθ.— Θρηνεῖται, ὅτι Ἀπόλλων τὸν νέον ἀπέκτεινεν «ἐξισούμενον κατὰ τὴν ᾠδήν».

Τὸ ᾆσμα αὐτὸ καλεῖται *λίνος* (Ὅμηρ. αὐτ.) ἢ *αἴλινος* ἀπὸ

τοῦ ἐφυμνίου *αἴ Λίνος*. Πρβλ. Ἡρόδοτ. 2,79 «ὅν οἱ Ἕλληνες Λίνον ὀνομάζοντες ἀείδουσι».

Στ. 4. *τε* Σχ.) δέ, Εὐστάθιος.

130 (212). «Ἡσίοδος γὰρ τὸν κιθαριστὴν Λίνον
παντοίας σοφίας δεδαηκότα

εἰπὼν» κτλ. (Κλήμης Ἀλεξ. Στρωματ. Α', σ. 330, P. ἐν διατριβῇ περὶ τῆς λέξεως *σοφός*). G. τὴν εἰρωνικὴν προσηγορίαν *κιθαριστήν*, ᾧ ἐν τοῖς ἑξῆς *ναύτης* ἀναλογεῖ, ἅμα τῷ ὀνόματι πρὸς τὸ ἀπόσπασμα προσάπτει. Hermann: παντοίης σοφίης. Ὁ πληθυντικὸς ὅπως καὶ παρὰ Πινδάρῳ ἐν χρήσει ἦν.

131 (266). Μνημονεύομεν πρὸς τούτοις, ὅτι Φλέγων ὁ παραδοξογράφος, διηγούμενος κ. ε' τὸν Ποσειδῶνος πρὸς Καινίδα ἔρωτα καὶ τὴν εἰς Καινέα μεταμόρφωσιν αὐτῆς, προπέμπει «οἱ αὐτοὶ ἱστοροῦσιν» ἤτοι «Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλέαρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινές», οὕσπερ ἀναφέρει χάριν Τειρεσίου.

## ιθ' ; καὶ Ἀπόλλων.

Μελανεὺς «τοξεύειν ἀνὴρ ἀγαθὸς καὶ διὰ τοῦτο Ἀπόλλωνος εἶναι νομιζόμενος» (Παυσαν. 4,2,2), εἰς γάμον ἦγε Στρατονίκην.

132 (135). Ἣ δ' ὑποκυσαμένη καλλίζωνος Στρατονίκη
Εὔρυτον ἐν μεγάροισιν ἐγείνατο φίλτατον υἱόν·
τοῦ δ' υἱεῖς ἐγένοντο † Δηίων Κλυτίος τε
Τοξεύς τ' ἀντίθεος ἠδ' Ἴφιτος, ὄζος Ἄρηος·
τοὺς δὲ μεθ' ὁπλοτάτην τέκετο ξανθὴν Ἰόλειαν
Ἀντιόχη κρείουσα†παλαιὸν†γένος Ναυβολίδαο»

(Σχόλ. Σοφοκλ. Τραχιν. 266: διαφωνεῖται δὲ ὁ τῶν Εὐρυτιδῶν ἀριθμός. Ἡσίοδος μὲν γὰρ τέσσαράς φησιν ἐξ Εὐρύτου καὶ Ἀντιόχης παῖδας, οὕτως).

Στ. 2. *Εὔρυτον*] τὸν βασιλεύοντα τῆς μυθικῆς πόλεως Οἰχαλίας, περὶ ἧς τοῦ τόπου ἡ παράδοσις διστάζει.

Στ. 3. *Δηΐων*] Τρικλίνιος: Δηΐων τε. Hermann εἰς Σοφ. Τραχ. 266: Μολίων τε, ὡς Διόδωρ. 437. Κρεώφυλος ὅμως (περὶ οὗ ἴδε τὰ σχόλια) ἐπίσης Δηΐονά τινα ἐμνημόνευσεν. Μήπως γραπτέον: τοῦ δ' ἐγένονθ' (κῶδ.: γένοντο!) υἱεῖς Δηίων τε.

Στ. 5. *ξανθὴν Ἰόλειαν*] Περὶ τοῦ ἐπιθέτου ζήτει εἰς Θ. 947.

Ἡ Ἰόλη αὕτη ἐκείνη, ἣ αἰτίαν τοῦ Ἡρακλέους θανάτου παρέσχεν. Πρβλ. Καλλίμαχον περὶ τῆς Οἰχαλίας ἁλώσεως εἰπόντα (Ἐπιγρ. 7, 2. 3)· «Εὔρυτον ὅσσ' ἔπαθεν καὶ ξανθὴν Ἰόλειαν».

Στ. 6. Τῆς διορθώσεως ἀπελπίσαντες συλλέγομεν τὰς ἐπὶ τὸ μᾶλλον ἢ ἧττον πιθανὰς προτάσεις· ἐν Bentley ἐπιστολῇ πρὸς Μίλλιον σ. 53: Πύλωνος N. (ἴδε Ὑγῖν. Μῦθ. 14), Hermann: κρείουσα . . . . παλαιοῦ Ναυβολίδαο, καθάπερ Ἰλ. Λ 166: παλαιοῦ Δαρδανίδαο, Nauck Mél. δ', σ. 387: παλαιόο. *Ναυβολίδης* ἴσως οὐ πατρωνυμικόν, ἀλλὰ κύριον ὄνομα ἐκληπτέον οὐχ ἧττον ἢ Ὀδ. θ 116.

## κ' Ἀταλάντη καὶ Ἄρης.

133 (41). «Ἡσίοδος καί τινες ἕτεροι τὴν Ἀταλάντην οὐκ Ἰάσου, ἀλλὰ Σχοινέως (Ἀρκάδος) εἶπον, Εὐριπίδης δὲ Μαινάλου, καὶ τὸν γήμαντα αὐτὴν οὐ Μελανίωνα, ἀλλ' Ἱππομένην» (Ἀπολλόδωρ. 3, 9, 2, 7, πρβλ. Φιλόδημ. π. εὐσεβ. σ. 60, ἔκδ. Gomperz «Ἀτα[λάντη] ἡ Σχοινέως [ὡς καὶ] Ἡσίοδος λέ[γει]»).

134. «Νεώτερος (Ὁμήρου) Ἡσίοδος, γυμνὸν εἰσάγων Ἱππομένην ἀγωνιζόμενον τῇ Ἀταλάντῃ» (Σχόλ. Ἰλ. Ψ 683 κατ' Εὐστάθιον καὶ τὸν Βικτωρίου κώδικα).

Τὸν δρομικὸν ἀγῶνα αἰνίττεται καὶ τὸ παρ' Ἡρῳδιανῷ εἰς Ἰλ. Β 764 ἀπόσπασμα, ὃ περὶ τοῦ τῆς *ποδώκης* λέξεως τόνου διατρίβει.

135 (42). Παρὰ γοῦν τῷ Ἡσιόδῳ ἀνεγνώκασι

ποδωκὴς δῖ' Ἀταλάντη».

## κα' ; καὶ Διόνυσος.

136 (145). «Ἡ δ' ἀπότασις πρὸς Ἡσίοδον λέγοντα τὸν Μάρωνα εἶναι Οἰνωπίονος τοῦ Διονύσου» (Σχόλ. Ὀδ. ι 198). Εὐστάθιος ὅμως μεταξὺ τοῦ Μάρωνος καὶ Οἰνωπίονος Εὐάνθην ἐμβάλλει, ὃ ὄνομα φαίνεται ὅτι αὐτόθι ἐξέπεσεν.

## κβ' Φιλωνὶς ἡ Δηΐονος καὶ Ἑρμῆς ἅμ' Ἀπόλλωνι.

137. «Ἣ τέκεν Αὐτόλυκόν τε Φιλάμμονά τε κλυτὸν αὐδήν»

(Ἡρῳδιανὸς π. κλίσεως τῶν εἰς ων βαρυτόνων, ἐκδ. ὑπὸ τοῦ Hilgard, Excepta ex libris Herodiani technici, Λειψ. 1887,

σ. 21, 2-3· «Φιλάμμων Φιλάμμονος ὡς παρ' Ἡσιόδῳ»), πρβλ. Κόνωνος Ἐρωτικ. ἐν τῇ Φωτίου Βιβλιοθήκῃ σ. 132 α 11 κέ., Σχόλ. Ὀδ. τ 432. Ἄλλα ὀνόματα φέρονται παρ' Ὀβιδίῳ (Μεταμ. 11,317: Χιόνη) καὶ Ὑγίνῳ (Μῦθ. 161: Λευκονόη).

Φιλάμμων ὁ Ἀπόλλωνος ἐκ τῶν διαπρεπεστάτων ἀοιδῶν ἦν κατὰ τοὺς μυθολόγους (Ἡ *αὐδὴ* καὶ ἐνταῦθα οὐ παραλλάσσει τῆς ᾠδῆς, διὸ ὁ ἀντιγραφεὺς ἔθηκεν *αὔδειν*). Ἐγέννησε δὲ τὸν οὐχ ἧττον περιώνυμον Θαμύραν ἢ Θάμυριν (Εὐριπ. Ῥῆσ. 916), ὃν αἱ Μοῦσαι ἀνταγωνιζόμενον ἐτύφλωσαν (Ἰλ. Β 594 κέ.).

138. «Τὰ περὶ Θάμυριν ἐν *Δωρίῳ* παριστοροῦντος τοῦ ποιητοῦ, πάλιν Ἡσίοδος

Δωτίῳ ἐν πεδίῳ

φάσκει αὐτὸν τετυφλῶσθαι» (Ὧρος παρὰ Στεφ. Βυζαντ. λ. Δώτιον, σ. 258, 1 κέ., ἔκδ. Meineke).

Αὐτόλυκος, οὗ ἔγγονος ὁ Λαερτιάδης (Ὀδ. τ 395) «ἀνθρώπους ἐκέκαστο κλεπτοσύνῃ θ' ὅρκῳ τε, Θεὸς δέ οἱ αὐτὸς ἔδωκεν Ἑρμείας»· τούτου γὰρ υἱὸς ὑπελαμβάνετο.

139 (136). «Ἐπὶ τοῦ ἀοράτου ἐχρήσατο τῇ λέξει (*ἀείδελος*) Ἡσίοδος περὶ τοῦ Αὐτολύκου· φησὶ γάρ·

Ὅττι κε χερσὶ λάβεσκεν, ἀείδελα πάντα τίθεσκε.

Καὶ γὰρ αὐτός, κλέπτης ὤν, ἔκλεπτε τοὺς ἵππους καὶ ἀλλοφανεῖς αὐτοὺς ἀπετέλει· ἐνήλλασσε δὲ τὰς χροιὰς αὐτῶν (Ἐτυμολ. Μέγ. σ. 21, 25 κέ.. πρβλ. Ἐτυμ. Παρισ. παρὰ Cramer Anecdota Paris. δ', σ. 95, Ζωναρ. Λεξ. σ. 52, οἷς συμφωνοῦσιν Ὀβίδιος Μεταμ. 11, 313 καὶ Ὑγῖν. Μῦθ. 201, ὅθεν Τζέτζης ἀμελείας ἢ μεταποιήσεως Εὐημεριστικῆς ἐξελέγχεται, γράφων εἰς Λυκόφρ. 344 (1). «Ὁ Αὐτόλυκος κλεπτοσύνας πάντων ὑπερέβαλε· κλέπτων γὰρ πάντων ἵππους καὶ βόας καὶ ποίμνια τὰς σφραγῖδας αὐτῶν μετεποίει καὶ ἐλάνθανε τοὺς δεπότας αὐτῶν, ὥς φησι καὶ Ἡσίοδος: πάντα γὰρ ὅσσα λάβεσκεν αἴδηλα (γρ. ἀείδελα) πάντα τίθεσκε»).

## κγ' Ἀτθὶς ἡ Κραναοῦ καὶ Ἥφαιστος

ἐγέννησαν κατά τινας (Ἀπολλόδωρ. 3,14, 6,1) Ἐριχθόνιον, οὗ Πανδίων παῖς. Τούτου αἱ θυγατέρες ἀφορμὴν ἔδοσαν τῆς ἀκολουθούσης ἱστορίας.

(1) Χρώμεθα τῷ Monacensis ἀρ. 241.

139 β (121). «Λέγει Ἡσίοδος, τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμοιρεῖν ὕπνου καὶ διὰ τέλους ἀγρυπνεῖν· τὴν δὲ χελιδόνα οὐκ εἰς τὸ παντελὲς ἀγρυπνεῖν καὶ ταύτην, ἀποβεβληκέναι δὲ τοῦ ὕπνου τὸ ἥμισυ, τιμωρίαν δὲ ἄρα ταύτην ἐκτίνουσι διὰ τὸ πάθος τὸ ἐν Θράκῃ κατατολμηθὲν τὸ ἐς τὸ δεῖπνον ἐκεῖνο τὸ ἄθεσμον» (Αἰλιαν. Ποικ. Ἱστορ. 12, 20).

Συνδέομεν τοὺς λοιποὺς Ἀττικοὺς μύθους·

140 (126). «Ὁ μὲν Ἡσίοδος ἐποίησεν ὡς Ἐρεχθέως εἴη Σικυὼν» (Παυσαν. 2, 6, 5).

141 (258). «Ἡσίοδος δὲ τὸ *Πρόκριν* παρὰ τὸ κρίσιν, πρόκρισις πρόκρισιν καὶ ἐν συγκοπῇ Πρόκριν» (Cramer, Anecdota Oxoniensia Α΄, σ. 46, 31-2). Ὁ ποιητὴς ἄρα ἠτυμολόγησε τὸ ὄνομα τῆς ταλαιπώρου γυναικὸς τοῦ Κεφάλου (πρβλ. Εὐστάθ. Ὀδ. λ 320).

## κδ΄ Ἥλιος.

142. Οὐκ ἔχομεν εἰπεῖν, εἴ τι εἴρητο περὶ τῶν Ἡλίου ἐρωμένων. Ὁ γὰρ γράψας τὰς τῶν Ὀβιδίου Μεταμορφώσεων ὑποθέσεις, ἱστορήσας τὰ Λευκοθόῃ συμβάντα (4, 5), καταλήγει οὕτως· «Hoc Hesiodus indicat» ἤτοι «Ἡ ἱστορία παρὰ Ἡσιόδῳ». Ἀλλ' ἴσως ἐννοεῖ τὴν Λευκοθόης γενεαλογίαν, ἥπερ κατάγεται ἀπὸ Βήλου (ἴδε Ἀπόσπ. 50).

143 (220). Δεύτερον δὲ ὁ αὐτὸς (2, 2) καὶ Ὑγῖνος (Μῦθ. 154), τῇ αὐτῇ πηγῇ χρώμενοι, μάρτυρα ἀναφέρουσι τὸν ποιητὴν ὅτι τὰ τῶν Ἡλιάδων δάκρυα, ἐπεὶ Φαέθοντα μὲν ἀδελφὸν αὐτῶν, υἱὸν δὲ Κλυμένης καὶ Ἡλίου ἐθρήνησαν, μετεβλήθησαν εἰς ἤλεκτρον. Ὃς μῦθος ὑπ' ἐτυμολόγου ἐπινενόηται· ὁ γὰρ Ἥλιος *ἠλέκτωρ* προσηγορεύετο (Ἰλ. Ζ 513. Τ 398. Εὐφορίων Ἀπόσπ. 74).

## κε΄ Εὐίππη καὶ Κηφισσός.

144 (66). «Ἀνδρεὺς (ὁ τῶν Ὀρχομενίων βασιλεὺς) Εὐίππην θυγατέρα Λεύκωνος λαμβάνει παρὰ Ἀθάμαντος γυναῖκα, καὶ υἱὸς Ἐτεοκλῆς αὐτῷ γίνεται, Κηφισοῦ δὲ τοῦ ποταμοῦ κατὰ **τῶν ποιητῶν** τὴν φήμην καὶ τῶν ποιησάντων τινὲς *Κηφισιάδην* τὸν Ἐτεοκλέα ἐκάλεσαν ἐν τοῖς ἔπεσι» (Παυσαν. 9, 34, 9). «Κηφισὸς δὲ ποταμὸς ἐν Ὀρχομενῷ, ἔνθα καὶ αἱ Χάριτες τιμῶνται· ταύταις γὰρ Ἐτέοκλος ὁ Κηφισοῦ τοῦ ποταμοῦ υἱὸς πρῶτος ἔθυσεν, ὥς φησιν Ἡσίοδος» (Ὑπόθ. Πινδάρ. Ὀλ. ιδ΄,

πρβλ. Παυσαν. 9,35,1: τὸν δὲ Ἐτεοκλέα λέγουσιν οἱ Βοιωτοὶ (1) Χάρισιν ἀνθρώπων θῦσαι πρῶτον).

145 (65). «Καὶ Ἡσίοδος δὲ ἐπὶ πλέον περὶ τοῦ ποταμοῦ λέγει καὶ περὶ τῆς ῥύσεως, ὡς δι' ὅλης ῥέοι τῆς Φωκίδος σκολιῶς καὶ δρακοντοειδῶς, ὅς παρὰ, ἤ, παρὲκ Πανόπη διὰ (Πανοπιδιὰ, Πανοπίδα) **Γλήχωνά** (2) **τ' ἐρυμνήν!**

καὶ δὲ δι' Ὀρχομενοῦ **εἰλιγμένος εἶσι δράκων ὥς**»

(Στράβ. Θ', 3,17 σ. 424, πρβλ. Σχόλ. Ἀράτ. 45· «Ἡσίοδος γὰρ τὸν ποταμὸν εἴκασε δράκοντι εἰπών· καί τε διερχόμενος ἠπειγμένος (ἐπ-) ἐστὶ (εἰσὶ) δράκων ὥς). Πρὸ τοῦ λέγειν περὶ τῆς διορθώσεως, ῥητέον περὶ τῆς τοποθεσίας. Ὁ Κηφισσὸς (Μαυρονέρι), ἀφ' οὗ ἐξερρύη ἐκ τῶν τῆς Δωρίδος ὀρέων, κατὰ πολλοὺς ἑλιγμοὺς ἀποτελεῖ τὸν ἑαυτοῦ δρόμον εἰς τὴν Κωπαΐδα. Πανοπεὺς δὲ ἢ καὶ Πανόπη κεῖται τρεῖς ὥρας σχεδὸν μακρὰν τοῦ ποταμοῦ πλησίον τοῦ Ἁγίου Βλάση παρὰ ποταμίῳ, ἐκβάλλοντι εἰς τὸν Κηφισσόν. Οὕτω γε οἱ ἀρχαιολόγοι λέγουσιν. Γλήχων δὲ καὶ τούτοις ἀνεύρετός ἐστι, πάντως δὲ ἐν τῇ Φωκίδι ἔκειτο, ὅθεν ἐξελέξαμεν τὸ τῆς πολίχνης Τραχῖνος ὄνομα, ἥτις μεταξὺ Πανοπέως καὶ Λεβαδείας τίθεται (Στράβ. Θ', 3, 14, σ. 423, Παυσαν. 10, 3, 2). Οὐδὲ τὸν Ὀρχομενὸν διαρρεῖ ὁ Κηφισσός, ἐπειδὴ οἱ ποταμοὶ οὔτε ὄρη ἀναβαίνουσιν οὔτε λόφους. Πρὸς τούτοις ὁ γεωγράφος περὶ τῆς Φωκίδος λόγον ποιεῖται. Γράφομεν ἄρα «ὅσπερ

Πανοπηΐδα γῆν Τρηχῖνά τ' ἐρυμνὴν
καλὰ (;) διερχόμενος, εἰλιγμένος εἶσι δράκων ὥς.

Ἄλλος ὅμως ἄλλο προύβαλεν, οἷον Voss, Randglossen σ. 81, ὅς παρὰ μὲν Πανοπῆα ῥέει, ἤ, ὅς παρὰ Πανοπίδα προρέει, G.: ὅς παρὰ γῆν Πανοπηϊάδα, M.: καὶ παρὰ Πανοπίδα προρέει, Madvig, Adversaria Critica A', σ. 555: παρὲκ Πανόπην δῖαν, Hermann: καὶ — (ἐπίθετον) Πανόπην, R.: ὅστε κλ. Leutsch, Literaturzeitung 1831, σ. 219: καί τε (ὡς Ruhnken) δι' Ἐρχομενοῦ (Βοιωτικῶς, ἀντὶ τοῦ *Ὀρχομενοῦ*).

Ὁ δεύτερος στίχος τοῖς μεταγενεστέροις ποιηταῖς ἤρεσεν· Ἀπολλώνιος μὲν λέγει 1,1541 «ὡς δὲ δράκων σκολιὴν εἰλιγμένος ἔρχεται οἶμον», Ἄρατος δὲ (Φαινόμ. 45) αἰνίττεται τὸ Ἡσιό-

(1) Παυσανίας, ἀντιζηλῶν τὸν τῆς ἱστορίας πατέρα, εἰσάγει συχνάκις τὴν τῶν ἐπιχωρίων παράδοσιν, καίτοι ἐκ βιβλίων ἀρύεται.

(2) Οὕτω γράφεται παρὰ τὸν γλήχωνα ἢ βλήχωμα (βλησκοῦνι). Ὁ δὲ Casaubonus ἐξέδωκεν, εἴτε ἐκ προαιρέσεως εἴτε τυπογραφικῷ σφάλματι *Γλήκωνα*. Οἱ Γαλλικοὶ καὶ Ἰταλικοὶ στοιχειοθέται πλειστάκις κ ἔθεσαν ἀντὶ τοῦ χ.

δειον· «Τὰς δὲ δι' ἀμφοτέρας οἵη ποταμοῖο ἀπορρὼξ εἰλεῖται μέγα θαῦμα Δράκων». Ὅθεν «δράκοντι ἐοικότα τὸν Ἀχελῷον λέγεσθαί φασι διὰ τὸ μῆκος καὶ τὴν σκολιότητα» (Στράβ. Ι', 458). Καὶ δὴ οἱ Ἑλληνικοὶ ἄποικοι ἐν τῇ Λουκανίᾳ τῆς Ἰταλίας ποταμόν τινα Δράκοντα ὠνόμαζον (Στράβ. ς', 253) καθάπερ νῦν οἱ Αἰτωλοὶ τὸν Εὔηνον *Φίδαριν*.

Τέλος δὲ κείσθω χωρίον γενεαλογικόν, ὅπερ ἐντελῶς ἄδηλόν ἐστιν, ἐπειδὴ πολλοὶ Θόαντες ἐν τῇ μυθολογίᾳ ὑπάρχουσιν.

146 (144). «Λέγουσιν οἱ ποιηταὶ πολλάκις· ὁ Ἄτλας τοῦ Ἄτλα καὶ Δρύας τοῦ Δρύα καὶ ὁ Θόας τοῦ Θόα, ὡς παρ' Ἡσιόδῳ·

ἣ δὲ Θόαν τέκεν υἱόν»,

(Χοιροβοσκὸς ἐν τοῖς τοῦ Βεκκήρου Ἀνεκδότοις σ. 1183).

## Κατάλογος τῶν ἐρωμένων.



Ἀντιπαραβάλλοντες τὰς Ἠοίας, παρατηροῦμεν, ὅτι Ἀλκμήνη ἐν τοῖς ποιήμασιν ἀμφοτέροις παρῆλθε καὶ ὅτι ἡ Ἀρσινόης ἱστορία ἐντελῶς τῇ Κορωνίδος ἐναντιοῦται· ἑκατέρα γὰρ Ἀσκληπιοῦ μήτηρ λέγεται.

---

## ΚΗΫΚΟΣ ΓΑΜΟΣ

«Ἀλκυόνην δὲ Κῆϋξ ἔγημεν Ἑωσφόρου παῖς» (Ἀπολλόδωρ. 1, 7, 4,1).

Τί δὲ τὴν τοῦ ποιηματίου ἀφορμὴν ἐχορήγησε, διδασκόμεθα ὑπὸ Ζηνοβίου τοῦ παροιμιογράφου (1,19)·

147. «Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτα ἴενται (1).

Οὕτως Ἡράκλειτος (γράφε· Ἡσίοδος) ἐχρήσατο τῇ παροιμίᾳ, ὡς Ἡρακλέους ἐπιφοιτήσαντος ἐπὶ τὴν οἰκίαν Κήϋκος τοῦ Τραχινίου καὶ οὕτω εἰπόντος».

Οὕτως ὁ ποιητὴς τῶν Ἡρακλεῖ συμβάντων διήγησιν εἰσέπλεξεν.

148 (178). Ἡσίοδος ἐν τῷ Κήϋκος Γάμῳ ἐκβάντα φησὶν αὐτὸν ἐφ' ὕδατος ζήτησιν τῆς Μαγνησίας περὶ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ Ἀφετὰς καλουμένας ἀπολειφθῆναι» (ὑπὸ τῶν Ἀργοναυτῶν, Σχόλ. Ἀπολλων. 1,1289).

Ἀλλὰ φεῦ τὸ ποίημα διεσπάσθη καὶ ἐξηφανίσθη πλὴν ὀλίγων πάνυ ὑπολειμμάτων. Τὸ μὲν ἀπονέμεται αὐτῷ διὰ τὸ περιεχόμενον ὄνομα.

149 (179). «Ὁ δὲ *ἱππότης* ἄρα οὐ φυγάς, ἀλλ' ἱππικός· καὶ ὁ Ἡσίοδος δὲ οὕτως ἀκήκοεν·

ἰδὼν δ' ἱππηλάτα Κῆϋξ (κῶδ.: κῆρυξ)»

(Σχόλ. Α Ἰλ. Ξ 119).

Τὸ δὲ ἕτερον λογοπαίγνιον·

150 (180). «Καθάπερ οὖν τὸ πῦρ τὴν ὕλην, ἐξ ἧς ἀνήφθη, μητέρα καὶ πατέρα οὖσαν, ἤσθιεν ὡς ὁ τὸν Κήϋκος Γάμον εἰς τὰ Ἡσιόδου παρεμβαλὼν εἴρηκεν. . . . .» (Πλουτάρχ. Συμποσιακ. 8, 8, 4, σ. 730 F).

μ. 1. *αὐαλέην*] ἀζαλέην.

*τε καὶ* Bergk ] καί.

μ. 2. *ἐπὶ σφετέροισι τέκεσσι* Nauck Mél. γ', σ. 273. δ', σ.

(1) ἴασι Ζηνόβ. 2,46 κἀ., πρβλ. O. Crusius, Analecta ad parœmiographos σ 52-3. Πολλοὶ τῶν παλαιῶν ἐκαρπώσαντο τὸν στίχον, οἷον Βακχυλίδης (Ἀθην. Δειπνοσ. 5,178 B, Κρατῖνος, Εὔπολις, Πλάτων Συμπόσ. 174 B κἀ., ἴδε Schneidewin εἰς τὴν τῶν παροιμιογράφων συλλογήν), ἔτι δὲ Νικήτας ὁ μυθογράφος (3,259: ἀεὶ τὸ φιλοῦν αὐτόκλητον, φιλότης).

391 (ἐπὶ σφετέροις τεκέεσσι Bergk)] ἐφ' ἑτέροισι τέκεσι (τεκέεσσι).

μ. 3. *τεθνάμεναι* Πλούτ.] τεθνάναι Γρηγόρ.

151 (177). «Ὅτι Ἡσίοδος ἐν Κήϋκος Γάμῳ — κἂν γὰρ γραμματικῶν παῖδες ἀποξενῶσι τοῦ ποιητοῦ τὰ ἔπη ταῦτα, ἀλλ' ἐμοὶ δοκεῖ ἀρχαῖα εἶναι — *τρίποδας* τὰς τραπέζας φησί» (Ἀθήναιος Δειπνοσ. β', σ. 29 B, πρβλ. Ἰούλ. Πολυδεύκ. ς' 83: ἦσαν δέ τινες πρῶται τράπεζαι καὶ δεύτεραι καὶ τρίται καὶ τρίποδες μὲν ἐφ' ὧν ἔκειντο(1), καὶ ἔστι τοὔνομα παρ' Ἡσιόδῳ).

152 (181). «Τὸ δὲ ἐκ τῶν Ἡσιόδου λεγόμενον ὑπὲρ τῶν ὀνομασάντων ἑαυτοὺς τοῖς τῶν θεῶν ὀνόμασιν Ἥρας τε καὶ Διός, εἰ μήπω καὶ νῦν ἀκήκοας, ἔχω σοι συγγνῶναι» (Ἰουλιανὸς ὁ Ἀποστάτης λόγ. ζ', σ. 235), πρβλ. Σχόλ. Ἰλ. Ι 562· «Κῆϋξ ὁ Φωσφόρου τοῦ ἀστέρος, γήμας Ἀλκυόνην τοῦ Αἰόλου, μέγα φρονήσας ἐφ' ἑαυτῷ, θεὸς ἐβούλετο νομίζεσθαι· διόπερ ἥ τε γαμετὴ διὰ παντὸς ἐκάλει Δία αὐτὸν κἀκεῖνος Ἥραν τὴν γυναῖκα. Ζεὺς δὲ ἀγανακτήσας μετέβαλεν αὐτοὺς εἰς ὄρνεα χωρὶς ἀλλήλων βιοῦντα». Ταὐτὰ διηγεῖται Ἀπολλόδωρος (1, 7, 4, 1) διὰ βραχυτέρων.

---

## ΜΕΛΑΜΠΟΔΕΙΑ

153 (189). «Νῦν δὲ τὸν Τειρεσίαν λέγει, ἐπειδή φασιν αὐτὸν ζ' γενεὰς ζῆσαι . . . ὥς φησι καὶ ἡ τῆς Μελαμποδίας ποίησις (γρ.: ἡ τοῦ Μελάμποδος ποίησις), παρεισάγει γὰρ τὸν Τειρεσίαν λέγοντα·

Ζεῦ πάτερ, εἴθε μοι, εἴθ' ἥσσω μ' αἰῶνα βίοιο
ὤφελλες δοῦναι καὶ ἴσα φρεσὶ μήδεα ἴδμεν
θνητοῖς ἀνθρώποις· νῦν δ' οὐδέ με τυτθὸν ἔτεισας,
ὅς γέ με μακρὸν ἔθηκας ἔχειν αἰῶνα βίοιο
ἑπτά μ' ἐπιζώειν γενεὰς μερόπων ἀνθρώπων»

(Τζέτζης εἰς Λυκόφρ. 682, ὃς ἐπαναλαμβάνει ταὐτὰ ἐν τῇ τῆς Ἰλιάδος Ἐξηγήσει σ. 148-9, καίτοι τὸ χειρόγραφον ἐλλιπές).

Στ. 1. Ἑπόμεθα τῇ γραφῇ τοῦ Monacensis ἀρ. 241 (ἐν ἄλλοις δυσὶν *εἴθ* διέφθαρται εἰς *εἴδ'*, ἐν δὲ τῇ Ἐξηγήσει *εὐθ'*, ὅπερ τρίτος τις παρέλιπεν ὡς ἀνεξήγητον μεταβαλὼν τὸ *μ'* εἰς *μέν*).

(1) Τὰ τραπεζῶν φύλλα λέγει.

Voss, Randglossen σ. 81: εἴθε μοι εἴθ' ἧσσω γ' αἰῶνα βίοιο, Hermann: εἴθ' ἧσσω μοι ἔχειν αἰ. β., Bothe ἐν τῇ Πινδάρου μεταφράσει β', σ. 172: εἴθ' ἧσσω μὲν ἔμοι γ', Gerhard, Lectiones Apollonianæ σ. 160: εἴθ' ἧ. μὲν ἐμοὶ αἰ. β., Schneider, Zeitschrift f. Alterthumswiss. 1840, σ. 586: εἴθε μοι εἴθ' ἶσόν τ' αἰ. β., R.: εἴθε μοι ἧσσον' ἔχειν αἰ. β.

Στ. 2. *ὤφελλες* (-λ-)] Tryllitzsch: ὤφειλες, πρβλ. Ἔ. 174. *καὶ ἴσα φρεσὶ*] Monac.: καὶ ἶσα, G.: καὶ ἶσά με, Schneider: καὶ ἐνὶ φρεσί, Voss: καὶ ἐναίσιμα, Lösner: καὶ αἴσια, Ἀνώνυμος παρὰ τῷ Gerhard: καὶ ἴσα φρεσί, Hermann: καὶ μήδεα ἴδμεναι ἴσα.— Τὸ *ἴσα* δηλοῖ *οὐ πλέονα*.

Στ. 3. *νῦν-ἔτεισας* = Ἰλ. Α 354 (ἔτεισε), ὅπου ἁρμοδιώτερον. Ζεὺς γὰρ ἐτίμησε μὲν τὸν Τειρεσίαν, ἐπ' ἀτυχίᾳ ὅμως.

Στ. 4. *γέ με μακρὸν*] γε μακρόν με, με μακρόν γε, Gerhard: ὅτ' ἐμέ.

*μ'*] G.: δ', K.: τ'. Περὶ τῆς δευτερολογίας ἴδε Schrader εἰς Μουσαῖον 303, σ. 191.

Στ. 5. ἐπιζώειν (ἐπὶ ζ.)] ἔτι ζώειν. Πρβλ. Ἰλ. Β 299: μείνατ' ἐπὶ χρόνον (Ζηνόδιος *ἔτι χρ.*).

154 (190). «Ἡσίοδος δέ φησιν, ὅτι θεασάμενος περὶ Κυλλήνην ὄφεις συνουσιάζοντας καὶ τούτους τρώσας, ἐγένετο ἐξ ἀνδρὸς γυνή, πάλιν δὲ τοὺς αὐτοὺς ὄφεις παρατηρήσας συνουσιάζοντας ἐγένετο ἀνήρ· διόπερ Ἥρα καὶ Ζεὺς ἀμφισβητοῦντες πότερον τὰς γυναῖκας ἢ τοὺς ἄνδρας ἥδεσθαι μᾶλλον ἐν ταῖς συνουσίαις συμβαίνοι, τοῦτον ἀνέκριναν· ὁ δὲ ἔφη δέκα μοιρῶν περὶ τὰς συνουσίας οὐσῶν, τὴν μὲν μίαν ἄνδρας ἥδεσθαι, τὰς δὲ ἐννέα γυναῖκας. Ὅθεν Ἥρα μὲν αὐτὸν ἐτύφλωσε, Ζεὺς δὲ μαντικὴν αὐτῷ ἔδωκεν, ἐγένετο δὲ καὶ πολυχρόνιος». Ταῦτα ἔγραψεν ὁ λεγόμενος Ἀπολλόδωρος 3, 6, 7, 4. 5. Οἷς ἀναγνώστης προσέθηκε· «Τὸ ὑπὸ Τειρεσίου λεχθὲν πρὸς Δία καὶ Ἥραν·

οἴην μὲν μοῖραν δέκα μοιρῶν (1) τέρπεται ἀνήρ,
τὰς δὲ δέκ' ἐμπίμπλησι (2) γυνή, τέρπουσα νόημα».

Τῆς αὐτῆς ἱστορίας προτίθεται ὑπὸ Φλέγοντος τοῦ Τραλλέως κ. 4 τὸ ἑπόμενον λῆμμα· «Ἱστορεῖ δὲ καὶ Ἡσίοδος καὶ Δικαίαρχος καὶ Κλέαρχος καὶ Καλλίμαχος καὶ ἄλλοι τινὲς περὶ Τειρεσιου τάδε». Τὰ περὶ τῆς κρίσεως εὑρήσεις οὐκ ἀπᾴδοντα ἐν τοῖς πα-

(1) *Μοιρέων* Meineke, Analecta Alexandrina σ. 21.
(2) Πῶς δεῖ τοῦτο γράφειν, διδάσκει Schanz ἐν τοῖς εἰς Πλάτωνα (τ. ιϐ', § 15) προλεγομένοις.

λαιοῖς εἰς Λυκόφρονα 683 σχολίοις, ὅπου μεταξὺ κεῖται «ὡς ὁ τῆς Μελαμποδείας ποιητής·

ἐννέα μὲν μοίρας, δεκάτην δέ τε μοῖραν τέρπεται ἀνὴρ κτλ».

Ὁ δὲ Τζέτζης εἰς ταὐτὸ χωρίον ἐφύλαξε τὴν αὐτὴν παράδοσιν, ἥνπερ ὁ Ἀπολλοδώρειος, πλὴν ὡσαύτως τῷ σχολιαστῇ παρέχει *τὰς δέκα δ'* (Heyne: ἐννέα δ'). Πρβλ. καὶ Εὐστάθ. Ὀδ. κ 494 «ὃ δ' ἐγνωμάτευσέ πως ἐμμέτρως, ὡς εἴπερ [ἐν] *δέκα μοιράων* εἴη τὰ τῆς τερπωλῆς, τὰς ἐννέα *ἐμπίπλησι γυνὴ τέρπουσα νόημα*».

Ἡ Μελαμπόδεια διεφήμισε καὶ τὸν τῶν Ἀχαιῶν μάντιν.

155 (188). Λέγεται δὲ Κάλχας ὁ μάντις μετ' Ἀμφιλόχου(1) τοῦ Ἀμφιαράου κατὰ τὴν ἐκ Τροίας ἐπάνοδον πεζῇ δεῦρο (εἰς Κολοφῶνα) ἀφικέσθαι· περιτυχὼν δ' ἑαυτοῦ κρείττονι μάντει κατὰ τὴν Κλάρον, Μόψῳ τῷ Μαντοῦς, τῆς Τειρεσίου θυγατρός, διὰ λύπην ἀποθανεῖν. Ἡ μὲν οὖν οὕτω πως διασκευάζει τὸν μῦθον· προτεῖναι γάρ τι τοιοῦτο τῷ Μόψῳ τὸν Κάλχαντα·

Θαῦμά μ' ἔχει κατὰ θυμὸν ἐρινεὸς ὅσσος ὀλύνθος
οὗτος ἔχει, σμικρός περ ἐών· εἴποις ἂν ἀριθμόν;

τὸν δ' ὑποκρίνασθαι·

Μύριοί εἰσιν ἀριθμόν, ἀτὰρ μέτρον γε μέδιμνος.
Εἷς δὲ περισσεύει, τὸν ἐπενθέμεν οὔ κε δύναιο.
Ὣς φάτο· καί σφιν ἀριθμὸς ἐτήτυμος εἴδετο μέτρου.
Καὶ τότε δὴ Κάλχανθ' ὕπνος θανάτοιο κάλυψεν»

(Στράβων ΙΔ', σ. 642).

Στ. 1. *θαῦμά μ' ἔχει* = Ὀδ. κ 326. ἐρινεὸς ὅσσος ὀλύνθος (= ὅσους ὀλύνθους, ἴδε Ἀσπ. 302 καὶ σ. 37) ἐγὼ] ἐρινεὸς ὅσσους ὀλ. κώδικες, ἐρινεὸς ὅσσον ὀλ. Xylander, ὅσους ἐρινειὸς ὀλύνθους Clericus (τὸ ι μακρόν!), Herman: ἐρινεὸς οὗτος· ὀλ. οὓς ὅδ' ἔχει. «Ὄλυνθος, τὸ μὴ πεπεμμένον σῦκον» Ἡσύχιος.

Στ. 2. *σμικρός*, ὡς Ἔ. 360, 361, ἐγὼ] μικρὸς κώδικες.

Στ. 3. *μέδιμνος*] ὁ Αἰγινητικὸς μέδιμνος, ἀρχαιότατος ὤν, ἰσοδυναμεῖ 72,74 λίτραις ἤτοι ὀκκᾶσιν.

Στ. 4. *ἐπενθέμεν* Spohn, De extrema Odysseæ parte σ. 72] ἐπελθέμεν.

(1) Ἡ ἐπιτομὴ ἐφύλαξε τὸ ὄνομα, ὅπερ μεταβέβληται ἐν τοῖς κώδιξιν εἰς *Ἀντιλόχου*.

*οὔ κε δ*. Voss, Randglossen σ. 81] οὐκ ἐδύναιο, οὐκ ἐδύναο. Gaisford: οὐχὶ δύναι' ἄν.

Στ. 5. *εἴδετο*] G.: εἴσατο (ὅτε ἐμέτρησαν).

Στ. 6. *Ὕπνος θανάτοιο*] Ἡ μεταφορὰ ἐν τοῖς ἐπικοῖς ποιήμασιν οὐχ εὑρίσκεται, εἰ μὴ *κοιμήσατο χάλκεον ὕπνον* Ἰλ. Λ 241. Διὸ ὁ μὲν Meineke (Vindiciæ Strabonianæ σ. 220) εἴκασε *νέφος θ*., ὁ δὲ Nauck (Mél. γ', σ. 264) *τέλος θ*.

156 (196). Ὡς πρὸς τὸν Κάλχαντος ἑταῖρον, Στράβων (ΙΔ', σ. 676) παρατίθησιν· «Ἡσίοδος δ' ἐν Σόλοις (τῆς Κιλικίας) ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι τὸν Ἀμφίλοχόν φησι».

Ὅσα πρὸς τὸν Μελάμποδα αὐτόν, οὗ ἡ ποίησις φερώνυμος, σχέσιν ἔχουσιν, ἅπαντα σχεδὸν ἀπώλοντο, εἰ μὴ κατ' εἰκασίαν συναγείρομεν ἀποσπάσματα.

Διστάζομεν, εἰ τὸ ἑξῆς ἀνήκει εἰς τὴν Μελαμπόδειαν· «Ὅτι ἐδόκει φρονήσει τὸ τῶν Ἀμυθαονιδῶν γένος τὸ πάλαι ὂν ἐν τοῖς Ἕλλησι πρωτεύειν, ὥσπερ καὶ Ἡσίοδός φησιν ἐν τούτοις·

157 (225). Ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι,
νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δ' ἔπορ' Ἀτρείδῃσι»

(Νικόλαος Δαμασκηνὸς σ. 445, ἔκδ. Valesius, σ. 40, ἔκδ. Orelli, ὅθεν ἀρύεται Σουίδας λ. ἀλκή). Αἰακίδαι μὲν Τελαμών, Πηλεύς, Ἀχιλλεύς, Αἴας, Ἀμυθαονίδαι δὲ Μελάμπους καὶ Βίας. Οἱ δὲ ἐν τῇ πολυχρύσῳ Μυκήνῃ βασιλεύοντες πασίγνωστοι. Ὅτι ἐγέγραπτο *δὲ πόρ'*, ἤ, *δ' ἔπορ'*, Reiz καὶ Hermann ἔγνωσαν ἐκ τῶν γραφῶν *δὲ παρ'* (Νικόλ.) καὶ *δέ περ* (Σουίδ.). Osann εἰς Φιλήμονα σ. 147 προυβάλετο *δ' ἄφαρ*.

Πρὶν δὲ τὰ λοιπὰ παραθεῖναι, χρώμεθα τῇ Ἀπολλοδώρου διηγήσει (1, 9, 12, 1)· «Βίας ὁ Ἀμυθάονος ἐμνηστεύετο Πηρὼ τὴν Νηλέως· ὁ δέ, πολλῶν αὐτῷ μνηστευομένων, τὴν θυγατέρα δώσειν ἔφη τῷ τὰς Ἰφίκλου βόας κομίσαντι αὐτῷ· αὗται δὲ ἦσαν ἐν Φυλάκῃ (τῆς Θεσσαλικῆς Φθιώτιδος) καὶ κύων ἐφύλασσεν αὐτάς, οὗ οὔτε ἄνθρωπος οὔτε θηρίον πλησίον ἐλθεῖν ἐδύνατο· ταύτας ἀδυνατῶν Βίας τὰς βόας κλέψαι παρεκάλει τὸν ἀδελφὸν συλλαβέσθαι. Μελάμπους δὲ ὑπέσχετο καὶ προεῖπεν, ὅτι φωραθήσεται κλέπτων καί, δεθεὶς ἐνιαυτόν, οὕτω τὰς βόας λήψεται» κτλ.

158. 159 (193. 194). «Ἡσίοδος δ' ἐν τῷ δευτέρῳ Μελαμποδείας σὺν τῷ π *σκύπφον* λέγει·

—⏑⏑· τῷ δὲ Μάρης θοὸς ἄγγελος ἦλθε δι' οἴκου,
πλήσας δ' ἀργύρεον σκύπφον φέρε, δῶκε δ' ἄνακτι.

καὶ πάλιν·

καὶ τότε Μάντης μὲν δεσμὸν βοὸς αἴνυτο χερσίν,
Ἴφικλος δ' ἐπὶ νῶτ' ἐπεμαίετο· τῷ δ' ἔπ' ὄπισθεν,
σκύπφον ἔχων ἑτέρῃ, ἑτέρῃ δὲ σκῆπτρον ἀείρας,
ἔστειχεν Φύλακος καὶ ἐνὶ δμώεσσιν ἔειπεν»

(Ἀθην. Δειπνοσοφ. ια', σ. 498 Α, ὅθεν Εὐστάθ. Ἰλ. Μ 208. Ὀδ. ο 85 ταὐτὰ κατ' ἐπιτομὴν γράφει).

Στ. 1. *Μάντης* ὁ αὐτός ἐστι Μαντίῳ Μελάμποδος υἱῷ, οὗ ἡ Ὀδύσσεια (ο 244) μνείαν ποιεῖται. Casaubonus κακῶς ἐξέδωκε *μάντις*.

Στ. 2. Πρβλ. Ἔ. 468: βοῶν ἐπὶ νῶτον ἵκηαι. Ἐν τοῖς κώδιξι κεῖται *βιὸς* ἢ *βίος*, ὃ διωρθώθη ὑπὸ τοῦ Hemsterhuis.

Στ. 3. *ἑτέρῃ δὲ σκῆπτρον*] Nauck: σ. δ' ἑτέρηφιν.

Στ. 4. *Φύλακος* Ἰφίκλου πατήρ, περὶ οὗ καὶ δευτέραν ἱστορίαν προσάπτομεν.

160 (143). «Εἷς τῶν Αἰολιδῶν, Φύλακος, κτίσας πόλιν Φυλάκην ὠνόμασεν, οὗ Ἴφικλος, οὗ Φύλακος, οὗ Ποίας καὶ Ἴφικλος... Ἰφίκλου δὲ καὶ Ἀστυόχης Πρωτεσίλαος καὶ Ποδάρκης. Ἐνταῦθα δὲ ζητητέον ποῖος ἦν ὁ ποδωκέστατος κατὰ τὴν ἱστορίαν Ἴφικλος, περὶ οὗ δηλῶν Ἡσίοδος, ὅτι ταχύτητι διήνεγκεν, οὐκ ὤκνησεν ἐπ' αὐτοῦ ταύτην εἰπεῖν τὴν ὑπερβολήν·

«Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέεν οὐδὲ κατέκλα
ἀλλ' ἐπὶ πυραμίνων ἀθέρων δρομάασκε πόδεσσι
. . . . . . . . . . . καὶ οὐ σινέσκετο καρπόν»

(Εὐστάθιος Ἰλ. Β 695, πρβλ. Σχόλ. Ὀδ. λ 326: Κλυμένη Μινύου τοῦ Ποσειδῶνος καὶ Εὐρυανάσσης γαμηθεῖσα Φυλάκῳ τῷ Δηίονος (Εὐστάθ.: Δηϊονέως) Ἴφικλον τίκτει *ποδώκη* παῖδα· τοῦτον λέγεται διὰ τὴν τῶν ποδῶν ἀρετὴν ἐναμιλλᾶσθαι τοῖς ἀνέμοις, ἐπὶ δὲ (τε) τῶν ἀσταχύων διέρχεσθαι καὶ διὰ τοῦ † πάθους (γρ.: τάχους) τὴν κουφότητα μὴ περικλᾶν τοὺς ἀθέρας.... ἡ δὲ ἱστορία παρὰ Ἡσιόδῳ», Σχόλ. Ἀπολλων. 1,45 «τοῦτον Ἡσιοδ. ἐπὶ πυρίνων ἀθέρων τρέχειν φησί». Καὶ δεύτερον, ὑπὸ λεξιλογικῇ ἐπόψει τὸ χωρίον ἀναφέρεται ἐπὶ Ἰλ. Υ 227 χάριν τῆς λέξεως *ἀνθέρικος*, τοῦ ἐν τῷ Townleianus σχολιαστοῦ σημειουμένου· «οἱ δὲ τοὺς ἀθέρας τοῦ σίτου φασίν, ὡς καὶ Ἡσίοδος ἐκλαβὼν ἐπὶ Ἰφίκλου φησίν, ὅς ῥ' ἐπὶ πυραμίνους ἀθέρας φοίτασκε πόδεσσιν» (πρβλ. τὸν ἐν τῷ Venetus B), ὡς καὶ Εὐστάθιος λέγει· «οἱ δὲ ἀνθερίκους ἐπὶ τοῦ σίτου φασίν, ἀκολουθοῦντες Ἡσιόδῳ, εἰπόντι περὶ Ἰφίκλου τοῦ καὶ ἐν Βοιωτίᾳ ῥηθέντος, ὅτι

ἐπὶ πυραμίνους ἀθέρας ἐκεῖνος ἔθεε». Ἡ τῶν μαρτύρων σειρὰ διπλασιάζεται, προσιόντων τῶν αἰνιξαμένων τοὺς στίχους, Ἀπολλωνίου Ῥοδίου 1,182, Βιργιλίου Αἰν. ζ', στ. 809, Ὀβιδίου Μεταμορφ. 10,655 Νόννου Διονυσ. 28,284-7 καὶ Μαξίμου τοῦ ἀστρολόγου σ. 2.423 κἑ., ἔτι δὲ τῶν ῥητόρων Λουκιανοῦ ἐν τῷ Πῶς δεῖ ἱστ. συγγρ. 10 καὶ Ὑπὲρ εἰκόνων 20 καὶ Φιλοστράτου ἐν τῷ τῶν Εἰκόνων πέρατι. Ἡ ὑπερβολὴ αὕτη μέντοι οὐχ ηὕρηται ὑπο τοῦ τὴν Μελαμπόδειαν ποιήσαντος, ἀλλὰ τοῦ Μαιονίδου ἕρμαιον, ᾧ ἐφ' ἵππων χρῆται (Ἰλ. Υ 226-7)· «Αἱ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν, ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλα»).

Ἐκ τῶν ἤδη παρατεθέντων ἀποβαίνει ἡ τῶν στίχων ἐξήγησις· πλὴν ῥητέον περὶ τοῦ τύπου *δρομέασκε* (Lobeck εἰς Φρύνιχον σ. 583 καὶ 590: δρώμασκε ἢ δρομέεσκε), ὅσπερ παράγεται ἀπὸ τοῦ *δρομή*, ὅπερ κατ' Ἀρκάδιον π. τόνων σ. 110, 10 ἀντὶ τοῦ ἀρσενικοῦ ἐν χρήσει ἦν.

Λείπει τὸ εἰπεῖν περὶ τριῶν μὴ μυθικῶν ἀποσπασμάτων:

161 (191). «Ἡδύ † ἐστιν ἐν δαιτὶ καὶ εἰλαπίνῃ τεθαλυίῃ
τέρπεσθαι μύθοισιν, ἐπὴν δαιτὸς κορέσωνται,

Ἡσίοδος ἐν τῇ Μελαμποδείᾳ φησί». (Ἐπιτομ. Ἀθηναίου Β', σ. 40 F). Πῶς ὁ πρῶτος στίχος ποτὲ εἶχεν, ἀγνοεῖται ἡμῖν· ὁ Casaubonus ἐνόμισεν «ἡδὺ γάρ ἐστ'», Meineke: ἥδιστον δ', Peppmüller Rhein. Mus. μ', σ. 626: ἡδὺ μέν ἐστ'. Τὸ ἑπόμενον συνωνυμεῖ τῷ *δαιτὶ θαλείῃ* Ἔ. 742.

162 (192). «Ἡσίοδος ἐπὶ τοῦ Μελάμποδος ποιεῖ·

Ἡδὺ δὲ καὶ τὰ πυθέσθαι ὅσα θνητοῖσιν ἔδειμαν
ἀθάνατοι δειλῶν τε καὶ ἐσθλῶν τέκμαρ ἐναργές,

καὶ τὰ ἑξῆς, παρὰ Μουσαίου λαβὼν τοῦ ποιητοῦ κατὰ λέξιν», (Κλήμης ὁ Ἀλεξανδρ. Στρωμ. ϛ', σ. 751).

Στ. 1. *τὰ* Schneider αὐτ.] τὸ.
*πυθέσθαι* Sylburg] πείθεσθαι. Μήπως *πιθέσθαι*;
*ἔδειμαν* Schneider] ἔνειμαν, G.: ἔδειξαν.

Στ. 2. *δειλῶν* Köchly Opusc. Α', σ. 233: δεινῶν. Οἱ δυστυχεῖς ἄνθρωποι ἐπικῶς *δειλοὶ* ἐπονομάζονται. Τὸ *τέκμαρ* περιλαμβάνει τὰ προσημαίνονθ' ἅπαντα. Ὁ λέγων ἄρα μάντις.

163 (195). «Ἡσίοδος δ' ἐν τρίτῳ Μελαμποδίας τὴν ἐν Εὐβοίᾳ *Χαλκίδα καλλιγύναικα* εἶπε» (Ἀθην. Δειπνοσ. ιγ', σ. 609 E, ἐξ οὗ Εὐστάθιος εἰς Ἰλ. Λ 762 ἠρύσατο).

## ΙΔΑΙΟΙ ΔΑΚΤΥΛΟΙ

Τί ὁ ὑποκρινόμενος Ἡσίοδον περὶ τούτων τῶν μεταλλουργικῶν δαιμόνων εἶπεν, ὅλως ἄγνωστον. Πιθανὸν ὅμως τοῦτο, ὅτι τὸ ἑπόμενον ἀπόσπασμα ἦν τοῦ ποιήματος.

164 (44). «Ἡσίοδος μὲν γὰρ Ἑκατέρου καὶ τῆς Φορωνέως θυγατρὸς πέντε γενέσθαι θυγατέρας φησίν, ἐξ ὧν ὄρειαι *Νύμφαι θεαὶ* ἐγένοντο

καὶ γένος οὐτιδανῶν Σατύρων καὶ ἀμηχανοεργῶν,
Κουρῆτές τε θεοί, φιλοπαίγμονες ὀρχηστῆρες»

(Στράβων Ι', 3, 19, σ. 471 ἐν διατριβῇ περὶ τῶν Κουρήτων καὶ Κορυβάντων, ἧς ἡ ὕλη, ὡς ἡ 20 § δεικνύει, ἐπήγασεν ἐκ Δημητρίου τοῦ Σκηψίου). Τὸ χωρίον αὐξάνει οὔ πως τὴν μυθολογικὴν γνῶσιν, ἀλλὰ τὰς ἀπορίας· τίς γὰρ ὁ Ἑκάτερος ἢ ὡς καὶ ἄλλως προσαγορεύεσθαι ἐφίλει (γρ. Ἑκατέρω, Ἑκατέου, -αίου, Welcker: Ἑκάτου ἤγουν Ἀπόλλωνος, Meineke, Vind. Strabonianæ σ. 175: ἐκ Κατρέως, Preller, griechische Mythologie τ. Α'. σ. 450 ἔκδ. α': Ἀκακήτεω, σ. 540, ἔκδ. γ': ἐκ Σατύρου, G.: Ἑκατεροῦ); Τίς δὲ ἡ Φορωνίς, Νιόβη ἢ Ἰὼ ἢ ἄλλη; Ἐνταῦθα εἰσβλέπομεν ἀπόρως ὀλίγον τι εἰς μέρος σκοταῖον τῆς μυθολογίας. Τί δὲ κερδαίνομεν μαθόντες, ὅτι οἱ τῶν Κουρήτων γονεῖς Κόμβη τις καὶ Σῶκος ἢ Σωχὸς ὀνομάζονται (ἴδε Ἡσύχιον κά.); Οἱ κριτικοὶ ἐκ τῶν Στράβωνος λόγων καὶ τρίτον ἑξάμετρον ἐκβιάζουσιν, οἷον Casaubonus «ἐξ ὧν οὔρειαι Νύμφαι θεαὶ ἐξεγένοντο» (Μ.: τάων δ' οὔ. κτλ.).

Στ. 1. *ἀμηχανοεργῶν*] Meineke ἐν τῇ μεγάλῃ τῶν κωμικῶν ἀποσπασμάτων συλλογῇ τ. Β', α', σ. 396: κακομηχανοεργῶν. Ἀλλὰ τὸ *ἀμήχανος* οὐ πανταχοῦ τοσοῦτο δεινόν τι σημαίνει ὅσον Θ. 126. Σουΐδας λ. Κέρκωπες περὶ τῶν πανούργων τούτων ἀναφέρει τὸν στίχον·

«ψεύστας ἠπεροπῆας ἀμήχανα ἔργ' ἀνύσαντες».

Ὁ ποιητὴς ἐννοεῖ τὴν τῶν Σατύρων μαχλότητα. Ἐπὶ τῶν ἀρχαίων νομισμάτων, ἅτινα οἱ Θάσιοι καὶ οἱ ἄποικοι αὐτῶν ἔκοψαν, οἱ Σάτυροι εἰκονίζονται ἁρπάζοντες Νύμφας.

Στ. 2. *φιλοπαίγμονες*] Cobet ἐν τῇ καινῇ σειρᾷ τῆς «Μνημοσύνης» γ', σ. 361 ὀρθότερον ἡγεῖται *φιλοπαίσμονες*, πρβλ. ὅμως παῖγμα,-μονή,-μός,-μοσύνη. Ὑπαινίττεται τὴν περὶ τὸν νεότοκον Δία ἔνοπλον ὄρχησιν τῶν Κρητικῶν Κουρήτων.

## ΕΠΗ ΜΑΝΤΙΚΑ

Οἱ πρὸ ἡμῶν οὐδὲν εἰς ταῦτα ἀνέφερον καὶ ἡμεῖς ἀγνοοῦμεν, εἰ δικαίως, στηριχθέντες ἐπὶ τῶν λέξεων *ὁ χρησμός*, τὰ ἑξῆς τίθεμεν ὑπὸ τὴν ἄνω ἐπιγραφήν.

165 (183). «Ὁ δὲ Ἡσίοδος οἴεται καὶ περιόδοις τισὶ χρόνων γίνεσθαι τοῖς δαίμοσι τὰς τελευτάς· λέγει γὰρ ἐν τῷ τῆς Ναΐδος προσώπῳ καὶ τὸν χρόνον αἰνιττόμενος·

Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη
ἀνδρῶν γηράντων· ἔλαφος δέ τε τετρακόρωνος·
τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ
ἐννέα τοὺς κόρακας· δέκα δ' ἡμεῖς τοὺς φοίνικας
Νύμφαι ἐϋπλόκαμοι, κοῦραι Διὸς αἰγιόχοιο»

(Πλουτάρχ. περὶ τῶν ἐκλελοιπότων χρηστηρίων 11, πρβλ. Ἰωάνν. Φιλοπ. περὶ κοσμοποιΐας 6, 2: Ἐννέα—κόραξ, Ἐτυμ. Μέγ. σ. 13, 36: ἀγροτέρας ἐλάφους διὰ τὸ πολυχρόνιον τοῦ ζῴου ὡς **ὁ χρησμὸς** δηλοῖ, οἷς ὅμοια ἐν τῷ Γουδιανῷ σ. 6, 50-1 καὶ τῷ Παρισίνῳ, ἔκδ. Cramer, Anecd. Paris. δ', σ. 60, Τζέτζ. Ἐξήγ. Ἰλιάδ. σ. 149, 27-8, Σχόλ. Βιργιλ. Βουκολ. 7, 30 [στ. 1.2 ὡς Ὁμήρου]. Ὁ πρῶτος στίχος ἀναφέρεται Σχόλ. Ἀριστοφ. Ὄρνιθ. 609 καὶ Σχόλ. Ἰλ. Δ 60 [λαμβάνεται δὲ (*γενεὴ*) καὶ ἐπὶ χρόνου ζωῆς ἀνθρώπων ὡς τὸ ἐννέα γὰρ ζῶσιν γενεάς]). Ὁ ἡμιέλλην Ῥωμαῖος Αὐσόνιος τὸ Ἡσιόδειον χωρίον Λατινιστὶ μετέφρασεν ἐν τῷ 18 εἰδυλλίῳ (ἀρ. 32 τῆς τοῦ Schenkl ἐκδόσεως, ὃν καὶ ἔπιθι σ. 38, ὑποσ. 33), παρέχων ἔμπροσθεν καὶ κατόπιν πολλά, ἅπερ ναὶ μὲν λείπουσιν ἐν τῷ Ἑλληνικῷ, ἁρμόζουσι μέντοι εἰς τὸ χρησμῳδικὸν πνεῦμα. Εἰ καί τινες στ. 11-17 ἀποχωρίζουσιν ἢ τῇ Ἡσιόδου Ἀστρονομίᾳ ἀπονέμουσιν (ὡς Barthélemy, Mémoires de l'Acad. des inscriptions τ. μα', σ. 5ᴼ6), ὅμως καὶ πάλιν τοὺς στίχους καθυποβάλλομεν τῇ τῶν ἀναγνωστῶν κρίσει· εἰσὶ δὲ οἵδε·

«Ter binos deciesque novem super exit in annos
iusta senescentum, quos implet vita virorum.
Hos novies superat vivendo garrula cornix
et quater egreditur cornicis sæcula cervus.
Alipedem cervum ter vincit corvus et illum
multiplicat novies Phœnix reparabilis ales.

Quem nos perpetuo decies prævertimus ævo,
Nymphæ Hamadryades, quarum longissima vita est.
Hæc cohibet finis vivacia fata animantum.
Cetera secreti novit deus arbiter ævi,
tempora quæ Stilbon (Ἑρμῆς) volvat, quæ sæcula
[Phænon (Κρόνος),
quos Pyrois (Ἄρης) habeat, quos Juppiter igne benigno
circuitus, quali properet Venus alma recursu,
qui Phœben (Σελήνην), quanti maneant Titana (Ἥλιον)
[labores,
donec consumto, magnus qui dicitur, anno
Rursus in antiquum veniant vaga sidera cursum,
qualia disposita steterant ab origine mundi.

Πρὸς τούτοις πάνυ πολλοὶ τοὺς πασιγνώστους τούτους στίχους ὑπεδήλωσαν, οἷον Ἀριστοφάνης Ὄρνιθ. 609 «οὐκ οἶσθ' ὅτι πέντ' ἀνδρῶν γενεὰς ζώει λακέρυζα κορώνη», Ἄρατος Διοσ. 200 (ἐννεάνειρα κορώνη), Ὀράτιος Ὠδ. 3, 17, 13: annosa cornix, Ὀππιαν. Κυνηγετ. 2, 292: ἔλαφος τετρακόρωνος, Σχόλ. Λυκόφρ. 794, Πλίνιος Φυσ. Ἱστ. 7, 48, 153· Μάλιστα δὲ ἡ **κορώνη** σκωπτικῶς ἐπαροιμιάζετο ἐπὶ ἐσχάτου γήρως, φέρ' εἰπεῖν, ὑπ' Ἀχιλλέως Τατίου 4, 4 «βίου γὰρ αὐτῷ λέγουσιν ὑπὲρ τὴν Ἡσιόδου κορώνην», ὥσπερ Βάσσος Ἀνθολ. 11, 72, 3 λέγει «ἡ φάος ἀθρήσασ' ἐλάφου πλέον». Κατὰ σύνθεσιν *τρικόρωνος* (Λούκιλλος Ἀνθολογ. 11, 67, 2, Ἀλκίφρ. Ἐπιστ. 1, 28: γερόντιον, Κωνστ. Μανασσ. ἐκ τῶν κατ' Ἀρίστανδρον 1, 56) ἢ *πεντακόρωνος* (Μυρῖνος Ἀνθολογ. 2, 9) ἢ *κορωνεκάβη* (ὁ αὐτὸς Ἀνθολογ. 11, 67, 2) ἐσκώπτοντο. Ὁ φιλόκαλος ἐπίσκοπος Συνέσιος τῇ παροιμίᾳ χρῆται ἕνεκα εὐχῆς «κορώνης ἐνιαυτοὺς ἄρξαι παρ' ἡμῖν τὸν δικαιότατον ἄρχοντα», Πλούταρχος δὲ ἐν τῷ Γρύλλῳ κ. 5 παρῳδεῖ· (ἡ κορώνη) ἐννέα χηρεύει γενεὰς ἀνθρώπων».

Στ. 1. *τοι* Πλούτ.] τε Φιλοπ. (γενεὰς ζώει), γὰρ Σχόλ. Ἀρ., Ἐτυμ., Τζέτζ., μὲν Σχόλ. Βιργ.
*λακέρυζα κορώνη* = Ἔ. 747.

Στ. 2. *γηράντων* Ἐτυμ. Μέγ. σ. 230, 54, ὅπου ἀνωνύμως ἀναφέρεται *ἁ. γ.*, ἔτι δὲ ἄλλα παραδείγματα, πρβλ. Ἔ. 188. Ἰλ. Ρ 197.] γηρώντων Ἐτυμ., Τζέτζ. (Αὐσόν.), φθινόντων Φιλοπ., *ἡβώντων* οἱ λοιποί. Ὁ ποιητὴς δηλοῖ τὸν πλήρη βίον τοῦ ἀνθρώπου, ᾧ ἀντίκειται ἡ λεγομένη γενεά, οὖσα τριάκοντα ἐτῶν.

Στ. 3. Ἡ συντακτικὴ βραχυλογία τῇ συνεχείᾳ δικαιολογεῖ-

ται Ἀπὸ τοῦ τῶν κοράκων μακροῦ βίου ἐξῆλθεν ἡ Ἠπειρωτικὴ ἐπὶ μακροβίων μεταφορὰ *κορακοζώητος*. Ὁ φοῖνιξ ὑπ᾽ Αὐσονίου παραφράζεται ὡς κύριον ὄνομα, ὅπερ δηλοῖ τὸν θαυμάσιον αὐτοκτόνον ὄρνιν (Ἡρόδοτ. 2, 73). Ἡ ἁπλῆ μέντοι λέξις δηλοῖ τὸ δένδρον, ὁποῖον οἱ προσκυνηταὶ πλησίον τοῦ ἐπὶ Δήλου Ἀπολλωνίου ἐθαύμαζον. Αὐσόνιος παρεκινήθη πρὸς τὴν ἐξήγησιν ἐκείνην, διότι τὸ Νυμφῶν ὄνομα περιώρισεν εἰς τὰς Ἀμαδρυάδας· ὅπερ ἡμάρτηται. Ὅσον δὲ πρὸς τὰ δένδρα, ἡ δρῦς *πολυχρόνιός* ἐστι (Ἀρτεμίδωρ. 1, 25)· *χίλιων χρόνων πεῦκα* μνημονεύεται ἐν τῇ Ἀραβαντινοῦ Συλλογῇ 113, 4. Ἐν τῇ Κηφισσίᾳ ἐλαῖαι παμπάλαιοι παραξένου σχήματος ὡς ἐρρυτιδωμέναι καὶ κατακεκαμμέναι ὑπὸ τοῦ γήρως παριστᾶσιν ἡμῖν τὴν ὀλιγοχρονίαν τοῦ ἀνθρώπου. Χιλίων ἐτῶν ὡσαύτως ἐλαία πρὸς δύσεως τῶν Λευκῶν Ὀρέων ἢ τῶν Σφακιῶν ὀνομάζεται. Ἃ μνημονεύομεν οὐχὶ τῶν φυσιολόγων χάριν, ἀλλ᾽ ἵν᾽ ἀποδείξωμεν, ὅτι ὁ ποιητὴς δημώδη προφέρει.

Στ. 4. Ἐκ τοῦ διπλοῦ ἄρθρου ἐξάγεται, ὅτι τὸ ποίημα ὑστερεῖ τῶν παλαιῶν ἐποποιϊῶν. Καίτοι ἄλλοι τοῦτο ἐκβάλλουσι (C. G. Müller, De cyclo Græcorum epico σ. 145: ἐννέα μὲν κ., φοίνικας δὲ δέκα ἡμεῖς, R.: δέκα φοίνικας δέ τοι ἡμεῖς).

Στ. 5 ἀντηχεῖ τοὺς Ὁμηρικοὺς στίχους Ὀδ. ξ 105: νύμφαι κοῦραι Διὸς αἰγιόχοιο καὶ ρ 240: νύμφαι κρηναῖαι κοῦραι Διός. «Τὰς νύμφας πολὺν μέν τινα ἀριθμὸν βιούσας ἐτῶν, οὐ μέντοι παράπαν γε ἀπηλλαγμένας θανάτου ποιητῶν ἐστιν ἐς αὐτὰς λόγος» (Παυσαν. 10, 31, 11), πρβλ. Ὕμν. Ὁμηρ. 4, 261 κέ. Σοφοκλ. Οἰδ. Τύρ. 1099 τᾶν μακραιώνων κορᾶν, ἔτι δὲ Ἡσύχιος γράφει· «μακρόβιοι] αἱ Νύμφαι. Ῥόδιοι». Ἑπομένως οἱ νεώτεροι περὶ Νεραΐδων θανάτου μυθολογοῦσι (Hahn, griechische Märchen, ἀρ. 58. 85) καὶ οἵ γε Κρῆτες αὐταῖς ἀπονέμουσι χίλια ἢ χίλια πεντακόσια ἔτη.

---

## ΜΕΓΑΛΑ ΕΡΓΑ

Τὸ ὄνομα ἐκφράζει, ὅτι τὸ ποίημα ὑπερέβαλε τὰ Ἔργα καὶ Ἡμέρας εἰς τὸ μῆκος. Ἀλλ᾽ ὅμως τὸ γνήσιον ἔργον οὐχ ἡττήθη τοῦ νόθου, τοὐναντίον δὲ τοῦτο ἐξηφανίσθη πλὴν δύο ἀποσπασματίων· ὅσα γὰρ Πλίνιος ἀμελῶς συνεφόρησεν, ἐνταῦθα χαίρειν ἐῶμεν.

166 (207). Ὁ μὲν οὖν τῶν Ἔργων σχολιαστὴς εἰς 126 σημειοῦται· «τὸ δ᾽ *ἀργύρεον* ἔνιοι τῇ γῇ ἀκούουσιν, ὅτι ἐν τοῖς Με-

γάλοις Ἔργοις τὸ ἀργύριον τῆς Γῆς γενεαλογεῖ»· οἷς συνᾴδει Θ. 161 (Γαῖα) «ποιήσασα γένος πολιοῦ ἀδάμαντος» καὶ Ἰλ. Β 857 «ἐξ Ἀλύβης ὅθεν ἀργύρου ἐστὶ γενέθλη». Πρὸς δὲ τὸν ὑπ' Ἀριστοτέλους ἐν Νικομαχ. Ἠθικ. (ε', 8, σ. 1132 Β 23 κέ.) ἀναφερόμενον στίχον

«εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο»,

ᾧ προύθηκε τὸ *Ῥαδαμάνθυος*, ἀνώνυμός τις σημειοῦται (ἔκδ. Rose ἐν τῷ Ἑρμῇ τ. ε', σ. 534-5) «τὸ μέντοι ἔπος ἐστὶ παρ' Ἡσιόδῳ ἐν τοῖς Μεγάλοις Ἔργοις οὕτως ἔχον·

167 (198). εἰ κακά τις σπείραι, κακὰ κέρδεα κ'(1) *ἀμήσειεν*»,

(Ταῦτα Μιχαὴλ ὁ Ἐφέσιος σ. 67 Β τῶν αὐτοῦ σχολίων οὕτως ἐπέτεμεν· «Ἔστι δὲ τὸ ἔπος ἀπὸ τῶν Ἡσιόδου»). Ὁ στίχος ὑπὸ Γρηγορίου τοῦ Κυπρίου εἰσήχθη εἰς τὴν τῶν παροιμιῶν συλλογὴν (2,57 τοῦ ἐν Λείδῃ κώδικος)· ὅμοια δὲ παρέχει ὁ παροιμιογράφος, ἐξ οὗ ὁ Πλάτωνος Φαῖδρον σ. 260 C σχολιάσας ἠρύσατο· «*Καρπὸν ὧν ἔσπειρας θέριζε* ἐπὶ τῶν τοιαῦτα πασχόντων, οἷα ἔδρασαν· παρῆκται δὲ ἀπὸ τοῦ στίχου «εἰ δὲ κακὰ σπείραις, κακά κεν ἀμήσαιο» (Ludwich, Jahrbücher 1874, σ. 457 κέ., κακὰ κέρδεά κ' ἀμήσ., Cobet, Mnemosyne Nova α', σ. 353: κακὰ κήδεά κ' ἀ.) καὶ πάλιν «ὃς δὲ κακὰ σπείρει, θεριεῖ κακὰ κήδεα παισίν». Ἀναγνώστης προσέγραψε πρὸς τὸ Ἀριστοτελικὸν σχόλιον ἄλλον συνώνυμον στίχον, ὅστις συχνότερον εὐχρηστεῖ (παρὰ Σενέκᾳ ἐν τῇ Ἀποκολοκυντώσει κ. 14, Σχόλ. Αἰσχύλ. Ἱκέτιδ. 419, Σουίδᾳ λ., Ἰσαὰκ τῷ Πορφυρογεννήτῳ ἐν τῷ περὶ τῶν καταλειφθέντων ὑπὸ τοῦ Ὁμήρου σ 70, 22, ἔκδ. Hinck, πρβλ. Ἀνθολ. Πλανούδ. 251,3: ὥς κε πάθῃ τά γ' ἔρεξε): «εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη δ' ἰθεῖα γένοιτο». Ὃς τοὺς κριτικοὺς πολὺ ἀπησχόλησεν, ἐξ ὧν ὁ Ludwich εὐστόχως παρετήρησεν, ὅτι συνδετέον τὰς προτάσεις τῷ *δὲ* μορίῳ· ἡμεῖς γε ἐξ ἐναντίας τὸ ἀσύνδετον ἐξαίρομεν ὡς τεκμήριον τῆς μὴ συναφείας, ἀποβλέποντες ἅμα πρὸς τὸ ὅτι οἱ στίχοι ἄλλοθι πάντοτε κεχωρισμένως φέρονται καὶ ταυτολογοῦσιν.

---

(1) Τὸ μόριον εἰσετέθη ὑπὸ τοῦ ἐκδότου.

## ΑΣΤΡΟΝΟΜΙΑ

Ἐπειδὴ τὸ ποίημα δῆλον ὅτι ἀντεστοίχει ταῖς Ἡμέραις, οὐκ ἀπιθάνως τις στοχάζεται, ὅτι ἡ Ἀστρονομία μετὰ τῶν Μεγάλων Ἔργων συνῆπτο. Τὴν αὐτὴν ἐννοεῖ Καλλίμαχος ἐν τῷ εἰς Ἀράτου Φαινόμενα ἐπιγράμματι (ἀρ. 29, Ἀνθολογ. 9,507):

Ἡσιόδου τόδ' ἄεισμα καὶ ὁ τρόπος· οὐ τὸν ἀοιδῶν
ἔσχατον, ἀλλ' ὀκνέω, μὴ τὸ μελιχρότατον
τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο. Χαίρετε, λεπταὶ
ῥήσεις, Ἀρήτου σύντονος ἀγρυπνίη.

168-70 (7-11). «Ὁ τὴν εἰς Ἡσίοδον ἀναφερομένην ποιήσας Ἀστρονομίαν ἀεὶ Πελειάδας αὐτὰς (τὰς Πλειάδας) λέγει·

τὰς δὲ βροτοὶ καλέουσι Πελειάδας

καὶ πάλιν

χειμέριαι δύνουσι Πελειάδες

καὶ πάλιν

τῆμος ἀποκρύπτουσι Πελειάδες. . . .» (1).

(Ἀσκληπιάδης ὁ Μυρλεεὺς παρ' Ἀθηναίῳ ια', σ. 491 CD).

Occasum matutinum Vergiliarum (τῶν αὐτῶν Πληϊάδων) Hesiodus (nam huius quoque nomine exstat astrologia) tradidit fieri cum æquinoctium auctumni conficeretur» (Πλίνιος Φυσ. Ἱστ. 18, 25, § 213.

171 (14). «Ἡσίοδος δέ φησι περὶ αὐτῶν (τῶν Ὑάδων)·

Νύμφαι Χαρίτεσσιν ὁμοῖαι
Φαισύλη ἠδὲ Κορωνὶς ἐϋστέφανός τε Κλέεια
Φαιώ θ' ἱμερόεσσα ἰδ' Εὐδώρη τανύπεπλος
ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων»

(Σχόλ. Ἀράτ. Φαινόμ. 172, ᾧ παράθες Σχόλ. 254 «ὧν καὶ Ἡσιοδος ἐν τῇ ἀστρικῇ αὐτοῦ τὰ ὀνόματα διδάσκει βίβλῳ, λέ-

(1) Λείπει τὸ ἀντικείμενον.

γων· στ. 2. 3»· Ἃ συμμιγνύει Τζέτζης εἰς Ἡσ. Ἔ. κ. Ἡ. 383, ὃς καὶ στ. 2-4 παρατίθησιν ἐν ταῖς Χιλιάσι 12,169).

Στ. 1. Τὸ ἐπίθετον εἴληπται ἐξ Ἰλ. Ρ 51.

Στ. 2. *Φαισύλη* ὀνομάζεται ἐπίσης ἐν τοῖς Ἐρατοσθένους Καταστερισμοῖς κ. 14· τὸ δὲ Φ λείπει Σχόλ. Α Ἰλ. Σ 486 καὶ ἐν Εὐδοκίας Ἰωνιᾷ σ. 407.

*Κορωνὶς* καλεῖται ἀπὸ τοῦ τὰς κορώνας μηνύειν τὴν ἐπερχομένην θύελλαν.

Στ. 3. Φαιώ] *Φαία* Τζέτζης Κατὰ τὸν Τριγκαβέλλον. Τὸ ὄνομα ἀφορᾷ εἰς τὸ τῶν νεφελῶν χρῶμα.

*ἰδ'* Marcianus τῶν Ἀρατείων] καί.

*Εὐδώρη* ἐκφράζει τὸ δροσίζειν τὸν ὑετὸν τοὺς ἀγροὺς καὶ τὰ φυτά.

Στ. 4. Τζέτζης τὴν ἐπικὴν φράσιν, ἣ τὸ δεύτερον ἡμιστίχιον ἀποτελεῖ ἐν ταῖς Χιλιάσιν, ἐπέτεμεν, ἐκβαλὼν *ἐπὶ χθονί*, ἀνθ' οὗ *Νύμφαι* προὔθηκε τοῦ στίχου.

Καθ' ἡμᾶς τῇ Ἀστρονομίᾳ ἀπονέμουσι καὶ τοὺς περὶ Καλλιστοῦς (Ἄρκτου) καὶ Ὠρίωνος μύθους.

---

## ΧΙΡΩΝΟΣ ΥΠΟΘΗΚΑΙ

Ὁ σοφὸς Κένταυρος κατὰ τὸν μῦθον οὐχὶ μόνον Ἰάσονα καὶ τὸν υἱὸν τούτου ἐξεπαίδευσεν, ἀλλὰ καὶ τὸν νέον Ἀχιλλέα ἀνέθρεψεν· ὃς μῦθος, ὑπὸ τῶν ζωγράφων πολλάκις λαμπρῶς ἀπεικονισθείς, ἀνεφάνη ἤδη ἐν τῶν ἀρχαιοτάτων ἀριστουργημάτων τινί, τῷ τοῦ Ἀμυκλαίου Ἀπόλλωνος θρόνῳ (Παυσαν. 3,18,12). Αὕτη ἦν, καθάπερ Παυσανίας μαρτυρεῖ, σκηνή πως διδακτικῶν γνωμῶν, ὧν ἡ ἀρχὴ μόνον σῴζεται·

172 (182). Εὖ νῦν μοι τάδ' ἕκαστα μετὰ φρεσὶ πευκαλίμησι
φράζεσθαι· πρῶτον μέν, ὅτ' ἂν δόμον εἰσαφίκηαι,
ἔρδειν ἱερὰ καλὰ θεοῖς αἰειγενέτῃσι»

(Σχόλ. Πινδάρ. Πυθ. 6,19: τὰς δὲ Χίρωνος Ὑποθήκας Ἡσιόδῳ ἀνατιθέασιν, ὧν ἡ ἀρχή).

Στ. 1. *τάδ' ἕκαστα*] Buttmann: τὰ Fέκ.

*μετὰ φρεσί*] Nauck, Mél. δ', σ. 392: ἐνὶ φρεσί· καὶ μὲν τοῦτο συχνότερον, ἀλλ' ἴδε Θ. 488. Ἔ. 274. 688 Ἀσπ. 28.

Στ. 2. *ὅτ' ἂν δόμον* Μ.] ὅταν εἰς σὸν δ. Böckh: ὅτ' εἰς δ.

Πάντως Χίρων τάδε λέγει πρὸς Ἀχιλλέα ἐπιστρέψειν μέλλοντα οἴκαδε.

Στ. 3. πρβλ. Θ. 417 (1).

Τὸ ποίημα παρημελήθη, ἐξ οὗ Ἀριστοφάνης Βυζάντιος τὴν νοθείαν αὐτοῦ ἀνέδειξεν (Κυιντιλιανὸς Ῥητορικ. 1,1). Οἱ δὲ Ἀττικοὶ αὐτὸ ἐν πολλῇ χρήσει εἶχον, ὥστε οἱ κωμικοί, Ἀριστοφάνης καὶ μάλιστα Κρατῖνος ἐν τοῖς «Χίρωσι», πολλὰ παρῴδησαν ὡς πασίγνωστα ὄντα τοῖς θεαταῖς. Ἀλλὰ καὶ τούτων οὐδὲν ἔμεινεν εἰ μὴ

Σκῆψιν μὲν Χίρωνες ἐλήλυμεν ὡς ὑποθήκας

(Ἡφαιστίων περὶ συλλαβῶν 17) καὶ

Κλειταγόρας ᾄδειν, ὅταν Ἁρμοδίου μέλος αὐλῇ.

173 (184). «*Ἠπήσασθαι* ἔστι μὲν ἅπαξ παρ' Ἀριστοφάνει ἐν Δαιταλεῦσι «καὶ κόσκινον ἠπήσασθαι»· σὺ δὲ λέγε ἀκέσασθαι τὸ ἱμάτιον· παίζων γὰρ τὰς Ἡσιόδου Ὑποθήκας Ἀριστοφάνης εἶπε τοῦτο» (Ἀττικιστής τις ἐν τοῖς τοῦ Bachmann Ἀνεκδότοις β', σ. 385). Ὅθεν καὶ τὸ ἑξῆς ἐνταῦθα παρατίθεμεν:

174 (270). «Τὸ δὲ *κνισᾶν ἀγυιὰς* παρ' Ἡσιόδῳ τοῖς θεοῖς θύειν λέγει» (Ἑλλάδιος ἐν τῇ Φωτίου Μυριοβίβλῳ 279, σ. 535 B 38). Ἡ γὰρ φράσις δὶς εὑρίσκεται ἐν ταῖς τοῦ αὐτοῦ κωμῳδίαις (Ὄρνιθ. 1233. Ἱππ. 1320).

175 (185). Ὁ Κυιντιλιανὸς ἐν τῷ εἰρημένῳ χωρίῳ γράφει, ὅτι κατὰ τοὺς πλείστους «Ἡσίοδος πρῶτος τὴν ἑπτὰ ἐτῶν ἡλικίαν» διορίζει παιδείας ἀρχὴν ἤ, ἵνα εἴπωμεν αὐτολεξεί, γραμμάτων καὶ μαθημάτων. Πάντως ὁ ἀρχαῖος ποιητὴς τὸ διδάσκειν ἄρχεσθαι τοὺς παῖδας, ἑπτὰ ἐτῶν ὄντας, «ἤθεα κεδνά» (Ἔ. 699).

---

## ΑΔΗΛΑ

176 (224). Καὶ τοῖς θηλυκοῖς ὀνόμασιν ἀρσενικὰ συντάσσουσιν ἐπίθετα, ὡς παρ' Ὁμήρῳ· κλυτὸς Ἱπποδάμεια (Ἰλ. Β 742),

(1) Ἵνα συγγνώμης ἀξιωθῶμεν, εἴ που ἀνθρώπινόν τι ἐπάθομεν, τοῦ πάνυ Σκαλιγήρου λάθος μνημονεύομεν, ὅσπερ ἔν τινι ἐκδόσει ἀναγνούς: εὖ νύ τοι τάδ' ἔχ. μετάλλα (ἤτοι μετ' ἄλλα) θεοῖς αἰειγενέτῃσιν, εἴκασεν· «εὖ νῦν τοι τάδ' ἔχ. μετάλλα, Πηλέος υἱέ· εὔχου μὲν πρώτιστα θ. αἰ.».

καί, θερμὸς ἀϋτμή (Ὕμν. 3, 110) καί, ἁλὸς πολιοῖο (Ἰλ. Υ 229. Ὀδ. ε 410. ι 132), καὶ παρ' Ἡσιόδῳ·

δαϊζομένου πόληος

(δ. πόλιος Φαβωρῖνος Λεξικ. σ. 435 Α, -οιο πόληος Ruhnken, -ου δὲ π. Μ.) (Ψ. Φιλήμων λ. εὐφυὴς καὶ ἐν ταῖς Φαβωρίνου Ἐκλογαῖς σ. 781,20). Ἐξηγήσεως χάριν παρατίθεμεν Ἡσυχίου γλῶσσαν «δαϊζόμενος] κατακοπτόμενος, κατακαιόμενος» πρβλ. Αἰσχύλ. Ἱκέτιδ. 649: τάνδε πόλιν δαΐζων.

177 (236). Δωδώνην φηγόν τε, Πελασγῶν ἕδρανον, ἦεν»

(Στράβων Ζ', σ. 327, «ὁ δ' Ἡσίοδος»).
Περὶ Δωδώνης καὶ τῆς φηγοῦ ἐν τοῖς ἀνωτέρω (Ἀπόσπ. 20 σημείωσις κεῖται)· πρβλ. καὶ Εὐφορίωνα παρὰ Στεφάνῳ Βυζαντίῳ σ. 248,6 «ἷκτο μὲν ἐς Δωδῶνα Διὸς φηγοῖο προφῆτιν».
*ἕδρανον*] «Πελασγοὶ τὸ ᾀδόμενον ἵδρυσαν ἱερόν» (Εὐστάθ. σ. 1057,42 ἐκ τῶν παλαιῶν σχολίων). Ὁμοίως Ἡσύχιος ἐξηγεῖται τὸ ἐπικὸν «Τέττιγος ἕδρανον», «ἡ Ταίναρος. Τέττιξ γὰρ ὁ Κρὴς Ταίναρον **ἔκτισεν**».
*ἦεν* Boissonade] ἦεν κώδικες, ἧκεν Casaubonus, ἷκεν Cobet, Miscellanea Critica 1876, σ. 137.

178 (215). «Ἡσίοδος·

Δῶρα θεῶν μακάρων πλῆσθαι χθονί»

(Ἐπιμερισμ. Ὁμηρ. ἔκδ. Cramer, Anecd. Oxon. Α', σ. 148, 23 ἵνα βεβαιωθῇ τὸ τοῦ ῥήματος πελ-άζω ἀπαρέμφατον *πλῆσθαι*. G. ἐξέδωκε *χθόνα*.

179 (213). Καὶ Ἡσίοδος δὲ μάρτυς ἐστὶ τοῦ ἕτερον εἶναι τὸν Παιήονα τοῦ Ἀπόλλωνος, λέγων

Εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσῃ
ἢ καὶ Παιήων, ὃς πάντων φάρμακα οἶδε»

(Σχόλ. καὶ Εὐστ. Ὀδ. δ 232 [231] προηγησαμένου Ἀλεξανδρέως τινός, ὡς συμπεραίνομεν ἐκ τῆς Ἀριστονίκου Ἐπιτομῆς Ἰλ. Ε 898 (ἡ διπλῆ) «ὅτι ἰατρὸν τῶν θεῶν ἕτερον παρὰ τὸν Ἀπόλλωνα παραδίδωσι τοῦτον»).
Στ. 1. *ὑπὲκ θανάτοιο σαώσῃ* (ει), βαρέως νοσοῦντα δῆλα δὴ

ἢ τραυματισθέντα] σαῶσαι, σάωσεν, Εὐστάθ. παραφραστικῶς *ἐκ θανάτου σώσει*.

Στ. 2. *ἢ καὶ* Hermann] ἢ Εὐστάθ., ἢ αὐτὸς Σχόλ. κατὰ τὴν Ἀττικὴν σύνταξιν. Hemsterhuis: ἢ Π. ὅς περὶ πάντων.

*πάντων* Εὐστάθ.] πάντα, ἁπάντων. Hermann: παντοῖος.

*οἶδεν*] Hemsterhuis: εἰδώς. Ὁ τῆς Ὀδυσσείας ποιητὴς διαβεβαιοῦται, ὅτι οἱ Αἰγύπτιοι ἰατροὶ σοφοί εἰσιν· «ἦ γὰρ Παιήονός εἰσι γενέθλης» (δ 232). Ὁ δὲ τῆς Ἰλιάδος ἀντὶ τοῦ Ἀσκληπιοῦ ὡς ἰατρὸν τῶν Ὀλυμπίων αὐτὸν εἰσάγει (Ε 401. 899. 900).

180 (244). «Φιλόχορος δὲ ἀπὸ τοῦ συντιθέναι καὶ ῥάπτειν τὴν ᾠδὴν οὕτω (*ῥαψῳδοὺς*) φησὶν αὐτοὺς προσκεκλῆσθαι· δηλοῖ δὲ Ἡσίοδος λέγων·

Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ
μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὃν τέκε Λητώ»

(Σχόλ. Πινδάρ. Νεμ. 2,1, ὧν Εὐστάθιος χρῆσιν ἐποιήσατο εἰς τὴν Ἰλιάδα σ. 6,13).

Ὥσπερ Ἡσίοδος αὐτὸς τὴν ἐν Χαλκίδι νίκην ἐμνημόνευσεν, οὕτως καὶ ὁ ὑποκρινόμενος αὐτὸν αἰνίττεται τῶν ἀρχαιοτάτων ἐποποιῶν ἀγῶνα, ὅς ἐπὶ Δήλου, ἀκροωμένων τῶν Ἰώνων, ἐγένετο· ὑποδηλοῖ γὰρ τὸν εἰς τὸν Δήλιον Ἀπόλλωνα ὕμνον, ὅν Θουκυδίδης ἤδη ὡς γνήσιον τοῦ Μαιονίδου ποίημα ἀνέγνω, καθόσον ὁ τὰ Δήλια νικήσας ποιητὴς ἐν τῷ τέρματι μεγάλα περὶ ἑαυτοῦ καυχᾶται. Ὁ νικηθεὶς ἄρα ὑπελαμβάνετο Ἡσίοδος οὐχ ἧττον ἢ ὁ ἐν Χαλκίδι τούτου ἡττηθεὶς Ὅμηρος. Πιθανώτατόν μοι δοκεῖ τὸ ὅτι ταῦτα εἶπέ τις ἐν παρεκβάσει ὁμοίᾳ τῆς τῶν Ἔργων (650-9), ἥτις ἐνεπέπλεκτο **τοῖς Μεγάλοις Ἔργοις.**

Στ. 2. *νεαροῖς ὕμνοις*] Οἱ παλαιοὶ λυρικοὶ μάλιστα τὸ καινὸν ἐξαίρουσι τοῦ ἑαυτῶν ᾄσματος.

*ῥάψαντες ἀοιδὴν*] Πίνδαρος ἄλλο τι ἐννοεῖ, ᾄδων (Νεμ. 2,1.2): «Ὁμηρίδαι ῥαπτῶν ἐπέων ἀοιδοί», λόγου γινομένου περὶ τῶν ποιήματα ἄλλων ἐκφωνούντων ῥαψῳδῶν· ἐκεῖνοι δὲ συνεῖραν τοὺς ἑαυτῶν στίχους.

Στ. 3. *χρυσάορον*] ἴδε Ἔ. 771.

181 (238). *Μέγαρα σκιόεντα.*

«Ὅτι δ' ἐντεῦθεν λαβὼν Ἡσίοδος καὶ τὰ Μέγαρα τὴν χώραν

σκιόεντα ἔφη, ὁ Πορφύριος δηλοῖ» (Εὐστάθ. Ὀδ. α 370: μέγαρα σκιόεντα). Τὰ μέγαρα σκιόεντα ἦσαν τὸ μὲν ἀπὸ τοῦ καπνοῦ, τὸ δὲ ὅτι τὸ φῶς εἰσήρχετο διὰ τῆς θύρας μόνης. Τὸ ἐπίθετον ἄρα ἥκιστ' ἐπίτιμόν ἐστιν ἐπὶ πόλεως.

182 (217). «Ἡσίοδος·

Μουσάων αἵτ' ἄνδρα πολυφραδέοντα τιθεῖσι
θέσπιον αὐδήεντα.

Εὔπορον μὲν γὰρ ἐν λόγοις τὸν *πολυφράδμονα* λέγει, δεινὸν δὲ τὸν *αὐδήεντα* καὶ *θέσπιον* τὸν ἔμπειρον καὶ φιλόσοφον καὶ τῆς ἀληθείας ἐπιστήμονα» (Κλήμης Ἀλεξανδρ. Στρωματ. Α', σ. 337 P).

*τιθεῖσι*, ὡς Dindorf διέγνω, διέφθαρται ἐν τοῖς κώδιξιν ἅπασιν εἰς *τιθεῖσαι*.

*Αὐδήεις* ἀνήκει εἰς τὸ *αὐδή*, ὅπερ συνωνυμεῖ τῷ *ἀοιδή*, ὅθεν Καλυψὼ ἡ ᾄδουσα ἅμα καὶ ὑφαίνουσα *αὐδήεσσα* ἐπονομάζεται (Ὀδ. ε 334), ἐπίσης δὲ καὶ Κίρκη.

183 (245). Ἡσίοδος·

νήπιος, ὃς τὰ ἕτοιμα λιπών, ἀνέτοιμα διώκει»

(Σχόλ. Θεοκρίτ. 11,75 καὶ Ὠρίων Ἀνθολ. 1,25, πρὸς δὲ ἀνωνύμως κεῖται Σχόλ. Πινδάρ. Πυθ. 3, 38 καὶ Πλουτάρχ. περὶ ἀδολεσχίας κ. ζ').

*ὃς τὰ*] Gaisford : ὅστις, Böckh : ὅς τά γ'.

*ἀνέτοιμα*] Σχόλ. Θεοκρίτ. : τὰ ἀνέτοιμα.

184 (92). «Ἠκολούθησεν (Ἀπολλώνιος) Ἡσιόδῳ οὕτως ὀνομάζοντι τὴν νῆσον τῶν Σειρήνων·

...νῆσον ἐς ἀνθεμόεσσαν, ἵνα σφίσι δῶκε Κρονίων...»

(Σχόλ. Ἀπολλων. Ῥοδ. 4,892). Ἡσίοδος δηλονότι περὶ τῆς τῶν Σειρήνων γεννήσεως ἢ ἀπορνιθώσεως εἶπεν· ἆρά γε ἱστορῶν τὴν Ἀχελῴου καὶ Ἡρακλέους μάχην; Μῦθος γάρ τις ἐλέγετο, ὅτι ἐκ τοῦ αἵματος τοῦ θεοῦ ἐγένοντο. Ἦλθον ἄρα ἥμισυ μὲν γυναῖκες, ἥμισυ δὲ ὄρνιθες γενόμεναι εἰς νῆσον, ἣ ὁ σχολιαστὴς γελοίως τὸ Ἀνθεμοέσσης ὄνομα προσοικειοῖ (ἰδὲ Ἀπολλων. Ἀργ. 4,889-90: νῆσον καλὴν ἀνθεμόεσσαν)· καὶ αὐτόθι ᾠκίσθησαν ὑπὸ Διός (λείπει *ναίειν* ἢ ὅμοιόν τι). Ἐπειδὴ Ὅμηρος Ὀδ. μ 169 εἶπε «κοίμησε δὲ κύματα δαίμων», «ἐντεῦθεν λαβὼν Ἡσίοδος ἐμυθεύσατο ὑπὸ Σειρήνων καὶ τοὺς ἀνέμους θέλγεσθαι» (Σχόλ. παλ. καὶ Εὐστάθ. αὐτ. 185, R. 93).

186 (229). «*λαρὸν* .... λέγεται καὶ ἐπὶ τοῦ ἁπαλοῦ· Ἡσίοδος·

οὐκέτι δὴ βαῖνον λαροῖς ποσίν»

(Ἐτυμολογικὸν χειρογράφου Βοσσιανοῦ σ. 1584, ἔκδ. Gaisford, πρβλ. Ἐτυμολ. Μέγ. σ. 557,8 κέ., Lexicon Vindobonense Θ', 119,16, Σχόλ. Ἀπολλων. 1,456· ἅπαντες ἀρύονται ἐκ τῆς αὐτῆς πηγῆς, παλαιοῦ σχολίου εἰς Ἰλ. Ρ 572).

*οὐκέτι δὴ βαῖνον* ἐγὼ] οὐκέτι δὴ βαίνουσι Ἐτυμολ. Βοσσ., οὐκ ἐπειδὴ βαίνουσι LV (λαρὸς ἔχει τὸ α μακρὸν!), βαίνου Ἐτυμολ. Μέγ. Ruhnken, Opuscula β', σ. 581-2: *βαῖνον λιπαροῖς ποσί*, ἐπιλαθόμενος δῆλα δὴ τοῦ λήμματος.

187 (239). «Ἰαμβικὸς Ἡσιόδου, διὰ τὰς κοινὰς δὲ εὕρηται καὶ ἡρῷος·

πίσσης τε δνοφερῆς καὶ κέδρου νηλέϊ καπνῷ»

(Σχόλ. εἰς Ἡφαιστίωνα σ. 21 Gaisford, 121 Westphal, πρβλ. σ. 127 Studemund, Τζέτζ. σχόλ. εἰς τὸ ἑαυτοῦ ποίημα τὸ π. μέτρων σ. 318*, ἔκδ. Cramer).

*κέδρου*] κεδρίου, δενδρίνου, Westphal: κεδρινοῦ. Ὁ καπνὸς νηλεὴς καθόσον παντόσε εἰσχωρεῖ, καίτοι ὁ τοῦ κέδρου μᾶλλον *ἡδὺς* ὀνομάζεσθαι ἄξιός ἐστιν (πρβλ. Ὀδ. ε 60). Ἡ φράσις ἀντηχεῖ τὴν Ὁμηρικὴν *νηλέϊ χαλκῷ* Ἰλ. Γ 292.

Ἄλλος τις ποιητής, ὡς φαίνεται, τὸν παρὰ τοῖς μετρικοῖς πολὺν στίχον ἐξεπίτηδες ἠλλοίωσε·

«σμύρνης ἀκράτου καὶ κέδρου νηλέϊ (κῶδ.: νηλεΰϊ) καπνῷ·

(Σχόλ. Βικτωρίου Ἰλ. Ψ 644).

188 (240). «*Ἠμύω* ἐκ τοῦ μύω, πλεονασμῷ τοῦ η· ὁ δὲ Ἡσίοδος

ἀμύοντα χαμάζε

εἶπε διὰ τοῦ α» (Ἐτυμολ. Μέγ. σ. 430,57, πρβλ. Ἐτυμολ. Φλωρεντ. σ. 150). Πιθανῶς ὁ στίχος πληρέστερον φέρεται ἐν τοῖς Ὁμηρικοῖς Ἐπιμερισμοῖς (Cramer, Anecdota Oxoniensia Α', σ. 85)· «καὶ *ἀμύειν* δὲ τὸ ἐπιπεπτωκέναι

πολλὰ δ' ἀπὸ χλωρῶν δενδρέων ἀμύοντα χαμάζε».

Γράφομεν χαμάζε = χαμάσδε, οὐχὶ χαμᾶζε· περὶ τοῦ τόνου ἔπιθι τὰ εἰρημένα Ἀνέκδοτα τ. γ', σ. 279, 18, Ἀρκάδιον

σ. 183, 14, Ἐτυμολ. Γουδιαν. σ. 559, 56 κἑ. Ποῦ *ἠμύω* κεῖται, ποῦ δὲ ἀμύω ἢ μύω, ἀρκετῶς ὑπὸ τοῦ Wernicke εἴρηται εἰς Τρυφιόδωρον σ. 54 κἑ.

189 (94). « Τὴν δὲ Ὠγυλίαν κατὰ Κρήτην Ἡσίοδός φησι κεῖσθαι·

πόντον δ' Ὠγύλιον ἠδ' Ὠγυλίην λάχε (;) νῆσον »

(Σχόλ. Ὀδ. α 85). Ὁ στίχος τὸ πρῶτον ἐν συλλογῇ τῶν Ἡσιοδείων ἀναφαίνεται, χάρις τῇ τοῦ Ludwich σπουδῇ (Jahrbücher für Philologie 1888, σ. 241 κἑ.), ὅσπερ τὸν στίχον ἐπανέστησεν ἐκ τῶν ἐν τοῖς χειρογράφοις ἰχνῶν (:τονδ' Ὠγύλιον ἠδ' Ὠγύλη νῆσον). Στέφανος ἀνέγραψεν ἐντεῦθεν εἰς τὰ Ἐθνικά· «Ὤγυλος, νῆσος μεταξὺ Πελοποννήσου καὶ Κρήτης. Τὸ ἐθνικὸν Ὠγύλιος ».

190 (227). « <Ἡ διπλῆ> πρὸς τὴν *ἄξυλον*, ὅτι πολλὰς ἐκδοχὰς ἔσχηκεν· οἱ μὲν γὰρ τὴν θρυώδη ἀποδεδώκασιν, οἱ δὲ τὴν πολύξυλον· βέλτιον δέ, ἀφ' ἧς οὐδεὶς ἐξυλίσατο ὡς Ἡσίοδος·

Τῆλε γὰρ ἀξυλίῃ καταπύθετο νήϊα κῆλα »

(Ἀριστόνικος Ἰλ. Λ 155).

*τῆλε*] Hermann: τῆδε.

*νήϊα κῆλα* (= κᾶλα Ἕ. 427, πρβλ. 808) ἐγὼ] κήλεα νηῶν κῶδ. (ἀλλὰ *κήλεος* καὶ ἐπίθετον καὶ τῷ *πῦρ* οἷον προσκεκόλληται), Hermann: χείλεα νηῶν, G.: κῆλ' ἁλιήων, Schneidewin: κήτεα νηῶν.

191-2 (234. 235). «Τῶν δ' ἐξ Ἡσιόδου παραγραφέντων ὑπὸ Χρυσίππου, παμπόλλων καὶ αὐτῶν ὄντων, ἀρκέσει μοι δυοῖν ἢ τριῶν ἐπιμνησθῆναι παραδειγμάτων ἕνεκα·

Τοῦ δὴ ἀέξετο θυμὸς ἐνὶ στήθεσσι φίλοισιν

καὶ

Οἷον ἐνὶ στήθεσσι χόλον θυμαλγέ' ἔχουσα . . . . . »

(Γαληνὸς περὶ δογμάτων Ἱπποκράτους καὶ Πλάτωνος ε', σ. 300).

*τοῦ δὴ* R.] τοῦδε. Nauck Mél. γ', σ. 274, καὶ δ', σ. 399: τοῦ γάρ.

193 (250). « Ὁ εἰπόντος μὲν ἐμοῦ, φησὶν Ἡσίοδος, δόξαι ἂν εἶναι

φαῦλον, χαλεπὸν δὲ νοῆσαι »

(ἐκ τῆς ια' τῶν ψευδοπλατωνικῶν ἐπιστολῶν σ. 359 A). Gött-

ling ἐποίησε τὸν στίχον τόνδε: «Ὁ εἰπόντος μὲν ἐμεῖο | φαῦλόν κεν δόξειεν ἔμεν, χαλεπὸν δὲ νοῆσαι».

194 (140). «*Ἀμάρυγμα* . . . . σημαίνει τὰς τῶν ὀφθαλμῶν ἐκλάμψεις·

Χαρίτων ἀμαρύγματ' ἔχουσα.

Ἡσίοδος» (Μεθόδιος ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ σ.77,31-2), πρβλ. Ἡσύχ. ἀμαρύγματα] λαμπηδόνες). Ἡ μεταφορὰ παρὰ τοῖς Ἕλλησι πλεῖστον χρόνον διήρκεσεν· οἷον εὑρίσκομεν ἐν ἐπιγράμματι Μανουὴλ τοῦ Ὁλοβόλου (12, 1)· «ἤστραψας φωτὶ πολλῷ χαρίτων», οὐδὲ τὰ καθ' ἡμᾶς ἀκμάζοντα δίστιχα αὐτῆς ἀμοιροῦσιν.

195 (249). «Τὰ *κτίλα* ἐπὶ τῶν ἡμέρων καὶ τιθασῶν λέγεται . . . . . Ἡσίοδος·

χρὴ δέ σε — (σῷ;) πατρὶ κτίλον ἔμμεναι»

(Σχόλ. Νικάνδρ. Θηρ. 452, πρβλ. Ἡσύχ. κτίλον] συνήθη»).

196 (98). Τοῦ δὲ Ἡσιόδου εἰπόντος·

Ὤκεε δ' Ὠλενίην πέτρην ποταμοῖο παρ' ὄχθας
εὐρῆος Πείροιο,

μεταγράφουσί τινες *Πώροιο* (γρ. πόροιο, Meineke: Πιέροιο), οὐκ εὖ» Στράβων Η', σ. 342, πρβλ. Στέφ. Βυζάντ. λ. Ὤλενος· τὸ θηλυκὸν Ὠλενία. Ἡσίοδος· ᾤκεε — ποταμοῖο. Ὁ Εὐστάθιος ἄλλα τε πολλὰ τοῦ Στεφάνου καὶ ταῦτα προσῳκειώσατο, εἰς Ἰλ. Λ 756).

Στίχ. 1. *Ὤλενος* ἔκειτο ἐν τῷ πρὸς δύσεως τέρματι τῆς Ἀχαΐας, τέσσαρας ὥρας ἀπὸ τῶν Πατρῶν· διὰ δὲ τῆς πέτρας, ἧς καὶ ἐν τῷ τῶν νεῶν καταλόγῳ (στ. 617) μνεία ἐγένετο, δηλοῖ τοὺς Ἀχαϊκοὺς πρόποδας, οἵτινες διήκουσιν ἕως εἰς τὴν τοῦ Πείρου ἐκβολήν.

*ὄχθας*] Heyne εἰς Ἰλ. Β 617 *ὄχθαις*, κοινῶς. Τίς ᾤκει; Εἰσὶν οἳ νομίζουσιν, ὡς Ἡσίοδος λέγει Περίβοιαν, περὶ ἧς ζήτει εἰς τὴν περὶ Ἀλθαίας καὶ Ἄρεως Μεγάλην Ἠοίαν. Οὐχ ἧττον ὅμως Μακαρεὺς ὁ Κρινάκου τοῦ Διὸς εἰς τὴν αὐτὴν πόλιν κατῳκίσθη (Διόδωρ. 5, 81).

Στίχ. 2. *εὐρῆος*] Ruhnken: εὐρεῖος, (R.: εὐρεέος, Nauck Mél. δ', σ. 386: Πείρου εὐρρεέος), πρβλ. Ἡσύχ. «*εὐρεῖος*] καλῶς ῥέοντος, μεγάλως». Ὁ ποταμὸς οὐκ εὔρους, διότι ὡς ἐπὶ τὸ πλεῖστον ὕδωρ οὐ φέρει, ὅθεν οἱ ἀπὸ τῶν Πατρῶν εἰς Πύργον

μεταβαίνοντες εὐκόλως αὐτὸν διέρχονται· εὐρὺς δέ ἐστι μάλιστα. Τὸ καθ' ἡμᾶς ὀνομάζεσθαι Σλαβικῶς *Καμενίτζα* ἢ *Καμνίτζα* (πετρώδη ποταμόν), ἆρα συνάφειαν ἔχει πρὸς τὴν Ὠλενίαν πέτραν; Οἱ παλαιοὶ κατὰ Παυσανίαν 7, 22, 1 ἄνωθεν μὲν τὸν ποταμὸν *Πίερον* ὠνόμασαν, κάτωθεν δὲ *Πεῖρον* (πρβλ. Παυσαν. 7, 18, 1. Ἡρόδοτ. 1, 145: Πεῖρος ποταμὸς μέγας ἐστί).

197 (230). «Σημειοῦνταί τινες ὅτι Ἡσίοδος ἐποίησεν·

Ὤπτησαν μὲν πρῶτα, περιφραδέως δ' ἐρύσαντο.

Οὐδεὶς δὲ περιφραδέως ἐξέλκει κρέα, ἀλλὰ μᾶλλον ὀπτᾷ» (Σχόλ. Α Ω 624).

198 (248). «Καὶ τὸν Ἡσίοδον οὖν εἰκότως (φασὶ) τὸν τῶν ἀρχαίων θυσιῶν νόμον ἐπαινοῦντα εἰπεῖν·

ὥς κε πόλις ῥέζῃσι· νόμος δ' ἀρχαῖος ἄριστος»

(Πορφύριος περὶ ἀποχῆς 2, 18). Εἰ καὶ ἡ ἀρχὴ λείπει, ῥᾳδίως ὑπεννοεῖται· ὁ ποιητὴς παραινεῖ θύοντα καὶ *ῥέζοντα* συντίθεσθαι τῇ κοινῇ συνηθείᾳ· ἂν δὲ διχογνωμονῶσιν, ὁ ἀρχαῖος νόμος ἄριστος.

Ἡ συλλογὴ ἡμῶν καταλήγει εἰς ὀνόματα καὶ λέξεις ὅσας οἱ λεξικογράφοι κατὰ μίαν ἐξ ἀδήλου ποιήματος Ἡσιόδου ἀναφέρουσιν.

199 (69). «Ἔστι καὶ **Αἰγαῖον πεδίον** συνάπτον τῇ Κίρρᾳ ὡς Ἡσίοδος» (Στέφ. Βυζάντ. λ. Αἰγά).

200 (89). Ἐρατοσθένης τὸ **Ὀρτυγίας** ὄνομα παρ' Ἡσιόδῳ πρώτῳ ἀνέγνω (Στράβ. Α', σ. 23).

201 (96). «Ὑπερησία πόλις τῆς Ἀχαΐας. Τὸ ἐθνικὸν τῆς Ὑπερησίας Ὑπερησιεὺς καὶ θηλυκὸν **Ὑπερησὶς** παρ' Ἡσιόδῳ» (Στέφ. Βυζάντ.). Πρβλ. Ἰλ. Β 573.

202 (252). «Ἡσίοδος τὸν ὅρμον **ἄγαλμα** καλεῖ» (Σουΐδας λ. ἀγάλματα). Μήπως εἶπε τὸν δυσοιώνιστον ὅρμον, ὃν Κάδμος ἔδωκεν Ἁρμονίᾳ; Οὗτος γὰρ παρεπλάνησεν Ἐριφύλην.

203 (253). «**Ἀπτερέως** παρ' Ἡσιόδῳ, ὥσπερ τὸ ἀψοφέως· σημαίνει τὸ <αἰφνιδίως>· ἐστὶν ἀπωτέρω ἀπτέρω. Οὕτως Ἡρῳδιανός. Ἐστὶ ταχέως ἑτοίμως ἀφροντίστως. Οἱ δέ, ἀπροθύμως ἐλαφρῶς ἡδέως, ἔνιοι δὲ ἠμελημένως» (Ἐτυμολ. Μέγ. σ. 133, 34 κἑ., πρβλ. 183, 21 κἑ. Ἡσύχ. ἄπτερος] αἰφνίδιος). Ἡ λέξις παρείληπται ὑπὸ Παρμενίδου (Σέξτ. Ἐμπειρ. κ. μαθημ. 7,111 στ. 17), Ἀπολλωνίου Ῥοδίου 4,1765, Εὐδοκίας ἐν βίῳ ἁγίου Κυπριανοῦ 1, 24. 203.

204 (254). «**Ἄρκυς** εἶδος δικτύου ἐκ παχέος σχοινίου, ὃ ἱστᾶσι πρὸς θήραν λεόντων ἢ ἄρκτων ἢ ἐλάφων (καὶ δασύνεται ἐκ τοῦ εἴργω τοῦ κωλύω τροπῇ τῆς ει διφθόγγου εἰς α). Ἡσίοδος» (Ἐτυμ. Γουδιαν. σ. 78, 20, πρβλ. Ἐτυμολ. Μέγ. σ. 144,10· Ἡσύχ. λ., Cramer, Anecdota Oxoniensia β΄, σ. 336. 427). Ἐντεῦθεν ἄρα οἱ τραγικοὶ τὴν λέξιν ἐκαρπώσαντο.

205 (256). «Ἡσίοδον δὲ (ἀναφέρουσιν), ὅτι τὸ βριθὺ καὶ βριαρὸν **βρῖ** λέγει» (Στράβων Η΄, σ. 364 = Εὐστάθιος Ἰλ. Β 582, ὥσπερ Ὅμηρος τὸ δῶμα *δῶ*).

206. Ποσειδώνιος ὁ Ἀπολλωνιάτης, ὡς Τζέτζης ἐν τῇ Ἰλιάδος Ἐξηγήσει σ. 4 μαρτυρεῖ, «τῷ Ἡσιόδῳ μέμψιν ἐπάγει, ὡς παραφθείραντί τινας τῶν Ὁμήρου λέξεων, τὸν Ὀϊλέα Ἰλέα εἰπόντι καὶ τὸν νήδυμον **ἥδυμον**». Τὸ σχῆμα ὀρθότερόν ἐστι τοῦ ἐν τοῖς Ὁμηρικοῖς ποιήμασι φερομένου· ἤρχετο γὰρ ἀπὸ τοῦ διγάμματος, ὅθεν καὶ σῴζεται πολλαχοῦ (Ὕμν. Ὁμηρ. 3, 241. 449, 19, 16;, Σιμωνίδης καὶ Ἀντίμαχος Σχόλ. Ἰλ. Β 2, Ἐπίχαρμος Ἐτυμολ. Μέγ. σ. 420, 47, Ἀπολλώνιος Ῥόδιος 2, 407).

207. «**Λευγαλέῳ**] χαλεπῷ οὐ διύγρῳ, ὡς Ἡσίοδος· τί γὰρ ἐπὶ τοῦ «λευγάλεοί τ' ἐσόμεθα» (Ὀδ. ϐ 61) (Σχόλ. Townleiana Ἰλ. Φ 281). Τὸ ἐν τῷ κώδικι Α σχόλιον ἀποδεικνύει, ὅτι ἡ σημείωσις ἀνήκει πρὸς τοὺς Ἀρισταρχείους (ἡ διπλῆ, ὅτι ἐκ τούτου οἱ νεώτεροι ἐξεδέξαντο λευγάλεον τὸν δίυγρον», πρβλ. εἰς Ἰλ. 119. Υ 109). Φώτιος (λ. Λευγαλέα) καὶ ὁ μέγας Ἐτυμολόγος σ. 516, 28 Σοφοκλέους χωρίον ἐπὶ τῆς ῥηθείσης σημασίας παρατιθέασιν.

208. Εὑρίσκεται δὲ καὶ παρ' Ἡσιόδῳ μόνῳ καὶ γενικὴ τῶν πληθυντικῶν πτώσεων ἐν χρήσει **ὅτων** καὶ ὧντινων (Σχόλ. εἰς Φιλοστράτ. Ἡρωϊκὸν σ. 464, ἔκδ. Boissonade. Τὸ *καὶ* ἐπισυνάπτει τὴν ἐξήγησιν, διὸ ἐν τῷ Φαβωρίνου Λεξικῷ σ. 558, 6 ὀρθῶς εἴρηται· «καὶ ὅτων *ἀντὶ τοῦ* ὧντινων παρὰ Ἡσιόδῳ μόνῳ εὕρηται ἐν χρήσει»).

ΤΕΛΟΣ

Α'

# ΠΙΝΑΞ ΤΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

## ΟΙΤΙΝΕΣ ΑΠΟΣΠΑΣΜΑΤΑ ΕΣΩΣΑΝ (1)

---



(1) Συνετέθη οὗτος, πρῶτον μὲν ὅπως οἵα τις ἀναφορὰ εὑρεθῇ εὐκολώτερον, ἔπειτα χάριν τῶν μελλόντων τοῦ πονήματος διορθωτῶν.

## Β'

# ΠΙΝΑΞ ΤΩΝ ΚΥΡΙΩΝ ΟΝΟΜΑΤΩΝ (1)

---



(1) Οἱ ἁπλοῖ ἀριθμοὶ ἀναφέρονται πρὸς τὴν Θεογονίαν.



Γ′

# ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ







ΕΝ ΑΘΗΝΑΙΣ
Τυποις των Αδελφων Περρη
1889



Εὑρίσκεται

Ἐν Ἀθήναις παρὰ τῷ κ. Καρόλῳ Μπέκ, βιβλιοπώλῃ.

**Τιμᾶται φράγκων χρυσῶν 10.**

**Ἐν τῷ Ἐξωτερικῷ φρ. χρ. 12,50.**

